ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
22

ΥΠΟΜΝΗΜΑ

1. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
('Ομιλίαι ΙΓ' – ΙΕ')

2. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ
('Ομιλίαι Α' – ΙΒ')

3. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α'
('Ομιλίαι Α' – ΙΑ')


ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟΝ – ΜΕΤΑΦΡΑΣΙΣ – ΣΧΟΛΙΑ
'Υπὸ
ΣΠΥΡΙΔΩΝΟΣ ΜΟΥΣΤΑΚΑ
Θεολόγου – Φιλολόγου

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1983

ΕΙΣΑΓΩΓΗ

Στὸν τόμο αὐτὸν δημοσιεύονται τὰ ἑρμηνευτικὰ ὑπομνήματα τοῦ Ἰωάννου Χρυσοστόμου στὶς ἐπιστολὲς τοῦ ἀποστόλου Παύλου: α) Πρὸς Φιλιππησίους (Ὁμιλίες ΙΓ΄ - ΙΕ), β) Πρὸς Κολοσσαεῖς (Ὁμιλίες Α΄ - ΙΒ΄) καὶ γ) Α΄ πρὸς Θεσσαλονικεῖς (ὁμιλίες Α΄ - ΙΑ΄).

Ὁ Χρυσόστομος, ὅπως εἶναι γνωστό, δὲν ἀσχολεῖται ἀποκλειστικὰ μόνο μὲ τὴν ἑρμηνεία τοῦ κειμένου τῆς Ἁγίας Γραφῆς. Τοῦτο κάνει στὸ α΄ μέρος τῶν ὁμιλιῶν του. Στὸ β΄ μέρος ἀναφέρεται σὲ δογματικὰ καὶ ἠθικὰ θέματα καὶ ἀναπτύσσει ζητήματα τοῦ πρακτικοῦ βίου Ἔτσι τὸ περιεχόμενο κάθε ὁμιλίας ἔχει ὡς ἑξῆς:

1. Ὁμιλίες πρὸς Φιλιππησίους.

Ὁμιλία ΙΓ΄ - Φιλιπ. 3,18 - 4,3. Ἡ φιλανθρωπία τοῦ Θεοῦ. Εἶναι ἀφόρητος ἡ ἔκπτωσις ἀπὸ τὴ Βασιλεία τοῦ Θεοῦ. Πρέπει ὁπωσδήποτε νὰ θλιβοῦμε, ἢ στην παροῦσα ζωὴ ἢ στὴν ἄλλη.

Ὁμιλία ΙΔ΄: Φιλιπ. 4,4 - 9. Ἡ κακία εἶναι ἐχθρός μας καὶ ἡ ἀρετὴ φίλος μας. Κανεὶς δὲν μᾶς ἀδικεῖ, ἐκτὸς ἐὰν μᾶς ἁρπάση τὸν πνευματικό μας θησαυρό.

Ὁμιλία ΙΕ΄: Φιλιπ. 4,10-23. Περὶ θλίψεως, ἀγάπης καὶ συμπαθείας. Οἱ ἀπολαύσεις τῆς ζωῆς αὐτῆς προκαλοῦν τὴν κόλασι στὴν ἄλλη ζωή.

2. Ὁμιλίες πρὸς Κολοσσαεῖς.

Ὁμιλία Α΄: Κολ. 1,1 - 8. Περὶ σαρκικῆς καὶ πνευματικῆς φιλίας, περὶ εὐγνωμοσύνης καὶ ἀγνωμοσύνης, περὶ κακίας, ἀρετῆς καὶ ἐλεημοσύνης.

Ὁμιλία Β΄: Κολ. 1,9 - 15. Πρέπει πάντοτε νὰ ἐνθυμούμασθε τὶς εὐεργεσίες τοῦ Θεοῦ. Περὶ κρίσεως καὶ κολάσεως καὶ πῶς θά ἀπαλλαγοῦμε ἀπὸ αὐτήν.

Ὁμιλία Γ΄: Κολ. 1,15 - 20. Κάθε πιστός ἔχει φύλακα ἄγγελο. Ἡ εἰρήνη τοῦ Θεοῦ. Πρέπει νὰ ὑπακούωμε στοὺς ἱερεῖς ὅπως στὸν Θεό.

Ὁμιλία Δ΄: Κολ. 1,21 - 25. Πρέπει νὰ δεχώμασθε μὲ εὐγνωμοσύνη ὅσα μᾶς δίνει ὁ Θεὸς καὶ νὰ τὸν εὐχαριστοῦμε γιὰ ὅλα.

Ὁμιλία Ε΄: Κολ. 1,26 – 2,5. Ὁ Θεὸς εὑρίσκεται παντοῦ καὶ εἶναι ἀπερίγραπτος. Περὶ θείας ἐνεργείας καὶ κινήσεως. Οἱ τύποι καὶ τὰ ὑποδείγματα ὁδηγοῦν στὴν πίστι πρὸς τὸν Θεό.

Ὁμιλία ΣΤ΄: Κολ. 2,6 – 15. Περὶ τοῦ πάθους καὶ τῆς ταφῆς τοῦ Χριστοῦ. Μὲ τί συντασσόμεθα κατὰ τὸ βάπτισμα. Περὶ τῆς ἑνώσεως τοῦ θείου σώματος.

Ὁμιλία Ζ΄: Κολ. 2,16 – 3,4. Περὶ τῆς μελλοντικῆς τιμῆς καὶ ἀπολαύσεως. Τὰ παρόντα ἀγαθὰ δὲν εἶναι ἄξια τιμῆς. Ἐναντίον ἐκείνων ποὺ ζοῦν μὲ ἀνέσεις καὶ κάνουν κακὴ χρῆσι τοῦ πλούτου.

Ὁμιλία Η΄: Κολ. 3,5 – 15. Πρέπει νὰ εὐχαριστοῦμε τὸν Θεὸ γιὰ ὅλα, πρὸς αὐτὸν νὰ καταφεύγωμε καὶ νὰ ζητοῦμε τὴ βοήθειά του, καὶ ὄχι πρὸς μάντεις καὶ γραΐδια.

Ὁμιλία Θ΄: Κολ. 3,16 – 17. Περὶ ἀναγνώσεως τῶν Γραφῶν. Ἡ ἀξία καὶ σημασία τῶν ψαλμῶν, τῶν ὕμνων καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ.

Ὁμιλία Ι΄: Κολ. 3,18 – 4,4. Ἔπαινος τῶν δεσμῶν τοῦ Παύλου. Περὶ ἐλεημοσύνης καὶ σωφροσύνης. Κατὰ τῶν καλλωπιζομένων.

Ὁμιλία ΙΑ΄ Κολ. 4,5 – 11. Περὶ ἀγάπης καὶ συμπαθείας. Πρέπει νὰ συμμετέχωμε στὴ χαρὰ καὶ στὴ λύπη τῶν ἀδελφῶν. Καὶ νὰ μή φθονοῦμε αὐτοὺς ποὺ εὐδοκιμοῦν.

Ὁμιλία ΙΒ΄: Κολ. 4,12 – 18. Δὲν πρέπει νὰ λυπούμασθε στὶς θλίψεις γιὰ τὸν Χριστό. Νὰ μνημονεύωμε τὰ δεσμὰ τοῦ Παύλου καὶ νὰ ἀπέχωμε ἀπὸ τὰ βλαβερά. Περὶ ψυχικῶν δακρύων. Περὶ γάμων εὐπρεπῶν καὶ ἀσέμνων. Ὁ ἀληθινὸς καλλωπισμὸς τῆς νύφης.

3. Α΄ πρὸς Θεσσαλονικεῖς.

Ὁμιλία Α΄: Α΄ Θεσ. 1,1 – 7. Δὲν πρέπει νὰ ἀπελπιζώμασθε καὶ νὰ περιφρονοῦμε τὶς προσευχὲς τῶν ἁγίων, ἀλλὰ νὰ τὶς ἐπιζητοῦμε. Ἡ ὠφέλεια ἀπὸ τὶς προσευχὲς αὐτές.

Ὁμιλία Β΄: Α΄ Θεσ. 1,8 – 2,8. Περὶ τῆς ἀξίας τῆς πνευματικῆς φιλίας.

Ὁμιλία Γ΄: Α΄ Θεσ. 2,9 – 3,4. Περὶ μακροθυμίας καὶ εὐχαριστίας στὶς θλίψεις μας. Τὸ παράδειγμα τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰώβ. Οἱ δαίμονες εἶναι συνεργοὶ τῶν κλεπτῶν.

Ὁμιλία Δ΄: Α΄ Θεσ. 3,5 – 13. Ἡ ἀγάπη πρὸς τὸν πλησίον. Περὶ τῆς ἀγάπης τοῦ Ἄβελ, τοῦ Παύλου καὶ τοῦ Ἰωσήφ. Περὶ ἀμνησικακίας.

Ὁμιλία Ε΄: Α΄ Θεσ. 4,1 – 8. Ἐναντίον τῶν πόρνων καὶ τῶν μοιχῶν. Οἱ πατέρες πρέπει νά ἔχουν κοσμικὸ βίο καὶ νὰ ὁδηγοῦν

γρήγορα τὰ παιδιά τους σὲ γάμο. Τὰ θέατρα εἶναι αἴτια πολλῶν κακῶν.

Ὁμιλία ΣΤ': Α' Θεσ. 4,9 – 12. Δὲν πρέπει νὰ θρηνοῦμε τοὺς νεκρούς. Πότε ἡ θλῖψις στοὺς πενθοῦντας γίνεται μεγάλη. Πῶς πρέπει νὰ ζοῦν οἱ χῆρες καὶ νὰ ἀνατρέφουν τὰ παιδιά τους.

Ὁμιλία Ζ': Α' Θεσ. 4,13 – 14. Περὶ ἀναστάσεως. Δὲν πρέπει νὰ ἐξετάζωμε τὰ ἀκατάληπτα τοῦ Θεοῦ καὶ ἰδίως τὴ γέννησι τοῦ Υἱοῦ του.

Ὁμιλία Η': Α'Θεσ. 4,14 – 18. Περὶ ἀναστάσεως καὶ κρίσεως καὶ ἀνταποδόσεως. Ἰουδαῖοι καὶ Ἕλληνες πιστεύουν στὴν ἀνταπόδοσι ἀγαθῶν καὶ κακῶν.

Ὁμιλία Θ': Α' Θεσ. 5,1 – 11. Προτροπὴ γιὰ ἀρετή. Εἶναι ἀδύνατο νὰ ἀπολαύση τὰ μελλοντικὰ ἀγαθὰ ἐκεῖνος ποὺ ζῆ μὲ ἀπολαύσεις καὶ ἀνέσεις. Περὶ ἀναστάσεως καὶ κρίσεως.

Ὁμιλία Ι': Α' Θεσ. 5,12 – 18. Στὴν ἀπόκτησι τῶν χρημάτων δὲν ὁδηγεῖ ἡ ἀνάγκη τῶν παιδιῶν, ἀλλὰ ἡ φιλαργυρία. Τὸ νὰ ὑποφέρωμε μὲ μακροθυμία ὅταν μᾶς ἁρπάζουν ἀγαθὰ γιὰ τὸν Θεὸ εἶναι ἀνώτερο ἀπὸ τὴν ἀγαθοεργία. Ἡ πλεονεξία κρίνεται ἀπὸ τὴν προαίρεσι τοῦ ἀνθρώπου.

Ὁμιλία ΙΑ': Α' Θεσ. 5,19 – 28. Νὰ μὴ περιφρονοῦμε τοὺς πτωχοὺς καὶ ἰδίως ὅταν μᾶς ἐξορκίζουν. Περὶ τῶν πτωχῶν ποὺ κάθονται ἔξω ἀπὸ τὶς ἐκκλησίες. Νὰ προσκαλοῦμε σὲ γεῦμα τοὺς πτωχοὺς καὶ ἀναπήρους.

Τὸ κείμενο τῶν ὁμιλιῶν στήν πρὸς Φιλιππησίους εἶναι ἀπὸ τὴν Πατρολογία τοῦ MIGNE, τόμος 62 σελ. 275 – 298, ἐνῶ τῶν ἄλλων ὁμιλιῶν ἀπὸ τὴν ἔκδοσι Ὀξφόρδης. Σ' ὅλες τὶς ὁμιλίες ἔγιναν ὡρισμένες διορθώσεις στὴ στίξι.

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΟΜΙΛΙΑ ΙΓ΄
(Φιλιπ. 3,18 – 4,3)

«Πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ· ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ Θεὸς κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες. Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα».

1. Οὐδὲν οὕτως ἀνάρμοστον καὶ ἀλλότριον Χριστιανοῦ, ὡς ἄνεσιν καὶ ἀνάπαυσιν ζητεῖν· οὐδὲν οὕτω τῆς ἐπαγγελίας καὶ στρατολογίας ἀλλότριον, ὡς τὸ τῷ παρόντι προστετηκέναι βίῳ. Ὁ Δεσπότης σου ἐσταυρώθη, καὶ σὺ ἄνεσιν ζητεῖς; ὁ Δεσπότης σου προσηλώθη, καὶ σὺ τρυφᾷς; καὶ ποῦ ταῦτα στρατιώτου γενναίου; Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, «Πολλοὶ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ».

Ἐπειδή τινες ἦσαν ὑποκρινόμενοι μὲν τὸν Χριστιανισμόν, ἐν ἀνέσει δὲ ζῶντες καὶ τρυφῇ, τοῦτο δὲ ἐναντίον τῷ σταυρῷ· διὰ τοῦτο ταῦτα οὕτως ἔλεγεν. Ὁ γὰρ σταυρὸς ψυχῆς ἐστι παρατεταγμένης, θανατιώσης, οὐδὲν ἀνετὸν ἐπιζητούσης· ἐκεῖνοι δὲ ἀπεναντίας πολιτεύονται. Ὥστε κἂν λέγωσιν εἶναι τοῦ Χριστοῦ, ἀλλ' ὡς ἐχθροί εἰσι τοῦ σταυροῦ· ἢ γὰρ ἄν, εἰ τὸν σταυρὸν ἐφίλουν, ἐσπούδαζον τὸν ἐσταυρωμένον βίον ζῆν. Οὐκ ἀνεσκολοπίσθη σου ὁ Δεσπότης; Μίμησαι σὺ ἄλλως αὐτόν, εἰ μὴ τὸν

ΟΜΙΛΙΑ ΙΓ΄

(Φιλιπ. 3,18 – 4,3)

«Πράγματι πολλοὶ παρουσιάζουν κακὴ συμπεριφορά. Γι' αὐτοὺς πολλὲς φορὲς σᾶς ἔλεγα καὶ τώρα κλαίοντας σᾶς λέγω, ἐννοῶ τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ. Τὸ τέλος αὐτῶν θὰ εἶναι ἡ ἀπώλεια· αὐτοὶ ὡς Θεὸ ἔχουν τὴν κοιλιά τους καὶ δόξα τους θεωροῦν τὶς πράξεις ποὺ φέρουν ἐντροπή, ἔχουν δὲ φρονήματα γήινα. Ἀλλὰ ἡ δική μας πολιτεία εἶναι στοὺς οὐρανούς, ἀπὸ τοὺς ὁποίους περιμένουμε μὲ πολὺ πόθο καὶ τὸν Σωτῆρα μας, τὸν Κύριο Ἰησοῦ Χριστό, ὁ ὁποῖος θὰ μεταμορφώση τὸ ταπεινὸ αὐτὸ σῶμα, ὥστε νὰ γίνη ὅμοιο πρὸς τὸ δοξασμένο σῶμα Του μὲ τὴν ἐνέργειά του, μὲ τὴν ὁποία μπορεῖ καὶ νὰ ὑποτάξη τὰ πάντα στὸν ἑαυτό του».

1. Τίποτε δὲν εἶναι τόσο ἀνάρμοστο καὶ ξένο στὸν χριστιανό, ὅσο τὸ νὰ ἐπιζητῆ τὴν ἄνεσι καὶ τὴν ἀνάπαυσι. Τίποτε δὲν εἶναι τόσο ξένο στὴν ἐπαγγελία καὶ στὴ στρατολογία, ὅσο τὸ νὰ προσκολᾶται κανεὶς στὴν παροῦσα ζωή. Ὁ Κύριός σου ἐσταυρώθηκε, καὶ σὺ ἐπιζητεῖς τὴν ἄνεσι; Ὁ Κύριός σου ἐκαρφώθηκε στὸ σταυρό, καὶ σὺ ζῆς μὲ πολυτέλεια; Καὶ πῶς ἁρμόζουν αὐτὰ σὲ γενναῖο στρατιώτη; Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει, «Πολλοὶ παρουσιάζουν κακὴ συμπεριφορά, γιὰ τοὺς ὁποίους πολλὲς φορὲς σᾶς ἔλεγα καὶ τώρα κλαίοντας σᾶς λέγω, ἐννοῶ τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ».

Ἐπειδὴ μερικοὶ ἐπροσποιοῦντο τὸ χριστιανισμό, στὴν πραγματικότητα ὅμως ἐζοῦσαν μὲ ἀνέσεις καὶ ἀπολαύσεις, καὶ τοῦτο ἦταν ἀντίθετο πρὸς τὸ σταυρό, γι' αὐτὸ ἔλεγε ἔτσι αὐτά. Γιατὶ ὁ σταυρὸς εἶναι χαρακτηριστικὸ τῆς ψυχῆς, ποὺ ἀγωνίζεται, ποὺ ἐπιθυμεῖ νὰ πεθάνη καὶ δὲν ἐπιζητεῖ καμμιὰ ἄνεσι. Ἐκεῖνοι ὅμως συμπεριφέρονται ἀντίθετα πρὸς αὐτά. Συνεπῶς καὶ ἂν ἀκόμη λέγουν ὅτι ἀνήκουν στὸν Χριστό, εἶναι ὅμως ὡς ἐχθροὶ τοῦ σταυροῦ. Γιατὶ ἂν ἀγαποῦσαν τὸ σταυρό, θὰ ἐπροσπαθοῦσαν πράγματι νὰ ζοῦν τὴν πλήρη παθημάτων ζωή. Δὲν ἐσταυρώθηκε ὁ Κύριός σου; Μιμήσου

ἐκείνου δύνασαι τρόπον· σταύρωσον ἑαυτόν, κἂν μηδείς σε σταυρώσῃ· σταύρωσον σεαυτὸν λέγω, οὐχ ἵνα σεαυτὸν ἀνέλῃς (μὴ γένοιτο, τοῦτο γὰρ ἀσεβές), ἀλλ' ὡς Παῦλος ἔλεγεν· «Ἐμοὶ» γάρ, φησί, «κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ».

Εἰ φιλεῖς τὸν Δεσπότην σου, τὸν θάνατον ἀπόθανε τὸν ἐκείνου· μάθε πόση τοῦ σταυροῦ ἡ ἰσχύς, πόσα κατώρθωσε, πόσα κατορθοῖ, πῶς ἐστιν ἀσφάλεια τοῦ βίου. Διὰ τούτου πάντα τελεῖται· βάπτισμα διὰ τοῦ σταυροῦ (δεῖ γὰρ ἀναλαβεῖν τὴν σφραγῖδα)· χειροτονία διὰ τοῦ σταυροῦ· κἂν ἐν ὁδοῖς ὦμεν, κἂν ἐν οἰκίᾳ, κἂν ὅπου ἄν ποτε, μέγα ἀγαθὸν ὁ σταυρός, σωτήριον ὅπλον, ἀσπὶς ἄμαχος, τῷ διαβόλῳ ἀντίπαλος. Τούτῳ οὖν ἐχθραίνων βαστάζεις τὸν σταυρόν, μὴ ἁπλῶς σφραγιζόμενος, ἀλλὰ τὰ τοῦ σταυροῦ πάσχων. Οἶδε σταυρὸν ὁ Χριστὸς τὰ πάθη λέγειν, ὡς ὅταν λέγῃ· «Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι»· τουτέστιν, ἐὰν μή τις ᾖ παρεσκευασμένος πρὸς θάνατον. Οὗτοι δὲ ἀγενεῖς ὄντες καὶ φιλόζωοι καὶ φιλοσώματοι, ἐχθροὶ τοῦ σταυροῦ τυγχάνουσι· καὶ πᾶς, ὃς ἂν ᾖ τῆς τρυφῆς φίλος καὶ τῆς ἐνταῦθα ἀσφαλείας, ἐχθρός ἐστι τοῦ σταυροῦ, ἐν ᾧ Παῦλος καυχᾶται καὶ περιπλέκεται, ᾧ σπουδάζει συνουσιωθῆναι, ὡς ὅταν λέγῃ· «Ἐγὼ ἐσταύρωμαι τῷ κόσμῳ, καὶ ὁ κόσμος ἐμοί».

Νῦν δέ φησι, «Καὶ κλαίων λέγω». Διὰ τί; Ὅτι ἐπέτεινε τὸ κακόν, ὅτι δακρύων ἄξιοι οἱ τοιοῦτοι. Ὄντως δακρύων ἄξιοι οἱ τρυφῶντες, τὸ μὲν περιβόλαιον, τουτέστι, τὸ σῶμα λιπαίνοντες, τῆς δὲ μελλούσης εὐθύνας διδόναι οὐδένα ποιούμενοι λόγον. Ἰδοὺ τρυφᾷς, ἰδοῦ μεθύεις, σήμερον καὶ αὔριον, καὶ δέκα ἔτη καὶ εἴκοσι καὶ τριάκοντα καὶ πεντήκοντα καὶ ἑκατόν, ὅπερ ἀδύνατον· πλὴν ἀλλ' εἰ βούλει, θῶμεν· τί τὸ πέρας; τί τὸ κέρδος; Οὐδέν. Τὸ οὖν τοιοῦτον βίον ζῆν οὐ δακρύων ἄξιον καὶ θρήνων; Ἤγαγεν ἡμᾶς εἰς τὸ στάδιον τοῦτο ὁ Θεός, ἵνα στεφανώσῃ, καὶ ἡμεῖς ἄπιμεν μηδὲν ἐργασάμενοι γενναῖον. Κλαίει τοίνυν ὁ Παῦλος

αὐτὸν διαφορετικά, ἐὰν δὲν μπορῆς νὰ μιμηθῆς τὸν τρόπο ἐκείνου. Σταύρωσε τὸν ἑαυτόν σου, ἔστω καὶ ἂν δὲν σὲ σταυρώση κανείς. Σταύρωσε τὸν ἑαυτόν σου ἐννοῶ, ὄχι νὰ φονεύσης τὸν ἑαυτόν σου (μακάρι νὰ μὴ γίνη κάτι τέτοιο, γιατὶ αὐτὸ εἶναι ἀσέβεια), ἀλλὰ ὅπως ὁ Παῦλος ἔλεγε· «Γιατὶ ἔχει νεκρωθῆ ὡς πρὸς ἐμὲ ὁ κόσμος», λέγει, «ἀλλὰ καὶ ἐγὼ ἔχω νεκρωθῆ ὡς πρὸς τὸν κόσμο»[1].

Ἐὰν ἀγαπᾶς τὸν Κύριό σου πέθανε ὅπως ἐκεῖνος. Μάθε πόση εἶναι ἡ δύναμις τοῦ σταυροῦ, πόσα κατώρθωσε, πόσα κατορθώνει, πῶς εἶναι ἡ ἀσφάλεια τῆς ζωῆς. Τὰ πάντα δι' αὐτοῦ γίνονται· τὸ βάπτισμα διὰ τοῦ σταυροῦ (γιατὶ πρέπει νὰ λάβωμε τὴ σφραγῖδα τοῦ Ἁγίου Πνεύματος), ἡ χειροτονία διὰ τοῦ σταυροῦ. Εἴτε εὑρισκόμασθε στοὺς δρόμους, εἴτε στὸ σπίτι, εἴτε ὁπουδήποτε, ὁ σταυρὸς εἶναι μεγάλο ἀγαθό, σωτήριο ὅπλο, ἀκατανίκητος ἀσπίδα, ἀντίπαλος τοῦ διαβόλου. Ὅταν λοιπὸν μάχεσαι τὸ διάβολο, βαστάζεις τὸ σταυρό, φέροντας ὄχι ἁπλῶς τὴ σφραγῖδα αὐτοῦ, ἀλλὰ ὑποφέροντας τὶς συνέπειες τοῦ σταυροῦ. Γνωρίζεις ὅτι ὁ Χριστὸς ὀνομάζει τὰ παθήματα σταυρό, καθὼς ὅταν λέγη· «Ἐὰν κάποιος δὲν σηκώση τὸ σταυρό του καὶ μὲ ἀκολουθήση»[2], δηλαδή, ἐὰν κάποιος δὲν εἶναι ἕτοιμος γιὰ θάνατο. Αὐτοὶ ὅμως ἐπειδὴ εἶναι τιποτένιοι καὶ ἀγαποῦν τὴ ζωὴ καὶ τὸ σῶμα τους, εἶναι ἐχθροὶ τοῦ σταυροῦ. Καὶ κάθε ἄνθρωπος ποὺ θὰ ἀγαπᾶ τὶς ἀπολαύσεις καὶ τὴν ἀσφάλεια τῆς παρούσης ζωῆς, εἶναι ἐχθρὸς τοῦ σταυροῦ, γιὰ τὸν ὁποῖο ὁ Παῦλος καυχᾶται καὶ τὸν ὁποῖο ἐναγκαλίζεται καὶ μὲ τὸν ὁποῖο βιάζεται νὰ ἑνωθῆ, ὅπως ὅταν λέγη· «Ἐγὼ ἔχω νεκρωθῆ ὡς πρὸς τὸν κόσμο καὶ ὁ κόσμος ὡς πρὸς ἐμέ».

Καὶ τώρα λέγει, «Καὶ κλαίοντας σᾶς λέγω». Γιὰ ποιὸ λόγο; Γιατὶ τὸ κακὸ ἐπλεόνασε, γιατὶ αὐτοὶ ἦσαν ἄξιοι δακρύων. Εἶναι πραγματικὰ ἄξιοι δακρύων αὐτοὶ ποὺ ζοῦν μέσα σὲ ἀνέσεις καὶ ἀπολαύσεις, ἀφ' ἑνὸς μὲν ἐπειδὴ ἀλείφουν μὲ ἀρώματα τὰ ροῦχα τους, δηλαδὴ τὸ σῶμα τους, καὶ ἀφ' ἑτέρου ἐπειδὴ δὲν σκέπτονται καθόλου ὅτι θὰ ἀποδώσουν λογαριασμὸ στὴ μέλλουσα ζωή. Ἰδοὺ ζῆς μὲ ἀπολαύσεις, ἰδοὺ μεθᾶς, σήμερα καὶ αὔριο, καὶ δέκα καὶ εἴκοσι καὶ τριάντα καὶ πενήντα καὶ ἑκατὸ χρόνια, πρᾶγμα ποὺ εἶναι ἀδύνατο. Ἀλλά, ἐὰν θέλης, ἂς ἐρωτήσωμε· ποιό τὸ ἀποτέλεσμα; Ποιό τὸ κέρδος; Κανένα. Τὸ νὰ ζῆ λοιπὸν κάποιος μία τέτοια ζωὴ δὲν εἶναι ἄξιο δακρύων καὶ θρήνων; Μᾶς ἔφερε ὁ Θεὸς στὸ στάδιο αὐτό, γιὰ νὰ μᾶς στεφανώση, κι' ἐμεῖς ἀποχωροῦμε χωρὶς νὰ πράξωμε τίποτα τὸ σπουδαῖο. Κλαίει λοιπὸν ὁ Παῦλος γιὰ ἐκεῖνα, τὰ ὁποῖα ἄλλοι περι-

ἐφ' οἷς ἕτεροι γελῶσι καὶ σπαταλῶσιν· οὕτως ἐστὶ συμπαθητικός, οὕτω φροντίζει πάντων ἀνθρώπων.

«Ὧν ὁ Θεός», φησίν, «ἡ κοιλία». Διὰ τοῦτό ἐστι Θεὸς αὐτοῖς· τοῦτό ἐστι, «Φάγωμεν καὶ πίωμεν». Ὁρᾷς ὅσον ἡ τρυφὴ κακόν; τοῖς μὲν τὰ χρήματα, τοῖς δὲ ἡ κοιλία ὁ Θεός. Οὐχὶ εἰδωλολάτραι καὶ οὗτοι, καὶ ἐκείνων χείρους; «Καὶ ἡ δόξα», φησίν, «ἐν τῇ αἰσχύνῃ αὐτῶν». Τινὲς τὴν περιτομήν φασι δηλοῦν διὰ τούτου· ἐγὼ δὲ οὐ τοῦτό φημι, ἀλλὰ τοῦτό ἐστιν· Ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἐπὶ τούτοις σεμνύνονται. Τοῦτό ἐστιν ὃ φησιν ἀλλαχοῦ· «Τίνα οὖν μισθὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;»

Δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν, τὸ δὲ πράττοντα αἰσχύνεσθαι, ἐξ ἡμισείας ἐστὶ δεινόν· ὅταν μέντοι τις και ἐγκαλλωπίζηται, ὑπερβολὴ ἀναισθησίας. Ἆρα περὶ ἐκείνων μόνον ταῦτα εἴρηται, οἱ δὲ παρόντες ἡμῖν ἐνταῦθα ἐξέφυγον τὸ ἔγκλημα; καὶ οὐδείς ἐστιν ὑπεύθυνος τούτῳ; οὐδὲ Θεὸν ἔχει τὴν κοιλίαν; οὐδὲ τὴν δόξαν ἐν τῇ αἰσχύνῃ; Βούλομαι, καὶ σφόδρα βούλομαι μηδὲν τούτων εἶναι πρὸς ἡμᾶς, μηδὲ εἰδέναι τινὰ ἔνοχον τοῖς λεγομένοις· δέδοικα δὲ μὴ πρὸς ἡμᾶς μᾶλλον, ἢ τοὺς τότε λέγηται. Ὅταν γὰρ πάντα τὸν βίον ἐν πότοις καὶ κώμοις ἀναλίσκῃ τις, καὶ εἰς μὲν πένητας ὀλίγα τινὰ δαπανᾷ, τὸ δὲ πλέον ἀναλίσκῃ εἰς τὴν κοιλίαν, οὐκ εἰκότως καὶ περὶ αὐτοῦ λεχθήσεται;

2. Οὐδὲν ἐντρεπτικώτερον τῆς λέξεως, οὐδὲν πληκτικώτερον, «Ὧν ὁ Θεός», φησίν, «ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν». Τίνες οὗτοί εἰσιν; «Οἱ ἐπίγεια φρονοῦντες», οἱ λέγοντες· Οἰκοδομήσωμεν οἰκίας. Ποῦ; Ἐν τῇ γῇ, φησί· κτησώμεθα ἀγρούς, ἐν τῇ γῇ πάλιν· ἐπιτύχωμεν ἀρχῆς, πάλιν ἐν τῇ γῇ· τύχωμεν δόξης, πάλιν ἐν τῇ γῇ· πλουτήσωμεν, πάντα ἐν τῇ γῇ. Οὗτοί εἰσιν ὧν ὁ Θεὸς ἡ κοιλία, οἱ γὰρ μηδὲν πνευματικὸν φρονοῦντες, ἀλλ' ἐνταῦθα πάντα κεκτημένοι, καὶ ταῦτα φρονοῦντες, εἰκότως τὴν κοιλίαν θεὸν ἔχουσι, λέγοντες, «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν».

---

3. Α' Κορ. 15, 32
4. Ρωμ. 6, 21
5. Α' Κορ. 15, 32

γελοῦν καὶ σπαταλοῦν. Ἔτσι συμπάσχει, ἔτσι φροντίζει γιὰ ὅλους τοὺς ἀνθρώπους.

«Αὐτῶν ὁ Θεός», λέγει, «εἶναι ἡ κοιλία». Γι' αὐτὸ εἶναι Θεὸς σ' αὐτούς· τοῦτο σημαίνει, «Ἂς φάγωμε καὶ ἂς πιοῦμε»[3]. Βλέπεις πόσο κακὸ εἶναι οἱ ἀπολαύσεις; σὲ ἄλλους θεὸς εἶναι τὰ χρήματα καὶ σὲ ἄλλους ἡ κοιλιά. Δὲν εἶναι καὶ αὐτοὶ εἰδωλολάτραι, καὶ μάλιστα χειρότεροι ἀπὸ ἐκείνους;

«Καὶ δόξα τους θεωροῦν τὶς πράξεις ποὺ φέρουν ἐντροπή, λέγει». Μερικοὶ ἰσχυρίζονται ὅτι μὲ αὐτὰ τὰ λόγια δηλώνει τὴν περιτομή. Ἐγὼ ὅμως δὲν λέγω αὐτό, ἀλλὰ ὅτι σημαίνει τὸ ἑξῆς: Γιὰ ἐκεῖνα ποὺ ἔπρεπε νὰ αἰσθάνωνται ἐντροπή, γι' αὐτὰ ὑπερηφανεύονται. Αὐτὸ σημαίνει ἐκεῖνο ποὺ ἔλεγε ἀλλοῦ· «Ποιά λοιπὸν ὠφέλεια εἴχατε τότε ἀπὸ τὰ ἔργα σας, γιὰ τὰ ὁποῖα τώρα ἐντρέπεσθε;»[4].

Τὸ νὰ πράττη κανεὶς ἔργα αἰσχρὰ εἶναι φοβερό, τὸ νὰ ἐντρέπεται ὅμως, ὅταν τὰ πράττη, εἶναι φοβερὸ κατὰ τὸ ἥμισυ· ὅταν μάλιστα ὑπερηφανεύεται κανείς, τότε αὐτὸ εἶναι ὑπερβολικὴ ἀναισθησία. Μήπως μόνο γιὰ ἐκείνους ἔχουν λεχθῆ αὐτὰ καὶ οἱ παρευρισκόμενοι ἐδῶ ἀπαλλάσσονται ἀπὸ τὴν κατηγορία; καὶ δὲν εἶναι κανεὶς ὑπόλογος γι' αὐτό; οὔτε ἔχει τὴν κοιλία ὡς θεό; οὔτε τὴ δόξα ποὺ φέρει ἐντροπή; Ἐπιθυμῶ, καὶ ἐπιθυμῶ πάρα πολύ, νὰ μὴ ἀναφέρωνται τίποτε ἀπ' αὐτὰ σ' ἐμᾶς, οὔτε νὰ ξέρω ὅτι κάποιος εἶναι ἔνοχος σ' αὐτὰ ποὺ λέγονται. Φοβοῦμαι ὅμως μήπως γιὰ μᾶς λέγεται περισσότερο παρὰ γιὰ τοὺς τότε. Γιατὶ ὅταν κάποιος ξοδεύη ὅλη του τὴ ζωὴ στὰ φαγοπότια καὶ στὶς διασκεδάσεις καὶ στοὺς πτωχοὺς ξοδεύη ἐλάχιστα, τὰ περισσότερα ὅμως καταναλώνει στὴν κοιλιά του, δὲν θὰ λεχθῆ εὔλογα καὶ γι' αὐτόν;

2. Τίποτε δὲν προκαλεῖ πιὸ μεγάλη ἐντροπὴ καὶ προσβολὴ ἀπὸ τὰ λόγια αὐτά: «Τῶν ὁποίων ὁ Θεός», λέγει, «εἶναι ἡ κοιλιὰ καὶ θεωροῦν δόξα τους τὶς πράξεις ποὺ φέρουν ἐντροπή». Ποιοὶ εἶναι αὐτοί; «Αὐτοὶ ποὺ ἔχουν φρονήματα γήινα», αὐτοὶ ποὺ λέγουν: Ἂς κτίσωμε σπίτια. Ποῦ; Στὴ γῆ, λέγει κάποιος· ἂς ἀποκτήσωμε χωράφια, ἐπάνω στὴ γῆ πάλι· ἂς ἀναλάβωμε ἐξουσία, πάλη ἐπάνω στὴ γῆ· ἂς πλουτήσωμε, τὰ πάντα ἐπάνω στὴ γῆ. Αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ ἔχουν ὡς θεὸ τὴν κοιλιά τους. Γιατὶ αὐτοὶ ποὺ δὲν ἔχουν κανένα πνευματικὸ φρόνημα, ἀλλὰ ἔχοντας ἀποκτήσει ἐδῶ τὰ πάντα καὶ ἔχοντας αὐτὰ τὰ φρονήματα, εὔλογα ἔχουν τὴν κοιλιά τους ὡς θεό, λέγοντας· «Ἂς φᾶμε καὶ ἂς πιοῦμε, γιατὶ αὔριο πεθαίνουμε»[5].

Εἶτα σὺ μὲν περὶ τοῦ σώματος ἀλγεῖς, ὅτι γήϊνόν ἐστι, καίτοι τοῦτό σε οὐδὲν παραβλάπτει εἰς ἀρετῆς λόγον· τὴν δὲ ψυχὴν εἰς γῆν κατασπῶν τῇ τρυφῇ, καὶ μηδένα λόγον τούτου ποιῶν, γελᾷς, εἰπέ μοι, καὶ διακέχυσαι; καὶ ποίας τεύξῃ συγγνώμης διακείμενος ἀναλγήτως, δέον καὶ τὸ σῶμα ποιῆσαι πνευματικόν; ἔξεστι γάρ, ἂν θέλῃς. Κοιλίαν ἔλαβες, ἵνα κρατῇς αὐτῆς, οὐχ ἵνα δέσποιναν ἔχῃς· ἵνα σοι ὑπηρετῇ πρὸς τὴν τῶν λοιπῶν μορίων διατροφήν, οὐχ ἵνα σὺ αὐτῇ ὑπηρετῇς, οὐχ ἵνα τοὺς ὅρους ἐκβαίνῃς.

Οὐ τοσαῦτα κακὰ ἐργάζεται ἡ θάλασσα τοὺς ὅρους ὑπερβαίνουσα, ὅσα ἡ γαστὴρ τὸ σῶμα τὸ ἡμέτερον μετὰ τῆς ψυχῆς· πᾶσαν ἐπικλύζει τὴν οἰκουμένην ἐκείνη, καὶ αὕτη ἅπαν τὸ σῶμα. Θὲς αὐτῇ ὅρον τὴν αὐτάρκειαν, καθὼς Θεὸς ἔθετο τῇ θαλάσσῃ τὴν ἄμμον· κἂν κυμαίνῃ, κἂν ἀγριαίνῃ, ἐπιτίμα αὐτῇ τῇ δυμάμει τῇ οὔσῃ ἐν σοί. Ὅρα πῶς λόγῳ σε ἐτίμησεν ὁ Θεός, ἵνα αὐτὸν μιμῇ· σὺ δὲ οὐ θέλεις, ἀλλ' ὁρῶν αὐτὴν ὑπερβλύζουσαν, καὶ πᾶσαν διαφθείρουσαν τὴν φύσιν, καὶ λιμνάζουσαν, οὐ τολμᾷς κατασχεῖν οὐδὲ σωφρονίσαι. «Ὧν ὁ Θεός», φησίν, «ἡ κοιλία».

Ἴδωμεν πῶς Παῦλος ἐδούλευσε τῷ Θεῷ· ἴδωμεν πῶς καὶ οἱ γαστρίμαργοι τῇ κοιλίᾳ. Οὐχὶ μυρίους ὑπομένουσιν οὗτοι θανάτους; οὐχ, ἅπερ ἂν προστάττῃ, δεδοίκασι οὗτοι παρακοῦσαι; οὐχὶ τὰ ἀδύνατα διακονοῦνται αὐτῇ; Οὐχὶ ἀνδραπόδων χείρους εἰσίν; Ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος· διὸ καὶ ἔλεγεν, «Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανῷ ὑπάρχει». Μὴ τοίνυν μηδὲ ἡμεῖς ἐνταῦθα ζητῶμεν ἄνεσιν· ἐκεῖ θελήσωμεν γενέσθαι λαμπροί, ἔνθα καὶ πολιτευόμεθα.

«Ἐξ οὗ καὶ Σωτῆρα», φησίν, «ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ». Κατὰ μικρὸν ἀνήγαγες ἡμᾶς· ἀπ' οὐρανοῦ, φησίν, ὁ ἡμέτερος Σωτήρ· ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ προσώπου τὸ σεμνὸν δεικνύς, «Ὃς μετασχηματίσει τὸ σῶμα», φησί, «τῆς ταπεινώσεως ἡμῶν». Πολλὰ πάσχει νῦν τὸ ἡμέτερον σῶμα, δεσμεῖται, μαστίζεται, μυρία πάσχει δεινά· ἀλλὰ καὶ τὸ τοῦ Χριστοῦ τοσαῦτα ἔπαθε. Τοῦτο γοῦν ᾐνίξατο εἰπών, «Εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ

Ἔπειτα ἐσὺ γιὰ τὸ σῶμα στενοχωρεῖσαι, γιατὶ εἶναι γήινο, ἂν καὶ δὲν σὲ ἐμποδίζη καθόλου στὴ διάπραξι τῆς ἀρετῆς, τὴν ψυχὴ ὅμως, ἂν καὶ τὴν ὑποβιβάζης στὴν τάξι τῶν γηΐνων μὲ τὶς ἀπολαύσεις καὶ δὲν δίνης κανένα λόγο γι' αὐτό, ἐμπαίζεις, εἰπέ μου, καὶ καταστρέφεις; Καὶ ποιά συγγνώμη θὰ ἐπιτύχης ὅταν συμπεριφέρεσαι ἀναίσθητα, ἀφοῦ πρέπει καὶ τὸ σῶμα νὰ καταστήσης πνευματικό; γιατὶ εἶναι δυνατὸ νὰ γίνη αὐτό, ἐὰν θέλης. Ἔλαβες τὴν κοιλιά, γιὰ νὰ εἶσαι κυρίαρχος αὐτῆς, ὄχι γιὰ νὰ σὲ ἐξουσιάζη αὐτή· γιὰ νὰ σὲ ὑπηρετῆ στὴ διατροφὴ τῶν ὑπολοίπων μελῶν τοῦ σώματος, ὄχι γιὰ νὰ ὑπηρετῆς ἐσὺ αὐτήν, ὄχι γιὰ νὰ ὑπερβαίνης τὰ ὅρια.

Δὲν προκαλεῖ τόσα κακὰ ἡ θάλασσα, ὅταν ὑπερβαίνη τὰ ὅριά της, ὅσα ἡ κοιλιὰ ὅταν ὑπερβαίνη τὸ σῶμα μας μαζὶ μὲ τὴν ψυχή. Ἐκείνη κατακλύζει ὅλη τὴ γῆ καὶ αὐτὴ ὅλο τὸ σῶμα. Θέσε σ' αὐτὴν ὅριο τὴν αὐτάρκεια, ὅπως ὁ Θεὸς ἔθεσε στὴ θάλασσα τὴν ἄμμο. Καὶ ἂν ἡ κοιλιὰ φουσκώνη καὶ ἀγριεύη, νὰ τὴν ἐπιτιμᾶς μὲ ὅλη τὴ δύναμι ποὺ ἔχεις μέσα σου.

Πρόσεχε πῶς σὲ ἐτίμησε ὁ Θεὸς μὲ λόγο γιὰ νὰ τὸν μιμεῖσαι. Ἐσὺ θέλεις, ἀλλὰ ἂν καὶ βλέπεις νὰ πλημμυρίζη καὶ νὰ καταστρέφη τὸ καθετὶ καὶ νὰ λιμνάζη, δὲν τολμᾶς νὰ τὴ συγκρατήσης, οὔτε νὰ τὴ σωφρονίσης. «Τῶν ὁποίων ὁ Θεός», λέγει, «εἶναι ἡ κοιλία».

Ἂς ἰδοῦμε πῶς ὁ Παῦλος ὑπηρέτησε τὸν Θεὸ καὶ πῶς οἱ γαστρίμαργοι ὑπηρετοῦν τὴν κοιλιά. Δὲν ὑπομένουν αὐτοὶ πολλοὺς θανάτους; Δὲν φοβοῦνται νὰ παρακούσουν τὶς προσταγὲς ἐκείνης; δὲν τὴν περιποιοῦνται μὲ τὸ παραπάνω; Δὲν εἶναι χειρότεροι ἀπὸ τοὺς δούλους; Ὁ Παῦλος ὅμως δὲν εἶναι τέτοιος, γι' αὐτὸ καὶ ἔλεγε· «Ἡ ἰδική μας ὅμως πολιτεία εἶναι στοὺς οὐρανούς». Ἂς μὴ ἐπιδιώκωμε λοιπὸν οὔτε καὶ ἐμεῖς τὴν ἄνεσι στὴν παροῦσα ζωή. Ἂς θελήσωμε νὰ γίνωμε λαμπροὶ στοὺς οὐρανούς, ὅπου καὶ εἴμαστε πολῖται.

«Ἀπὸ τοὺς ὁποίους, λέγει, περιμένουμε μὲ πολὺ πόθο καὶ τὸν Σωτῆρα μας, τὸν Κύριο Ἰησοῦ, ὁ ὁποῖος θὰ μεταμορφώση τὸ ταπεινὸ αὐτὸ σῶμα, ὥστε νὰ γίνη ὅμοιο πρὸς τὸ δοξασμένο σῶμα του». Σιγὰ – σιγὰ μᾶς καθωδήγησε. Ἀπὸ τὸν οὐρανό, λέγει, ἔρχεται ὁ ἰδικός μας Σωτήρ. Ἀποδεικνύοντας τὴ σεμνότητα ἀπὸ τὸν τόπο, ἀπὸ τὸ πρόσωπο λέγει· «Ὁ ὁποῖος θὰ μεταμορφώση», τὸ σῶμα μας αὐτὸ τὸ ταπεινό». Τὸ σῶμα μας τώρα πάσχει πολλά, εἶναι δέσμιο, μαστίζεται, παθαίνει πολλὰ κακά, ἀλλὰ καὶ τὸ σῶμα τοῦ Χριστοῦ ἔπαθε τόσα πολλά. Τοῦτο βέβαια ὑπενόησε μὲ τὸ νὰ εἰπῆ, «Ὥστε

σώματι τῆς δόξης αὐτοῦ». Ἄρα τὸ αὐτὸ μέν ἐστιν, ἐνδύεται δὲ ἀφθαρσίαν. «Μετασχηματίσει», φησίν. Ἄρα καὶ τὸ σχῆμα ἕτερον, ἢ τὴν μεταβολὴν οὕτω καταχρηστικῶς ἐκάλεσε. «Σῶμα δὲ ταπεινώσεως ἡμῶν» εἶπεν, ὅτι τεταπείνωται νῦν, ὅτι τῇ φθορᾷ ἐστιν ὑπεύθυνον, τῇ ἀλγηδόνι, ὅτι δοκεῖ εὐτελὲς εἶναι, καὶ οὐδὲν τῶν λοιπῶν ἔχειν τι πλέον. «Εἰς τὸ γενέσθαι αὐτό», φησί, «σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ». Βαβαί! ἐκείνῳ, τῷ καθημένῳ ἐν δεξιᾷ τοῦ Πατρός, σύμμορφον τοῦτο τὸ σῶμα γίνεται· ἐκείνῳ, τῷ προσκυνουμένῳ ὑπὸ ἀγγέλων, ἐκείνῳ, ᾧ παρεστήκεσαν αἱ ἀσώματοι δυνάμεις, ἐκείνῳ τῷ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, ἐκείνῳ σύμμορφον γίνεται. Ἄρα ἂν ἡ οἰκουμένη πᾶσα λαβοῦσα δάκρυα, τοὺς ταύτης τῆς ἐλπίδος ἐκπεπτωκότας δακρύῃ, ἀξίως δακρύσει, ὅτι ἐπαγγελίας ἡμῖν κειμένης ἐκείνῳ γενέσθαι σύμμορφον, μετὰ τῶν δαιμόνων ἀπέρχεται; Οὐ μέλει μοι γεέννης λοιπόν· ὅσα ἂν εἴπῃς, οὐδὲν νομίζω πρὸς τὴν ἔκπτωσιν ταύτην. Τί λέγεις, ὦ Παῦλε; ἐκείνῳ σύμμορφον γίνεται; Ναί, φησίν.

Εἶτα, ἵνα μὴ ἀπιστήσῃς, καὶ λογισμὸν ἐπήγαγε· «Κατὰ τὴν ἐνέργειαν», φησί, «τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα». Δύναμιν ἔχει, φησίν, ὥστε τὰ πάντα ὑποτάξαι, ὥστε καὶ τὴν φθορὰν καὶ τὸν θάνατον· μᾶλλον δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως καὶ τοῦτο ποιεῖ. Ποῖον γὰρ δυνάμεώς ἐστι μείζονος, εἰπέ μοι, ἀγγέλους καὶ ἀρχαγγέλους καὶ Χερουβὶμ καὶ Σεραφὶμ ὑποτάξαι καὶ δαίμονας, ἢ σῶμα ποιῆσαι ἄφθαρτον καὶ ἀθάνατον; Πολλῷ δὴ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο. Ἔδειξε μείζονα ἔργα τῆς δυνάμεως αὐτοῦ, ἵνα καὶ τούτοις πιστεύσῃς. Ὥστε κἂν ὁρᾶτε τούτους χαίροντας, κἂν ὁρᾶτε δεδοξασμένους, στήκετε, μηδὲν παραβλάπτεσθε παρ' αὐτῶν, μηδὲν πτύρεσθε· ἱκαναὶ αὗται αἱ ἐλπίδες καὶ τὸν σφόδρα νωθρὸν καὶ ὑπνηλὸν ἀνορθῶσαι.

«Ὥστε ἀδελφοί μου», φησίν, «ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρά μου καὶ στέφανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί». Οὕτω, πῶς; Ὡς ἐστήκατε ἀκλινεῖς. Ὅρα πῶς μετὰ τὴν παραίνεσιν τὰ ἐγκώμια· «Χαρὰ καὶ στέφανός μου». Οὐχ ἁπλῶς χαρά, ἀλλὰ καὶ δόξα· οὐχ ἁπλῶς δόξα, ἀλλὰ καὶ στέφανος· ἧς δόξης οὐκ ἔστιν ἴσον, ὅταν Παύλου στέφανος ὦσιν. «Οὕτω στήκετε ἐν

νὰ γίνη αὐτὸ ὅμοιο πρὸς τὸ δοξασμένο σῶμα του». Ἄρα εἶναι τὸ ἴδιο, ἐνδύεται ὅμως τὴν ἀφθαρσία. «Θὰ μεταμορφώση», λέγει. Ἄρα καὶ ἡ μορφὴ εἶναι ἄλλη ἢ καταχρηστικὰ ὠνόμασε ἔτσι τὴ μεταβολή. «Σῶμα δὲ τῆς ταπεινότητός μας», εἶπε γιατὶ ἔχει ταπεινωθῆ τώρα, γιατὶ ὑπόκειται στὴ φθορὰ καὶ στὸν πόνο, γιατὶ ἐπιθυμεῖ νὰ εἶναι ἀσήμαντο καὶ νὰ μὴ ἔχη τίποτε περισσότερο ἀπὸ τὰ ὑπόλοιπα. «Ὥστε νὰ γίνη αὐτό», λέγει, «ὅμοιο πρὸς τὸ δοξασμένο σῶμα του». Τὸ σῶμα αὐτὸ γίνεται ὅμοιο πρὸς ἐκεῖνο, ποὺ κάθεται στὰ δεξιὰ τοῦ Πατέρα, πρὸς ἐκεῖνο ποὺ προσκυνοῦν οἱ ἄγγελοι, πρὸς ἐκεῖνο ποὺ παραστέκουν οἱ ἀσώματες δυνάμεις, πρὸς ἐκεῖνο ποὺ εἶναι ὑπεράνω ἀπὸ κάθε ἀρχὴ καὶ ἐξουσία καὶ δύναμι, πρὸς ἐκεῖνο γίνεται ὅμοιο. Ἄρα ἂν ἡ οἰκουμένη ὅλη μὲ δάκρυα στὰ μάτια κλαίη ἐκείνους ποὺ ἔχουν ἐκπέσει ἀπὸ τὴν ἐλπίδα αὐτήν, θὰ κλάψη ἄξια, γιατὶ ἐνῶ ὑπάρχη γιὰ μᾶς ἡ ἐπαγγελία αὐτὴ νὰ γίνη ὅμοιο πρὸς ἐκεῖνο, ἀπέρχεται μαζὶ μὲ τοὺς δαίμονας. Δὲν ἐνδιαφέρομαι γιὰ τὴ γέεννα τοῦ πυρὸς στὸ μέλλον· ὅσα ἂν εἰπῆς, δὲν νομίζω τίποτε γιὰ τὴν ἔκπτωσι αὐτήν. Τί λέγεις, Παῦλε, γίνεται ὅμοιο πρὸς ἐκεῖνο; Ναί, λέγει.

Στὴ συνέχεια γιὰ νὰ μὴ εἶσαι ἄπιστος, ἐπρόσθεσε καὶ τὰ ἑξῆς· «Σύμφωνα μὲ τὴν ἐνέργεια, λέγει, μὲ τὴν ὁποία ἠμπορεῖ καὶ νὰ ὑποτάξη τὰ πάντα στὸν ἑαυτό του». Ἔχει δύναμι, λέγει, ὥστε νὰ ὑποτάξη τὰ πάντα, συνεπῶς καὶ τὴ φθορὰ καὶ τὸ θάνατο, μᾶλλον ὅμως ἀπὸ τὴν ἴδια δύναμι κάνει καὶ αὐτό. Γιατί, εἰπέ μου, ποιὸ εἶναι ἔργο πιὸ μεγάλης δυνάμεως, τὸ νὰ ὑποτάξη τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους καὶ τὰ Σεραφεὶμ καὶ τὰ Χερουβεὶμ, ἢ νὰ καταστήση τὸ σῶμα μας ἄφθαρτο καὶ ἀθάνατο; Ὁπωσδήποτε τὸ δεύτερο, παρὰ τὸ πρῶτο. Ἔδειξε μεγαλύτερα ἔργα τῆς δυνάμεώς του, γιὰ νὰ πιστεύσης καὶ σ' αὐτά. Συνεπῶς εἴτε βλέπετε αὐτοὺς νὰ χαίρουν, εἴτε βλέπετε νὰ εἶναι δοξασμένοι, νὰ μένετε σταθεροί, νὰ μὴ βλάπτεσθε καθόλου ἀπ' αὐτούς, νὰ μὴ τρομάζετε καθόλου. Εἶναι οἱ ἐλπίδες αὐτὲς ἱκανὲς νὰ ἀναρθώσουν καὶ τὸν ὑπερβολικὰ νωθρὸ καὶ ἀδιάφορο.

«Ὥστε, ἀδελφοί μου», λέγει, «ἀγαπητοὶ καὶ πολυπόθητοι, ποὺ εἶσθε γιὰ ἐμὲ χαρὰ καὶ δόξα, ἔτσι νὰ στέκεσθε στὴν κατὰ Κύριο ζωή, ἀγαπητοί μου». Ἔτσι, πῶς; Ὅπως ἔχετε σταθῆ σταθεροί. Πρόσεξε πῶς μετὰ τὴ συμβουλὴ λέγει τοὺς ἐπαίνους· «Εἶσθε γιὰ ἐμὲ χαρὰ καὶ δόξα». Ὄχι μόνο χαρά, ἀλλὰ καὶ δόξα· ὄχι ἁπλῶς δόξα, ἀλλὰ καὶ στέφανος. Αὐτῆς τῆς δόξας δὲν ὑπάρχει ἰσάξιο, ὅταν εἶναι στέφα-

Κυρίῳ, ἀγαπητοί»· τουτέστιν, ἐν τῇ ἐλπίδι τοῦ Θεοῦ. «Εὐοδίαν παρακαλῶ καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ. Καὶ ἐρωτῶ καὶ σέ, σύζυγε γνήσιε, συναντιλαμβάνου αὐταῖς».

3. Τινὲς τὴν γυναῖκα αὐτοῦ παρακαλεῖν ἐνταῦθά φασιν, «Σύζυγε γνήσιε»· ἀλλ' οὐκ ἔστιν, ἀλλά τινα γυναῖκα, ἢ καὶ ἄνδρα μιᾶς αὐτῶν. «Συναντιλαμβάνου αὐταῖς», φησίν, «αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς». Ὁρᾷς ὅσην αὐτοῖς ἀρετὴν μαρτυρεῖ; Ὅπερ τοῖς ἀποστόλοις εἶπεν ὁ Χριστός, «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγεγραμμένα ἐν βίβλῳ ζωῆς», τοῦτο αὐτοῖς μαρτυρεῖ καὶ οὗτος λέγων, «Ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς».

Δοκοῦσι δέ μοι αὗται αἱ γυναῖκες τὸ κεφάλαιον εἶναι τῆς Ἐκκλησίας τῆς ἐκεῖ, καὶ παρατίθεται αὐτὰς ἀνδρὶ ἴσως θαυμαστῷ, ὃν καὶ σύζυγον καλεῖ· ᾧ ἴσως εἰώθει παρατίθεσθαι, ὡς συνεργῷ καὶ στρατιώτῃ καὶ κοινωνῷ καὶ ἀδελφῷ· ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ, λέγων· «Συνίστημι ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς Ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς». «Σύζυγε». Ἢ ἀδελφόν τινα αὐτῶν, ἢ καὶ ἄνδρα μιᾶς αὐτῶν οὕτω καλεῖ· ὡς ἂν εἰ ἔλεγε· Νῦν ἀδελφὸς γνήσιος, νῦν ἀνὴρ γνήσιος, ὅτι μέλος γέγονας. «Αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι». Τί λέγεις; γυναῖκες συνήθλησαν; Ναί, φησίν. Οὐ μικρὸν καὶ αὗται συνεβάλοντο μέρος· καίτοι δὲ πολλῶν ὄντων τῶν συνεργούντων αὐτῷ, ὅμως ἐν πολλοῖς καὶ αὗται συνέπραττον.

Οὐ μικρῶς οὖν τότε συνεκροτοῦντο αἱ Ἐκκλησίαι· τῷ γὰρ τοὺς εὐδοκίμους, εἴτε ἄνδρας, εἴτε γυναῖκας, τοσαύτης παρὰ τῶν λοιπῶν ἀπολαύειν τιμῆς, πολλὰ ἐγίνετο τὰ καλά. Πρῶτον μὲν γὰρ οἱ λοιποὶ πρὸς τὸν ἴσον ἤγοντο ζῆλον· δεύτερον δὲ καὶ ἐκέρδαινον διὰ τῆς τιμῆς· τρίτον καὶ αὐτοὺς ἐκείνους προθυμοτέρους ἐποίουν καὶ σφοδροτέρους. Διὰ τοῦτο πανταχοῦ ὁρᾷς

---

6. Λουκᾶ 10, 20
7. Ρωμ. 16, 1

νος τοῦ Παύλου. «Ἔτσι νὰ στέκεσθε στὴν κατὰ Κύριο ζωή», δηλαδή, μὲ τὴν ἐλπίδα στὸν Θεό. «Παρακαλῶ τὴν Εὐοδία, παρακαλῶ καὶ τὴν Συντύχη νὰ ἔχουν τὰ ἴδια φρονήματα ποὺ προέρχονται ἀπὸ τὴν ἕνωσή μας μὲ τὸν Κύριο. Καὶ παρακαλῶ καὶ σέ, σύζυγε γνήσιε, νὰ τὶς βοηθῆς».

3. Μερικοὶ ἰσχυρίζονται ὅτι ἐδῶ παρακαλεῖ τὴ γυναῖκα του, ὅταν λέγη «Σύζυγε γνήσιε». Ὅμως δὲν ἔχει, ἀλλὰ κάποια γυναῖκα παρακαλεῖ ἢ καὶ τὸν ἄνδρα μιᾶς ἀπ' αὐτές. «Νὰ βοηθῆς», λέγει, «αὐτὲς ποὺ ἠγωνίσθηκαν μαζί μου στὴν κήρυξι τοῦ εὐαγγελίου μαζὶ μὲ τὸν Κλήμεντα καὶ τοὺς ἄλλους συνεργάτας μου, τῶν ὁποίων τὰ ὀνόματα εἶναι γραμμένα στὸ βιβλίο τῆς ζωῆς». Βλέπεις πόση ἀρετὴ μαρτυρεῖ γι' αὐτούς; Ἐκεῖνο ποὺ εἶπε ὁ Χριστὸς στοὺς ἀποστόλους, «Νὰ μὴ χαίρεσθε, γιατὶ τὰ πονηρὰ πνεύματα ὑποτάσσονται σὲ σᾶς, ἀλλὰ γιατὶ τὰ ὀνόματά σας εἶναι γραμμένα στὸ βιβλίο τῆς ζωῆς»[6], τὸ ἴδιο βεβαιώνει γι' αὐτοὺς καὶ ὁ Παῦλος λέγοντας, «Τῶν ὁποίων τὰ ὀνόματα εἶναι γραμμένα στὸ βιβλίο τῆς ζωῆς».

Μοῦ φαίνονται οἱ γυναῖκες αὐτὲς ὅτι ἦσαν ἡ βάσις τῆς Ἐκκλησίας τῶν Φιλίππων καὶ τὶς ἀναφέρει μαζὶ μὲ ἄνδρα ἴσως θαυμαστό, τὸν ὁποῖο καὶ σύζυγο ἀποκαλεῖ. Αὐτὸν ἴσως ἐσυνήθιζε νὰ ἀναφέρη ὡς συνεργάτη καὶ στρατιώτη καὶ συμμέτοχο καὶ ἀδελφό, πρᾶγμα ποὺ κάνει καὶ στὴν πρὸς Ρωμαίους ἐπιστολή του, λέγοντας «Σᾶς συνιστῶ τὴν Φοίβη τὴν ἀδελφή μας, ἡ ὁποία εἶναι διακόνισσα τῆς Ἐκκλησίας τῶν Κεγχρεῶν»[7].

«Σύζυγε». Ἢ κάποιον ἀδελφὸ αὐτῶν ἀποκαλεῖ ἔτσι ἢ καὶ τὸν ἄνδρα μιᾶς ἀπ' αὐτές· ὡσὰν νὰ ἔλεγε: Τώρα εἶσαι ἀδελφὸς γνήσιος, τώρα εἶσαι ἄνδρας γνήσιος, γιατὶ ἔχεις γίνει μέλος τῆς ἐκκλησίας. «Οἱ ὁποῖες ἀγωνίσθηκαν μαζί μου γιὰ τὸ εὐαγγέλιο». Αὐτοπροαίρετα ἡ προστασία σου, ὄχι νὰ πηγάζη ἀπὸ φιλία, ἀλλὰ ἀπὸ τὰ κατορθώματά τους. «Ἀγωνίσθηκαν μαζί μου». Τί λέγεις; γυναῖκες ἀγωνίσθηκαν; Ναί, λέγει. Συνέβαλαν καὶ αὐτὲς κατὰ μεγάλο μέρος στὸ εὐαγγέλιο, ἂν καὶ ὑπῆρχαν πολλοὶ συνεργάτες του, ὅμως συνέπρατταν καὶ αὐτὲς σὲ πολλά.

Οἱ Ἐκκλησίες λοιπὸν ἠνώνοντο ἰσχυρὰ τότε, γιατὶ μὲ τὸ νὰ ἀπολαμβάνουν τόσο μεγάλη τιμὴ ἀπὸ τοὺς ἄλλους αὐτοὶ ποὺ εἶχαν καλὴ φήμη, εἴτε ἄνδρες εἶναι εἴτε γυναῖκες, ἐγίνοντο πολλὰ καλά. Γιατὶ πρῶτα οἱ ἄλλοι ἐσυμπεριφέροντο μὲ ἴση προθυμία, ὕστερα ὠφελοῦντο μὲ τὴν τιμὴ καὶ τέλος ἔκαναν περισσότερο προθύμους καὶ δραστηρίους ἐκείνους τοὺς ἴδιους. Γι' αὐτὸ βλέπεις παντοῦ νὰ

ἐπιμελούμενον τούτου τὸν Παῦλον, καὶ παρατιθέμενον τοὺς τοιούτους· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησίν, «Οἵτινές εἰσιν ἀπαρχὴ τῆς Ἀχαΐας». Τινὲς δέ φασιν ὄνομα ἐκεῖνο κύριον εἶναι τὸ «Σύζυγε»· πλὴν εἴτε τοῦτο, εἴτε ἐκεῖνο, οὐ σφόδρα ἀκριβολογεῖσθαι δεῖ, ἀλλ' ὅτι πολλῆς κελεύει αὐτὰς προστασίας ἀπολαῦσαι, θαυμάζειν.

4. Πάντα ἡμῖν ἐν οὐρανοῖς ἐστι, καὶ Σωτὴρ, καὶ πόλις, καὶ ὅ τι ἂν εἴποι τις· «Ἐξ οὗ», φησί, «καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν». Καὶ τοῦτο τῆς φιλανθρωπίας αὐτοῦ. Αὐτὸς πάλιν ἔρχεται πρὸς ἡμᾶς, οὐχ ἡμᾶς ἕλκει ἐκεῖ, καὶ οὕτω λαβὼν ἡμᾶς ἄπεισι· καὶ τοῦτο πολλῆς τῆς τιμῆς. Εἰ γὰρ πρὸς ἐχθροὺς ὄντας ἦλθε, πολλῷ μᾶλλον πρὸς φίλους γενομένους. Οὐκ ἐπιτρέπει τοῦτο ἀγγέλοις, οὐδὲ δούλοις, ἀλλ' αὐτὸς ἐπὶ τῶν νεφελῶν ἔρχεται καλέσων ἡμᾶς εἰς τὰ βασίλεια αὐτοῦ. Τάχα δὲ καὶ οἱ αὐτοῦ, τιμώμενοι ὑπ' αὐτοῦ, ἀρθήσονται διὰ νεφελῶν. Καὶ ἡμεῖς γάρ, φησίν, ἐν νεφέλαις ἁρπαγησόμεθα οἱ τιμῶντες αὐτόν, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Τίς ἄρα εὑρεθῇ ὁ πιστὸς δοῦλος καὶ φρόνιμος; τίνες ἄρα οἱ καταξιούμενοι τῶν τοσούτων ἀγαθῶν; πῶς ἐλεεινοὶ οἱ ἀποπίπτοντες; Εἰ γὰρ τὸν πάντα χρόνον ἐκλαίομεν τῆς βασιλείας ἀποτυχόντες, ἆρά τι ἄξιον ἐποιοῦμεν; Εἰ γὰρ μυρίας γεέννας εἴπῃς, οὐδὲν ἴσον ἐρεῖς τῆς ὀδύνης ἐκείνης, ἣν ὑφίσταται τότε ἡ ψυχή, τῆς οἰκουμένης κλονουμένης ἁπάσης, τῶν σαλπίγγων ἠχουσῶν, τῶν ἀγγέλων προτρεχόντων, τῶν πρώτων, εἶτα δευτέρων, εἶτα τρίτων, εἶτα μυρίων ταγμάτων ἐκχεομένων εἰς τὴν γῆν, εἶτα τῶν Χερουβὶμ (πολλὰ δὲ ταῦτά ἐστι καὶ ἄπειρα)· εἶτα τῶν Σεραφείμ, αὐτοῦ ἐρχομένου ἐπὶ τῆς δόξης ἐκείνης τῆς ἀφράστου, ἀπαντώντων, τῶν ἀφικομένων τοὺς ἐκλεκτοὺς ἄγειν εἰς μέσον· εἶτα τῶν περὶ Παῦλον, καὶ πάντων ὅσοι εὐδοκίμησαν κατ' αὐτόν, στεφανουμένων, ἀνακηρυττομένων, τιμωμένων παρὰ τοῦ Βασιλέως ἐπὶ πάσης τῆς στρατιᾶς τῆς οὐρανίου. Εἰ γὰρ μὴ γέεννα ἦν, τὸ τοὺς μὲν τιμᾶσθαι, ἐκείνους δὲ ἀτιμάζεσθαι, πόσον ἐστίν;

Ἀφόρητος ἡ γέεννα, ὁμολογῶ, καὶ σφόδρα ἀφόρητος· πλὴν

8. Α΄ Κορ. 16, 15. Πρόκειται γιὰ τὴν οἰκογένεια τοῦ Στεφανᾶ ποὺ πρώτη στὴν Ἀχαΐα ἐπίστευσε στὸν Χριστό.
9. Α΄ Θεσ. 4, 17
10. Στὰ ἔργα τοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου ὁ ἀγγελικὸς κόσμος

φροντίζη τοῦτο ὁ Παῦλος καὶ νὰ ἀναφέρη αὐτούς, πρᾶγμα ποὺ στὴν πρὸς Κορινθίους ἐπιστολή του λέγει, «Οἱ ὁποῖοι εἶναι ἡ ἀπαρχὴ τῆς Ἀχαΐας»[8]. Μερικοὶ ὅμως ἰσχυρίζονται ὅτι τὸ «Σύζυγε» εἶναι κύριο ὄνομα. Ἀλλ' ὅμως εἴτε αὐτὸ συμβαίνει, εἴτε ἐκεῖνο, δὲν πρέπει νὰ τὸ ἐξετάζωμε μὲ πολλὴ λεπτομέρεια, ἀλλὰ νὰ θαυμάζωμε ἐπειδὴ προτρέπει νὰ ἀπολαύσουν αὐτὲς μεγάλη προστασία.

4. Τα ἰδικά μας εὑρίσκονται ὅλα στοὺς οὐρανούς, καὶ ὁ Σωτήρας καὶ ἡ πόλις καὶ ὁ,τιδήποτε θὰ μποροῦσε νὰ εἰπῆ κανείς. «Ἀπὸ τοὺς ὁποίους», λέγει, «περιμένομε μὲ πολὺ πόθο καὶ τὸ Σωτῆρα μας, τὸν Κύριο Ἰησοῦ Χριστό». Καὶ αὐτὸ εἶναι ἔργο τῆς φιλανθρωπίας του. Αὐτὸς πάλι ἔρχεται πρὸς ἐμᾶς, δὲν μᾶς φέρει ἐκεῖ, καὶ ἔτσι λαμβάνοντας ἐμᾶς ἐπιστρέφει· καὶ αὐτὸ εἶναι ἄξιο μεγάλης τιμῆς. Γιατὶ ἐὰν ἦλθε πρὸς ἐμᾶς ὅταν ἤμασθε ἐχθροί του, πολὺ περισσότερο θὰ ἔλθη ἀφοῦ ἐγίναμε φίλοι του. Δὲν ἀναθέτει τὸ ἔργο αὐτὸ στοὺς ἀγγέλους, οὔτε στοὺς ὑπηρέτας του, ἀλλὰ ὁ ἴδιος ἔρχεται ἐπάνω σὲ σύννεφα γιὰ νὰ μᾶς καλέση στὰ βασιλικά του ἀνάκτορα. Ἴσως ὅμως καὶ οἱ ἰδικοί του, τιμώμενοι ἀπ' αὐτόν, θὰ σηκωθοῦν στοὺς οὐρανοὺς μὲ σύννεφα. Γιατὶ καὶ ἐμεῖς ποὺ πιστεύουμε σ' αὐτόν, λέγει ὁ Παῦλος, θὰ ἁρπαχθοῦμε μὲ σύννεφα καὶ ἔτσι θὰ εἴμασθε πάντοτε μὲ τὸν Κύριο[9].

Ποιός λοιπὸν θὰ εἶναι ὁ πιστὸς καὶ φρόνιμος δοῦλος; Ποιοί λοιπὸν θὰ ἀξιωθοῦν τόσα πολλὰ ἀγαθά; πῶς γινόμασθε ἐλεεινοὶ ἐμεῖς ποὺ ἐκπίπτομε ἀπὸ τὴν τιμητική μας θέση; Ἐὰν λοιπὸν ὅλη μας τὴ ζωὴ ἐθρηνούσαμε, ἐπειδὴ δὲν ἐπετύχαμε τὴ βασιλεία, ἐκάναμε μήπως κάτι τὸ ἄξιο; Καὶ ἂν ἀκόμη ἀναφέρης πολλὲς κολάσεις, δὲν θὰ εἰπῆς τίποτε ἰσάξιο μὲ τὴν ὀδύνη ἐκείνη, τὴν ὁποία ὑφίσταται τότε ἡ ψυχή, ὅταν ἡ οἰκουμένη ὅλη συνταράσσεται, οἱ σάλπιγγες ἠχοῦν, οἱ ἄγγελοι προπορεύονται, οἱ πρῶτοι, ἔπειτα οἱ δεύτεροι, ἔπειτα ἐκπέμπονται στὴ γῆ μύρια τάγματα ἀγγέλων, ἔπειτα τὰ Χερουβεὶμ (πολλὰ εἶναι καὶ αὐτὰ καὶ ἄπειρα)[10]. Ἔπειτα καθὼς ὁ Κύριος ἔρχεται ἐπάνω στὴν ἀνέκφραστο ἐκείνη δόξα, ὅταν τὸν συναντοῦν τὰ Σεραφεὶμ ποὺ ἦλθαν νὰ ὁδηγήσουν ἐνώπιόν του τοὺς ἐκλεκτούς. Ἔπειτα ὅταν οἱ συνεργάται τοῦ Παύλου καὶ ὅλοι ὅσοι εἰργάσθησαν ἐπιτυχῶς πλησίων του, στεφανώνονται, βραβεύονται, τιμῶνται ἀπὸ τὸν Βασιλέα τῶν πάντων ἐνώπιον τῆς στρατιᾶς τῶν ἀγγέλων. Γιατὶ ἐὰν δὲν ὑπῆρχε ἡ κόλασις, τὸ νὰ τιμῶνται μερικοὶ καὶ νὰ τιμωροῦνται ἄλλοι, τί θὰ ἄξιζε;

Παραδέχομαι ὅτι ἡ κόλασις εἶναι ἀνυπόφορος καὶ μάλιστα

ἀφορητοτέρα αὐτῆς, τῆς βασιλείας ἡ ἔκπτωσις. Εἰπὲ γάρ μοι· εἴ τις βασιλεύς, ἢ υἱὸς βασιλέως ἀπελθών, καὶ πολέμους κατορθώσας μυρίους, καὶ θαυμασθείς, καὶ ἔχων στρατόπεδον ὁλόκληρον, ἐπιβαίνοι πόλεώς τινος μετὰ τοῦ ζεύγους, μετὰ τροπαίων, μετὰ μυρίων ταγμάτων πάντων χρυσοφορούντων, μετὰ τῶν δυροφόρων τῶν περὶ αὐτὸν ἁπάντων ἀσπίδας ἐχόντων χρυσᾶς, καὶ πᾶσα ἡ πόλις ἐστεφανωμένη εἴη, καὶ πάντες οἱ τῆς οἰκουμένης ἄρχοντες μετ' αὐτοῦ, ἕποιτο δὲ αὐτῷ καὶ πᾶσα ἡλικία, ὀπίσω ἀλλογενῶν ἐθνῶν, δεσμωτῶν, ὑπάρχων, σατραπῶν, ὑπάτων, τυράννων, ἀρχόντων· εἶτα ἐπὶ ἁπάσης τῆς λαμπρότητος ἐκείνης, τοὺς ἀπαντῶντας τῶν πολιτῶν δέχοιτο καὶ καταφιλοίη, καὶ χεῖρα ὀρέγοι, καὶ πάσης μεταδιδοῖ παρρησίας, ἢ καὶ πάντων ἑστώτων διαλέγοιτο, ὡς πρὸς φίλους, καὶ λέγοι πᾶσαν τὴν ὁδὸν ἐκείνην δι' αὐτοὺς πεποιῆσθαι, καὶ τοὺς μὲν εἰς τὰ βασίλεια ἄγοι τὰ ἑαυτοῦ, τοὺς δὲ καταλιμπάνοι, πόσης κολάσεως τοῦτο οὐκ ἄξιον, εἰ καὶ μὴ κολάζονται;

Εἰ δὲ ἐπ' ἀνθρώπου οὕτω πικρὸν τὸ τῆς δόξης ταύτης ἀποπεσεῖν, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ, ὅταν αἱ ἄνω δυνάμεις πᾶσαι παρῶσι μετὰ τοῦ Βασιλέως, ὅταν οἱ δαίμονες δεδεμένοι καὶ κάτω νεύοντες, καὶ ὁ διάβολος αὐτὸς δέσμιος ἄγηται, καὶ πᾶσα ἰσχὺς ἡ ἀντικειμένη, ὅταν αἱ δυνάμεις τῶν οὐρανῶν, ὅταν αὐτὸς ἔρχηται ἐπὶ τῶν νεφελῶν. Πιστεύσατέ μοι, ὑπὸ τῆς ὀδύνης τῆς κατεχούσης μου τὴν ψυχὴν τῷ διηγήματι τούτῳ οὐδὲ ἐξανύσαι τὸν λόγον δύναμαι.

Ἐννοήσωμεν πόσης ἀποστερούμεθα δόξης, ἐξὸν μὴ ἀποστερηθῆναι. Τὸ γὰρ δεινὸν τοῦτό ἐστιν, ὅτι κύριοι ὄντες τοῦ μὴ ταῦτα παθεῖν, πάσχομεν. Ὅταν γὰρ τοὺς μὲν δέχηται καὶ ἀπάγῃ πρὸς τὸν Πατέρα εἰς τοὺς οὐρανούς, τοὺς δὲ ἀφιῇ, καὶ λαβόντες ἄγγελοί τινες ἕλκωσιν ἄκοντας καὶ δεδακρυμένους καὶ κάτω νεύοντας ἐπὶ τὸ τῆς γεέννης πῦρ, πρῶτον παραδειγματισθέντας ἐπὶ τῆς οἰκουμένης ἁπάσης, πόσην οἴει τὴν ὀδύνην εἶναι;

Σπεύδωμεν οὖν ἕως ἐστὶ καιρός, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας τὴν φροντίδα ποιώμεθα. Πόσα τοιαῦτα ἔχομεν εἰπεῖν οἷα ὁ πλούσιος· Εἴ τις ἡμᾶς νῦν συνεχώρει, ἐβουλευσάμεθα ἄν τι τῶν συμφερόντων· ἀλλ' οὐδεὶς ἀφίησι! Καὶ ὅτι ἐροῦμεν, οὐχὶ ἀπ'

κατανέμεται σὲ διάφορες τάξεις κατὰ τὸ ἑξῆς σχῆμα: Σεραφείμ, χερουβείμ, θρόνοι,

πολὺ ἀνυπόφορος. Ἡ ἔκπτωσις ὅμως ἀπὸ τὴ Βασιλεία τῶν Οὐρανῶν εἶναι πιὸ ἀνυπόφορος. Γιατὶ εἰπέ μου, ἂν κάποιος βασιλεὺς ἢ υἱὸς βασιλέως ἐπιστρέφοντας ἀπὸ πολλοὺς πολέμους νικητὴς καὶ μὲ τιμὲς καὶ ἔχοντας ὁλόκληρο στράτευμα εἰσήρχετο σὲ κάποια πόλι μὲ τὴν ἅμαξα, μὲ τὰ τρόπαια, μὲ πολλούς στρατιώτας ποὺ φοροῦν ὅλοι χρυσᾶ ροῦχα, μὲ τοὺς ἀκολούθους του ποὺ ὅλοι κρατοῦν χρυσὲς ἀσπίδες καὶ ὅλη ἡ πόλις εἶναι στολισμένη καὶ ὅλοι οἱ ἄρχοντες εἶναι μαζί του καὶ ἀκολουθοῦν αὐτὸν ὅλοι οἱ ἄνθρωποι, πίσω οἱ δέσμιοι ἀλλοεθνεῖς, ὕπαρχοι, σατράπαι, ὕπατοι, τύρανοι, ἄρχοντες, καὶ ἂν στὴ συνέχεια μέσα σὲ ὅλη ἐκείνη τὴ λαμπρότητα τοὺς πολίτας ποὺ ἐσυναντοῦσε ἐδέχετο καὶ ἐχαιρετοῦσε καὶ ἔδωνε τὸ χέρι του καὶ μετέφερε σ' αὐτοὺς κάθε παρρησία ἢ καὶ ἐσυζητοῦσε μ' ὅλους, ὡς νὰ ἦσαν φίλοι του, καὶ ἔλεγε ὅτι ἔχει κάνει τὴν πορεία ἐκείνη γιὰ χάρι τους, καὶ ἄλλους ἔφερε στὰ ἰδικά του ἀνάκτορα, τοὺς ὑπολοίπους ὅμως ἐγκατέλειπε, μὲ ποιὰ τιμωρία θὰ ἰσοδυναμοῦσε αὐτό, ἂν καὶ δὲν τιμωροῦνται;

Ἐὰν εἶναι τόσο πικρὸ τὸ νὰ ἐκπέση κανεὶς ἀπὸ τὴ δόξα αὐτὴ ἐνώπιον ἀνθρώπου, πολὺ περισσότερο τοῦτο συμβαίνει ἐνώπιον τοῦ Θεοῦ, ὅταν ὅλες οἱ οὐράνιες δυνάμεις παρευρίσκωνται μαζὶ μὲ τὸν Βασιλέα, ὅταν οἱ δαίμονες εἶναι δέσμιοι καὶ σκύβουν πρὸς τὰ κάτω καὶ ὁ ἴδιος ὁ διάβολος ὁδηγῆται δέσμιος καθὼς καὶ κάθε ἀντίπαλος δύναμις, ὅταν παρευρίσκωνται οἱ δυνάμεις τῶν οὐρανῶν, ὅταν αὐτὸς ἔρχεται ἐπάνω στὰ σύννεφα. Πιστεύσατέ μου, ἐξ αἰτίας τῆς ὀδύνης ποὺ κατέχει τὴν ψυχή μου ἀπὸ τὴν ὑπόθεση αὐτή, οὔτε τὴν ὁμιλία ἠμπορῶ νὰ τελειώσω.

Ἂς κατανοήσωμε πόση δόξα στερούμασθε, ἐνῶ εἶναι δυνατὸ νὰ μὴ στερηθοῦμε. Γιατὶ τὸ φοβερὸ εἶναι αὐτό, ὅτι δηλαδὴ ἐνῶ ἠμποροῦμε νὰ μὴ πάθωμε αὐτά, τὰ παθαίνομε. Ὅταν λοιπὸν ἄλλους θὰ δέχεται καὶ θὰ ὁδηγεῖ πρὸς τὸν Πατέρα στοὺς Οὐρανούς, ἄλλους ὅμως θὰ ἀφήνει καὶ ἀφοῦ τοὺς παραλάβουν μερικοὶ ἄγγελοι τοὺς σύρουν χωρὶς τὴ θέλησί τους καὶ μὲ δάκρυα στὰ μάτια καὶ μὲ τὸ κεφάλι πρὸς τὰ κάτω στὴ γέεννα τοῦ πυρός, ἀφοῦ προηγουμένως τοὺς διαπομπεύση ἐνώπιον ὅλης τῆς οἰκουμένης, πόση νομίζεις ὅτι εἶναι ἡ ὀδύνη;

Ἂς βιαζώμεθα λοιπὸν ἕως ὅτου εἶναι καιρὸς καὶ ἂς φροντίζωμε πολὺ γιὰ τὴ σωτηρία μας. Πόσα μποροῦμε νὰ εἰποῦμε ὅπως ὁ πλούσιος τῆς παραβολῆς· Ἐὰν μᾶς ἐβοηθοῦσε κάποιος τώρα, θὰ ἐσκεπτόμασθε αὐτὰ ποὺ μᾶς συμφέρουν. Ἀλλὰ κανένας δὲν ἀφή-

ἐκείνου μόνου δῆλον, ἀλλὰ καὶ ἀπὸ ἄλλων πολλῶν. Καὶ ἵνα μάθῃς, πόσοι ἐν πυρετῷ ἐγένοντο, καὶ εἶπον, ἐὰν ἀνακτησώμεθα ἑαυτούς, οὐκέτι τοῖς αὐτοῖς περιπεσούμεθα! Πολλὰ τοιαῦτα ἐροῦμεν τότε, ἀλλὰ ἀκουσόμεθα ἅπερ ὁ πλούσιος, ὅτι χάσμα ἐστίν, ὅτι ἀπελάβομεν τὰ ἀγαθὰ ἐνταῦθα.

Στένωμεν οὖν, παρακαλῶ, πικρόν· μᾶλλον δὲ μὴ μόνον στένωμεν, ἀλλὰ καὶ μετέλθωμεν τὴν ἀρετήν. Πενθήσωμεν νῦν ἐπὶ σωτηρίᾳ, ἵνα μὴ τότε πενθήσωμεν εἰκῇ· κλαύσωμεν νῦν, καὶ μὴ τότε κλαύσομεν ἐπὶ κακίᾳ· οὗτος ὁ κλαυθμός ἀρετῆς, ἐκεῖνος ἀνωφελοῦς μετανοίας· θλίψωμεν ἑαυτοὺς νῦν, ἵνα μὴ τότε θλιβῶμεν. Οὐκ ἔστιν ἴσον ἐνταῦθα θλιβῆναι, κἀκεῖ. Ἐνταῦθα μὲν γὰρ πρὸς βραχὺν θλίβῃ χρόνον, μᾶλλον δὲ οὐδὲ αἴσθησιν λαμβάνεις τῆς θλίψεως, εἰδὼς ὅτι ἐπ' ἀγαθῷ θλίβῃ· ἐκεῖ δὲ χαλεπωτέρα ἡ θλῖψις, ὅτι οὐκ ἐπ' ἐλπίδι, οὐδὲ ἐπί τινι διεξόδῳ, ἀλλὰ ἀπείρως καὶ διαπαντός ἐστι.

Γένοιτο δὲ πάντας ἡμᾶς ἀπαλλαγέντας τυχεῖν τῆς ἀνέσεως. Ἀλλ' ἐπεὶ πρὸς τὸ μὴ ταύτης διαμαρτεῖν χρεία συντόνου σπουδῆς καὶ ἀδιαλείπτων εὐχῶν, σπουδάζωμεν, παρακαλῶ· ἂν γὰρ σπουδάζωμεν, καὶ εὐχόμενοι ἀνύομεν· ἐὰν εὐχώμεθα ἐκτενῶς, δίδωσιν ὁ Θεός. Ἂν δὲ μήτε αἰτῶμεν αὐτόν, μήτε ἐνεργῶμέν τι τοιοῦτον, μηδὲ ἐργαζώμεθα, πῶς ἔνι κατορθῶσαί ποτε καθεύοντας; Οὐδαμῶς. Ἀγαπητὸν γὰρ τρέχοντας καὶ ἐπεκτεινομένους καὶ συμμορφουμένους τῷ θανάτῳ αὐτοῦ, ὡς Παῦλος εἶπε, δυνηθῆναι ἐπιτυχεῖν, μήτι γε δὴ καθεύδοντας. «Εἴ πως καταντήσω», φησίν. Εἰ δὲ Παῦλος ἔλεγεν, «Εἴ πως καταντήσω», τί ἡμεῖς ἐροῦμεν; Καθεύδοντας γὰρ οὐδὲ κοσμικὰ πράγματα ἔστιν ἀνύσαι ποτέ, μήτι γε πνευματικά· καθεύδοντας οὐδὲ παρὰ τῶν φίλων ἔστι τι λαβεῖν ποτε, μήτι γε παρὰ Θεοῦ· καθεύδοντας οὐδὲ πατέρες τιμῶσι, μήτι γε ὁ Θεός.

Μικρὸν πονήσωμεν, ἵνα διαπαντὸς ἀναπαυσώμεθα. Πάντως θλιβῆναι δεῖ· κἂν μή θλιβῶμεν ἐνταῦθα, ἐκεῖ τοῦτο μένει. Διὰ τί μὴ αἱρούμεθα ἐνταῦθα θλιβῆναι, ἵνα ἐκεῖ ἀναπαυσώμεθα; Γέ-

---

κυριότητες, δυνάμεις, ἐξουσίες,
ἀρχές, ἀρχάγγελοι, ἄγγελοι.

11. Βλ. Λουκᾶ 16, 19–31 ὅπου ἡ παραβολὴ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.
12. Φιλ. 3, 13

νει. Καὶ ὅτι θὰ εἰποῦμε, ὄχι μόνο ἀπὸ ἐκεῖνο εἶναι φανερό, ἀλλὰ καὶ ἀπὸ πολλὰ ἄλλα. Καὶ γιὰ νὰ μάθης, πόσοι ἔχουν ἀρρωστήσει καὶ εἶπαν, «Ἐὰν γίνωμε καλά, δὲν θὰ πέσωμε πιὰ στὰ ἴδια»! Πολλὰ παρόμοια θὰ εἰποῦμε τότε, ἀλλὰ θὰ ἀκούσωμε ἐκεῖνα ποὺ ἤκουσε ὁ πλούσιος, ὅτι ὑπάρχει βάραθρο, ὅτι ἐλάβαμε μὲ τὸ παραπάνω τὰ ἀγαθὰ στὴν παροῦσα ζωὴ[11].

Ἂς κλαίωμε λοιπόν, παρακαλῶ, πικρά, καλύτερα ὅμως ἂς μὴ κλαίωμε μόνο, ἀλλὰ καὶ ἂς ἐπιδιώξωμε τὴν ἀρετή. Ἂς πενθήσωμε τώρα ἀποβλέποντας στή σωτηρία μας, γιὰ νὰ μὴ πενθήσωμε τότε μάταια. Ἂς κλαύσωμε τώρα καὶ νὰ μὴ κλαύσωμε τότε γιὰ τὴν κακία μας· αὐτὸς εἶναι κλαυθμὸς ἀρετῆς, ἐκεῖνος μετανοίας χωρὶς ἀποτέλεσμα. Ἂς στεναχωρηθοῦμε τώρα, γιὰ νὰ μὴ στεναχωρηθοῦμε τότε. Δὲν εἶναι ἴση ἡ ἐδῶ θλῖψις καὶ ἡ ἐκεῖ. Γιατὶ ἐδῶ θλίβεσαι γιὰ σύντομο χρόνο, καλύτερα ὅμως οὔτε ἀντιλαμβάνεσαι τὴ θλῖψι, ἐπειδή γνωρίζεις ὅτι θλίβεσαι πρὸς ὄφελος σου. Ἐκεῖ ὅμως ἡ θλῖψις εἶναι περισσότερο δυσάρεστος, γιατὶ δὲν φέρει τὴν ἐλπίδα, οὔτε κάποια λύτρωσι, ἀλλὰ εἶναι ἄπειρος καὶ παντοτινή.

Εἴθε ὅλοι ἐμεῖς, ἀφοῦ ἀπαλλαγοῦμε, νὰ ἐπιτύχωμε ἐκεῖ τὴν ἄνεσι. Ἐπειδὴ ὅμως χρειάζεται ἐντατική προσπάθεια καὶ συνεχεῖς προσευχές, γιὰ νὰ μὴ ἀποτύχωμε σ' αὐτό, ἂς προσπαθοῦμε πολύ, παρακαλῶ. Γιατὶ ἂν προσπαθοῦμε καὶ προσευχόμασθε, ὠφελούμασθε· ἂν προσευχώμασθε ἐπίμονα, παρέχει ὁ Θεός. Ἂν ὅμως οὔτε ζητοῦμε ἀπ' αὐτόν, οὔτε κάνωμε κάτι τέτοιο, οὔτε ἐργαζώμασθε, πῶς εἶναι δυνατὸ νὰ κατορθώσωμε ποτέ, ὅταν ἀδρανοῦμε; Μὲ κανένα τρόπο. Γιατὶ εἶναι ἐπιθυμητὸ ὅταν προσπαθοῦμε καὶ φροντίζωμε καὶ ἔχωμε θάνατο ὅμοιο μὲ αὐτόν, ὅπως εἶπε ὁ Παῦλος, νὰ μπορέσωμε νὰ τὸ κατορθώσωμε, χωρὶς βέβαια νὰ ἀδρανοῦμε καθόλου. «Μήπως μπορέσω καὶ ἐπιτύχω»[12], λέγει. Ἐὰν ὅμως ὁ Παῦλος ἔλεγε, «Μήπως μπορέσω καὶ ἐπιτύχω», τί θὰ εἰποῦμε ἐμεῖς; Γιατὶ ὅταν ἀδρανοῦμε, οὔτε κοσμικὰ πράγματα εἶναι δυνατὸν νὰ ἐκτελέσουμε ποτέ, οὔτε βέβαια πνευματικά. Ὅταν εἴμαστε ἀδρανεῖς οὔτε ἀπὸ τοὺς φίλους μας εἶναι δυνατὸ νὰ λάβωμε ποτὲ κάτι, οὔτε ἀσφαλῶς ἀπὸ τὸν Θεό. Ὅταν ἀδρανοῦμε οὔτε οἱ πατέρες μᾶς τιμοῦν, οὔτε βέβαια ὁ Θεός.

Ἂς κοπιάσωμε λίγο, ὥστε νὰ ἀναπαυθοῦμε γιὰ πάντα. Ὁπωσδήποτε πρέπει νὰ στενοχωρηθοῦμε· καὶ ἂν δὲν στεναχωρηθοῦμε στὴν παροῦσα ζωή, ἀπομένει αὐτό στὴν ἄλλη. Γιατί δὲν προτιμῶμε νὰ στεναχωρηθοῦμε ἐδῶ, ὥστε νὰ ἀναπαυθοῦμε ἐκεῖ; Μακάρι δὲ

νοιτο δὲ πάντας ἡμᾶς ἀξίως πολιτευσαμένους Χριστοῦ, καὶ τῷ θανάτῳ αὐτοῦ συμμορφωθέντας, τῶν ἀπορρήτων τυχεῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅλοι ἐμεῖς, ἀφοῦ ζήσωμε ἀντάξια τῆς διδασκαλίας τοῦ Χριστοῦ καὶ ἐξομοιωθοῦμε πρὸς τὸ θάνατό του, νὰ ἐπιτύχωμε τὰ ἀνέκφραστα ἐκεῖνα ἀγαθὰ μὲ τὴν βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ΄

(ΦΙΛΙΠ. 4,4 – 9)

«Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, Χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· Ὁ Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ».

1. «Μακάριοι οἱ πενθοῦντες», καί, «Οὐαὶ τοῖς γελῶσι», φησὶν ὁ Χριστός. Τί οὖν ὁ Παῦλός φησι, «Χαίρετε ἐν Κυρίῳ πάντοτε»; οὐκ ἐναντιούμενος τῷ Χριστῷ· μὴ γένοιτο. Οὐαὶ γὰρ τοῖς γελῶσιν, εἶπεν ὁ Χριστός, τὸν γέλωτα τοῦ κόσμου τούτου αἰνιττόμενος, τὸν ἐπὶ τοῖς παροῦσι γινόμενον πράγμασι· καὶ τοὺς πενθοῦντας ἐμακάρισεν, οὐ τοὺς ἁπλῶς πενθοῦντας ἐπὶ ταῖς τῶν οἰκείων ἀποβολαῖς, ἀλλὰ τοὺς κατανενυγμένους, καὶ τὰ οἰκεῖα πενθοῦντας κακά, τοὺς τὰ ἑαυτῶν ἁμαρτήματα ἀναλογιζομένους, ἢ καὶ τὰ ἀλλότρια. Οὐκ ἔστι δὲ αὕτη ἡ χαρὰ ἐναντία τῷ πένθει ἐκείνῳ· ἀλλὰ γὰρ ἀπ' ἐκείνου τοῦ πένθους καὶ αὕτη τίκτεται· ὁ γὰρ πενθῶν τὰ ἑαυτοῦ κακά, καὶ ἐξομολογούμενος, χαίρει. Ἄλλως δέ, ἔνεστι πενθεῖν μὲν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, χαίρειν δὲ ἐπὶ τῷ Χριστῷ. Ἐπειδὴ οὖν συνεθλίβοντο δι' ὧν ἔπασχον («Ἐχαρίσθη γὰρ ὑμῖν», φησίν, «οὐ μόνον, τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν»), διὰ τοῦτο λέγει, «Ἐν Κυρίῳ χαίρετε». Ταῦτα γὰρ οὐδέν ἐστιν, ἢ ὅτι Τοιοῦτον ἐπιδείκνυσθε βίον, ὥστε χαίρειν. Ὅταν τοίνυν τὰ κατὰ Θεὸν ὑμῖν μὴ ᾖ ἐμπεποδισμένα, χαίρετε. Ἢ τοίνυν τοῦτό φησιν, ἢ τό, «ἐν»,

1. Ματθ. 5, 4· Λουκᾶ 6, 25
2. Φιλιπ. 1, 29

ΟΜΙΛΙΑ ΙΔ΄
(Φιλιπ. 4,4 –9)

«Χαίρετε πάντοτε τὴ χαρὰ ποὺ προέρχεται ἀπὸ τὴν ἕνωσί μας μὲ τὸν Κύριο· πάλι θὰ εἰπῶ, χαίρετε. Ἡ ἐπιείκειά σας ἄς γίνη γνωστὴ σὲ ὅλους τοὺς ἀνθρώπους. Ὁ Κύριος πλησιάζει νὰ ἔλθη· μὴ φροντίζετε τίποτε, ἀλλὰ γιὰ τὸ καθετὶ γνωρίζετε τὰ αἰτήματά σας στὸν Θεὸ μὲ προσευχὲς καὶ εὐχαριστήριες δεήσεις, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὁποία εἶναι ὑπεράνω κάθε νοῦ, θά φρουρήση τὶς καρδιές σας καὶ τὶς σκέψεις σας ἐφόσον μένετε ἑνωμένοι μὲ τὸν Ἰησοῦ Χριστό».

1. «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν», καὶ «Ἀλλοίμονο σὲ αὐτοὺς ποὺ γελοῦν», Λέγει ὁ Χριστός[1]. Γιατὶ λοιπὸν λέγει ὁ Παῦλος, «Χαίρετε πάντοτε τὴ χαρὰ ποὺ προέρχεται ἀπό τὴν ἕνωσί μας μὲ τὸν Κύριο»; Δὲν ἔρχεται σὲ ἀντίθεσι πρὸς τὸν Χριστό· μὴ γένοιτο νὰ εἰποῦμε κάτι τέτοιο. Γιατὶ ὁ Χριστὸς εἶπε, «Ἀλλοίμονο σὲ αὐτοὺς ποὺ γελοῦν», ὑπονοώντας τὸ γέλιο τοῦ κόσμου τούτου, τὸ γέλιο ποὺ προέρχεται ἀπὸ τὶς ἐκδηλώσεις τῆς παρούσης ζωῆς, καὶ ἐμακάρισε αὐτοὺς ποὺ πενθοῦν, ὄχι αὐτοὺς ποὺ πενθοῦν ἁπλῶς τὴν ἀπώλεια τῶν ἰδικῶν τους, ἀλλὰ αὐτοὺς ποὺ συγκινοῦνται ὑπερβολικὰ καὶ πενθοῦν τὰ ἰδικά τους κακά, αὐτοὺς ποὺ σκέπτονται τὰ ἰδικά τους ἁμαρτήματα ἢ καὶ τὰ ξένα. Δέν εἶναι ἡ χαρὰ αὐτὴ ἀντίθετος πρὸς τὸ πένθος ἐκεῖνο, ἀλλὰ καὶ αὐτὴ προέρχεται ἀπ' ἐκεῖνο, γιατὶ αὐτὸς ποὺ πενθεῖ τὰ ἰδικά του κακὰ καὶ ἐξομολογεῖται, χαίρεται. Ἄλλωστε εἶναι δυνατὸ νὰ πενθοῦμε γιὰ τὰ ἰδικά μας ἁμαρτήματα καὶ νὰ χαιρώμασθε γιὰ τὸν Χριστό. Ἐπειδὴ λοιπὸν ἐστενοχωροῦντο γιὰ ἐκεῖνα, τὰ ὁποῖα ἔπασχαν («Γιατὶ σὲ σᾶς ἐδόθηκε σὰν χάρις», λέγει, «ὄχι μόνο τὸ νὰ πιστεύετε στὸν Ἰησοῦ Χριστό, ἀλλὰ καὶ τὸ νὰ πάσχετε ὑπὲρ αὐτοῦ»[2]), γι' αὐτὸ λέγει, «Χαίρετε τὴ χαρὰ ποὺ προέρχεται ἀπὸ τὴν ἕνωσί μας μὲ τὸν Κύριο». Αὐτὰ δὲν σημαίνουν τίποτε ἄλλο, παρά, Νὰ κάνετε τέτοια ζωή, ὥστε νὰ χαίρετε. Ὅταν λοιπὸν οἱ ὑποχρεώσεις σας πρὸς τὸν Θεὸ δὲν ἐμποδίζωνται, χαίρετε. Ἢ λοιπὸν αὐτὸ ἐννοεῖ, ἢ τὸ «ἐν» τίθεται

ἀντὶ τοῦ, «σύν», ἐστίν, ὡσεὶ ἔλεγε· Χαίρετε σὺν Κυρίῳ πάντοτε.

«Πάλιν ἐρῶ, Χαίρετε». Τοῦτο θαρσύνοντός ἐστι καὶ δεικνύντος, ὅτι ὁ ἐν Θεῷ ὤν, ἀεὶ χαίρει· κἄν τε θλίβηται, κἂν ὁτιοῦν πάσχῃ, ἀεὶ χαίρει ὁ τοιοῦτος. Ἄκουσον γὰρ περὶ τῶν ἀποστόλων τοῦ Λουκᾶ λέγοντος, ὅτι «Ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαστιγωθῆναι». Εἰ μάστιγες καὶ δεσμά, ἃ πάντων εἶναι δοκεῖ λυπηρότερα, χαρὰν τίκτει, τί τῶν ἄλλων δυνήσεται ἐμποιῆσαι λύπην ἡμῖν; «Πάλιν ἐρῶ, Χαίρετε». Καλῶς τὸν λόγον ἐδιπλασίασεν. Ἐπειδὴ γὰρ τῶν πραγμάτων ἡ φύσις λύπην ἔτικτε, διὰ τοῦ διπλασιασμοῦ δείκνυσιν, ὅτι πάντως δεῖ χαίρειν.

«Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις». Εἶπεν ἀνωτέρω, «Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν», καὶ ὅτι τὰ ἐπίγεια φρονοῦσιν. Ἐπεὶ οὖν εἰκὸς αὐτοὺς πρὸς τοὺς πονηροὺς ἀπεχθῶς διακεῖσθαι, παραινεῖ τοίνυν αὐτοῖς μηδὲν ἔχειν πρὸς ἐκείνους κοινόν, ἀλλὰ μετὰ πολλῆς αὐτοῖς κεχρῆσθαι ἐπιεικείας, οὐ μὴν τοῖς ἀδελφοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἐχθροῖς καὶ τοῖς ἐναντίοις. «Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. «Τίνος γάρ, εἰπέ μοι, ἀλύετε; ὅτι ἀνθίστανται; ὅτι ὁρᾶτε τρυφῶντας αὐτούς; «Μηδὲν μεριμνᾶτε». Ἤδη ἡ κρίσις ἐφέστηκεν· οὐκ εἰς μακρὰν δώσουσι λόγον τῶν πεπραγμένων αὐτοῖς. Ἀλλ' ὑμεῖς ἐν θλίψει, ἐκεῖνοι δὲ ἐν τρυφαῖς; Ἀλλ' ἤδη ταῦτα λήψεται τέλος. Ἀλλ' ἐπιβουλεύουσι, καὶ ἀπειλοῦσιν; Ἀλλ' οὐκ εἰς τέλος αὐτοῖς ταῦτα προχωρήσει· ἤδη ἐφέστηκεν ἡ κρίσις, ὅτε τἀναντία ἔσται. «Μηδὲν μεριμνᾶτε»· ἤδη τὰ τῆς ἀνταποδόσεως ἐφέστηκε. Κἂν ἐπιεικῶς προσενεχθῆτε τοῖς τὰ δεινὰ ὑμᾶς διατεθεῖσι, κἂν πενία, κἂν θάνατος, κἂν ὁτιοῦν ἄλλο δεινὸν ᾖ, πάντα οἰχήσεται.

«Μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν». Μία μὲν οὖν ἐκείνη παραμυθία, τό, «Ὁ Κύριος ἐγγύς», καὶ ἐκεῖνο, τὸ «Ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος». Ἰδοὺ καὶ ἄλλη παραμυθία, καὶ λύπης καὶ

---

3. Πράξ. 5, 41
4. Φιλιπ. 3, 19
5. Ματθ. 28, 20

στὴ θέσι τοῦ «σύν», σὰν νὰ ἔλεγε· Χαίρετε μὲ τὴ βοήθεια τοῦ Κυρίου πάντοτε.

«Πάλι θὰ εἰπῶ, Χαίρετε». Τοῦτο εἶναι χαρακτηριστικὸ ἀνθρώπου ποὺ ἔχει θάρρος καὶ ἀποδεικνύει, ὅτι ἐκεῖνος ποὺ εἶναι ἑνωμένος μὲ τὸν Θεό, πάντοτε χαίρει· εἴτε στενοχωρεῖται, εἴτε πάσχει ὁ,τιδήποτε, πάντοτε χαίρει αὐτός. Ἄκουσε γιὰ τοὺς ἀποστόλους τὸν Λουκᾶ ποὺ λέγει, ὅτι «Ἔφυγαν ἀπὸ τὸ συνέδριο μὲ χαρά, γιατὶ ἀξιώθηκαν νὰ μαστιγωθοῦν χάριν τοῦ ὀνόματος αὐτοῦ»[3]. Ἐὰν οἱ μαστιγώσεις καὶ τὰ δεσμά, τὰ ὁποῖα φαίνεται ὅτι προκαλοῦν τὴν πιὸ μεγάλη λύπη, προξενοῦν χαρά, ποιό ἀπὸ τὰ ἄλλα θὰ μπορέση νὰ μᾶς προκαλέση λύπη; «Πάλι θὰ εἰπῶ, Χαίρετε». Καλῶς ἐπανέλαβε τὸ λόγο δύο φορές. Γιατὶ ἐπειδὴ ἡ κατάστασις τῶν πραγμάτων ἐπροκαλοῦσε λύπη, ἐπαναλαμβάνοντας δείχνει ὅτι ὁπωσδήποτε πρέπει νὰ χαίρουν.

«Ἡ ἐπιείκειά σας ἂς γίνη γνωστὴ σὲ ὅλους τοὺς ἀνθρώπους». Εἶπες παραπάνω, «Λατρεύουν σὰν Θεὸ τὴν κοιλιά τους καὶ δόξα τους θεωροῦν τὶς πράξεις ποὺ φέρουν ἐντροπή», καὶ ὅτι ἔχουν φρονήματα ἐπίγεια[4]. Ἐπειδὴ λοιπὸν ἦταν φυσικό νὰ ἀπεχθάνωνται αὐτοὶ τοὺς πονηρούς, τοὺς συμβουλεύει νὰ μὴ ἔχουν τίποτε κοινὸ μὲ ἐκείνους, ἀλλὰ νὰ συμπεριφέρωνται μὲ πολλὴ ἐπιείκεια, ὄχι ὅμως πρὸς τοὺς ἀδελφοὺς μόνο, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους. «Ὁ Κύριος πλησιάζει νὰ ἔλθη, μὴ φροντίζετε γιὰ τίποτε». Γιὰ ποιὸ λόγο λοιπόν, εἰπέ μου, ἀδημονεῖτε; γιατὶ ἀντιστέκεσθε; μήπως γιατὶ βλέπετε νὰ ζοῦν μὲ ἀπολαύσεις αὐτοί; «Γιὰ τίποτε μὴ φροντίζετε». Ἤδη ἐπλησίασε ἡ κρίσις, σύντομα θὰ δώσουν λόγο γιὰ τὰ ἔργα τους. Ἀλλὰ ἐσεῖς θὰ ζῆτε μέσα σὲ θλίψεις καὶ ἐκεῖνοι σὲ ἀπολαύσεις; Ἤδη ὅμως αὐτὰ θὰ λάβουν τέλος. Μήπως σᾶς ἐπιβουλεύονται καὶ σᾶς ἀπειλοῦν; Ὅμως αὐτὰ δὲν θὰ προχωρήσουν μέχρι τέλος. Ἤδη ἐπλησίασε ἡ κρίσις, ὁπότε θά συμβοῦν τὰ ἀντίθετα. «Γιὰ τίποτε μὴ φροντίζετε». Ἐπλησίασε ἤδη ὁ καιρὸς τῆς ἀνταποδόσεως. Εἴτε φερθῆτε μὲ ἐπιείκεια σ' ἐκείνους ποὺ σᾶς προκαλοῦν τὰ κακὰ, εἴτε ἡ πενία, εἴτε ὁ θάνατος, εἴτε ὁ,τιδήποτε ἄλλο κακὸ ὑπάρχει, τὰ πάντα θά ἀπέλθουν.

«Μὴ φροντίζετε γιὰ τίποτε, ἀλλὰ γιὰ τὸ καθετὶ γνωρίζετε τὰ αἰτήματά σας στὸν Θεὸ μὲ τὴν προσευχὴ καὶ τὴν εὐχαριστήριο δέησι». Μία λοιπὸν ἐκείνη ἡ προτροπή, δηλαδὴ τὸ «Ὁ Κύριος πλησιάζει νὰ ἔλθη», καὶ ἐκεῖνο τό, «Θὰ εἶμαι μαζί σας ὅλες τὶς ἡμέρες μέχρι τὴ συντέλεια τοῦ αἰῶνος»[5]. Ἰδοὺ καὶ ἄλλη προτροπὴ

περιστάσεως καὶ πάντων τῶν ἀνιαρῶν λυτήριον φάρμακον. Ποῖον δὴ τοῦτο; Τὸ εὔχεσθαι, τὸ ἐν παντὶ εὐχαριστεῖν. Ὥστε τὰς εὐχὰς οὐ μόνον αἴτησιν εἶναι βούλεται, ἀλλὰ καὶ εὐχαριστίαν ὑπὲρ ὧν ἔχομεν. Πῶς γὰρ αἰτήσει τις τὰ μέλλοντα, ὁ τῶν προτέρων χάριν οὐκ εἰδώς; «Ἀλλ' ἐν παντί», φησί, τουτέστι, πράγματι, «τῇ προσευχῇ καὶ τῇ δεήσει». Ὥστε ὑπὲρ ἁπάντων εὐχαριστεῖν δεῖ, καὶ τῶν δοκούντων εἶναι λυπηρῶν· τοῦτο γὰρ ὄντως εὐχαρίστου. Ἐκεῖνο μὲν γὰρ ἡ φύσις τῶν πραγμάτων ἀπαιτεῖ· τοῦτο δὲ ἀπὸ ψυχῆς γίνεται εὐγνώμονος, καὶ σφόδρα διακειμένης πρὸς τὸν Θεόν. Ταύτας ἐπιγινώσκει τὰς εὐχὰς ὁ Θεός, τὰς δὲ ἄλλας οὐκ οἶδεν. Οὐκοῦν τοιαῦτα εὔχεσθε, ὥστε ἐπιγινώσκεσθαι. Πάντα γὰρ ὑπὲρ τοῦ συμφέροντος οἰκονομεῖ, κἂν ἡμεῖς μὴ εἰδῶμεν. Καὶ τοῦτο τοῦ σφόδρα συμφέρειν ἡμῖν ἐστι τεκμήριον, τὸ ἡμᾶς μὴ εἰδέναι. «Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ». Τί ἐστι τοῦτο; Ἡ εἰρήνη τοῦ Θεοῦ, φησίν, ἣν πρὸς τοὺς ἀνθρώπους εἰργάσατο, πάντα νοῦν ὑπερέχει. Τίς γὰρ ἂν προσεδόκησε, τίς δὲ ἂν ἤλπισε τοσαῦτα ἔσεσθαι ἀγαθά; Ἅπασαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, οὐχὶ λόγον μόνον· ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν μισούντων αὐτόν, ὑπὲρ τῶν ἀποστρεφομένων, ὑπὲρ τούτων τὸν Υἱὸν ἐκδοῦναι τὸν μονογενῆ οὐ παρῃτήσατο, ὥστε εἰρήνην ποιῆσαι πρὸς ἡμᾶς. Αὕτη δὴ οὖν ἡ εἰρήνη, τουτέστιν, ἡ καταλλαγή, ἡ ἀγάπη τοῦ Θεοῦ, «φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν».

2. Τοῦτο διδασκάλου, μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ διὰ δεήσεως βοηθεῖν, ὥστε μήτε ὑπὸ πειρασμῶν καταβαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφέρεσθαι· ὡς ἂν εἰ ἔλεγεν· Ὁ ῥυσάμενος ὑμᾶς οὕτως, ὡς οὐδὲ νοῦς καταλαβεῖν δύναται, αὐτὸς ὑμᾶς διαφυλάξειε, καὶ ἀσφαλίσαιτο, ὥστε μηδὲν παθεῖν. Ἢ οὖν τοῦτο δηλοῖ, ἢ ὅτι ἡ εἰρήνη, ἣν φησιν ὁ Χριστός, «Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν», αὕτη φρουρήσει ὑμᾶς. Ἡ γὰρ εἰρήνη ὑπερέχει πάντα νοῦν ἀνθρώπινον. Εἰ δὲ λέγεις, πῶς; ἄκουε· Ὅταν λέγῃ πρὸς τοὺς ἐχθροὺς εἰρηνεύειν,

---

6. Ἰω. 14, 27

ποὺ ὡς φάρμακο ἀνακουφίζει καὶ τὴ λύπη καὶ τὶς περιστάσεις καὶ ὅλα τὰ δυσάρεστα πράγματα. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ἡ προσευχή, ἡ εὐχαριστία γιὰ τὸ καθετί. Ὥστε οἱ προσευχὲς δὲν θέλει νὰ εἶναι μόνο αἰτήματα, ἀλλὰ καὶ εὐχαριστίες γιὰ ἐκεῖνα τὰ ὁποῖα ἔχομε. Γιατὶ πῶς θὰ ζητήση κανεὶς τὰ μέλλοντα χωρὶς νὰ ἀναγνωρίζη εὐγνωμοσύνη γιὰ τὰ προηγούμενα; «Ἀλλὰ γιὰ τὸ καθετί», πρᾶγμα, λέγει, «μὲ τὴν προσευχὴ καὶ τὴ δέησι». Συνεπῶς πρέπει νὰ εὐχαριστοῦμε γιὰ ὅλα καὶ γιὰ ἐκεῖνα ποὺ νομίζονται ὅτι προκαλοῦν λύπη. Αὐτὸ πράγματι εἶναι χαρακτηριστικὸ εὐγνώμονος ἀνθρώπου. Γιατὶ ἐκεῖνο βέβαια τὸ ἀπαιτεῖ ἡ φύσις τῶν πραγμάτων, αὐτό ὅμως προέρχεται ἀπὸ ψυχὴ ποὺ εἶναι εὐγνώμων καὶ εὑρίσκεται σὲ στενὴ σχέσι μὲ τὸν Θεό. Αὐτὲς τὶς προσευχὲς ἀναγνωρίζει ὁ Θεὸς καὶ τὶς ἄλλες δὲν γνωρίζει. Λοιπὸν ἔτσι νὰ προσεύχεσθε, ὥστε νὰ ἀναγνωρίζωνται οἱ προσευχές σας. Γιατὶ τὰ πάντα κατευθύνει πρὸς τὸ συμφέρον μας, ἔστω καὶ ἂν ἐμεῖς δὲν γνωρίζωμε. Καὶ τοῦτο εἶναι ἀπόδειξις τοῦ ὅτι μᾶς συμφέρει πολύ, δηλαδὴ τὸ νὰ μὴ γνωρίζωμε ἐμεῖς. «Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ποὺ εἶναι ὑπεράνω κάθε νοῦ θὰ φρουρήση τὶς καρδιές σας καὶ τὶς σκέψεις σας, ἐφόσον μένετε ἑνωμένοι μὲ τὸν Ἰησοῦ Χριστό». – Τί σημαίνει αὐτό; Ἡ εἰρήνη τοῦ Θεοῦ, λέγει, τὴν ὁποία ἔφερε στοὺς ἀνθρώπους, ὑπερέχει κάθε νοῦ. Ποιὸς λοιπὸν θὰ ἐπερίμενε καὶ ποιὸς θὰ ἤλπιζε ὅτι θὰ ὑπάρξουν τόσα ἀγαθά; Ὑπερβαίνει κάθε ἀνθρώπινο νοῦ, ὄχι μόνο λόγο. Γιὰ ὄφελος τῶν ἐχθρῶν του, γιὰ ὄφελος ἐκείνων ποὺ τὸν μισοῦν, ἐκείνων ποὺ τὸν ἀποστρέφονται, γιὰ χάρι αὐτῶν δὲν ἀπέφυγε νὰ παραδώση τὸν μονογενῆ Υἱό του, προκειμένου νὰ συνάψη εἰρήνη μὲ τοὺς ἀνθρώπους. Αὐτὴ λοιπὸν ἡ εἰρήνη, δηλαδὴ ἡ συμφιλίωσις, ἡ ἀγάπη τοῦ Θεοῦ «θὰ φρουρήση τὶς καρδιές σας καὶ τὶς σκέψεις σας».

2. Τοῦτο ἁρμόζει στὸ διδάσκαλο, ὄχι μόνο νὰ δίνη παραινέσεις, ἀλλὰ καὶ νὰ προσεύχεται καὶ μὲ δεήσεις νὰ βοηθῆ, ὥστε οὔτε ἀπὸ τοὺς πειρασμοὺς νὰ καταβαλώμασθε, οὔτε ἀπὸ τὴν ἀπάτη νὰ περιφερώμασθε ἐδῶ καὶ ἐκεῖ. Ὡσὰν νὰ ἔλεγε: Ἐκεῖνος ποὺ σᾶς ἔσωσε μὲ τέτοιο τρόπο, ποὺ ὁ νοῦς δὲν μπορεῖ νὰ κατανοήση, αὐτὸς θὰ σᾶς διαφυλάξη καὶ θὰ σᾶς ἀσφαλίση, ὥστε νὰ μὴ πάθετε τίποτε. Ἢ λοιπὸν αὐτὸ σημαίνει, ἢ ὅτι ἡ εἰρήνη, τὴν ὁποία λέγει ὁ Χριστός, «Εἰρήνη σᾶς ἀφήνω, τὴν εἰρήνη τὴν ἰδικὴ μου σᾶς δίνω»[6], αὐτὴ θὰ σᾶς φρουρήση. Ἡ εἰρήνη λοιπὸν ὑπερέχει κάθε ἀνθρώπινο νοῦ. Καὶ ἐὰν ἐρωτᾶς, μὲ ποιὸ τρόπο; ἄκουε. Ὅταν παραγγέλλη νὰ εἰρη-

πρὸς τοὺς ἀδικοῦντας, πρὸς τοὺς ἐκπεπολεμωμένους καὶ ἀπεχθῶς πρὸς ἡμᾶς ἔχοντας, πῶς οὐχ ὑπὲρ νοῦν ἐστιν ἀνθρώπινον τοῦτο; Μᾶλλον δὲ τὸ πρότερον ἴδωμεν. «Ἡ εἰρήνη ὑπερέχει πάντα νοῦν». Εἰ ἡ εἰρήνη, πολλῷ μᾶλλον αὐτὸς ὁ Θεός, ὁ τὴν εἰρήνην δούς, πάντα νοῦν, οὐ τόν ἡμέτερον μόνον, ἀλλὰ καὶ τὸν τῶν ἀγγέλων καὶ τῶν ἄνω δυνάμεων. Τί δέ ἐστιν, «Ἐν Χριστῷ Ἰησοῦ»; Ἐν αὐτῷ φυλάξει, φησίν, ὥστε μένειν, καὶ μὴ ἐκπεσεῖν αὐτοῦ τῆς πίστεως, «Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶ σεμνά, ὅσα ἀληθῆ, ὅσα δίκαια». Τί ἐστι, «Τὸ λοιπόν»; Ἀντὶ τοῦ, Πάντα ἡμῖν εἴρηται. Ἐπειγομένου τὸ ῥῆμά ἐστι, καὶ οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰ παρόντα. «Λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε· ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί».

Τί ἐστιν, «Ὅσα προσφιλῆ»; Προσφιλῆ τοῖς πιστοῖς, προσφιλῆ τῷ Θεῷ. «Ὅσα ἐστὶν ἀληθῆ». Ταῦτα γὰρ ὄντως ἀληθῆ, ἡ ἀρετή· ψεῦδος δὲ ἡ κακία· καὶ γὰρ ἡ ἡδονὴ αὐτῆς ψεῦδος, καὶ ἡ δόξα αὐτῆς ψεῦδος, καὶ πάντα τὰ τοῦ κόσμου ψεῦδος. «Ὅσα ἁγνά», πρὸς τό, «Τὰ ἐπίγεια φρονοῦντας». «Ὅσα σεμνά», πρὸς τό, «Ὧν ὁ Θεὸς ἡ κοιλία». «Ὅσα δίκαια, ὅσα εὔφημα», ταῦτά ἐστι, φησίν. «Εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος». Ἐνταῦθα βούλεται αὐτοὺς καὶ τῶν πρὸς ἀνθρώπους προνοεῖν. «Ταῦτα λογίζεσθε», φησίν. Ὁρᾷς ὅτι πᾶσαν ἔννοιαν βούλεται ἐξορίσαι πονηρὰν ἐκ τῶν ἡμετέρων ψυχῶν; ἀπὸ γὰρ ἐννοιῶν αἱ πράξεις αἱ πονηραὶ γίνονται. «Ἃ καὶ ἐμάθετε καὶ παρελάβετε». Τοῦτο διδασκαλίας ἀρίστης, τὸ ἐν πάσαις ταῖς παραινέσεσιν ἑαυτὸν παρέχειν τύπον, καθὼς καὶ ἀλλαχοῦ φησι, «Καθὼς ἔχετε τύπον ἡμᾶς»· καὶ πάλιν ἐνταῦθα, «Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε», τουτέστιν, ἐδιδάχθητε· «καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί», καὶ ῥημάτων ἕνεκεν, καὶ πράξεων, καὶ ἀναστροφῆς. Ὁρᾷς ὅτι μέχρι παντὸς πράγμα-

---

7. Φιλιπ. 3, 17

νεύωμε πρὸς τοὺς ἐχθρούς μας, πρὸς ἐκείνους ποὺ μᾶς ἀδικοῦν, πρὸς ἐκείνους ποὺ μᾶς ἔχουν πολεμήσει καὶ ποὺ μᾶς συμπεριφέρονται μὲ ἀπέχθεια, πῶς δὲν εἶναι αὐτὸ ὑπεράνω τοῦ ἀνθρώπινου νοῦ; Καλύτερα ὅμως ἂς ἐξετάσωμε τὸ πρῶτο· «Ἡ εἰρήνη εἶναι ὑπεράνω κάθε νοῦ». Ἐὰν ὅμως ἡ εἰρήνη ὑπερέχῃ, κατὰ πολὺ περισσότερο ὁ ἴδιος ὁ Θεός, ὁ ὁποῖος δίνει τὴν εἰρήνη, ὑπερέχει κάθε νοῦ, ὄχι μόνο τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἀγγέλων καὶ τῶν οὐρανίων δυνάμεων. Καὶ τὶ σημαίνει «Ἑνωμένοι μέ τὸν Ἰησοῦ Χριστό»; Μὲ αὐτὸν θὰ προφυλάξῃ, λέγει, ὥστε νὰ μένῃ κανεὶς σταθερὸς στὴν πίστι καὶ νὰ μὴ ἐκπέσῃ ἀπὸ αὐτήν. «Ἐκεῖνο ποὺ ἀπομένει, ἀδελφοί μου, ὅσα εἶναι σεμνά, ὅσα εἶναι ἀληθινά, ὅσα εἶναι δίκαια». Τί σημαίνει τὸ «Ἐκεῖνο ποὺ ἀπομένει»; Ἀντὶ τοῦ, Τὰ πάντα ἔχουν λεχθῆ σὲ σᾶς. Ἡ λέξις σημαίνει ὅτι εἶναι ἐπιτακτικὴ ἀνάγκη νὰ γίνῃ κάτι καὶ δὲν ἔχει καμμία σχέσι πρὸς τὰ παρόντα. «Ἐκεῖνο ποὺ ἀπομένει, ἀδελφοί μου, ὅσα εἶναι ἀληθινά, ὅσα εἶναι σεμνά, ὅσα εἶναι δίκαια, ὅσα εἶναι ἁγνά, ὅσα εἶναι προσφιλῆ, ὅσα ἔχουν καλὴ φήμη, ὁποιαδήποτε ἀρετὴ καὶ ὁποιοδήποτε ἔπαινο, αὐτὰ νὰ συλλογίζεσθε· αὐτὰ ποὺ ἐμάθατε καὶ παρελάβατε καὶ τὰ ἠκούσατε καὶ τὰ εἴδατε σὲ ὅλη τὴ συμπεριφορά μου».

Τί σημαίνει «Ὅσα προσφιλῆ»; Προσφιλῆ στοὺς πιστούς, προσφιλῆ στὸν Θεό. «Ὅσα εἶναι ἀληθινά». Γιατὶ πράγματι αὐτὰ εἶναι ἀληθινά, ἡ ἀρετή, καὶ ψέμα εἶναι ἡ κακία, γιατὶ καὶ ἡ ἡδονὴ αὐτῆς εἶναι ψέμα καὶ ἡ δόξα της ψέμα καὶ ὅλα τὰ πράγματα τοῦ κόσμου τούτου εἶναι ψέμα. «Ὅσα εἶναι ἁγνά», ἀντιδιαστέλλεται πρὸς τό, «Ἔχουν φρονήματα γήινα». «Ὅσα εἶναι σεμνά», ἀντιδιαστέλλεται πρὸς τό, «Λατρεύουν σὰν Θεό τους τὴν κοιλία». «Ὅσα εἶναι δίκαια, ὅσα ἔχουν καλὴ φήμη», αὐτά εἶναι, λέγει. «Ὁποιαδήποτε ἀρετὴ καὶ ὁποιοσδήποτε ἔπαινος». Ἐδῶ θέλει νὰ φροντίζουν αὐτοὶ καὶ γιά τὶς σχέσεις τους πρὸς τοὺς ἀνθρώπους. «Αὐτὰ νὰ συλλογίζεσθε», λέγει. Βλέπεις ὅτι θέλει νὰ ἀπομακρύνῃ κάθε πονηρή σκέψι ἀπό τίς ἰδικές μας ψυχές; Γιατὶ ἀπὸ τὶς σκέψεις γίνονται οἱ πονηρές πράξεις. «Αὐτὰ ποὺ ἐμάθατε καὶ παρελάβατε». Αὐτὸ εἶναι ἀπόδειξις τῆς ἀρίστης διδασκαλίας, τὸ νὰ παρέχῃ δηλαδὴ σὲ ὅλες τὶς παραινέσεις τὸν ἑαυτὸ του ὡς παράδειγμα, ὅπως καὶ σὲ ἄλλο σημεῖο τῆς ἐπιστολῆς λέγει, «Καθὼς ἔχετε ἐμᾶς σὰν παράδειγμα»[7]. Καὶ πάλιν ἐδῶ λέγει, «Αὐτὰ ποὺ ἐμάθατε καὶ παρελάβατε», δηλαδή, ἐδιδαχθήκατε, «και ἠκούσατε καὶ εἴδατε σ' ἐμένα», καὶ στὰ λόγια καὶ στὶς πράξεις καὶ στὴ συμπεριφορά μου. Βλέπεις ὅτι γιὰ κάθε πρᾶγμα

τος ταῦτα διατάττεται; Ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἀκριβολογεῖσθαι περὶ πάντων, καὶ εἰσόδων καὶ ἐξόδων, καὶ ῥήματος καὶ σχήματος καὶ συνουσίας (πάντων γὰρ τούτων χρὴ προνοεῖν τὸν Χριστιανόν), συντόμως εἶπε καὶ ὡς ἐν κεφαλαίῳ, «Ἐν ἐμοὶ ἠκούσατε καὶ εἴδετε»· τουτέστι, παρ' ἐμοί· ὡσεὶ ἔλεγε· Καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ὑμᾶς ἀνήγαγον. «Ταῦτα πράσσετε»· μὴ λέγετε μόνον, ἀλλὰ καὶ πράττετε.

«Καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν». Τουτέστιν, ἐὰν οὕτω φυλάττητε ταῦτα, καὶ πρὸς ἀλλήλους εἰρηνεύητε, ἐν γαλήνῃ ἔσεσθε, ἐν ἀσφαλείᾳ πολλῇ· οὐδὲν πείσεσθε λυπηρόν, οὐδὲ τῶν ἀβουλήτων. Ὅταν γὰρ ἡμεῖς εἰρηνεύωμεν πρὸς αὐτόν, εἰρηνεύομεν δὲ διὰ τῆς ἀρετῆς, πολλῷ μᾶλλον αὐτὸς μεθ' ἡμῶν ἔσται. Ὁ γὰρ οὕτως ἡμᾶς ἀγαπήσας, ὡς καὶ μὴ βουλομένους προσίεσθαι, ἂν ἴδῃ προστρέχοντας, οὐ πολλῷ πλέον αὐτὸς ἐπιδείξεται τὴν φιλίαν; Οὐδὲν οὕτως ἐχθρὸν τῆς ἡμετέρας φύσεως, ὡς κακία. Πῶς δὲ ἐχθρὸν ἡμῶν ἡ κακία, καὶ φίλον ἡ ἀρετή, πολλαχόθεν δῆλον· καί, εἰ βούλεσθε, σκοπήσωμεν τοῦτο πρῶτον ἀπὸ τῶν ἐναντίων ἑνός, τῆς πορνείας· Ἡ πορνεία ἐπονειδίστους καθίστησι, πένητας, καταγελάστους, εὐκαταφρονήτους πρὸς πάντας, ταῦτα διατιθεῖσα, ἅπερ ἐχθρῶν ἐστι διατιθέναι· πολλάκις δὲ καὶ νόσοις καὶ κινδύνοις περιέβαλεν αὕτη· πολλοὶ δὲ ὑπὲρ τῶν πορνῶν ἀπώλοντο, καὶ τραύματα ἔλαβον. Εἰ δὲ τὸ πορνεύειν ταῦτα προξενεῖ, τὸ μοιχεύειν πολλῷ μᾶλλον. Ἆρα οὖν καὶ ἐλεημοσύνη οὕτως; Οὐδαμῶς· ἀλλ' ὡς μήτηρ φιλόστοργος ἐν κοσμιότητι πολλῇ τὸ παιδίον καθίστησιν, ἐν εὐταξίᾳ, ἐν χρηστῇ δόξῃ, περὶ τὴν τῶν ἀναγκαίων ποιεῖ σχολάζειν διατριβήν, οὐκ ἀφίησιν ἡμᾶς, οὐδὲ ἀπάγει τῶν ἀναγκαίων, ἀλλὰ καὶ τὴν ψυχὴν συνετωτέραν ἐργάζεται. Οὐδὲν γὰρ πορνῶν ἀσυνετώτερον.

Ἀλλὰ τί; βούλει τὴν πλεονεξίαν ἰδεῖν; Καὶ αὕτη, ἅπερ ἂν ἐχθρὸς ἡμᾶς διέθηκε, διατίθησι. Πῶς; Μισεῖσθαι καὶ αὕτη ποιεῖ παρὰ πάντων· πάντας ἡμῶν κατεύχεσθαι παρασκευάζει, καὶ τοὺς ἠδικημένους, καὶ τοὺς οὐκ ἠδικημένους, ἐκείνοις μὲν συναλγοῦντας, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότας· ὡς ἐχθροὺς κοινοὺς πάντες ὁρῶσιν, ὡς θηρία, ὡς δαίμονας· μυρίαι πανταχοῦ κατηγορίαι, ἐπιβουλαί, φθόνοι, ἅπερ ἐστὶν ἐχθρῶν. Ἡ δὲ δικαιοσύνη τοὐναντίον, πάντας φίλους, πάντας συνήθεις, πάντας εὐνοϊκῶς δια-

καθορίζει αὐτά; Ἀφοῦ λοιπὸν δὲν ἦταν δυνατὸ νὰ ἀκριβολογῆ γιὰ ὅλα, καὶ γιὰ τὰ εἰσερχόμενα καὶ γιὰ τὰ ἐξερχόμενα καὶ γιὰ τὸ λόγο καὶ γιὰ τὴν ἔκφρασι καὶ τὴ συναναστροφὴ (γιατὶ ὁ Χριστιανὸς ὀφείλει νὰ φροντίζη γιὰ ὅλα αὐτὰ), εἶπες σύντομα καὶ περιληπτικά, «Σ' ἐμένα ἠκούσατε καὶ εἴδατε», δηλαδὴ, πλησίον σ' ἐμένα. Σὰν νὰ ἔλεγε· «Αὐτὰ νὰ πράττετε». Νὰ μὴ λέγετε μόνο, ἀλλὰ καὶ νὰ πράττετε.

Καὶ ὁ Θεὸς τῆς εἰρήνης θὰ εἶναι μαζί σας». Δηλαδή, ἐάν φυλάσσετε ἔτσι αὐτὰ καὶ ἔχετε εἰρήνη μεταξύ σας, θὰ ζῆτε μὲ γαλήνη καὶ ἀσφάλεια μεγάλη, δὲν θὰ πάθετε τίποτε τὸ θλιβερὸ οὔτε τὸ ἀνεπιθύμητο. Γιατὶ ὅταν ἐμεῖς εἰρηνεύωμε πρὸς αὐτόν (καὶ εἰρηνεύομε μὲ τὴν ἀρετή), πολὺ περισσότερο θὰ εἶναι αὐτὸς μαζί μας. Γιατὶ αὐτὸς ποὺ μᾶς ἠγάπησε τόσο πολύ, ὥστε καὶ χωρὶς νὰ θέλωμε μᾶς δέχεται, ἂν μᾶς ἰδῆ νὰ σπεύδωμε πρὸς αὐτὸν, δὲν θὰ ἐπιδείξη πιὸ μεγάλη φιλία; Στὴ φύσι τοῦ ἀνθρώπου τίποτε δὲν εἶναι τόσο ἐχθρικό, ὅσο ἡ κακία. Πῶς ὅμως ἡ κακία εἶναι ἐχθρός μας καὶ φίλος ἡ ἀρετὴ εἶναι φανερὸ ἀπὸ πολλά σημεῖα. Καί, ἐὰν θέλετε, ἂς ἐξετάσωμε αὐτὸ πρῶτα ἀπὸ ἕνα ἀντίθετο, τὴν πορνεία. Ἡ πορνεία κάνει τοὺς ἀνθρώπους αἰσχρούς, πτωχούς, γελοίους, περιφρονημένους ἀπὸ ὅλους, ἀφοῦ μεταχειρίζεται αὐτὰ ποὺ εἶναι χαρακτηριστικὸ νὰ μεταχειρίζωνται οἱ ἐχθροί. Πολλὲς φορὲς ἐπροξένησε αὐτὴ καὶ νοσήματα καὶ κινδύνους· καὶ πολλοὶ ἐχάθηκαν καὶ ἐτραυματίσθηκαν γιὰ τὶς πόρνες. Ἐὰν ὅμως ἡ πορνεία προξενῆ αὐτά, ἡ μοιχεία πολύ περισσότερο. Μήπως καὶ ἡ ἐλεημοσύνη εἶναι ἔτσι; Καθόλου· ἀλλὰ ὡς φιλόστοργος μητέρα ὁδηγεῖ τὸ παιδί της σὲ κοσμιότητα πολλή, σὲ πειθαρχία, σὲ δόξα ἀγαθή, τὸ κάνει νὰ καταγίνεται σὲ διασκεδάσεις ἀναγκαῖες δὲν μᾶς ἐγκαταλείπει, οὔτε ἀπομακρύνει τὰ ἀναγκαῖα, ἀλλὰ καθιστᾶ καὶ τὴν ψυχὴ περισσότερο συνετή. Γιατὶ τίποτε δὲν εἶναι περισσότερο χωρὶς σύνεσι ἀπὸ τὶς πόρνες.

Μήπως ὅμως θέλετε νὰ ἰδοῦμε τὴν πλεονεξία; Καὶ αὐτὴ μᾶς μεταχειρίζεται, ὅπως θὰ μᾶς ἐμεταχειρίζετο ἐχθρός. Πῶς; Μᾶς κάνει μισητούς ἀπὸ ὅλους. Μᾶς κάνει ὅλους νὰ καυχώμασθε, καὶ αὐτοὺς ποὺ ἔχουν ἀδικηθῆ καὶ αὐτοὺς ποὺ δὲν ἔχουν, σ' ἐκείνους ἐπειδὴ συμπονοῦν, ἀλλὰ φοβοῦνται γιὰ τὸν ἑαυτό τους. Ὅλοι μᾶς βλέπουν ὡς κοινοὺς ἐχθροὺς, ὡς θηρία, ὡς δαίμονας· ἀπὸ παντοῦ πολλὲς κατηγορίες, ἐπιβουλές, φθόνοι, πράγματα ποὺ ἀνήκουν στοὺς ἐχθρούς. Ἀντίθετα ὅμως ἡ δικαιοσύνη ὅλους τοὺς κάνει φίλους, ὅλους οἰκείους, ὅλους τοὺς καθιστᾶ εὐνοϊκούς ἀπέναντί

τίθησι πρὸς ἡμᾶς· παρὰ πάντων ὑπέρ ἡμῶν εὐχαὶ γίνονται. Ἐν ἀσφαλείᾳ πολλῇ ἐντεῦθεν τὰ καθ' ἡμᾶς, οὐδεὶς κίνδυνος, οὐδεμία ὑποψία, ἀλλὰ καὶ ὁ ὕπνος ἀδεῶς ἔπεισι μετὰ ἀσφαλείας, οὐδεμία φροντίς, οὐδεὶς κοπετός.

3. Ὁρᾷς ὅτι μᾶλλον αὕτη βελτίων; Τί δέ, εἰπέ μοι; τὸ φθονεῖν, ἢ τὸ συνήδεσθαι βέλτιον; Ταῦτα πάντα ἐξετάσωμεν, καὶ εὑρήσομεν, ὅτι ἡ μὲν ἀρετή, καθάπερ μήτηρ ὄντως φιλόστοργος, ἐν ἀσφαλείᾳ καθίστησιν, ἡ δὲ κακία ἐν κινδύνοις, πρᾶγμα ἐπισφαλὲς ὑπάρχον καὶ ἐπικίνδυνον. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, «Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς». Οὐδένα δέδοικεν ὁ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν· οὐδενὶ πάλιν θαρρεῖ ὁ ἐν κακίᾳ ζῶν, ἀλλὰ καὶ τοὺς οἰκέτας τρέμει, καὶ μετὰ ὑποψίας ὁρᾷ. Τί δὲ λέγω τοὺς οἰκέτας; τοῦ συνειδότος οὐ φέρει τὸ δικαστήριον· οὐχ οἱ ἔξω μόνον, ἀλλὰ καὶ οἱ ἔνδον αὐτὸν κόπτουσι λογισμοί, οὐκ ἀφιέντες αὐτὸν ἠρεμεῖν. Τί οὖν, φησί; πρὸς ἐπαίνους προσέχοντα δεῖ ζῆν; Οὐκ εἶπε, Πρὸς ἔπαινον ὅρα, ἀλλά, Καὶ τὰ ἐπαινετὰ ποίει, μὴ πρὸς ἔπαινον μέντοι. «Ὅσα ἀληθῆ»· ψεῦδος γὰρ ταῦτα. «Ὅσα σεμνά». Τὸ σεμνὸν τῆς ἔξω ἐστὶ δυνάμεως, τὸ δὲ ἁγνόν, τῆς ψυχῆς.

Μὴ δίδοτε, φησί, πρόσκομμα, μηδὲ λαθήν. Ἐπειδὴ εἶπεν, «Ὅσα εὔφημα», ἵνα μὴ νομίσῃς, ὅτι τὰ παρὰ ἀνθρώποις ἁπλῶς φησιν, ἐπήγαγεν, «Εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ταῦτα πράττετε». Διαπαντὸς βούλεται ἡμᾶς ἐν τούτοις εἶναι, ταῦτα μεριμνᾷν, ταῦτα ἐννοεῖν. Εἰ γὰρ μέλλοιμεν πρὸ ἑαυτοὺς εἰρηνεύειν, καὶ ὁ Θεὸς ἔσται μεθ' ἡμῶν. Ἂν δὲ πόλεμον ἐγείρωμεν, ὁ τῆς εἰρήνης Θεὸς οὐκ ἔσται μεθ' ἡμῶν. Οὐδὲν γὰρ οὕτω πολέμιον τῇ ψυχῇ, ὡς κατοικία· καὶ οὐδὲν αὐτὴν ἐν ἀσφαλείᾳ καθίστησι πάλιν, ὡς ἡ εἰρήνη καὶ ἡ ἀρετή· ὥστε τὰ παρ' ἡμῶν ἄρχεσθαι δεῖ, καὶ τότε τὸν Θεὸν ἐπισπασόμεθα. Οὐκ ἔστιν ὁ Θεός, πολέμου καὶ μάχης Θεός. Οὐκοῦν κατάλυσον καὶ τὸν πόλεμον καὶ τὴν μάχην, καὶ τὴν πρὸς αὐτόν, καὶ τὴν πρὸς τὸν πλησίον· εἰρηνικὸς ἔσο πρὸς πάντας· ἐννόησον τίνας ὁ Θεὸς

8. Ψαλμ. 24, 14

μας· ἀπό ὅλους γίνονται προσευχές γιὰ μᾶς. Ἐξ αἰτίας τούτου ὅλα τὰ ἰδικά μας εὑρίσκονται σὲ μεγάλη ἀσφάλεια, δὲν ὑπάρχει κανένας κίνδυνος, καμμία ὑποψία, ἀκόμη καὶ ὁ ὕπνος ἔρχεται χωρὶς φόβο, μὲ ἀσφάλεια· δὲν ὑπάρχει καμμία φροντίδα, καμμία στενοχώρια.

3. Βλέπεις ὅτι αὐτὴ εἶναι περισσότερο πιὸ καλή; Εἰπέ μου ὅμως, τί εἶναι καλύτερο: τὸ νὰ φθονοῦμε ἢ τὸ νὰ χαίρωμε μὲ τοὺς ἄλλους; Ἂς ἐξετάσωμε ὅλα αὐτὰ καὶ θὰ διαπιστώσωμε ὅτι ἡ ἀρετὴ ὡσὰν μητέρα πραγματικὰ φιλόστοργος μᾶς προφυλάσσει, ἐνῶ ἡ κακία μᾶς ὁδηγεῖ σὲ κινδύνους, πρᾶγμα ποὺ εἶναι ἐπισφαλὲς καὶ ἐπικίνδυνο. Ἄκουε τὸν προφήτη ποὺ λέγει, «Ἡ βοήθεια τοῦ Κυρίου προορίζεται γιὰ ἐκείνους ποὺ φοβοῦνται τὸν Κύριο, καὶ ἡ διαθήκη αὐτοῦ, γιὰ νὰ διδάξη αὐτούς»[8]. Δὲν φοβεῖται κανένα ἐκεῖνος ποὺ δὲν συναισθάνεται τίποτε τὸ πονηρό. Δὲν ἔχει θάρρος σὲ κανένα πάλι ἐκεῖνος ποὺ ζῇ μέσα στὴν κακία, ἀλλὰ τρέμει καὶ τοὺς δούλους καὶ τοὺς βλέπει μὲ ὑποψία. Γιατὶ ὅμως λέγω τοὺς δούλους; δὲν ἀντέχει τὸ δικαστήριο τῆς συνειδήσεως. Ὄχι μόνο οἱ ἔξω, ἀλλὰ καὶ οἱ σκέψεις μέσα του τὸν κτυποῦν καὶ δὲν τὸν ἀφήνουν νὰ ἠρεμήση. Τί λοιπὸν λέγει; πρέπει νὰ ζῇ κανεὶς ἀποβλέποντας σὲ ἐπαίνους; Δὲν εἶπες, Πρόσεχε τὸν ἔπαινο, ἀλλά, καὶ τὰ ἀξιέπαινα ἔργα νὰ κάμνης καὶ νὰ μὴ ἀποβλέπης μόνο στὸν ἔπαινο. «Ὅσα εἶναι ἀληθινά», γιατὶ αὐτὰ εἶναι ψέμα. «Ὅσα εἶναι σεμνά». Τὸ σεμνὸ εἶναι ἔργο τῆς ἔξω δυνάμεως, τὸ δὲ ἁγνὸ τῆς ψυχῆς.

Νὰ μὴ σκανδαλίζετε, λέγει, οὔτε νὰ δίνετε ἀφορμή. Ἐπειδὴ εἶπε, «Ὅσα ἔχουν καλὴ φήμη», γιὰ νὰ μὴ νομίσης ὅτι τὰ ἀνθρώπινα μόνο λέγει, ἐπρόσθεσε, «Ὁποιαδήποτε ἀρετὴ καὶ ὁποιοσδήποτε ἔπαινο, αὐτὰ νὰ συλλογίζεσθε, αὐτὰ νὰ πράττετε». Παντοτινὰ μὲ αὐτὰ θέλει νὰ ἀσχολούμασθε, αὐτὰ νὰ φροντίζωμε, αὐτὰ νὰ σκεπτώμασθε. Γιατὶ ἂν συμβαίνει νὰ ἔχωμε εἰρήνη μεταξύ μας, καὶ ὁ Θεὸς θὰ εἶναι μαζί μας. Ἂν ὅμως κάνωμε πόλεμο, ὁ Θεὸς τῆς εἰρήνης δὲν θὰ εἶναι μαζί μας. Γιατὶ τίποτε δὲν εἶναι τόσο ἐχθρικὸ στὴν ψυχή, ὅσο ἡ κακία· καὶ τίποτε πάλι δὲν ἀσφαλίζει αὐτὴν, ὅσο ἡ εἰρήνη καὶ ἡ ἀρετή. Συνεπῶς ἐμεῖς πρέπει νά κάνωμε τὴν ἀρχὴ καὶ τότε θὰ προσελκύσωμε τὸν Θεό. Δὲν εἶναι ὁ Θεὸς τοῦ πολέμου καὶ τῆς μάχης. Ἂς καταργήσης λοιπὸν τὸν πόλεμο καὶ τὴ μάχη, καὶ αὐτὴν ποὺ κάνεις πρὸς αὐτὸν καὶ αὐτὴν ποὺ κάνεις πρὸς τὸν πλησίον. Νὰ εἶσαι εἰρηνικὸς πρὸς ὅλους. Κατανόησε ποιοὺς σώζει ὁ

σώζει. «Μακάριοι οἱ εἰρηνοποιοί», φησίν, «ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται». Διαπαντὸς τὸν Υἱὸν τοῦ Θεοῦ μιμοῦνται οἱ τοιοῦτοι, καὶ μίμησαι καὶ σὺ αὐτόν· εἰρήνευσον· ὅσῳ ἂν σε πολεμῇ ὁ ἀδελφός, τοσούτῳ μείζων ὁ μισθός. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, «Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνικὸς». Τοῦτο ἀρετή, τοῦτο μεῖζον ἀνθρωπίνου λογισμοῦ, τοῦτο Θεοῦ ἐγγὺς εἶναι ποιεῖ.

Οὐδέν οὕτως εὐφραίνει τὸν Θεόν, ὡς τὸ μὴ εἶναι μνησίκακον· τοῦτο ἀφίησί σε τῶν ἁμαρτημάτων, τοῦτό σοι λύει τὰ ἐγκλήματα. Ἂν δὲ μαχώμεθα καὶ πυκτεύωμεν, μακρὰν γινόμεθα τοῦ Θεοῦ. Ἀπὸ μὲν γὰρ τῆς μάχης ἔχθραι τίκτονται, ἀπὸ δὲ τῆς ἔχθρας μνησικακίαι. Ἔκοψον τὴν ῥίζαν, καὶ οὐκ ἔσται ὁ καρπός· οὕτω μαθησόμεθα τῶν βιωτικῶν καταφρονεῖν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἐν τοῖς πνευματικοῖς μάχη, ἀλλ' ὅπερ ἂν ἴδῃς γενόμενον, ἢ μάχας, ἢ φθόνον, ἢ ὅπερ ἂν εἴποι τις, βιωτικῶν ἕνεκεν γίνεται· ἢ γὰρ πλεονεξίας, ἢ φθόνου, ἢ κενοδοξίας ἔχει ἀρχὴν πᾶσα μάχη. Αν τοίνυν εἰρηνεύσωμεν, μαθησόμεθα καὶ τῶν ἐν τῇ γῇ καταφρονεῖν. Ἥρπασέ τις τὰ χρήματα; Ἀλλ' οὐδὲν ἠδίκησε, μόνον μὴ τὸν ἄνω πλοῦτον ἁρπάσῃ, φησίν. Ἐνεπόδισέ σου τῇ δόξῃ; Ἀλλ' οὐ τῇ πρὸς Θεόν, ἀλλὰ τῇ οὐδαμινῇ· οὐδὲ γὰρ δόξα αὕτη ἐστίν, ἀλλ' ὄνομα δόξης, μᾶλλον δὲ καὶ ἀδοξία. Ἥρπασέ σου τὴν τιμήν; Ἀλλ' οὐχὶ τὴν σήν, ἀλλὰ τὴν ἑαυτοῦ. Ὥσπερ γὰρ ὁ ἀδικῶν οὐκ ἀδικεῖ, ἀλλ' ἀδικεῖται· οὕτω καὶ πλησίον ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ πρῶτον· ὁ γάρ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, εἰς αὐτὸν ἐμπίπτει.

Μὴ τοίνυν ἐπιβουλεύωμεν ἑτέροις, ἵνα μὴ ἑαυτοὺς βλάπτωμεν. Ὅταν τὴν ἑτέρων δόξαν ὑποσκελίσωμεν, ἐννοήσωμεν ὅτι ἑαυτοὺς βλάπτομεν, ὅτι μᾶλλον ἑαυτοῖς ἐπιβουλεύομεν. Ἐκεῖνον μὲν γὰρ ἴσως, κἂν ἰσχύσωμεν, παρὰ τοῖς ἀνθρώποις βλάπτομεν, ἑαυτοὺς δὲ παρὰ τῷ Θεῷ ἀδικοῦμεν, παροξύνοντες αὐτόν. Μὴ δὴ βλάπτωμεν ἑαυτούς. Ὥσπερ γὰρ εἰ ἀδικοῦμεν τοὺς πλησίον, ἑαυτοὺς ἀδικοῦμεν· οὕτως αὐτοὺς εὖ ποιοῦντες, ἑαυτοὺς

9. Ματθ. 5, 19
10. Ψαλμ. 119, 7
11. Ἐκκλ. 10, 8

Θεός· «Μακάριοι εἶναι οἱ εἰρηνεύοντες», λέγει, «γιατὶ αὐτοὶ θὰ ἀναγνωριστοῦν υἱοὶ Θεοῦ»[9]. Οἱ εἰρηνεύοντες μὲ ὅλους μιμοῦνται πάντοτε τὸν Υἱὸ τοῦ Θεοῦ, νὰ μιμηθῇς καὶ σὺ αὐτόν. Νὰ ζήσης εἰρηνικά. Ὅσο περισσότερο θὰ σὲ πολεμῇ ὁ ἀδελφός, τόσο μεγαλύτερος θὰ εἶναι ὁ μισθός σου. Γιατὶ ἄκουε τὸν προφήτη ποὺ λέγει, «Μὲ ἐκείνους ποὺ μισοῦν τὴν εἰρήνη, ἤμουν εἰρηνικός»[10]. Τοῦτο εἶναι ἀρετή, τοῦτο εἶναι ἀνώτερο ἀπὸ τὸν ἀνθρώπινο νοῦ, τοῦτο συντελεῖ νὰ πλησιάζη ὁ ἄνθρωπος τὸν Θεό.

Δὲν εὐχαριστεῖ τίποτε τόσο τὸν Θεό, ὅσο τὸ νὰ μὴ εἶσαι μνησίκακος. Τοῦτο σὲ συγχωρεῖ τὰ ἁμαρτήματά σου, τοῦτο σὲ ἀπαλλάσσει ἀπὸ τὶς κατηγορίες. Ἂν ὅμως πολεμοῦμε καὶ μαχώμασθε, ἀπομακρυνόμασθε ἀπὸ τὸν Θεό. Γιατὶ ἀπὸ τὴ μάχη προέρχονται οἱ ἔχθρες, ἀπὸ τὴν ἔχθρα οἱ μνησικακίες. Κόψε βαθιὰ τὴ ρίζα καὶ δὲν θὰ ὑπάρχη ὁ καρπός· ἔτσι θὰ μάθωμε νὰ περιφρονοῦμε τὰ ἐπίγεια πράγματα. Γιατὶ δὲν ὑπάρχει, πράγματι δὲν ὑπάρχει στὰ πνευματικὰ μάχη, ἀλλὰ ὅπου ἂν ἰδῇς νὰ γίνεται ἢ μάχη ἢ φθόνος ἢ ὁ,τιδήποτε θὰ μποροῦσε νὰ εἰπῇ κανείς, γίνεται ἐξ αἰτίας τῶν ἐπιγείων· ἔτσι κάθε μάχη ἔχει τὴν ἀρχή της ἢ στὴν πλεονεξία ἢ στὸ φθόνο ἢ στὴν ματαιοδοξία. Ἂν λοιπὸν ζήσωμε εἰρηνικά, θὰ μάθωμε νὰ περιφρονοῦμε καὶ τὰ ἐπίγεια. Ἔκλεψε κάποιος τὰ χρήματα; Δὲν ἔκανε ὅμως κανένα ἀδίκημα, ἀρκεῖ νὰ μὴ ἁρπάξη τὸν οὐράνιο πλοῦτο, θὰ εἰπῇ κάποιος. Ἐμπόδισε τὴ δόξα σου; Ὄχι ὅμως τὴ δόξα πρὸς τὸν Θεό, ἀλλὰ αὐτὴν ποὺ δὲν ἔχει καμμία ἀξία, γιατὶ οὔτε δόξα εἶναι αὐτή, ἀλλὰ ὄνομα δόξας, καλύτερα ὅμως καὶ κακὴ δόξα. Ἔκλεψε τὴν τιμή σου; Ὄχι ὅμως τὴν ἰδική σου, ἀλλὰ τὴν ἰδική του. Ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἀδικεῖ, πραγματικὰ δὲν ἀδικεῖ, ἀλλὰ ἀδικεῖται, ἔτσι καὶ ἐκεῖνος ποὺ ἐπιβουλεύεται τὸν πλησίον, καταστρέφει πρῶτα τὸν ἑαυτό του· γιατὶ ὅποιος ἀνοίγει λάκκο γιὰ τὸν πλησίον του, πέφτει σὲ αὐτὸν ὁ ἴδιος»[11].

Ἂς μὴ ἐπιβουλευώμασθε λοιπὸν τοὺς ἄλλους, γιὰ νὰ μὴ βλάπτωμε τὸν ἑαυτόν μας. Ὅταν θὰ ὑπονομεύσωμε τὴ δόξα τῶν ἄλλων, ἂς κατανοήσωμε ὅτι βλάπτομε τοὺς ἑαυτούς μας, ὅτι περισσότερο ἐπιβουλευόμασθε τοὺς ἑαυτούς μας. Γιατί, ἂν γίνωμε ἰσχυροί, βλάπτομε ἐνδεχομένως ἐκεῖνον ἐνώπιον τῶν ἀνθρώπων, ἀδικοῦμε ὅμως τοὺς ἑαυτοὺς μας ἐνώπιον τοῦ Θεοῦ, ἐπειδὴ τὸν παροργίζομε. Ἂς μὴ βλάπτωμε λοιπὸν τοὺς ἑαυτούς μας. Γιατὶ ὅπως ἀκριβῶς ὅταν ἀδικοῦμε τοὺς πλησίον, ἀδικοῦμε τοὺς ἑαυτούς μας, ἔτσι ὅταν τοὺς εὐεργετοῦμε, εὐεργετοῦμε τοὺς ἑαυ-

εὖ ποιοῦμεν. Ὅταν οὖν σε βλάψῃ ὁ ἐχθρός, ἐννοήσας, ὅτι εὐηργέτησέ σε, ἐὰν νήφῃς, μὴ μόνον τοῖς ἴσοις αὐτὸν ἀμύνῃ, ἀλλὰ καὶ εὐεργέτησον. Ἀλλ' ἡ πληγὴ μένει σφοδρά, φησί. Τοῦτο τοίνυν ἐννόησον, ὅτι οὐκ ἐκεῖνον εὖ ποιεῖς, ἀλλ' ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ εὖ ποιεῖς, καὶ ταχέως ἥξεις πρὸς τὸ εὖ ποιῆσαι. Τί οὖν; καὶ σκοπῷ, φησί, τοιούτῳ ποιεῖν δεῖ; Οὐ δεῖ μὲν τούτῳ ποιεῖν τῷ σκοπῷ· ὅταν δὲ μὴ φέρῃ ἡ καρδία, κἂν τούτῳ, φησίν, αὐτὴν ἐνάγαγε, καὶ ταχέως αὐτὴν πείσεις ἀφεῖναι τὴν ἔχθραν, καὶ οὕτω τῶν μελλόντων ἀγαθῶν ἐπιτεύξῃ· ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὰ ἑξῆς.

---

12. Ἐννοοῦνται τὰ λόγια· μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ Ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

τούς μας. Ὅταν λοιπὸν σὲ βλάψη ὁ ἐχθρός σου, ἀφοῦ σκεφθῆς ὅτι σὲ εὐεργέτησε, νὰ μὴ ἀνταποδώσης μόνο τὰ ἴσα σ' αὐτόν, ἂν εἶσαι συνετός, ἀλλὰ καὶ νὰ τὸν εὐεργετήσης. Ἀλλὰ τὸ κτύπημα παραμένει ἀποτελεσματικό, θὰ εἰπῆ κάποιος. Κατανόησε λοιπὸν τοῦτο, ὅτι δηλαδὴ δὲν εὐεργετεῖς ἐκεῖνον, ἀλλ' ὅτι τιμωρεῖς ἐκεῖνον, εὐεργετεῖς ὅμως τὸν ἑαυτό σου, καὶ γρήγορα θὰ τρέξης γιὰ νὰ εὐεργετήσης. Τί λοιπὸν; Πρέπει νὰ εὐεργετοῦμε, λέγει, μὲ τέτοιο σκοπό; Δὲν πρέπει νὰ ἐνεργοῦμε ἔτσι, ὅταν ὅμως δὲν τὸ ἀνέχεται ἡ καρδιά, ἔστω μὲ τέτοιο σκοπό, ὤθησε αὐτὴν καὶ γρήγορα θὰ τὴν πείσης νὰ ἀφήση τὴν ἔχθρα καὶ στὴ συνέχεια θὰ εὐεργετήσης ὡς φίλο τὸν ἐχθρό σου. Ἔτσι θὰ ἐπιτύχης τὰ μέλλοντα ἀγαθὰ, τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ ἐπιτύχωμε μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὰ ἑπόμενα[12].

ΟΜΙΛΙΑ ΙΕ΄

(Φιλιπ. 4,10 – 23)

«Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης εἶναι. Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα και περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. Πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει».

1. Πολλάκις εἶπον, ὅτι ἡ ἐλεημοσύνη οὐ τῶν λαμβανόντων ἕνεκεν, ἀλλὰ τῶν διδόντων ἐπεισήχθη· καὶ γὰρ ἐκεῖνοί εἰσιν οἱ τὰ μέγιστα κερδαίνοντες. Τοῦτο καὶ ἐνταῦθα δείκνυσιν ὁ Παῦλος. Πῶς; Ἀπέστειλαν αὐτῷ τινα διὰ μακροῦ χρόνου Φιλιππήσιοι, αὐτὰ δὴ ταῦτα Ἐπαφροδίτῳ ἐγχειρίσαντες. Μέλλων τοίνυν αὐτὸν πέμπειν τὴν ἐπιστολὴν ἀποκομίζοντα, ὅρα πῶς καὶ ἐπαινεῖ αὐτούς, καὶ δείκνυσιν ὅτι οὐ τῆς τῶν λαμβανόντων χρείας, ἀλλὰ τῆς τῶν διδόντων ἕνεκεν τοῦτο γεγένηται. Τοῦτο δὲ ποιεῖ, ἵνα μήτε εἰς ἀπόνοιαν αἴρωνται οἱ εὖ ποιοῦντες, καὶ προθυμότεροι γίνωνται περὶ τὸ εὖ ποιεῖν, ἅτε ἑαυτοὺς μᾶλλον ὠφελοῦντες, οἵ τε λαμβάνοντες μὴ ἐπιτρέχωσιν ἀδεῶς τῷ λαμβάνειν, ἵνα μὴ κρῖμα ἔχωσι· «Μακάριον γάρ ἐστι», φησί, «διδόναι μᾶλλον, ἢ λαμβάνειν».

Τί οὖν δηλοῖ λέγων, «Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως»; Οὐ κοσμικῶς ἐχάρην, φησίν, οὐδὲ βιωτικῶς, ἀλλ' ἐν Κυρίῳ· οὐχ ὅτι ἀνάπαυσιν ἔσχον ἐγώ, ἀλλ' ὅτι ὑμεῖς προεκόψατε· ἡ γὰρ ἐμὴ ἀνάπαυσις, αὕτη ἐστί. Διὰ τοῦτο καί φησι, «Μεγάλως»· ἐπειδὴ οὐ σωματικὴ ἦν ἡ χαρά, οὐδὲ ὑπὲρ τῆς αὐτοῦ ἀναπαύσεως ἔχαιρεν,

1. Πραξ. 20, 35

ΟΜΙΛΙΑ ΙΕ΄

(Φιλιπ. 4,10 – 23)

«Ἐχάρηκα πάρα πολὺ τὴν κατὰ Κύριο χαρά, γιατὶ ἐπὶ τέλους ἐδυνάμωσε πάλι τώρα τὸ ἐνδιαφέρον σας γιὰ ἐμέ, τὸ ὁποῖο εἴχατε καὶ στὸ παρελθόν, δὲν εἴχατε ὅμως εὐκαιρία νὰ τὸ δείξετε. Δὲν λέγω αὐτά, ἐπειδὴ εὑρίσκομαι σὲ κατάστασι στερήσεως· γιατὶ ἐγὼ ἔμαθα σὲ ὅλες τὶς περιστάσεις, ὑπὸ τὶς ὁποῖες εὑρίσκομαι, νὰ εἶμαι αὐτάρκης. Γνωρίζω καὶ νὰ ὑπομένω τὶς ταπεινώσεις, γνωρίζω και νὰ συμπεριφέρωμαι σωστὰ ὅταν ἔχω ἄφθονα ἀγαθά. Ἔχω μυηθῆ στὸ καθετὶ καὶ σὲ ὅλα, καὶ νὰ χορταίνω καὶ νὰ πεινῶ καὶ νὰ συμπεριφέρωμαι σωστὰ ὅταν τὰ ἔχω ἄφθονα καὶ νὰ ὑπομένω τὴ στέρησι. Τα πάντα κατορθώνω μὲ τὴ δύναμι τοῦ Χριστοῦ. Ἀλλ' ὅμως ἐκάνατε καλὰ ποὺ ἐγίνατε συμμέτοχοι στὴ θλῖψι μου».

1. Πολλὲς φορὲς εἶπα, ὅτι ἡ ἐλεημοσύνη δὲν εἰσήχθηκε γιὰ χάρι ἐκείνων ποὺ λαμβάνουν, ἀλλ' ἐκείνων ποὺ δίνουν, γιατὶ πραγματικὰ ἐκεῖνοι εἶναι πού ὠφελοῦνται πάρα πολύ. Αὐτὸ ἀποδεικνύει καὶ ὁ Παῦλος ἐδῶ. Πῶς; Οἱ Φιλιππήσιοι ἀπέστειλαν σ' αὐτὸν μερικὰ ἐφόδια ἔπειτα ἀπὸ πολὺ καιρό, ἀναθέτοντας αὐτὰ στὸν Ἐπαφρόδιτο. Καθὼς ἐπρόκειτο λοιπὸν νὰ στείλῃ αὐτὸν γιὰ νὰ μεταφέρῃ τὴν ἐπιστολή, πρόσεξε πῶς τοὺς ἐπαινεῖ καὶ δείχνει ὅτι δὲν γίνεται αὐτὸ ἐξ αἰτίας τῆς ὠφελείας ἐκείνων ποὺ λαμβάνουν, ἀλλὰ ἐκείνων ποὺ δίνουν. Καὶ κάνει αὐτό, ὥστε οὔτε νὰ ἀλαζονεύωνται αὐτοὶ ποὺ κάνουν ἀγαθοεργία, ἐπειδὴ ὠφελοῦν περισσότερο τὸν ἑαυτό τους, καὶ ἐκεῖνοι ποὺ λαμβάνουν νὰ μὴ τρέχουν ἄφοβα στὸ νὰ λαμβάνουν, γιὰ νὰ μὴ ἔχουν κρίμα. «Εἶναι πιὸ μακάριο», λέγει, τὸ νὰ δίνῃ κανεὶς παρὰ νὰ λαμβάνῃ»[1].

Τί, λοιπόν, θέλει νὰ εἰπῇ λέγοντας, «Ἐχάρηκα πάρα πολὺ τὴν κατὰ Κύριο χαρά»; Δὲν ἐχάρηκα κοσμικά, λέγει, οὔτε βιωτικά, ἀλλὰ κατὰ Κύριο, ὄχι γιατὶ εἶχα ἀνάπαυσι ἐγώ, ἀλλὰ γιατὶ ἐπροκόψατε ἐσεῖς, ἀφοῦ αὐτὴ εἶναι ἡ ἰδική μου ἀνάπαυσις. Γι' αὐτὸ καὶ λέγει, «Πάρα πολύ», ἐπειδὴ ἡ χαρὰ δὲν ἦταν σωματική, οὔτε γιὰ τὴν ἰδική

ἀλλ' ὑπὲρ τῆς ἐκείνων προκοπῆς. Καὶ ὅρα πῶς ἠρέμα ἐπιτιμήσας ὑπὲρ τοῦ παρελθόντος χρόνου, ταχέως αὐτὸ συνεσκίασε, παιδεύων συνεχῶς καὶ διαπαντὸς ἐν εὐποιίᾳ εἶναι. «Ὅτι ἤδη ποτέ», φησί. Τό, «Ἤδη ποτέ», χρόνον δηλοῦντός ἐστι μακρόν. «Ἀνεθάλετε»· ὡς ἐπὶ δένδρων βλαστησάντων, εἶτα ξηρανθέντων, καὶ πάλιν βλαστησάντων. Τοῦτο δὲ δεικνύντος ἐστίν, ὅτι πρότερον ὄντες ἀνθηροί, ἐμαράνθησαν· εἶτα μαρανθέντες, πάλιν ἐβλάστησαν· ὥστε καὶ ἐπιτίμησίς ἐστι καὶ ἔπαινος τό, «Ἀνεθάλετε»· οὐ γάρ ἐστι μικρόν, τὸ μαρανθέντα ἀναθῆλαι. Καὶ τὸ πᾶν ἀπό ῥᾳθυμίας αὐτούς πεπονθότας δείκνυσιν.

«Εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε». Ἐνταῦθα δὲ δηλοῖ, ὅτι ἔθος εἶχον καὶ πρὸ τούτου ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι. Διὰ τοῦτο ἐπήγαγεν, «Εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε». Καὶ ἵνα μὴ νομίσῃς καὶ ἐν τοῖς λοιποῖς προθυμοτέρους αὐτοὺς γεγενῆσθαι, καὶ μεμαράνθαι, ἀλλ' ἐν τούτῳ μόνῳ, ὅρα πῶς αὐτὸ ἀσφαλίζεται λέγων· «Ἤδη ποτὲ ἀνεθάλετε εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν»· ὡσεὶ ἔλεγεν· Εἰς τοῦτό φημι μόνον τό, «Ἤδη ποτέ»· ἐν γὰρ τοῖς ἄλλοις οὐχ οὕτω. Ζητήσειε δ' ἄν τις ἐνταῦθα, πῶς λέγων, «Μακαριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν»· καί, «Ὅτι αἱ χεῖρές μου ὑπηρέτησαν ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ»· καὶ πάλιν πρὸς Κορινθίους γράφων ἔλεγε, «Καλὸν γάρ μοι ἀποθανεῖν μᾶλλον, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ»· νῦν περιορᾷ κενούμενον ἑαυτοῦ τὸ καύχημα. Πῶς; Λαβών. Εἰ γὰρ τὸ καύχημα τοῦτο ἦν, τὸ μηδὲν λαβεῖν, πῶς νῦν ἀνέχεται; τί οὖν ἔστιν εἰπεῖν;

Ἐκεῖ εἰκότως οὐκ ἐλάμβανε διὰ τοὺς ψευδαποστόλους, «Ἵνα ἐν ᾧ καυχῶνται», φησίν, «εὑρεθῶσι καθὼς καὶ ἡμεῖς». Καὶ οὐκ εἶπεν, εἰσίν, ἀλλά, «καυχῶνται», δηλῶν ἐκ τούτου ὅτι ἐλάμβανον μέν, λανθανόντως δέ. Διὰ τοῦτο εἶπεν, «Ἐν ᾧ καυχῶνται». Ἐλάμβανε δὲ καὶ αὐτός, εἰ καὶ μὴ ἐκεῖ· διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν· «Οὐ φραγήσεται τὸ καύχημά μου». Καὶ οὐχ ἁπλῶς εἶπεν, «Οὐ φραγήσεται», ἀλλὰ τί; «Ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας»· καὶ τό, «Ἄλλας Ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν δια-

2. Πραξ. 20, 34
3. Α' Κορ. 9, 15
4. Β' Κορ. 11, 12
5. Β' Κορ. 11, 10
6. Β' Κορ. 11, 8

του ἀνάπαυσι ἔχαιρε, ἀλλὰ γιὰ τὴν πρόοδο ἐκείνων. Καί πρόσεξε πῶς ἀφοῦ τοὺς ἐπετίμησε ἤρεμα γιὰ τὸν παρελθόντα χρόνο, γρήγορα ἐκάλυψε αὐτό, γιὰ νὰ μᾶς διδάξη ὅτι πρέπει συνέχεια καί παντοτινά νά κάνωμε ἀγαθὰ ἔργα. «Γιατὶ ἐπὶ τέλους τώρα», λέγει. Τὸ «Ἐπὶ τέλους τώρα», δηλώνει πολὺ χρόνο. «Ἐξαναβλαστήσατε», ὅπως στὴν περίπτωσι τῶν δένδρων ποὺ ἐβλάστησαν, ἔπειτα ἐξηράθηκαν καὶ πάλι ἐβλάστησαν. Αὐτὸ ὅμως ἀποδεικνύει ὅτι, ἐνῶ προηγουμένως ἦσαν ἀνθηροί, ἐμαράθηκαν· ἔπειτα ἀφοῦ ἐμαράθηκαν, ἐβλάστησαν πάλι. Ὥστε τὸ «Ἐξαναβλαστήσατε» εἶναι μαζὶ καὶ ἐπιτίμησις καὶ ἔπαινος, γιατὶ δὲν εἶναι μικρὸ πρᾶγμα τὸ νὰ ξαναβλαστήση κάποιος ποὺ ἐμαράθηκε. Ἀποδεικνύει ἀκόμη ὅτι ἔχουν πάθει τὸ καθετὶ ἐξ αἰτίας τῆς ἀδιαφορίας τους.

«Στὸ ἐνδιαφέρον σας γιὰ ἐμέ, τὸ ὁποῖο εἴχατε καὶ στὸ παρελθόν». Ἐδῶ ὅμως φανερώνει ὅτι εἶχαν συνήθεια καὶ ἀπὸ πρὶν νὰ εἶναι στὶς περιπτώσεις αὐτὲς γενναιόδωροι. Γι' αὐτὸ ἐπρόσθεσε, «Στὸ ἐνδιαφέρον σας γιὰ ἐμέ, τὸ ὁποῖο εἴχατε καὶ κατὰ τὸ παρελθόν». Καὶ γιὰ νὰ μὴ νομίσης ὅτι καὶ στὰ ὑπόλοιπα εἶχαν γίνει πιὸ πρόθυμοι καὶ εἶχαν μαραθῆ, ἀλλὰ μόνο σ' αὐτό, πρόσεξε τὸ προφυλάσσει αὐτὸ λέγοντας, «Ἐπὶ τέλους τώρα ἐξαναβλάστησε τὸ ἐνδιαφέρον σας γιὰ ἐμέ». Ὡσὰν νὰ ἔλεγε· Σ' αὐτὸ μόνο λέγω τό, «Ἐπί τέλους τώρα», γιατὶ στὰ ἄλλα δὲν συμβαίνει τὸ ἴδιο. Θὰ ἤθελε νὰ μάθη κανεὶς ἐδῶ, πῶς λέγοντας «Εἶναι πιὸ μακάριο τὸ νὰ δίνη κανεὶς παρὰ τὸ νὰ λαμβάνη» καὶ «Ὅτι τὰ χέρια μου ὑπηρέτησαν τὶς ἀνάγκες μου καὶ αὐτοὺς ποὺ ἦσαν μαζί μου»[2]. Καὶ πάλι ὅταν ἔγραφε πρὸς τοὺς Κορινθίους ἔλεγε, «Γιατὶ ἐγὼ προτιμῶ νὰ πεθάνω μᾶλλον παρὰ νὰ καταστήση κάποιος κενὸ τὸ καύχημά μου»[3]· ἀνέχεται τώρα νὰ γίνεται κενὸ τὸ καύχημά του. Μὲ ποιό τρόπο; Ἐπειδὴ ἔλαβε. Γιατὶ ἂν τὸ καύχημά του ἦταν αὐτό, δηλαδὴ τὸ νὰ μὴ λαμβάνη τίποτε, πῶς τώρα ἀνέχεται; τί λοιπὸν μποροῦμε νὰ εἰποῦμε;

Ἐκεῖ εὔλογα δὲν ἐλάμβανε ἐξ αἰτίας τῶν ψευδαποστόλων, «Γιὰ νὰ εὑρεθοῦν στὶς καυχησιολογίες τους ὅτι εἶναι καθὼς εἴμασθε καὶ ἐμεῖς»[4]. Καὶ δὲν εἶπε, εἶναι, ἀλλά, «Καυχῶνται», δηλώνοντας ἀπὸ αὐτὸ ὅτι ἐλάμβαναν, ἀλλὰ κρυφά. Γι' αὐτὸ εἶπε, «Σ' ἐκεῖνο γιὰ τὸ ὁποῖο καυχῶνται». Ἐλάμβανε ὅμως καὶ αὐτός, ἔστω καὶ ἂν δὲν ἐλάμβανε ἐκεῖ. Γι' αὐτὸ καὶ αὐτὸς ἔλεγε· «Δὲν θὰ ἀποστομωθῆ τὸ καύχημά μου»[5]. Καὶ δὲν εἶπε ἁπλά, «Δὲν θὰ ἀποστομωθῆ», ἀλλὰ τί; «Στὰ μέρη τῆς Ἀχαΐας». Καὶ τό, «Ἐλαφυραγώγησα ἄλλες Ἐκκλησίες καὶ ἔλαβα τὰ ἐφόδια γιὰ νὰ σᾶς ὑπηρετήσω»[6], φανερώνει

κονίαν»· δηλοῦντός ἐστιν, ὅτι ἐλάμβανεν. Ἀλλὰ Παῦλος μὲν εἰκότως ἐλάμβανεν, ἔργον ἔχων τηλικοῦτον, εἴ που καὶ ἐλάμβανεν· οἱ δὲ μηδὲν ἐργαζόμενοι, πῶς ἂν δύναιντο λαμβάνειν; Ἀλλ' εὔχομαι, φησίν. Ἀλλ' οὐκ ἔστι τοῦτο ἔργον· τοῦτο γὰρ ἔστι καὶ μετὰ ἔργου ποιεῖν. Ἀλλὰ νηστεύω. Ἀλλ' οὐδὲ τοῦτο ἔργον. Ἀλλ' ὅρα τὸν μακάριον τοῦτον πολλαχοῦ κηρύττοντα, καὶ ἐργαζόμενον. «Ἠκαιρεῖσθε δέ», φησί. Τί ἐστιν, «Ἠκαιρεῖσθε»; Οὐ τῆς ῥᾳθυμίας ὑμῶν, φησίν, ἀλλὰ τῆς ἀνάγκης· οὐκ εἴχετε ἐν χερσίν, οὐδὲ ἐν ἀφθονίᾳ ἦτε· τοῦτο γάρ ἐστιν, «Ἠκαιρεῖσθε δέ». Ἀπὸ τῆς κοινῆς αὐτὸ συνηθείας ἔλαβεν. Οὕτω γὰρ οἱ πλείους λέγουσιν, ὅταν αὐτοῖς μὴ μετὰ ἀφθονίας ἐπιῤῥέῃ τὰ βιωτικά, ἀλλ' ἐν στενοχωρίᾳ ᾖ. «Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω». Εἶπον, φησίν, «Ἤδη ποτέ», καὶ ἐπετίμησα, οὐχὶ τὸ ἐμαυτοῦ ζητήσας, οὐδὲ διὰ τοῦτο ἐζήτουν. Πόθεν δῆλον, ὅτι οὐ κομπάζεις, ὦ Παῦλε; Κορινθίοις μὲν οὖν φησιν· «Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε». Καὶ ἐπὶ τούτων δὲ οὐκ ἄν, ὥστε ἁλῶναι, ἔλεγεν. Οὐκ ἄν, εἴ γε ἐκόμπαζε, ταῦτα εἶπε· παρὰ γὰρ εἰδόσιν ἔλεγε, καὶ πλείων ἦν ἡ αἰσχύνη ἁλῶναι.

«Ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμι», φησίν, «αὐτάρκης εἶναι». Ἄρα διδασκαλίας ἐστὶ τὸ πρᾶγμα, καὶ γυμνασίας καὶ μελέτης. Οὐ γὰρ εὐκατόρθωτόν ἐστιν, ἀλλὰ καὶ σφόδρα δύσκολον καὶ πόνον ἔχον πολύν. «Ἐν οἷς εἰμι», φησίν, «αὐτάρκης εἶναι. Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι». Τουτέστι, καὶ ὀλίγοις κεχρῆσθαι οἶδα, καὶ λιμὸν φέρειν καὶ ἔνδειαν. «Καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι». Ναί, φησίν· ἀλλὰ τοῦτο οὐκ ἔστιν ἐπιστήμης, ὥσπερ οὐδὲ ἀρετῆς, τὸ περισσεύειν. Καὶ σφόδρα ἀρετῆς, οὐχ ἧττον ἢ ἐκεῖνο. Πῶς; Ὅτι ὥσπερ ἡ στεναχωρία πολλὰ παρασκευάζει κακὰ ποιεῖν, οὕτω καὶ ἡ πλησμονή.

7. Β΄ Κορ. 1, 13

ὅτι ἐλάμβανε. Ἀλλὰ ὁ Παῦλος εὔλογα βέβαια ἐλάμβανε, ἐπειδὴ εἶχε ἕνα τέτοιο ἔργο, ἂν πράγματι κάπου ἐλάμβανε. Ἐκεῖνοι ὅμως ποὺ δὲν ἐργάζονται καθόλου, πῶς θὰ ἠμποροῦσαν νὰ λαμβάνουν; Ὅμως προσεύχονται, θὰ εἰπῆ κάποιος. Ἀλλὰ δὲν εἶναι αὐτὸ ἔργο, γιατὶ αὐτὸ εἶναι νὰ κάνης μαζὶ καὶ ἔργο. Ὅμως νηστεύω. Ἀλλὰ οὔτε καὶ αὐτὸ εἶναι ἔργο. Πρόσεξε ὅμως τὸν μακάριο Παῦλο νὰ κυρύττη σὲ πολλὰ μέρη καὶ νὰ ἐργάζεται. «Δὲν εἴχατε ὅμως τὴν εὐκαιρία», λέγει. Τὶ σημαίνει, «Δὲν εἴχατε τὴν εὐκαιρία»; Δὲν ἦταν ἀποτέλεσμα τῆς ἀδιαφορίας σας, λέγει, ἀλλὰ τῆς ἀνάγκης· δὲν εἴχατε στὰ χέρια σας, οὔτε ἐζούσατε μέσα σὲ ἀφθονία ἀγαθῶν. Αὐτὸ λοιπὸν σημαίνει, «Δὲν εἴχατε ὅμως τὴν εὐκαιρία». Ἔλαβε αὐτὸ ἀπὸ τὴν καθημερινὴ συνήθεια. Ἔτσι λοιπὸν οἱ πιὸ πολλοὶ λέγουν, ὅταν δὲν συρρέουν μὲ ἀφθονία τὰ ἀγαθά σ' αὐτούς, ὅτι εἶναι ἀνεπαρκῆ. «Δὲν λέγω αὐτὰ ἐπειδὴ εὑρίσκομαι σὲ κατάσταση στερήσεως». Εἶπα, λέγει ὁ Παῦλος, «Ἐπὶ τέλους τώρα», καὶ σᾶς ἐπετίμησα, ὄχι ἐπειδὴ ἐζήτησα τὸ ἰδικό μου συμφέρον, οὔτε γι' αὐτὸ σᾶς κατηγορῶ, ἐπειδὴ εὑρίσκομαι σὲ ἔνδεια· οὔτε βέβαια γι' αὐτὸ ἐζητοῦσα. Ἀπὸ ποῦ γίνεται φανερό, ὅτι δὲν ὑπερηφανεύεσαι, Παῦλε; Πρὸς τούς Κορινθίους λοιπὸν λέγει· «Γιατὶ δὲν σᾶς γράφομε ἄλλα, παρὰ ἐκεῖνα ποὺ διαβάζετε καὶ καταλαβαίνετε»[7]. Καὶ σ' αὐτοὺς ὅμως δὲν θὰ ἔλεγε, ὥστε νὰ καταδικασθῆ. Δὲν θὰ ἔλεγε αὐτά, ἂν βέβαια ὑπερηφανεύετο, γιατὶ ἔλεγε ἐνώπιον ἐκείνων ποὺ γνωρίζουν καὶ ἦταν πιὸ μεγάλη ἡ ἐντροπὴ νὰ πεθάνη.

«Γιατὶ ἐγὼ ἔμαθα σὲ ὅλες τὶς περιστάσεις ὑπὸ τὶς ὁποῖες εὑρίσκομαι νὰ εἶμαι αὐτάρκης», λέγει ὁ Παῦλος. Συνεπῶς τὸ πρᾶγμα εἶναι ὑπόθεσις διδασκαλίας, ἐξασκήσεως καὶ συνηθείας. Γιατὶ δὲν κατορθώνεται εὔκολα, ἀλλὰ πάρα πολὺ δύσκολα καὶ ἀπαιτεῖ πολὺ κόπο. «Σὲ ὅλες τὶς περιστάσεις ὑπὸ τὶς ὁποῖες εὑρίσκομαι», λέγει, «εἶμαι αὐτάρκης. Γνωρίζω καὶ νὰ ὑπομένω ταπεινώσεις, γνωρίζω καὶ νὰ συμπεριφέρωμαι ὅταν ἔχω ἄφθονα ἀγαθά· ἔχω μυηθῆ στὸ καθετὶ καὶ σὲ ὅλα». Δηλαδὴ, Γνωρίζω καὶ τὰ λίγα νὰ μεταχειρίζωμαι, καὶ τὴν πεῖνα καὶ τὴν ἀνέχεια νὰ ὑποφέρω. «Καὶ νὰ συμπεριφέρωμαι σωστὰ ὅταν ἔχω ἄφθονα ἀγαθὰ καὶ νὰ ὑπομένω τὴ στέρησι». Ναί, λέγει· ἀλλὰ αὐτὸ δὲν εἶναι ἀποτέλεσμα μαθήσεως, ὅπως οὔτε εἶναι ἀρετῆς, τὸ νὰ ἔχω ἄφθονα τὰ ἀγαθά. Καὶ μάλιστα μεγάλης ἀρετῆς, ὄχι λιγώτερο ἀπὸ ἐκεῖνο. Πῶς συμβαίνει αὐτό; Γιατὶ ὅπως ἀκριβῶς ἡ ἀνεπάρκεια ἀγαθῶν μᾶς προετοιμάζει νὰ κάνωμε πολλὰ κακά, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ἀφθονία.

2. Πολλοὶ γὰρ πολλάκις ἐν ἀφθονίᾳ γενόμενοι, ῥᾳθυμότεροι ἐγένοντο, καὶ οὐκ ἔγνωσαν ἐνεγκεῖν τὴν εὐπραγίαν· πολλοὶ πολλάκις ἀφορμὴν ἔλαβον τοῦ μηκέτι ἐργάζεσθαι. Ἀλλ' οὐχ ὁ Παῦλος· καὶ γὰρ λαμβάνων εἰς ἄλλους ἀνήλισκε, καὶ εἰς ἄλλους ἐκένου. Τοῦτο δέ ἐστιν εἰδέναι καλῶς κεχρῆσθαι τῷ ἔχειν. Οὐχὶ διεχεῖτο, οὐδὲ ἔχαιρεν ἐπὶ τῇ περισσείᾳ αὐτοῦ, ἀλλ' ἴσος ἦν ἔν τε ἐνδείᾳ, ἔν τε πλησμονῇ, οὔτε ἐκεῖθεν πιεζόμενος, οὔτε ἐντεῦθεν χαυνούμενος. «Καὶ χορτάζεσθαι», φησίν, «οἶδα καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι». Πολλοὶ οὐκ ἴσασι χορτάζεσθαι, οἷον οἱ Ἰσραηλῖται· ἐκεῖνοι γὰρ ἔφαγον, καὶ ἀπελάκτισαν. Ἀλλ' ἐπὶ τῆς αὐτῆς εὐταξίας ἐγὼ μένω. Δείκνυσιν ὅτι οὔτε νῦν ἥσθη, οὔτε πρότερον ἐλυπεῖτο· εἰ δὲ καὶ ἐλυπεῖτο, οὐκ αὐτοῦ ἕνεκεν, ἀλλ' αὐτῶν· αὐτὸς γὰρ ὁμοίως διέκειτο. «Ἐν παντί», φησί, «καὶ ἐν πᾶσι μεμύημαι». Τουτέστι, Πεῖραν ἔλαβον ἐν τῷ μακρῷ τούτῳ χρόνῳ πάντων, καὶ ταῦτά μοι πάντα κατώρθωται. Ἀλλ' ἐπειδὴ μεγαληγορία τὸ πρᾶγμα ἦν, ὅρα πῶς ἐπιλαμβάνεται ταχέως, καί φησι· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυμοῦντί με Χριστῷ», φησίν. «Οὐκ ἐμὸν τὸ κατόρθωμα, ἀλλὰ τοῦ τὴν ἰσχὺν δεδωκότος ἐστίν. Ἀλλ' ἐπειδὴ πάλιν οἱ εὖ ποιοῦντες, ὅταν ἴδωσιν οὐ διατιθέμενον εὖ τὸν λαμβάνοντα, ἀλλὰ καταφρονοῦντα τῶν διδομένων, ῥαθυμότεροι γίνονται· αὐτοὶ γὰρ ὡς χαριζόμενοι διέκειντο καὶ ἀναπαύοντες· ἵνα οὖν μὴ τοῦτο γένηται, μηδέ τις εἴπῃ, ὅτι Ἐπεὶ καταφρονεῖ τῆς ἀναπαύσεως Παῦλος, ἀνάγκη τούτους ῥᾳθυμοτέρους γενέσθαι· ὅρα πῶς πάλιν καὶ τοῦτο ἰᾶται. Διὰ μὲν γὰρ τῶν εἰρημένων τὸ φρόνημα αὐτῶν κατέσπασε· διὰ δὲ τῶν ἑξῆς τὴν προθυμίαν αὐτῶν ἀναζῆν ποιεῖ, λέγων· «Πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει».

Ὁρᾷς καὶ πῶς ἀπέστησεν ἑαυτόν, καὶ πῶς πάλιν ἥνωσε; Τοῦτο γνησίας φιλίας ἐστὶ καὶ πνευματικῆς. Μὴ γὰρ ἐπειδή, φησίν, ἐν χρείᾳ οὐ καθέστηκα, νομίσητε μὴ δεῖσθαί με τοῦ πράγματος· δέομαι δι' ὑμᾶς. Πῶς οὖν ἐκοινώνησαν αὐτῷ τῶν θλίψεων; Διὰ τούτου· ὅπερ καὶ δεσμούμενος ἔλεγε, «Συγκοινωνούς μου

8. Δευτ. 32, 15

2. Πολλὲς φορὲς βέβαια ἄνθρωποι ποὺ ἀπέκτησαν ἄφθονα ἀγαθά, ἔγιναν πιὸ ἀδιάφοροι καὶ δὲν ἐγνώρισαν νὰ κάνουν καλὴ χρῆσι τῶν ἀγαθῶν· πολλοὶ μάλιστα ἔλαβαν αὐτὸ ὡς ἀφορμὴ γιὰ νὰ μὴ ἐργάζωνται πιά. Ὁ Παῦλος ὅμως δὲν ἐσυμπεριφέρετο ἔτσι, γιατὶ καὶ ὅταν ἐλάμβανε τὰ ἐξόδευε καὶ τὰ ἐσκόρπιζε σὲ ἄλλους. Αὐτὸ ὅμως σημαίνει ὅτι γνωρίζει καλὰ νὰ χρησιμοποιῆ τὴν περιουσία του. Δὲν ἐδιασκέδαζε, οὔτε ἔχαιρε γιὰ τὴν ἀφθονία τῶν ἀγαθῶν του, ἀλλὰ ἦταν ὁ ἴδιος καὶ στὴν πενία καὶ στὴν ἀφθονία τῶν ἀγαθῶν, χωρὶς νὰ πιέζεται ἀπὸ τὴν πρώτη, οὔτε νὰ γίνεται νωθρὸς ἀπὸ τὴν ἄλλη. «Γνωρίζω», λέγει, «καὶ νὰ χορταίνω καὶ νὰ πεινῶ καὶ νὰ συμπεριφέρωμαι σωστὰ ὅταν ἔχω ἄφθονα τὰ ἀγαθὰ καὶ νὰ ὑπομένω τὴ στέρησι». Πολλοὶ δὲν γνωρίζουν νὰ χορταίνουν, ὅπως οἱ Ἰσραηλῖτες, οἱ ὁποῖοι ἔφαγαν καὶ ἀπελάκτισαν[8]. Ἐγὼ ὅμως παραμένω στὴν ἴδια ἐγκράτεια κατὰ τὸ φαγητό. Δείχνει ὅτι οὔτε τώρα εὐχαριστήθηκε, οὔτε προηγουμένως ἐστενοχωρεῖτο· ἐὰν ὅμως ἐστενοχωρεῖτο, δὲν ἐστενοχωρεῖτο ἐξ αἰτίας αὐτοῦ, ἀλλὰ ἐξ αἰτίας αὐτῶν, γιατὶ αὐτὸς ἐσυμπεριφέρετο κατὰ τὸν ἴδιο τρόπο. «Ἔχω μυηθῆ», λέγει, «στὸ καθετὶ καὶ σὲ ὅλα». Δηλαδή, ἐγνώρισα κατὰ τὸ μικρὸ τοῦτο χρονικὸ διάστηματὰ πάντα καὶ αὐτὰ ὅλα ἔχω κατορθώσει. Ἐπειδὴ ὅμως τὰ λόγια αὐτὰ ἀποτελοῦν καυχησιολογία, πρόσεξε πῶς ἐνεργεῖ γρήγορα, καὶ λέγει· «Τὰ πάντα κατορθώνω μὲ τὴ δύναμι τοῦ Χριστοῦ». Δὲν εἶναι ἰδικό μου τὸ κατόρθωμα, ἀλλὰ ἐκείνου ποὺ μοῦ ἔχει δώσει τὴ δύναμι. Ἐπειδὴ ὅμως πάλι αὐτοὶ ποὺ εὐεργετοῦν, γίνονται πιὸ ἀδιάφοροι, ὅταν ἰδοῦν ὅτι δέν συμπεριφέρεται καλὰ ἐκεῖνος ποὺ εὐεργετεῖται, ἀλλὰ περιφρονεῖ τὴν εὐεργεσία καὶ συμπεριφέρεται σὰν νὰ εἶναι αὐτὸς ποὺ προσφέρει καὶ ἀνακουφίζη τοὺς ἄλλους, γιὰ νὰ μὴ συμβῆ λοιπὸν αὐτό, οὔτε νὰ εἰπῆ κανείς, ἐπειδὴ ὁ Παῦλος περιφρονεῖ τὴν ἀνάπαυσι, ὅτι εἶναι ἀνάγκη νὰ γίνουν πιὸ ἀδιάφοροι αὐτοί, πρόσεχε πῶς πάλι καὶ αὐτὸ θεραπεύει. Μὲ αὐτὰ ποὺ ἔχει εἰπῆ ἀπέκοψε τὴ διάθεσι αὐτῶν καὶ μὲ τὰ ἑπόμενα κάνει νὰ ξαναζωντανεύση ἡ προθυμία τους. «Ἀλλ' ὅμως ἐκάνατε καλὰ ποὺ ἐγίνατε συμμέτοχοι στὴ θλῖψι μου».

Βλέπεις πῶς ἀπεμάκρυνε τὸν ἑαυτό του καὶ πῶς πάλι τὸν ἥνωσε; Τοῦτο εἶναι χαρακτηριστικὸ τῆς γνησίας καὶ πνευματικῆς φιλίας. Μὴ νομίσετε λοιπόν, λέγει, ἐπειδὴ δὲν εὑρέθηκα σὲ ἀνάγκη, ὅτι δὲν μοῦ χρειάζεται αὐτό· σᾶς χρειάζομαι. Μὲ ποιὸ τρόπο λοιπὸν ἔγιναν συμμέτοχοι στὶς θλίψεις του; Μὲ τὸν ἴδιο ποὺ καὶ ὅταν ἦταν δέσμιος ἔλεγε, «Εἶσθε ὅλοι σας συμμέτοχοι στὴ χάρι

τῆς χάριτος πάντας ὑμᾶς». Χάρις γάρ ἐστι τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, ὥς που καὶ αὐτός φησιν. «Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ Θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν». Ἐπειδὴ γὰρ ἐκεῖνα καταμόνας λεγόμενα ἀλγῆσαι αὐτοὺς ἱκανὰ ἦν, διὰ τοῦτο θεραπεύει καὶ ἀποδέχεται καὶ ἐπαινεῖ πάλιν, καὶ τοῦτο μεμετρημένως. Οὐ γὰρ εἶπε, Δόντες, ἀλλά, «Συγκοινωνήσαντες», δεικνὺς αὐτοὺς καὶ κερδάναντας, εἴ γε τῶν ἄθλων ἐγένοντο κοινωνοί. Οὐκ εἶπεν, Ἐπικουφίσαντές μου τὰς θλίψεις, ἀλλά, «Συγκοινωνήσαντές μου τῇ θλίψει», ὅπερ ἦν σεμνότερον.

Ὁρᾷς τὸ ταπεινὸν Παύλου; ὁρᾷς τὸ εὐγενές; Ὅτε ἔδειξεν οὐδὲν δεόμενον τῶν παρ' ἐκείνων αὐτοῦ ἕνεκεν, τότε λοιπὸν ἀδεῶς καὶ ταπεινὰ φθέγγεται ῥήματα, καὶ ἅπερ οἱ προσαιτοῦντες λέγουσιν, Ὡς ἔθος ἔχεις διδόναι. Οὐδὲν γὰρ παραιτεῖται οὔτε ποιεῖν, οὔτε λέγειν, πρὸς τὸ μόνον, ὃ βούλεται, κατορθῶσαι. Τί δὲ τοῦτό ἐστι; Μὴ νομίσητε, φησίν, ἀναισχυντίας εἶναι τὰ ῥήματα, τὸ ἐγκαλεῖν, καὶ λέγειν, «Ἤδη ποτὲ ἀνεθάλετε», καὶ τοῦ ἐν χρείᾳ εἶναι· οὐ γάρ δεόμενος ταῦτα λέγω, ἀλλὰ τί; Ἐκ τοῦ σφόδρα θαῤῥεῖν ὑμῖν· καὶ τούτου δὲ ὑμεῖς αἴτιοι. Ὁρᾷς πῶς αὐτοὺς θεραπεύει, καὶ πῶς φησιν, Ὑμεῖς αἴτιοι, πρὸ τῶν ἄλλων ἐπιπηδήσαντες τῷ πράγματι, καὶ παῤῥησίαν ἡμῖν δόντες ὑπὲρ τῶν τοιούτων ὑπομιμνήσκειν ὑμᾶς; Καὶ θέα τὸ σεμνόν· μὴ πέμπουσι μὲν οὐκ ἐγκαλεῖ, ἵνα μὴ δόξῃ τὸ ἑαυτοῦ θεραπεύειν· ἐπειδὴ δὲ ἔπεμψαν, τότε ἐπετίμησεν ὑπὲρ τοῦ παρελθόντος χρόνου, καὶ ἤνεγκαν· λοιπὸν γὰρ οὐκ ἂν ἔδοξε τὸ αὐτοῦ θεραπεύειν. «Οἴδατε», φησί, «καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι Ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι». Βαβαί, ἡλίκον τὸ ἐγκώμιον! εἴ γε Κορίνθιοι μὲν ἐκ τοῦ ἀκούειν ἐκεῖνα παρ' αὐτοῦ καὶ Ῥωμαῖοι προτρέπονται, οὗτοι δὲ οὐδεμιᾶς Ἐκκλησίας ἀρξαμένης (καὶ γάρ, «Ἐν ἀρχῇ τοῦ Εὐαγγελίου», φησί), τοσαύτην περὶ τὸν ἅγιον ἐπεδείξαντο σπουδήν, ὡς μηδὲ παράδειγμα ἔχοντες, αὐτοὶ πρῶτοι τῆς καρποφορίας ἄρξασθαι ταύτης. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι παραμένοντι αὐτῷ οὐδὲ τῶν πρὸς

9. Φιλιπ. 1, 7
10. Φιλιπ. 1, 29

ποὺ μὲ ἐνισχύει»[9]. Γιατὶ χάρις σημαίνει τὸ νὰ ὑποφέρῃ κανεὶς ὑπὲρ τοῦ Χριστοῦ, ὅπως καὶ ὁ ἴδιος κάπου λέγει· «Γιατὶ σὲ σᾶς ἐδόθηκε σὰν χάρις ἀπὸ τὸν Θεό, ὄχι μόνο τὸ νὰ πιστεύετε σὲ αὐτόν, ἀλλὰ καὶ τὸ νὰ πάσχετε ὑπέρ αὐτοῦ»[10]. Ἐπειδὴ ὅμως τὰ λόγια ἐκεῖνα λεγόμενα ξεχωριστὰ ἠμποροῦσαν νὰ στενοχωρήσουν αὐτούς, γι' αὐτὸ καὶ ἐπανορθώνει καὶ ἐπιδοκιμάζει καὶ ἐπαινεῖ πάλι, καὶ αὐτὸ τὸ κάνει μὲ μέτρο. Γιατὶ δὲν εἶπε, Ἀφοῦ ἐδώσατε, ἀλλὰ «Ἐγίνατε συμμέτοχοι», ἀποδεικνύοντας ὅτι αὐτοὶ ὠφελήθηκαν, ἐφόσον βέβαια ἔγιναν συμέτοχοι στὰ κατορθώματά του. Δὲν εἶπε, Ἀνεκουφίσατε τὶς θλίψεις μου, ἀλλὰ «Ἐγίνατε συμμέτοχοι στὴ θλῖψι μου», ποὺ ἦταν πιὸ σεμνό.

Βλέπεις τὴ σεμνότητα τοῦ Παύλου; βλέπεις τὴν εὐγένεια; Ὅταν ἀπέδειξε ὅτι τίποτε δὲν εἶχε ἀνάγκη ἀπὸ τὰ ἰδικά τους ἐξ αἰτίας αὐτοῦ, τότε στὴ συνέχεια χωρὶς φόβο λέγει καὶ σεμνὰ λόγια καὶ αὐτὰ ποὺ λέγουν οἱ ἐπαιτοῦντες, ὅτι ὀφείλεις νὰ δίνῃς. Τίποτε δὲν ἀποφεύγει οὔτε νὰ κάνῃ, οὔτε νὰ λέγῃ γι' αὐτὸ μόνο ποὺ θέλει νὰ κατορθώσῃ. Καὶ ποιὸ εἶναι αὐτό; Μὴ νομίσετε, λέγει, ὅτι εἶναι δεῖγμα ἀδιαντροπιᾶς τὰ λόγια, τὸ νὰ κατηγορῇ καὶ νὰ λέγῃ, «Ἐπὶ τέλους τώρα ἐξαναβλαστήσατε», καὶ τὸ ὅτι εὑρίσκεται σὲ κατάστασι ἀνάγκης. Δὲν λέγω λοιπὸν αὐτὰ ἐπειδὴ ἔχω ἀνάγκη, ἀλλὰ γιατί; Ἐπειδὴ ἔχω ὑπερβολικὴ πεποίθησι σὲ σᾶς καὶ γι' αὐτὸ ἐσεῖς εἶσθε οἱ αἴτιοι. Βλέπεις πῶς τοὺς κολακεύει καὶ πῶς λέγει, Σεῖς εἶσθε οἱ αἴτιοι, ἀφοῦ πρὶν ἀπὸ τοὺς ἄλλους ὑπέπεσαν σ' αὐτὸ τὸ πρᾶγμα καὶ ἔδωσαν σ' ἐμᾶς θάρρος νὰ σᾶς ὑπενθυμίζωμε αὐτά; Καὶ πρόσεξε τὴ σεμνότητα. Ὅταν δὲν στέλνουν, δὲν τοὺς κατηγορεῖ, γιὰ νὰ φανῇ ὅτι φροντίζει τὸν ἑαυτό του. Ὅταν ὅμως ἔστειλαν, τότε τοὺς ἐπετίμησε γιὰ τὸν περασμένο χρόνο, καὶ ἔφεραν. Στὸ ἑξῆς λοιπὸν δὲν θὰ ἔδινε τὴν ἐντύπωσι ὅτι φροντίζει τόν ἑαυτό του. «Γνωρίζετε», λέγει, «καὶ ἐσεῖς, Φιλιππήσιοι, ὅτι στὴν ἀρχὴ τοῦ κηρύγματός μου σὲ ἐσᾶς, ὅταν ἀνεχώρησα ἀπὸ τὴν Μακεδονία, καμμία Ἐκκλησία δὲν ἦλθε σὲ σχέσι δοσοληψίας μαζί μου, παρὰ μόνοι ἐσεῖς». Πόσο μεγάλο τὸ ἐγκώμιο! Ἀφοῦ βέβαια οἱ Κορίνθιοι καί οἱ Ρωμαῖοι ἐπειδὴ ἀκούουν ἐκεῖνα ἀπὸ τὸν Παῦλο παρακινοῦνται νὰ κάνουν αὐτά, αὐτοὶ ὅμως χωρὶς νὰ κάνῃ τὴν ἀρχὴ καμμία Ἐκκλησία (γιατὶ καὶ «στὴν ἀρχὴ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου», λέγει), ἐπέδειξαν γιὰ τὸν ἅγιο τόση μεγάλη φροντίδα, ὥστε καὶ δὲν εἶχαν κανένα παράδειγμα, αὐτοὶ πρῶτοι ἤρχισαν αὐτὴν τὴν καρποφορία. Καὶ δὲν μποροῦμε νὰ εἰποῦμε ὅτι, ὅταν παρέμεινε αὐτός, οὔτε ἐξ

αὐτοὺς ἕνεκεν ταῦτα ἐποίουν· «Ὅτε ἐξῆλθον γάρ», φησίν, «ἀπὸ Μακεδονίας, οὐδεμία μοι Ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι».

Τί ἐστι, «Λήψεως»; τί δέ ἐστιν, «Ἐκοινώνησε»; διὰ τί μὴ εἶπεν, ὅτι Οὐδεμία μοι Ἐκκλησία ἔδωκεν, ἀλλ', «Ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως»; Κοινωνία γὰρ τὸ πρᾶγμά ἐστιν. «Εἰ γὰρ ἡμεῖς τὰ πνευματικὰ ὑμῖν, φησίν, ἐσπείραμεν, τί μέγα, εἰ ἡμεῖς τὰ σαρκικὰ ὑμῶν θερίσομεν»; καὶ πάλιν, «Τὸ ὑμῶν περίσσευμα ἵνα γίνηται εἰς τὸ ἐκείνων ὑστέρημα». Ὁρᾷς πῶς ἐκοινώνησαν, εἰς λόγον δόσεως τῶν σαρκικῶν, καὶ λήψεως τῶν πνευματικῶν; Ὥσπερ γὰρ οἱ πωλοῦντες καὶ ἀγοράζοντες κοινωνοῦσιν ἀλλήλοις, τὰ παρ' ἀλλήλων ἀντιδιδόντες (τοῦτο γάρ ἐστι κοινωνία), οὕτω δὴ καὶ ἐνταῦθα. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι ταύτης τῆς ἀγορασίας καὶ ἐμπορίας τι κερδαλεώτερον· γίνεται μὲν γὰρ τῇ γῇ, τελεῖται δὲ ἐν τῷ οὐρανῷ· οἱ μὲν ἀγοράζοντες ἐν τῇ γῇ ἑστήκασιν· ἀγοράζουσι δὲ καὶ συμφωνοῦσι τὰ ἐν τοῖς οὐρανοῖς, γηΐνην κατατιθέντες τὴν τιμήν.

3. Ἀλλὰ μὴ καταγνῷς· οὐ χρημάτων ἐστὶν ὠνητὰ τὰ οὐράνια, οὐ τὰ χρήματα αὐτὰ ἀγοράζει, ἀλλ' ἡ προαίρεσις τοῦ τὰ χρήματα καταβάλλοντος, ἡ φιλοσοφία, τὸ τῶν βιωτικῶν ἀνωτέρω εἶναι, ἡ φιλανθρωπία, ἡ ἐλεημοσύνη. Ἐπεὶ εἰ τὸ ἀργύριον ἠγόραζεν, ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα οὐδὲν ἂν ἔλαβε μέγα· ἐπειδὴ δὲ οὐ τὸ ἀργύριον, ἀλλ' ἡ προαίρεσις ἴσχυσεν, ἐκείνη πᾶσαν προαίρεσιν ἐπιδειξαμένη, πάντα ἔλαβε. Μὴ τοίνυν λέγωμεν, ὅτι ὠνητὴ χρημάτων ἐστὶν ἡ βασιλεία· οὐ χρημάτων, ἀλλὰ προαιρέσεως τῆς διὰ χρημάτων ἐπιδεικνυμένης. Οὐκοῦν δεῖ χρημάτων, φησίν; Οὐ δεῖ χρημάτων, ἀλλὰ προαιρέσεως· ἂν ταύτην ἔχῃς, δυνήσῃ καὶ διὰ λεπτῶν ἀγοράσαι τὸν οὐρανόν· μὴ οὔσης δὲ ταύτης, οὐδὲ μυρία τάλαντα χρυσοῦ τοῦτο δυνήσεται, ὅπερ τὰ δύο λεπτά. Διὰ τί; Ὅταν γὰρ πολλὰ ἔχων, ἐλάττονα καταβάλῃς, ἐποίησας μὲν ἐλεημοσύνην, οὐ τοσαύτην δὲ ὅσην ἡ χήρα· οὐ γὰρ μετὰ τοσαύτης προθυμίας κατέβαλες, μεθ' ὅσης ἐκείνη· πάντων γὰρ ἑαυτὴν ἀπεστέρησε, μᾶλλον δὲ οὐκ ἀπεστέρησεν, ἀλλὰ πάντα ἑαυτῇ ἐχαρίσατο. Οὐ ταλάντων χρυσοῦ, ἀλλὰ πάντα ἑαυτῇ ἐχαρίσατο.

Οὐ ταλάντων χρυσοῦ, ἀλλὰ ποτηρίου ψυχροῦ τὴν βασιλείαν ὑπέσχετο ὁ Θεός, ἀλλὰ προθυμίας· οὐ θανάτου, ἀλλὰ προαιρέ-

---

11. Α' Κορ. 9, 11
12. Β' Κορ. 8, 13
13. Βλ. Λουκᾶ 21, 1–4· ὅπου ἡ περικοπὴ γιὰ τὸ δίλεπτο τῆς χήρας.

αἰτίας τῶν ὑποχρεώσεων πρὸς αὐτοὺς ἔκαναν αὐτά, γιατὶ λέγει· «Ὅταν ἀνεχώρησα ἀπὸ τὴν Μακεδονία, καμμία Ἐκκλησία δὲν ἦλθε σὲ σχέσι δοσοληψίας μαζί μου, παρὰ μόνοι ἐσεῖς».

Τί σημαίνει, «Δοσοληψίας»; καὶ τί «Ἦλθε σὲ σχέσι μαζί μου»; γιατὶ δὲν εἶπε, ὅτι Καμμία Ἐκκλησία δέν μοῦ ἔδωσε, ἀλλά, «Ἦλθε σὲ σχέσι δοσοληψίας μαζί μου»; Διότι τὸ πρᾶγμα σημαίνει συμμετοχή. Διότι λέγει ἀλλοῦ· «Ἐὰν ἐσπείραμε σ' ἐσᾶς τὰ πνευματικά ἀγαθά, τί τὸ μεγάλο πρᾶγμα, ἐὰν ἐμεῖς θά θερίσωμε τά ὑλικὰ ἀγαθὰ σας;»[11], καὶ πάλι, «Τὸ ἰδικό σας περίσσευμα νὰ συμπληρώση τὸ ὑστέρημα ἐκείνων»[12]. Βλέπεις πῶς ἦλθαν σὲ σχέσι δοσοληψίας; ἔδωσαν τὰ ὑλικὰ καὶ ἔλαβαν τὰ πνευματικὰ ἀγαθά. Ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ πωλοῦν καὶ ἀγοράζουν ἔρχονται σὲ σχέσεις δοσοληψίας μεταξύ τους, ἀνταλλάσοοντας τὰ ἀγαθά τους (γιατὶ αὐτὸ εἶναι ἡ συμμετοχή), ἔτσι λοιπὸν συμβαίνει καί ἐδῶ. Διότι δέν ὑπάρχει πράγματι δέν ὑπάρχει, πιὸ ἐπικερδὴς ἐργασία ἀπό τὴν ἀγοραπωλησία αὐτήν, ἀφοῦ γίνεται στὴ γῆ, πληρώνεται ὅμως στὸν οὐρανό. Ἐκεῖνοι ποὺ ἀγοράζουν εὑρίσκονται στὴ γῆ· ἀγοράζουν ὅμως οὐρανούς, ἐνῶ δίνουν τὴν τιμὴ ἐδῶ στὴ γῆ.

3. Ἀλλὰ μὴ καταδικάζῃς. Δὲν ἀγοράζονται μὲ χρήματα τὰ οὐράνια, οὔτε τὰ χρήματα αὐτὰ ἀγοράζουν, ἀλλὰ ἡ διάθεσις ἐκείνου ποὺ τὰ δίνει, ἡ πίστις, τὸ νὰ εἶναι κανεὶς ἀνώτερος ἀπὸ τὰ ὑλικὰ ἀγαθά, ἡ φιλανθρωπία, ἡ ἐλεημοσύνη. Γιατὶ ἐὰν ἠγόραζαν τὰ χρήματα, ἡ χήρα ποὺ ἔρριψε τὰ δύο λεπτὰ δὲν θὰ ἐλάμβανε τίποτε τὸ ἀξιόλογο. Ἐπειδὴ ὅμως δὲν ὑπερίσχυσαν τὰ χρήματα, ἀλλά ἡ διάθεσις, ἐκείνη ἀφοῦ ἐπέδειξε κάθε ἀγαθὴ διάθεσι ἔλαβε τὰ πάντα[13]. Ἄς μὴ λέγωμε λοιπὸν ὅτι ἀγοράζεται μὲ χρήματα ἡ Βασιλεία τῶν Οὐρανῶν· ὄχι μὲ χρήματα, ἀλλὰ μὲ τὴ διάθεσί μας, ἡ ὁποία φανερώνεται μὲ τὰ χρήματα. Λοιπὸν δὲν χρειάζονται χρήματα; θὰ εἰπῇ κάποιος. Δὲν χρειάζονται χρήματα, ἀλλὰ ἀγαθὴ διάθεσις. Ἄν ἔχῃς αὐτήν, θὰ μπορέσῃς καὶ μὲ δύο λεπτὰ νὰ ἀγοράσῃς τὸν οὐρανό· ἄν ὅμως δὲν ἔχῃς αὐτὴν οὔτε δέκα χιλιάδες τάλαντα χρυσὰ θὰ κατορθώσουν αὐτό, ποὺ κατορθώνουν τὰ δύο λεπτά. Γιὰ ποιὸ λόγο; Γιατὶ ὅταν ρίπτῃς λιγώτερα, ἐνῶ ἔχῃς πολλὰ, ἔκαμες ἐλεημοσύνη, ὄχι ὅμως τόση ὅση ἡ χήρα, γιατὶ δέν ἔδωσες μὲ τόση προθυμία, μὲ ὅση ἐκείνη ἔδωσε, ἀφοῦ ἐστέρησε ἀπὸ τὸν ἑαυτό της τά πάντα, καλύτερα ὅμως δὲν ἐστέρησε, ἀλλὰ ἐχάρισε τὰ πάντα στὸν ἑαυτό της.

Δὲν ὑποσχέθηκε ὁ Θεὸς τὴ Βασιλεία μὲ ἀντάλλαγμα τὰ χρυσὰ τάλαντα, ἀλλὰ μὲ ἕνα ποτήρι κρύου νεροῦ, ποὺ δίνεται ὅμως μὲ

σεως· ἐπεὶ οὐδὲ μέγα τί ἐστι. Τί γάρ ἐστι μίαν ψυχὴν δοῦναι; Ἔδωκεν ἕνα ἄνθρωπον· εἷς δὲ ἄνθρωπος οὐκ ἔστιν ἀντάξιος. «Ὅτι καὶ ἐν Θεσσαλονίκῃ, καὶ ἅπαξ καὶ δὶς εἰς τὰς χρείας μοι ἐπέμψατε». Πάλιν μέγα τὸ ἐγκώμιον, εἴ γε ἐν τῇ μητροπόλει καθήμενος, παρὰ τῆς μικρᾶς ἐτρέφετο πόλεως. Καὶ ὅρα· ἵνα μὴ διαπαντὸς ἐξέλκων ἑαυτὸν τῆς χρείας, ὅπερ εἶπον προλαβών, ῥαθυμοτέρους ποιήσῃ, διὰ τοσούτων δείξας, ὅτι οὐ δεῖται, ἑνὶ μόνῳ τοῦτο δῆλον ἐποίησεν, εἰπών, «Εἰς τὰς χρείας»· καὶ οὐκ εἶπε, Τὰς ἐμᾶς, ἀλλ' ἁπλῶς, τοῦ σεμνοῦ ἐπιμελόμενος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς. Ἐπειδὴ γὰρ συνεῖδε σφόδρα ταπεινὸν ὄν, πάλιν αὐτὸ τῇ ἐπιδιορθώσει ἀσφαλίζεται, λέγων· «Οὐχ ὅτι ἐπιζητῶ», λέγων, «τὸ δόμα». Ὅπερ εἶπεν ἄνω, «Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω», τὸ αὐτὸ δηλῶν, εἰ καὶ ἐκεῖνο τούτου μεῖζόν ἐστιν. Ἕτερον γάρ ἐστιν ὑστεροῦντα μὴ ζητῆσαι, καὶ ἕτερον ἐν ὑστερήσει ὄντα μηδὲ νομίζειν ὑστερεῖσθαι.

«Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα», φησίν, «ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν», οὐκ ἐμοῦ. Ὁρᾷς ὅτι ὁ καρπὸς ἐκείνοις τίκτεται; Δι' ὑμᾶς ταῦτα λέγω, φησί, οὐ δι' ἐμαυτόν· εἰς τὴν ὑμετέραν σωτηρίαν· ἐγὼ γὰρ οὐδὲν κερδαίνω λαμβάνων· τῶν διδόντων ἐστὶν ἡ χάρις. Τοῖς μὲν γὰρ διδοῦσιν ἐκεῖ φυλάττεται ἡ ἀμοιβή· τοῖς δὲ λαμβάνουσιν ἐνταῦθα ἀναλίσκεται τὰ διδόμενα. Πάλιν μετ' ἐγκωμίου καὶ συμπαθείας, καὶ τοῦ χρήζειν. Ἐπειδὴ γὰρ εἶπεν, «Οὐ ζητῶ», ἵνα μὴ πάλιν ῥαθυμοτέρους ποιήσῃ, φησίν· «Ἀπέχω δέ πάντα, καὶ περισσεύω». Τουτέστι, διὰ ταύτης τῆς δόσεως καὶ τὰ παραλειφθέντα ἐπληρώσατε, ὅπερ μάλιστα προθυμοτέρους ἦν ποιῆσαι. Ὅσῳ γὰρ ἂν ὦσι φιλοσοφώτεροι, ζητοῦσι καὶ τὰς παρὰ τῶν εὖ παθόντων χάριτας οἱ εὖ ποιοῦντες. «Ἀπέχω πάντα, καί περισσεύω». Τουτέστιν, οὐ μόνον ἀνεπληρώσατε τὰ ἐλλειφθέντα ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ ὑπερεβάλετε. Εἶτα ἵνα μὴ δόξῃ διὰ τοῦτο ἐγκαλεῖν, ὅρα πῶς ἐπισφραγίζεται. Ἐπειδὴ γὰρ εἶπεν, «Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα», καὶ ὅτι, «Ἤδη ποτέ», καὶ ἔδειξεν ὅτι ὀφειλή ἐστι τὸ πρᾶγμα (τοῦτο γάρ ἐστιν, «Ἀπέχω»), πάλιν δείκνυσιν ὅτι ὑπὲρ ὀφειλὴν ἔπραξαν, καί φησιν· «Ἀπέχω πάντα, καὶ περισσεύω, πεπλήρωμαι».

ἀγαθὴ διάθεσι· ὄχι μὲ θάνατο, ἀλλὰ μὲ καλὴ διάθεσι, ἐπειδὴ δὲν εἶναι καὶ μεγάλο πρᾶγμα. Γιατὶ τί ἀξίζει νὰ δώση μία ψυχή; Ἔδωσε ἕνα ἄνθρωπο· ἕνας ὅμως ἄνθρωπος δὲν εἶναι ἀντάξιος. «Διότι ἀκόμη καὶ στὴ Θεσσαλονίκη, καὶ μία καὶ δύο φορὲς μοῦ ἐστείλατε γιὰ τίς ἀνάγκες». Πάλι εἶναι μεγάλο τὸ ἐγκώμιο, διότι ἂν καὶ ἔμεινε σὲ μεγάλη πόλι, ἐσυντηρεῖτο ἀπὸ τὴ μικρή. Καὶ πρόσεξε· γιὰ νὰ μὴ τοὺς κάνη περισσότερο νωθρούς, πρᾶγμα ποὺ προηγουμένως εἶπα, ἀνακουφίζοντας τὸν ἑαυτό του παντοτινὰ ἀπὸ τὴ στέρησι, ἀφοῦ ἔδειξε μὲ πολλὲς ἀποδείξεις, ὅτι δὲν ἔχει ἀνάγκη, ἐφανέρωσε αὐτὸ μὲ ἕνα μόνο, λέγοντας «Στὶς ἀνάγκες». Καὶ δὲν εἶπε, «Τὶς ἀνάγκες μου», ἀλλὰ ἁπλῶς «τὶς ἀνάγκες», φροντίζοντας γιὰ τὴ σεμνότητα· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τὸ ἑπόμενο. Γιατὶ ἀφοῦ ἐπρόσεξε ὅτι εἶναι ὑπερβολικὰ σεμνό, πάλι προφυλάσσει αὐτὸ ἐπιδιορθώνοντας καὶ λέγει· «Ὄχι διότι ἐνδιαφέρομαι γιὰ τὸ δῶρο». Τὸ ἴδιο δηλώνει μὲ αὐτὸ ποὺ εἶπε παραπάνω, «Δὲν λέγω αὐτὰ διότι εὑρίσκομαι σὲ κατάστασι στερήσεως», ἂν καὶ ἐκεῖνο εἶναι μεγαλύτερο ἀπὸ αὐτό. Γιατὶ ἄλλο εἶναι τὸ νὰ μὴ ζητήσης ὅταν δὲν ἔχης κάτι, καὶ ἄλλο τὸ νὰ μὴ θεωρῆς ὅτι δὲν ἔχεις, ἂν καὶ εὑρίσκεσαι σὲ κατάστασι στερήσεως.

«Ὄχι διότι ἐνδιαφέρομαι γιὰ τὸ δῶρο, λέγει, ἀλλὰ ἐπιθυμῶ τὴν ὠφέλεια ποὺ περισσεύει γιὰ λογαριασμὸ ἰδικό σας», ὄχι ἰδικό μου. Βλέπεις ὅτι ἡ ὠφέλεια ἔρχεται σὲ ἐκείνους; Λέγω αὐτὰ γιὰ ἰδικό σας ὄφελος, λέγει, ὄχι γιὰ ἰδικό μου, γιὰ τὴν ἰδική σας σωτηρία. Γιατὶ ἐγὼ τίποτε δὲν κερδίζω λαμβάνοντας, ἡ ὠφέλεια ἀνήκει σὲ ἐκείνους ποὺ δίνουν. Σὲ ἐκείνους ποὺ δίνουν, ἡ ἀμοιβὴ φυλάσσεται στὴν ἄλλη ζωή, καὶ σὲ ἐκείνους ποὺ λαμβάνουν ἐδῶ, ξοδεύονται αὐτὰ ποὺ δίνονται. Πάλι ὁμιλεῖ ἐγκωμιαστικὰ καὶ μὲ συμπάθεια καὶ ἔχοντας ἀνάγκη. Ἀφοῦ λοιπὸν εἶπε, «Δὲν ζητῶ», γιὰ νὰ μὴ τοὺς καταστήση πάλι πιὸ νωθρούς, λέγει· «Ἔχω ὅμως ὅλα μὲ τὸ παραπάνω»), πάλι ἀποδεικνύει δὲν ἐξεπέρασαν κατὰ πολὺ τὸ χρέος τους καὶ λέγει· «Ἔχω ὅλα μὲ τὸ παραπάνω καὶ μοῦ περισσεύουν». Δηλαδή, ὄχι μόνο ἐσυμπληρώσατε τὶς παραλείψεις σας κατὰ τὸ παρελθόν, ἀλλὰ καὶ τὶς ἐξεπεράσατε. Ἔπειτα γιὰ νὰ μὴ φανῆ ὅτι γι' αὐτὸ τούς κατηγορεῖ, πρόσεξε πῶς καταλήγει. Ἐπειδὴ λοιπὸν εἶπε, «Ὄχι διότι ἐνδιαφέρομαι γιὰ τὸ δῶρο», καὶ ὅτι «Ἐπὶ τέλους τώρα», καὶ ἀπέδειξε ὅτι αὐτὸ εἶναι χρέος τους (διότι αὐτὸ σημαίνει, «Ἔχω ὅλα μὲ τὸ παραπάνω καὶ μοῦ περισσεύουν, τὰ ἔχω ὑπεράφθονα ὅλα». Δὲν τὰ λέγω αὐτὰ ἔτσι ἁπλῶς οὔτε ἀπὸ καλὴ διάθεσι, ἀλλὰ

Οὐχ ἁπλῶς, οὐδὲ ἀπὸ διαθέσεως ταῦτα λέγω, ἀλλὰ τί; «Δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ Θεῷ».

Βαβαί, ποῦ τὸ δῶρον αὐτῶν ἀνήγαγεν! Οὐκ ἐγώ, φησίν, ἔλαβον, οὐκ ἔλαβον, ἀλλ' ὁ Θεὸς δι' ἐμοῦ. Ὥστε, κἂν ἐγὼ μὴ χρῄζω, μὴ μελέτω ὑμῖν· ἐπεὶ οὐδὲ ὁ Θεὸς ἔχρῃζε, καὶ ὅμως ἀπεδέχετο, οὕτως ὡς μηδὲ παραιτεῖσθαι εἰπεῖν τὴν θείαν Γραφήν, ὅτι «Ὠσφράνθη ὁ Θεὸς ὀσμὴν εὐωδίας», ὅπερ ἦν εὐφραινομένου. Ἴστε γάρ, ἴστε πῶς διατίθεται ἡμῶν ἡ ψυχὴ ἐπί ταῖς εὐωδίαις, πῶς εὐφραίνεται, πῶς γάννυται. Οὐ παρῃτήσατο τοίνυν εἰπεῖν περὶ Θεοῦ ἀνθρώπινον οὕτω ῥῆμα καὶ ταπεινὸν ἡ Γραφή, ἵνα τοῖς ἀνθρώποις δείξῃ, ὅτι δεκτὰ τὰ παρ' αὐτῶν δῶρα γέγονεν. Οὐ γὰρ ἡ κνίσσα, οὐδὲ ὁ καπνὸς δεκτὰ ἐποίει, ἀλλ' ἡ προαίρεσις ἡ προσφέρουσα· ἐπεί, εἰ τοῦτο ἦν, καὶ τὰ παρὰ τοῦ Κάϊν ἂν ἐδέχθη. Εἶπεν οὖν, ὅτι καὶ εὐφραίνεται, καὶ πῶς εὐφραίνεται· οὐ γὰρ ἂν ἄλλως ἔμαθον οἱ ἄνθρωποι. Ὁ τοίνυν μὴ ἐν χρείᾳ καθεστὼς λέγει οὕτως εὐφραίνεσθαι, ἵνα μὴ διὰ τὸ ἀνεδεὲς ῥᾴθυμοι γένωνται. Καὶ ὅτε λοιπὸν τῆς ἄλλης ἀρετῆς ἀμελήσαντες, ταύταις ἐθάῤῥουν, ὅρα πῶς πάλιν διορθοῦται αὐτούς, λέγων· «Μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι;». Τοῦτο καὶ Παυλός φησιν, «Οὐκ ἐπιζητῶ τὸ δόμα. Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ».

4. Ὅρα πῶς καὶ ἐπεύχεται, καθάπερ οἱ πένητες. Εἰ δὲ Παῦλος ἐπεύχεται τοῖς διδοῦσι, πολλῷ μᾶλλον ἡμεῖς μὴ αἰσχυνώμεθα λαμβάνοντες τοῦτο ποιεῖν. Μὴ δὴ λαμβάνωμεν, ὡς αὐτοὶ χρῄζοντες, μηδὲ χαίρωμεν ἡμῶν ἕνεκεν, ἀλλὰ τῶν διδόντων αὐτῶν. Οὕτως ἡμῖν ἔσται μισθὸς καὶ λαμβάνουσιν, ἂν δι' ἐκείνους χαίρωμεν· οὕτως οὐκ ἀγανακτήσομεν, μὴ διδόντων, μᾶλλον δὲ ἀλγήσομεν δι' αὐτούς· οὕτω καὶ προθυμοτέρους ἐργασόμεθα ἂν διδάσκωμεν, ὅτι οὐχ ἡμῶν ἕνεκεν ταῦτα πράττομεν. Ὁ δὲ Θεός μου»,φησί, «πληρώσει πᾶσαν χρείαν ὑμῶν, ἢ πᾶσαν

14. Γεν. 4, 5
15. Ψαλμ. 49, 13

γιατί; «Ἀφοῦ ἐδέχθηκα ἀπὸ τὸν Ἐπαφρόδιτο ἐκεῖνα ποὺ ἐστείλατε, τὰ ὁποῖα εἶναι ἄρωμα ποὺ εὐωδιάζει, θυσία ποὺ δέχεται καὶ εὐχαριστεῖται σ' αὐτὴν ὁ Θεός».

Εἶδες ποὺ ἀνύψωσε τὸ δῶρο τους! Δὲν ἔλαβα ἐγώ, λέγει, δὲν ἔλαβα, ἀλλὰ ὁ Θεὸς διὰ μέσου ἐμοῦ. Συνεπῶς καὶ ἂν ἐγὼ δὲν ἔχω ἀνάγκη, ἐσεῖς νὰ μὴ ἀνησυχῆτε, διότι οὔτε ὁ Θεὸς εἶχε ἀνάγκη, καὶ ὅμως ἐδέχετο. Ἔτσι οὔτε ἡ Ἁγία Γραφὴ δὲν ἀπέφυγε νὰ εἰπῆ, ὅτι «Ἐμύρισε ὁ Θεὸς μυρωδιὰ ποὺ εὐωδιάζει», πρᾶγμα χαρακτηριστικὸ ἐκείνου ποὺ εὐχαριστεῖται. Γνωρίζετε βέβαια, γνωρίζετε πῶς διατελεῖ ἡ ψυχή μας στὶς εὐωδίες, πῶς εὐχαριστεῖται, πῶς χαίρεται. Δὲν ἀπέφυγε λοιπὸν ἡ Ἁγία Γραφὴ νὰ εἰπῆ γιὰ τὸν Θεὸ πρᾶγμα τόσο ἀνθρώπινο καὶ ἀσήμαντο, γιὰ νὰ δείξη στοὺς ἀνθρώπους, ὅτι τὰ δῶρα ποὺ προσφέρουν ἔχουν γίνει δεκτά. Βέβαια δὲν τὰ ἔκαμε δεκτὰ οὔτε ἡ μυρωδιὰ τοῦ προσφερομένου κρέατος, οὔτε ὁ καπνός, ἀλλὰ ἡ διάθεσις τοῦ προσφέροντος. Διότι ἐὰν συνέβαινε τοῦτο, θὰ ἐδέχετο καὶ τὰ προσφερόμενα δῶρα ἀπὸ τὸν Κάϊν[14]. Εἶπε λοιπὸν ὅτι εὐχαριστεῖται καὶ πῶς εὐχαριστεῖται, διότι διαφορετικὰ δὲν θὰ ἐμάθαιναν οἱ ἄνθρωποι. Ἐκεῖνος λοιπὸν ποὺ δὲν περιῆλθε σὲ κατάστασι ἀνάγκης λέγει ὅτι εὐχαριστεῖται μὲ τὸν τρόπο αὐτό, γιὰ νὰ μὴ γίνουν, ἐξ αἰτίας τοῦ ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε, νωθροί. Καὶ ὅταν στὴ συνέχεια, ἀφοῦ δὲν ἐφρόντισαν γιὰ τὴν ἄλλη ἀρετή, ἐστήριξαν τὴν πεποίθησί τους σ' αὐτές, πρόσεξε μὲ ποιὸ τρόπο διορθώνει πάλι αὐτοὺς λέγοντας· «μήπως πρόκειται νὰ φάγω κρέας βοδιῶν καὶ νὰ πιῶ τὸ αἷμα κριαριῶν;»[15]. Αὐτὸ καὶ ὁ Παῦλος λέγει, «Δὲν ἐνδιαφέρομαι γιὰ τὸ δῶρο. Ὁ Θεός μου ὅμως θὰ ἱκανοποιήση κάθε ἀνάγκη σας σύμφωνα μὲ τὸν πλοῦτο τῶν ἀγαθῶν ποὺ ἔχει γιὰ νὰ δοξάζεται διὰ τοῦ Ἰησοῦ Χριστοῦ».

4. Πρόσεχε πῶς εὔχεται, ὅπως ἀκριβῶς οἱ πτωχοί. Ἐὰν ὅμως ὁ Παῦλος εὔχεται γιὰ ἐκείνους ποὺ τοῦ δίνουν, πολὺ περισσότερο νὰ μὴ ἐντρεπώμαστε ἐμεῖς νὰ κάνωμε αὐτό, ὅταν λαμβάνωμε. Ἂς μὴ λαμβάνωμε λοιπόν, ἐπειδὴ ἔχομε ἀνάγκη ἐμεῖς οἱ ἴδιοι, οὔτε νὰ χαιρώμασθε ἐξ αἰτίας μας, ἀλλὰ ἐξ αἰτίας αὐτῶν ποὺ δίνουν. Ἔτσι θὰ ἔχωμε ἀμοιβή, καὶ ὅταν λαμβάνωμε, ἂν χαιρώμασθε γι' αὐτούς. Ἔτσι δὲν θὰ ἀγανακτήσωμε, ἂν δὲν δίνουν, μᾶλλον δὲ θὰ λυπηθοῦμε γι' αὐτούς. Ἔτσι, ἂν διδάσκωμε ὅτι δὲν κάνομε αὐτὰ γιὰ ἰδικό μας ὄφελος, θὰ τοὺς καταστήσωμε καὶ περισσότερο προθύμους.

«Καὶ ὁ Θεός μου», λέγει, «θὰ ἱκανοποιήση κάθε ἀνάγκη σας», ἢ

χάριν ἢ πᾶσαν χαράν. Ἀλλ' ἂν μὲν ᾖ, «Πᾶσαν χάριν», μὴ ταύτην μόνον φησί, τὴν ἐπὶ γῆς ἐλεημοσύνην, ἀλλὰ πᾶν κατόρθωμα· ἂν δέ, «Πᾶσαν χρείαν», ὅπερ οἶμαι καὶ μᾶλλον λέγεσθαι, τοῦτό ἐστιν ὃ δηλοῦν βούλεται· ἐπειδὴ ἔμπροσθεν εἶπεν, «Ἠκαιρεῖσθε», ἐπάγει ἐνταῦθα, ὅπερ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ λέγων, «Ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν». Ἐπεύχεται γὰρ αὐτοῖς, ὥστε εἶναι ἐν ἀφθονίᾳ, καὶ ἔχειν σπείρειν· καὶ ἐπεύχεται οὐχ ἁπλῶς ἐν ἀφθονίᾳ εἶναι, ἀλλά, «Κατὰ τὸν πλοῦτον αὐτοῦ». Ὥστε καὶ τοῦτο συμμεμετρημένως.

Εἰ μὲν γὰρ κατ' αὐτὸν ἦσαν, καὶ οὕτω φιλόσοφοι, καὶ οὕτως ἐσταυρωμένοι, οὐκ ἂν τοῦτο ἐποίησεν· ἐπειδὴ δὲ ἄνδρες ἦσαν, χειροτέχναι, πένητες, γυναῖκας ἔχοντες, παῖδας τρέφοντες, οἰκίας προεστῶτες, καὶ ἀπὸ ὀλίγων καὶ ταῦτα ἔδοσαν, καί τινα εἶχον ἐπιθυμίαν καὶ τῶν παρόντων, ἐπεύχεται συγκαταβατικῶς. Τοῖς γὰρ οὕτω κεχρημένοις οὐδὲν ἄτοπον ἐπεύχεσθαι τὴν αὐτάρκειαν καὶ τὴν ἀφθονίαν. Ὅρα γοῦν τί καὶ ἐπεύχεται· Οὐκ εἶπεν, ὅτι Ποιήσαι πλουσίους καὶ εὐπόρους σφόδρα, ἀλλὰ τί; «Πληρώσαι πᾶσαν χρείαν ὑμῶν». Ὥστε μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ τὰ πρὸς χρείαν ἔχειν· ἐπεὶ καὶ ὁ Χριστὸς ὅρον εὐχῆς ἡμῖν διδούς, τοῦτο τῇ εὐχῇ ἐνέθηκε, διδάσκων ἡμᾶς, «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον», λέγειν, «δὸς ἡμῖν σήμερον».

«Κατὰ τὸν πλοῦτον αὐτοῦ». Τί ἐστι τοῦτο; Κατὰ τὴν δωρεὰν αὐτοῦ· τουτέστιν, ὅ τι εὔκολον αὐτῷ καὶ δυνατόν, καὶ ταχέως ποιεῖν. Καὶ ἐπειδὴ «Χρείαν» εἶπον, ἵνα μὴ νομίσωσιν, ὅτι στενοχωρήσει αὐτούς, διὰ τοῦτο ἐπήγαγε. «Κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ». Οὕτω περισσεύει ὑμῖν ἅπαντα, φησίν, ὥστε ἐν δόξῃ αὐτοῦ ἔχειν. Ἢ οὖν τοῦτο λέγει, ὅτι Οὐδενὸς ὑστερεῖσθε· «Καὶ χάρις γὰρ μεγάλη», φησίν, «ἦν ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς»· ἢ προτρέπει εἰς δόξαν αὐτοῦ πάντα ποιεῖν· ὡσεὶ ἔλεγεν· Ἵνα εἰς δόξαν αὐτοῦ

---

16. Β' Κορ. 9, 10
17. Ματθ. 6, 11
18. Πράξ. 4, 33, 34

κάθε χάρι ἢ κάθε χαρά σας. Ἐὰν σημαίνη ὅμως «κάθε χάρι», δὲν ἐννοεῖ μόνο αὐτήν, δηλαδή, τὴν ἐλεημοσύνη ἐπάνω στὴ γῆ, ἀλλὰ κάθε κατόρθωμα· ἐὰν ὅμως «κάθε ἀνάγκη», ποὺ νομίζω ὅτι λέγεται καὶ καλύτερα, αὐτὸ εἶναι ποὺ θέλει νὰ ἀναφέρη. Ἀφοῦ πρωτύτερα εἶπε, «Δὲν εἴχατε εὐκαιρία», προσθέτει ἐδῶ ἐκεῖνο, ποὺ κάνει στὴν πρὸς Κορινθίους ἐπιστολή του, λέγοντας· «Ἐκεῖνος ποὺ χορηγεῖ ἄφθονο τὸ σπόρο στὸ γεωργὸ καὶ ψωμὶ γιὰ νὰ τρώγωμε, εἴθε νὰ χορηγήση καὶ νὰ πληθύνη τὰ ἀγαθά σας καὶ νὰ αὐξήση τοὺς καρποὺς τῆς ἀγαθοεργίας σας»[16]. Εὔχεται λοιπὸν σὲ αὐτούς, ὥστε νὰ ἔχουν ἄφθονα ἀγαθὰ καὶ νὰ ἔχουν σπόρο. Καὶ ὄχι μόνο εὔχεται ἁπλῶς νὰ ἔχουν ἄφθονα ἀγαθά, ἀλλὰ «Σύμφωνα μὲ τὸν πλοῦτο αὐτοῦ». Συνεπῶς καὶ αὐτὸ τὸ κάνει σύμφωνα μὲ τὸ κατάλληλο μέτρο.

Ἐάν βέβαια ἦσαν σύμφωνα μὲ αὐτὸν τὸν πλοῦτο, καὶ ἦσαν τόσο φιλόσοφοι καὶ τόσο ἐσταυρωμένοι, δὲν θὰ ἔκαμε αὐτό. Ἐπειδὴ ὅμως ἦσαν ἄνδρες, ἐργαζόμενοι, πτωχοί, εἶχαν γυναῖκες, παιδιά, σπίτια, καὶ ἔδωσαν αὐτὰ ἀπὸ τὰ λίγα, καὶ εἶχαν κάποια ἐπιθυμία γιὰ τὰ παρόντα, εὔχεται μὲ συγκατάβασι. Διότι γι' αὐτούς, ποὺ τὰ χρησιμοποιοῦν σύμφωνα μὲ τὸν τρόπο αὐτό, δὲν εἶναι καθόλου παράδοξο νὰ εὔχεται τὴν αὐτάρκεια καὶ τὴν ἀφθονία τῶν ἀγαθῶν. Πρόσεχε λοιπὸν καὶ τί εὔχεται. Δὲν εἶπε, ὅτι «Εἴθε νὰ κάμη αὐτοὺς πλουσίους καὶ ὑπερβολικὰ εὐπόρους», ἀλλὰ τί; «Εἴθε νὰ ἱκανοποιήση κάθε ἀνάγκη σας». «Ὥστε νὰ μὴ εἶναι σὲ κατάστασι στερήσεως, ἀλλὰ νὰ ἔχουν ὅλα τὰ ἀπαραίτητα, ἀφοῦ καὶ ὁ Χριστὸς παραδίνοντάς μας τὸν τύπο τῆς προσευχῆς ἔβαλε αὐτὸ μέσα στὴν προσευχή, διδάσκοντας νὰ λέγωμε, «Τὸν ἄρτο μας τὸν καθημερινὸ δῶσε μας σήμερα»[17].

«Σύμφωνα μὲ τὸν πλοῦτο του». Τί σημαίνει αὐτό; Σύμφωνα μὲ τὴ δωρεά του· δηλαδή, ὅ,τι εἶναι εὔκολο καὶ δυνατὸ σ' αὐτόν, καὶ γρήγορα νὰ τὸ κάνη. Καὶ ἐπειδὴ εἶπε «Ἀνάγκη», γιὰ νὰ μὴ νομίσουν ὅτι θὰ τοὺς στενοχωρήση αὐτούς, γι' αὐτὸ ἐπρόσθεσε, «Σύμφωνα μὲ τὸν πλοῦτο τῶν ἀγαθῶν ποὺ ἔχει γιὰ νὰ δοξάζεται διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ». Ἔτσι θὰ κάνη ἄφθονα σὲ σᾶς τὰ ἀγαθά, λέγει, ὥστε νὰ δοξάζεται αὐτός. Ἢ λοιπὸν αὐτὸ ἐννοεῖ, ὅτι δηλαδὴ δὲν στερεῖσθε τίποτε. Διότι λέγει ἡ Γραφὴ «Καὶ χάρις Θεοῦ μεγάλη ἦταν σὲ ὅλους αὐτοὺς τοὺς πιστούς, γιατὶ δὲν ὑπῆρχε κανεὶς ἀνάμεσά τους ποὺ νὰ στερεῖται τὰ ἀπαραίτητα»[18]. Ἢ τοὺς συμβουλεύει νὰ κάνουν τὰ πάντα γιὰ τὴ δόξα αὐτοῦ νὰ ἔλεγε· Νὰ μεταχει-

χρῆσθε τῇ περιουσίᾳ.

«Τῷ δὲ Θεῷ καὶ Πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν». Αὕτη δὲ ἡ δόξα οὐχὶ τοῦ Υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ Πατρὸς γίνεται. Ὅταν γὰρ ὁ Υἱὸς δοξάζηται, τότε ὁ Πατήρ. Ἐπειδὴ γὰρ εἶπεν εἰς δόξαν Χριστοῦ τοῦτο γενέσθαι, ἵνα μή τις νομίσῃ αὐτοῦ μόνου, ἐπήγαγε· «Τῷ δὲ Θεῷ καὶ Πατρὶ ἡμῶν ἡ δόξα», αὕτη ἡ γενομένη δηλονότι τῷ Υἱῷ. «Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ». Οὐ μικρὸν καὶ τοῦτο· πολλῆς γὰρ εὐμενείας, καὶ τὸ διὰ γραμμάτων αὐτοὺς ἀσπάζεσθαι. «Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί». Καὶ μὴν ἔλεγες, ὅτι «Οὐδένα ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει». Πῶς οὖν λέγεις νῦν, «Οἱ σὺν ἐμοὶ ἀδελφοί»; Ἢ τοὺς μετ' αὐτοῦ ἀδελφούς φησι, δηλῶν ὅτι «Οὐδένα τῶν μεθ' ἑαυτοῦ ἔχει ἰσόψυχον», οὐ περὶ τῶν ἐν τῇ πόλει λέγων· ποίαν γὰρ ἀνάγκην εἶχον ἐκεῖνοι τὰ τῶν ἀποστόλων ἀναδέχεσθαι πράγματα; ἢ ὅτι οὐ παραιτεῖται καὶ τούτους ἀδελφοὺς καλεῖν.

«Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν». Ἀνέστησεν αὐτοὺς καὶ ἀνέῤῥωσε, δεικνὺς ὅτι καὶ τῆς βασιλικῆς οἰκίας τὸ κήρυγμα ἥψατο. Εἰ γὰρ οἱ ἐν τοῖς βασιλείοις πάντων κατεφρόνησαν διὰ τὸν βασιλέα τῶν οὐρανῶν, πολλῷ μᾶλλον αὐτοὺς χρὴ τοῦτο ποιεῖν. Καὶ τοῦτο δὲ τεκμήριον ἦν τῆς Παύλου ἀγάπης, τὸ πολλὰ περὶ αὐτῶν διηγεῖσθαι, καὶ μεγάλα λέγειν, ὅθεν καὶ εἰς πόθον ἤγαγε τοὺς ἐν τοῖς βασιλείοις, ὥστε ἀσπάσασθαι αὐτοὺς τοὺς οὐχ ἑωρακότας. Μάλιστα μὲν γάρ, ἐπειδὴ ἐν θλίψει ἦσαν οἱ πιστοὶ τότε, πολλὴ ἦν ἡ ἀγάπη. Πῶς; Οἵ τε γὰρ ἀλλήλων διεστηκότες, ἀλλήλοις ἦσαν συγκεκολλημένοι, καὶ οἱ πόῤῥωθεν, ὡς ἐγγὺς ὄντες, ἀλλήλους ἠσπάσαντο, καὶ ὡς περὶ μέλη οἰκεῖα, οὕτω πρὸς ἑαυτοὺς ἕκαστος διετίθετο. Καὶ ὁ πένης γὰρ πρὸς τὸν πλούσιον διέκειτο, καὶ ὁ πλούσιος πρὸς τὸν πένητα· καὶ οὐδεμία ἦν ὑπεροχή, τῷ πάντας ὁμοίως μισεῖσθαι καὶ ἐλαύνεσθαι, καὶ ἐπὶ τοῖς αὐτοῖς. Ὥσπερ γὰρ οἱ ἐκ διαφόρων πόλεων αἰχμάλωτοί τινες ἀναστάντες, καὶ εἰς μίαν

---

19. Φιλιπ. 2, 20

ρίζεσθε τὴν περιουσία σας γιὰ τὴ δόξα τοῦ Θεοῦ.

«Καὶ στὸν Θεὸ καὶ Πατέρα μας ἄς εἶναι ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν». Αὐτὴ ἡ δόξα δὲν ἀνήκει μόνο στὸν Υἱό, ἀλλὰ καὶ στὸν Πατέρα. Διότι ὅταν ὁ Υἱὸς δοξάζεται, τότε δοξάζεται ὁ Πατέρας. Ἐπειδὴ λοιπὸν εἶπε ὅτι αὐτὸ γίνεται γιὰ τὴ δόξα τοῦ Χριστοῦ, καὶ γιὰ νὰ μὴ νομίση κανεὶς μόνο αὐτοῦ, ἐπρόσθεσε «Καὶ στὸν Θεὸ καὶ Πατέρα μας ἀνήκει ἡ δόξα», αὐτὴ δηλαδὴ ποὺ ἔγινε στον Υἱό. «Χαιρετήσατε κάθε πιστὸ ποὺ εἶναι ἁγιασμένος ἀπὸ τὴν ἕνωσί του μὲ τὸν Ἰησοῦ Χριστό». Δὲν εἶναι μικρὸ πρᾶγμα καὶ αὐτό, γιατὶ εἶναι ἀπόδειξις συμπαθείας τὸ νὰ χαιρετᾶ αὐτοὺς μὲ τὴν ἐπιστολή του. «Σᾶς χαιρετοῦν οἱ ἀδελφοί, ποὺ εἶναι μαζί μου». Καὶ ὅμως ἔλεγες, ὅτι «Δὲν ἔχω κανένα ὁμόψυχο, ὁ ὁποῖος θὰ φροντίση εἰλικρινὰ γιὰ τὶς ὑποθέσεις σας».[19]. Πῶς λοιπὸν τώρα λέγεις, «Οἱ ἀδελφοὶ ποὺ εἶναι μαζί μου»; Ἢ τοὺς ἀδελφοὺς ποὺ ἦσαν μαζί του λέγει, δηλώνοντας ὅτι «Δὲν ἔχει ἀπ' αὐτοὺς κανένα ὁμόψυχο», χωρὶς νὰ λέγη γιὰ τοὺς ἀδελφοὺς ποὺ ἦσαν στὴν πόλι. Διότι ποιὰ ἀνάγκη εἶχαν ἐκεῖνοι νὰ ἀναλαμβάνουν τὶς ὑποθέσεις τῶν ἀποστόλων; Ἢ ὅτι δὲν ἀποφεύγει νὰ ὀνομάζη καὶ αὐτοὺς ἀδελφούς.

«Σᾶς χαιρετοῦν ὅλοι οἱ πιστοί, καὶ πρὸ παντὸς αὐτοὶ ποὺ ἀνήκουν στὸ σπίτι τοῦ Καίσαρος. Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ εἴθε νὰ εἶναι μὲ ὅλους σας». Ἐξύψωσε αὐτοὺς καὶ τοὺς ἐνδυνάμωσε, δείχνοντας ὅτι τὸ κήρυγμα τοῦ εὐαγγελίου ἔφθασε καὶ στὰ βασιλικὰ ἀνάκτορα. Ἀφοῦ λοιπὸν οἱ διαμένοντες μέσα στὰ παλάτια ἐπεριφρόνησαν τὰ πάντα γιὰ τὸν Βασιλέα τῶν οὐρανῶν, πολὺ περισσότερο πρέπει αὐτοὶ νὰ κάνουν τοῦτο. Καὶ αὐτὸ ἦταν ἀπόδειξις τῆς ἀγάπης τοῦ Παύλου, τὸ νὰ διηγῆται δηλαδὴ πολλὰ γι' αὐτοὺς καὶ νὰ τοὺς ἐξυμνῆ, γι' αὐτὸ καὶ ἔφερε σὲ μεγάλη ἐπιθυμία τοὺς διαμένοντας μέσα στὰ βασιλικὰ ἀνάκτορα, ὥστε νὰ χαιρετήσουν αὐτοὺς ποὺ δὲν ἔχουν ἰδεῖ. Καὶ μάλιστα, ἐπειδὴ οἱ πιστοὶ ἦσαν στενοχωρημένοι τότε, ἦταν μεγάλη ἡ ἀγάπη. Πῶς; Διότι καὶ ἐκεῖνοι ποὺ εἶχαν μεταξύ τους διαφωνίες, ἦσαν μεταξύ τους συνδεδεμένοι καὶ οἱ εὑρισκόμενοι μακριά, ὡσάν νὰ ἦσαν πλησίον, ἐχαιρετίσθηκαν μεταξύ τους, καὶ ὡσὰν νὰ ἐπρόκειτο γιὰ ἰδικά τους μέλη, ἔτσι ὁ καθένας ἐσυμπεριφέρετο μεταξύ τους. Καὶ ὁ πτωχὸς λοιπὸν ὅμοια ἐσυμπεριφέρετο πρὸς τὸν πλούσιο, καὶ ὁ πλούσιος πρὸς τὸν πτωχό· καὶ κανεὶς δὲν ἦταν μεταξὺ τους ἀνώτερος, ὅλοι ὅμοια ἐμισοῦντο καὶ ἐδιώκοντο. Γιατὶ ὅπως ἀκριβῶς μερικοὶ αἰχμάλωτοι, ὅταν ἀναγκάζωνται νὰ μεταναστεύσουν ἀπὸ διάφορες πόλεις καὶ

ἐλθόντες πόλιν, σφόδρα ἀλλήλοις συμπλέκονται, τοῦ κοινοῦ τῆς συμφορᾶς συγκολλῶντος αὐτούς· οὕτω δὴ καὶ τότε, τῆς κοινωνίας τῶν παθημάτων καὶ τῶν θλίψεων συναπτούσης αὐτούς, πολλὴν εἶχον πρὸς ἀλλήλους ἀγάπην.

5. Δεσμὸς γάρ τίς ἐστιν ἡ θλῖψις ἀῤῥαγής, ἀγάπης αὔξησις, κατανύξεως καὶ εὐλαβείας ὑπόθεσις. Ἄκουε γὰρ τοῦ Δαυῒδ λέγοντος· «Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου»· καὶ πάλιν ἑτέρου προφήτου λέγοντος, «Ἀγαθὸν ἀνθρώπῳ ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ»· καὶ πάλιν, «Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε»· καὶ ἑτέρου τινὸς λέγοντος, «Μὴ ὀλιγώρει παιδείας Κυρίου»· καὶ ἀλλαχοῦ, «Εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν». Καὶ ὁ Χριστὸς δὲ πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἔλεγεν, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ἀλλὰ θαρσεῖτε»· καὶ πάλιν, «Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται»· καὶ πάλιν, «Στενὴ καὶ τεθλιμμένη ἡ ὁδός».

Ὁρᾷς πανταχοῦ τὴν θλῖψιν ἐπαινουμένην; πανταχοῦ παραλαμβανομένην, ὡς ἀναγκαίαν οὖσαν ἡμῖν; Εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐδεὶς ἂν ταύτης χωρὶς στέφανον λάβοι, εἰ μὴ καὶ πόνοις καὶ σιτίων παραιτήσει καὶ νόμῳ διαίτης καὶ ἀγρυπνίαις καὶ μυρίοις ἑτέροις ἑαυτὸν ὀχυρώσειε, πολλῷ μᾶλλον ἐνταῦθα. Τίνα γὰρ βούλει; τὸν βασιλέα εἰπεῖν; Ἀλλ' οὐδὲ ἐκεῖνος ἀμέριμνον ζῇ βίον, ἀλλὰ καὶ πολλῶν θλίψεων καὶ φροντίδων γέμοντα. Μὴ γὰρ εἰς τὸ διάδημα ἴδῃς, ἀλλ' εἰς τὸ κλυδώνιον φροντίδων, δι' οὗ αὐτῷ ὁ θόρυβος τίκτεται· μηδὲ εἰς τὴν ἁλουργίδα βλέπε, ἀλλ' εἰς τὴν ψυχὴν τὴν μᾶλλον ἐκείνης τῆς ἁλουργίδος μελαινομένην· οὐχ οὕτως ὁ στέφανος δεσμεῖ τὴν κεφαλήν, ὡς τὴν ψυχὴν ἡ φροντίς· μηδὲ εἰς τὸ τῶν δορυφόρων πλῆθος ἴδῃς, ἀλλ' εἰς τὸ τῶν ἀθυμιῶν πλῆθος· οὐδὲ γὰρ ἔστιν ἰδιωτικὴν οἰκίαν εὑρεῖν τοσούτων γέμουσαν φροντίδων, ὅσων τὰ βασίλεια. Θάνατοι καθ' ἑκάστην ἡμέραν προσδοκώμενοι παρ' αὐτοῖς τούτοις, καὶ πρὸ τῆς τραπέζης τὸ αἷμα ὁρᾶται, καὶ πρὸ τοῦ ποτοῦ. Ἐν δὲ ταῖς νυξὶν

20. Ψαλμ. 118, 71
21. Θρ. Ἰερ. 3, 27
22. Ψαλμ. 93, 12
23. Παροιμ. 3, 11
24. Σοφ. Σειρ. 2, 1
25. Ἰω. 16, 33
26. Ἰω. 16, 20
27. Ματθ. 7, 14

νὰ ἔλθουν σὲ μιὰ πόλι, συνδέονται πολὺ στενὰ μεταξύ τους, ἐπειδὴ τοὺς ἑνώνει ἡ κοινὴ συμφορά, ἔτσι λοιπὸν καὶ τότε, ἐπειδὴ ἡ συμμετοχὴ στὰ παθήματα καὶ στὶς θλίψεις συνέδεε τοὺς πιστούς, εἶχαν μεταξύ τους μεγάλη ἀγάπη.

5. Ἡ θλῖψις λοιπὸν εἶναι ἕνας δεσμὸς στερεός, αὔξησις τῆς ἀγάπης καὶ προϋπόθεσις τῆς κατανύξεως καὶ τῆς εὐλαβείας. Ἄκουε λοιπὸν τὸν Δαυΐδ, ὁ ὁποῖος λέγει, «Ἦταν καλὸ γιὰ μέ, Κύριε, ὅτι μὲ ἐταπείνωσες, γιὰ νὰ μάθω τὰ προστάγματά σου»[20]· Ἄκουε πάλι ἄλλο προφήτη, ὁ ὁποῖος λέγει, «Εἶναι καλὸ γιὰ τὸν ἄνθρωπο, ὅταν βαστάζη τὸ ζυγὸ ἀπὸ τὴ νεότητά του»[21]· καὶ πάλι, «Μακάριος ὁ ἄνθρωπος, τὸν ὁποῖο θὰ παιδεύσῃς, Κύριε»[22]· καὶ κάποιον ἄλλο ποὺ λέγει, «Νὰ μὴ παραμελῆς τὴν παιδεία τοῦ Κυρίου»[23]· καὶ ἀλλοῦ· «Ἐὰν ἔρχεσαι νὰ ὑπηρετήσης τὸν Θεό, ἑτοίμασε τὸν ἑαυτό σου γιὰ πειρασμούς»[24]. Καὶ ὁ Χριστὸς ἔλεγε πρὸς τούς μαθητάς του, «Ἐφόσον εἶσθε μέσα στὸν κόσμο, θά ἔχετε θλῖψι, ἀλλὰ ἔχετε θάρρος»[25]· καὶ πάλι, «Θὰ κλάψετε καὶ θὰ θρηνήσετε ἐσεῖς, ὁ κόσμος ὅμως θὰ χαρῆ»[26]· καὶ πάλι, «Ὁ δρόμος εἶναι στενὸς καὶ γεμᾶτος δυσκολίες καὶ κινδύνους»[27].

Βλέπεις ὅτι ἡ θλῖψις παντοῦ ἐπαινεῖται; ὅτι γίνεται δεκτὴ παντοῦ, ὡσάν νὰ μᾶς εἶναι ἀναγκαία; Διότι ἐὰν στοὺς ἀθλητικοὺς ἀγῶνας κανεὶς δὲν μπορῆ νὰ λάβη τὸ ἔπαθλο χωρὶς αὐτήν, παρὰ μόνο ἐὰν ἤθελε νὰ ὁπλίση τὸν ἑαυτό του μέ κόπους, μὲ ἀπάρνησι φαγητῶν, μὲ εἰδικὴ δίαιτα, μὲ μεγάλη προετοιμασία καὶ μὲ πολλὰ ἄλλα, πολὺ περισσότερο αὐτὸ συμβαίνει ἐδῶ. Ποιὸν λοιπὸν θέλεις νὰ εἰποῦμε; τὸ βασιλέα; Ὅμως οὔτε καὶ ἐκεῖνος ζῆ ἀμέριμνα, ἀλλὰ μία ζωὴ γεμάτη ἀπὸ πολλὲς θλίψεις καὶ φροντίδες. Μὴ βλέπης λοιπὸν στὸ βασιλικὸ στέμμα, ἀλλὰ στὸ πλῆθος τῶν φροντίδων, μὲ τὸ ὁποῖο γεννᾶται σὲ αὐτὸν ἡ σύγχυσις· οὔτε στὴν πορφύρα του νὰ βλέπης, ἀλλὰ στὴν ψυχή του ποὺ γίνεται πιὸ μαύρη ἀπὸ τὴν πορφύρα ἐκείνη. Δὲν ἔχει τὸ στέμμα ἔτσι δέσμια τὴν κεφαλή, ὅσο ἡ φροντίδα τὴν ψυχή. Οὔτε στὸ πλῆθος τῶν σωματοφυλάκων νὰ ἰδῆς, ἀλλὰ στὸ πλῆθος τῶν στενοχωριῶν. Οὔτε βέβαια εἶναι δυνατὸ νὰ συναντήσωμε σπίτι ἁπλοῦ πολίτου ποὺ νὰ εἶναι γεμᾶτο μὲ τόσες φροντίδες, ὅσες ἔχουν τὰ βασιλικὰ ἀνάκτορα. Καθημερινὰ συμβαίνουν θάνατοι ποὺ ἀναμένονται ἀπὸ τοὺς ἰδίους καὶ βλέπουν νὰ χύνεται τὸ αἷμα πρὶν ἀπὸ τὸ φαγητὸ καὶ πρὶν ἀπὸ τὸ ποτό. Καὶ κατὰ τὴ διάρκεια τῆς νύκτας οὔτε εἶναι δυνατὸ νὰ εἰποῦμε πόσες φορὲς τινάζονται καὶ ἀναπηδοῦν, ἐπειδὴ βλέπουν φανταστικὰ πράγματα.

οὐδὲ εἰπεῖν ἔστιν ὁσάκις ἄλλονται καὶ ἀναπηδῶσι φαντασιούμενοι. Καὶ ταῦτα δὴ ἐν εἰρήνῃ· εἰ δὲ πόλεμος καταλάβοι, ἔτι τὰ τῶν φροντίδων ἐπιτείνεται.

Τί τοίνυν τοῦ βίου τούτου ἐλεεινότερον γένοιτ' ἄν; Τὰ δὲ παρὰ τῶν οἰκείων ὅσα; τῶν ἀρχομένων λέγω. Ἀμέλει καὶ συγγενικῶν αἱμάτων ἀεὶ γέμει τὸ ἔδαφος τὸ βασιλικόν. Καί, εἰ βούλεσθε, τινὰ καὶ διηγήσομαι, καὶ τάχα ἐπιγνώσεσθε ὅτι οὕτως ἔχει· μάλιστα μὲν καὶ τὰ παλαιὰ ἐρῶ, πλὴν ἀλλ' ὅμως ἔτι τῇ μνήμῃ φυλαττόμενα, ἅτε καὶ ἐπὶ τῶν χρόνων γενόμενα τῶν ἡμετέρων. Ὁ δεῖνα, φησί, τὴν γυναῖκα ὑποπτεύσας ἐπὶ μοιχείᾳ, γυμνὴν προσέδησεν ὄρεσι, καὶ θηρίοις ἐξέδωκεν, ἤδη μητέρα γενομένην αὐτῷ βασιλέων πολλῶν. Οἵαν οἴεσθε ζωὴν ζῆν ἐκεῖνον; οὐ γὰρ ἄν, εἰ μὴ σφόδρα κατετάκη τῷ πάθει, εἰς τοσαύτην ἐξέβη τιμωρίαν. Ὁ αὐτὸς δὴ οὗτος τὸν υἱὸν ἀπέσφαξε τὸν αὐτοῦ· μᾶλλον δὲ ὁ τούτου ἀδελφὸς ἑαυτὸν μετὰ τῶν παίδων αὐτοῦ. Λέγεται δὲ καὶ τὸν ἀδελφὸν οὗτος ἀνῃρηκέναι τὸν αὐτοῦ. Καὶ ὁ μὲν ἑαυτὸν ἀνεῖλεν, ὑπὸ τυράννου καταληφθείς, ὁ δὲ τὸν ἀνεψιὸν τὸν αὐτοῦ κοινωνοῦντα τῆς βασιλείας αὐτῷ, ἣν αὐτὸς ἐνεχείρισεν.

Ἄλλος τὴν γυναῖκα εἶδεν ὑπὸ πεσσῶν διαφθαρεῖσαν· ὡς γὰρ οὐκ ἔτικτε, γυνή τις ἀθλία καὶ ταλαίπωρος (ἀθλία γὰρ καὶ ταλαίπωρος, ἣ τὸ τοῦ Θεοῦ δῶρον ἤλπισε δι' οἰκείας παρέξειν σοφίας), πεσσοὺς δοῦσα, διέφθειρε τὴν βασιλίδα, καὶ συνδιεφθάρη καὶ αὐτή. Ἕτερος πάλιν μετὰ τοῦτο ὑπὸ δηλητηρίων ἀνῄρητο φαρμάκων, καὶ τὸ ποτήριον ἦν αὐτῷ λοιπὸν οὐκέτι πόμα, ἀλλὰ θάνατος· καὶ ὁ υἱὸς αὐτῷ τὸν ὀφθαλμὸν ἐξωρύττετο φόβῳ τῶν μελλόντων, οὐδὲν ἠδικηκώς. Ἄλλος, οὐδὲ εἰπεῖν καλόν, ὅπως κατέλυσε τὸν βίον ἐλεεινῶς. Τῶν δὲ μετὰ τούτους ὁ μὲν κατεκάη, καθάπερ τις ἄθλιος καὶ ταλαίπωρος, μετὰ ἵππων καὶ δοκῶν καὶ τῶν ἄλλων ἁπάντων, καὶ τὸ γύναιον ἐν χηρείᾳ. Τὰς γὰρ ἐν τῷ ζῆν λύπας οὐδὲ εἰπεῖν ἔνι, ἅς, ὅτε οὗτος ἐπανέστη, ἠναγκάζετο ἔχειν. Οὗτος δὲ ὁ νῦν κρατῶν οὐχὶ ἐξ οὗ τὸ διάδημα περιέθετο, ἐν πόνοις, ἐν κινδύνοις, ἐν λύπαις, ἐν ἀθυμίαις, ἐν συμφοραῖς, ἐν ἐπιβουλαῖς;

Ἀλλ' οὐχ ἡ βασιλεία τοιαύτη τῶν οὐρανῶν· ἀλλὰ μετὰ τὸ

---

28. Πεσσοί· ὄργανο ποικίλου σχήματος ποὺ εἰσήγετο στὸν κολεὸ τῆς μήτρας.

Καὶ αὐτὰ βέβαια συμβαίνουν σὲ περίοδο εἰρήνης· ἂν ὅμως ἔλθη ὁ πόλεμος, οἱ φροντίδες αὐξάνουν ἀκόμη περισσότερο.

Τί θὰ ἠμποροῦσε νὰ γίνη λοιπὸν πιὸ ἄθλιο ἀπὸ τὴ ζωὴ αὐτή; Καὶ ἀπὸ τοὺς ἰδικούς του πόσα προέρχονται; ἐννοῶ τοὺς ὑπηκόους του. Χωρὶς ἀμφιβολία καὶ τὸ δάπεδο τῶν ἀνακτόρων εἶναι πάντοτε γεμᾶτο μὲ αἵματα συγγενικῶν προσώπων. Καί, ἐὰν θέλετε, θὰ σᾶς διηγηθῶ καὶ μερικὰ περιστατικά, καὶ ἴσως γνωρίσετε καλὰ ὅτι πράγματι ἔτσι συμβαίνει. Κυρίως θὰ εἰπῶ τὰ παλαιά, τὰ ὁποῖα ὅμως φυλάσσονται ἀκόμη στὴ μνήμη, ἐπειδὴ ἔγιναν καὶ στὰ ἰδικά μας χρόνια. Ὁ τάδε, λέγεται, ἐπειδὴ ὑποψιάσθηκε τὴ γυναῖκα του γιὰ μοιχεία, τὴν ἔδεσε γυμνὴ στὰ βουνὰ καὶ τὴν παρέδωσε στὰ ἄγρια ζῶα, ἀφοῦ ἤδη ἔγινε σὲ αὐτὸν μητέρα πολλῶν βασιλέων. Τί εἴδους ζωὴ νομίζετε ὅτι κάνει ἐκεῖνος; γιατὶ δὲν θὰ ἔφθανε σὲ τόση μεγάλη τιμωρία, ἐὰν δὲν τὸν κατέστρεφε ὑπερβολικὰ τὸ πάθος. Αὐτὸς λοιπὸν ὁ ἴδιος ἐφόνευσε τὸν υἱό του. Μᾶλλον δὲ ὁ ἀδελφὸς του ἐφόνευσε τὸν ἑαυτό του μαζὶ μὲ τὰ παιδιά του. Λέγεται ἀκόμη ὅτι αὐτὸς ἔχει φονεύσει καὶ τὸν ἀδελφὸ του. Καὶ ὁ ἕνας ἐφόνευσε τὸν ἑαυτό του, ἐπειδὴ τὸν ἠνάγκασε ὁ τύραννος, ὁ ἄλλος ὅμως ἐφόνευσε τὸν ἀνεψιό του ποὺ συμμετεῖχε μαζὶ μὲ αὐτὸν στὴ βασιλεία, τὴν ὁποία αὐτὸς ἀνέθεσε.

Ἄλλος εἶδε τὴ γυναῖκα του νὰ ἔχη διαφθαρῆ ἀπὸ πεσσοὺς[28]. Ἐπειδὴ λοιπὸν δὲν ἐγεννοῦσε, κάποια γυναῖκα ἀθλία καὶ ταλαίπωρος (ἦταν πράγματι ἀθλία καὶ ταλαίπωρος, ἢ ἤλπισε ὅτι θὰ δώση τὸ δῶρο τοῦ Θεοῦ μὲ τὴν ἰδική της σοφία), ἀφοῦ τὴν ἔδεσε στοὺς πεσσούς, διέφθειρε τὴν πριγκίπισσα καὶ διεφθάρηκε καὶ αὐτὴ μαζί. Ἄλλος πάλι ὕστερα ἀπὸ αὐτὸ εἶχε φονευθῆ ἀπὸ δηλητήριο καὶ τὸ ποτήρι δὲν ἦταν πιὰ γι' αὐτὸν ποτό, ἀλλὰ θάνατος· καὶ ὁ υἱὸς του ἔβγαλε τὸ μάτι αὐτοῦ, ἀπὸ φόβο γιὰ τὸ μέλλον, ἂν καὶ δὲν εἶχε κάνει κανένα ἀδίκημα. Ἄλλος, δὲν μπορῶ νὰ εἰπῶ καλό, ἐπέθανε μὲ ἐλεεινὸ τρόπο. Ἀπὸ τοὺς ἑπομένους ὁ ἕνας ἐκάηκε ἐντελῶς, ὡσὰν κάποιος ἄθλιος καὶ ταλαίπωρος, μαζὶ μὲ τὰ ἄλογα καὶ τὰ δοκάρια καὶ ὅλα τὰ ἄλλα, καὶ ἔμεινε ἡ γυναῖκα του χήρα. Δὲν εἶναι δυνατὸ νὰ ἀναφέρουμε τὶς ταλαιπωρίες κατὰ τὴ διάρκεια τῆς ζωῆς της, ποὺ ὅταν αὐτὸς ἐπαναστάτησε, ἦταν ἀναγκασμένη νὰ ἔχη. Καὶ αὐτὸς ποὺ κυβερνᾶ τώρα δὲν ἔλαβε ἀπὸ ἐκεῖνον τὸ στέμμα μὲ κόπους, μέ κινδύνους, μὲ στενοχώριες, μὲ πικρίες, μὲ συμφορές, μὲ ἐπιβουλές;

Δὲν εἶναι ὅμως τέτοια ἡ Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ ἀφοῦ τὴν

λαβεῖν αὐτήν, εἰρήνη, ζωή, χαρά, εὐφροσύνη. 'Αλλ', ὅπερ ἔλεγον, οὐκ ἔνι βίος ἀταλαιπώρητος. Εἰ δὲ ἐν τοῖς βιωτικοῖς καὶ ὁ μάλιστα μακαριώτερος, ὁ ἐν βασιλείᾳ, τοσούτων γέμει συμφορῶν, τί οἴει ἐν τοῖς ἰδιωτικοῖς; Καὶ πόσα ἕτερα κακά, οὐδὲ εἰπεῖν ἔστι. Πόσοι πολλάκις καὶ μῦθοι ἀπὸ τούτων ἐπλάσθησαν, πᾶσαι σχεδὸν αἱ ἐπὶ τῆς σκηνῆς τραγῳδίαι ἀπὸ τῶν βασιλέων ὑφαίνονται, καὶ οἱ μῦθοι. Τὰ γὰρ πλείονα τῶν ἐν τοῖς μύθοις ἀπὸ τῶν γενομένων πέπλασται· οὕτω γὰρ ἔχει καὶ ἡδονήν· οἷον, τὰ Θυέστεια δεῖπνα, καὶ ὡς πᾶσα ἐκείνη ἡ οἰκία διὰ συμφορῶν κατέστρεψεν.

6. 'Αλλὰ ταῦτα μὲν ἀπὸ τῶν παρὰ τῶν ἔξωθεν συντεθέντων ἴσμεν· εἰ δὲ βούλεσθε, καὶ ἀπὸ τῶν Γραφῶν ἐροῦμεν. 'Ο Σαοὺλ πρῶτος ἐβασίλευσεν, ἀλλ' ἴστε πῶς καὶ οὗτος ἀπώλετο μυρίων πειραθεὶς κακῶν. Μετ' ἐκεῖνον ὁ Δαυίδ, ὁ Σολομών, ὁ 'Αβιά, ὁ 'Εζεκίας, ὁ 'Ιωσίας ὁμοίως. Οὐ γὰρ ἔστι θλίψεως χωρίς, οὐκ ἔστι πόνων χωρίς, οὐκ ἔστιν ἀθυμίας ἐκτὸς τὸν παρόντα βίον διελθεῖν. 'Αλλ' ἡμεῖς ἀθυμῶμεν μὴ ὑπὲρ τῶν τοιούτων, ὑπὲρ ὧν καὶ κέρδος ἔχομεν μέγα· «'Η γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται».

'Υπὲρ τούτων χρὴ λυπεῖσθαι, ὑπὲρ τούτων ἀλγεῖν, ὑπὲρ τούτων δάκνεσθαι· οὕτως ἐλυπεῖτο Παῦλος ὑπὲρ τῶν ἁμαρτανόντων, οὕτως ἐδάκρυεν· «'Εκ γὰρ πολλῆς θλίψεως», φησί, «καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων». 'Επειδὴ γὰρ ὑπὲρ οἰκείων οὐκ εἶχε πανθεῖν, ὑπὲρ τῶν ἀλλοτρίων τοῦτο ἐποίει· μᾶλλον δὲ κἀκεῖνα οἰκεῖα ἡγεῖτο κατὰ τὸν τοῦ πένθους λόγον. Ἕτεροι ἐσκανδαλίζοντο, καὶ αὐτὸς ἐπυροῦτο· ἕτεροι ἠσθένουν, καὶ αὐτὸς ἠσθένει. 'Αγαθὸν ἡ τοιαύτη λύπη, πάσης κρείττων αὕτη χαρᾶς κοσμικῆς. Τὸν οὕτω πενθοῦντα ἐγὼ πάντων τῶν ἀνθρώπων προκρίνω· μᾶλλον δὲ καὶ αὐτὸς τοὺς οὕτω πενθοῦντας μακαρίζει ὁ Κύριος, τοὺς συμπαθεῖς. Οὐχ οὕτως αὐτὸν ἐπὶ τοῖς κινδύνοις θαυμάζω· μᾶλλον δὲ οὐχ ἧττον αὐτὸν τῶν κινδύνων θαυμάζω, ὑφ' ὧν καθ' ἑκάστην ἡμέραν ἀπέθνησκεν· ἀλλὰ τοῦτό με μᾶλλον αἱρεῖ. 'Απὸ γὰρ ψυχῆς φιλοθέου καὶ

---

29. Κατὰ τὴ μυθολογία ὁ 'Ατρεὺς γιὰ νὰ ἐκδικηθῆ τὸν ἀδελφό του Θυέστη, τὸν ἐκάλεσε σὲ δεῖπνο καὶ τοῦ ἐπρόσφερε μαγειρευμένες τὶς σάρκες τῶν υἱῶν τοῦ Θυέστη (Θυέστεια δεῖπνα).

30. Πρόκειται γιὰ τὴν οἰκογένεια τῶν 'Ατρειδῶν. 'Η οἰκογένειά τους βαρύνεται ἀπὸ φοβερὰ κακουργήματα ποὺ ἐπροκάλε-

λάβωμε ὑπάρχει εἰρήνη, ζωή, χαρά, εὐφροσύνη. Ἀλλά, ἐκεῖνο ποὺ ἔλεγα, δὲν ὑπάρχει ζωὴ χωρὶς ταλαιπωρίες. Ἐὰν ὅμως στὰ ἐπίγεια καὶ ἐκεῖνος ποὺ εἶναι περισσότερο ἀπὸ ὅλους εὐτυχής, δηλαδὴ ὁ βασιλεύς, εἶναι γεμᾶτος ἀπὸ τόσες συμφορές, τί νομίζετε ὅτι συμβαίνει στὶς ὑποθέσεις τῶν ἰδιωτῶν; Καὶ πόσα ἄλλα κακὰ συμβαίνουν, ποὺ οὔτε νὰ τὰ ἀναφέρωμε μποροῦμε. Πολλὲς φορὲς ἐπλάσθηκαν ἐξ αἰτίας τους πολλοὶ μῦθοι· ὅλες σχεδὸν οἱ τραγωδίες ποὺ παίζονται στὸ θέατρο δημιουργοῦνται ἀπὸ τοὺς βασιλεῖς, καθὼς καὶ οἱ μῦθοι. Πράγματι οἱ περισσότεροι μῦθοι ἔχουν πλασθῆ ἀπὸ αὐτὰ ποὺ ἔγιναν, διότι ἔτσι τὸ πρᾶγμα περιέχει καὶ εὐχαρίστησι, ὅπως τὰ Θυέστεια δεῖπνα[29], καὶ ὅπως ὅλη ἐκείνη ἡ οἰκογένεια, ποὺ κατεστράφηκε μὲ συμφορές[30].

6. Ἀλλὰ αὐτὰ τὰ γνωρίζομε ἀπὸ τὰ συγγράμματα ποὺ ἔγραψαν οἱ ἐκτὸς τῆς ἐκκλησίας. Ἂν ὅμως θέλετε, καὶ ἀπὸ τὴν Ἁγία Γραφὴ θὰ εἰποῦμε. Ὁ Σαοὺλ ἐβασίλευσε πρῶτος, ἀλλὰ γνωρίζετε πῶς ἐχάθηκε καὶ αὐτός, ἀφοῦ ἔπαθε πάρα πολλὰ κακά. Ἔπειτα ἀπὸ ἐκεῖνον ὁ Δαυΐδ, ὁ Σολομών, ὁ Ἀβιᾶ, ὁ Ἐζεκίας, ὁ Ἰωσίας μὲ τὸν ἴδιο τρόπο. Διότι δὲν εἶναι δυνατὸ νὰ ζήσωμε τὴν παροῦσα ζωὴ χωρὶς θλίψεις, χωρὶς κόπους, χωρὶς στενοχώριες. Ἐμεῖς ὅμως ἂς μὴ λυπούμασθε γιὰ ἐκεῖνα, γιὰ τὰ ὁποῖα λυποῦνται οἱ βασιλεῖς, ἀλλὰ γι' αὐτὰ ἀπὸ τὰ ὁποῖα ἔχομε καὶ μεγάλο κέρδος, «Διότι ἡ λύπη ποὺ γίνεται σύμφωνα μὲ τὸν Θεὸ φέρει τὴ μετάνοια χωρὶς μεταμέλεια, ποὺ ὁδηγεῖ στὴ σωτηρία»[31].

Γι' αὐτὰ πρέπει νὰ λυπούμασθε, γι' αὐτὰ νὰ στενοχωρούμασθε, γι' αὐτὰ νὰ θλιβώμασθε. Ἔτσι ἐλυπεῖτο ὁ Παῦλος γιὰ τοὺς ἁμαρτωλούς, ἔτσι ἔκλαιε. «Διότι σᾶς ἔγραψα, λέγει, ἀπὸ πολλὴ θλῖψι καὶ στενοχώρια τῆς καρδιᾶς μὲ πολλὰ δάκρυα»[32]. Ἐπειδὴ λοιπὸν δὲν ἠμποροῦσε νὰ πενθῆ γιὰ ἰδικούς του, ἔκανε αὐτὸ γιὰ τοὺς ξένους· μᾶλλον ὅμως ἐθεωροῦσε καὶ ἐκεῖνα ἰδικά του σύμφωνα μὲ τὴν αἰτία τοῦ πένθους. Ἄλλοι ἐσκανδαλίζοντο, καὶ αὐτὸς ἐδοκιμάζετο· ἄλλοι ἦσαν ἀσθενεῖς, καὶ αὐτὸς ἐγίνετο ἀσθενής. Εἶναι ἀγαθὸ αὐτὴ ἡ λύπη, πιὸ καλὴ ἀπὸ κάθε κοσμικὴ χαρά. Ἐγὼ προτιμῶ ἀπὸ ὅλους τοὺς ἀνθρώπους ἐκεῖνον, ποὺ πενθεῖ ἔτσι· μᾶλλον δὲ καὶ ὁ ἴδιος ὁ Χριστὸς μακαρίζει ἐκείνους ποὺ πενθοῦν σύμφωνα μὲ τὸν τρόπο αὐτόν»[33], ἐκείνους ποὺ συμπαθοῦν τοὺς ἄλλους. Δὲν θαυμάζω αὐτὸν τόσο γιὰ τοὺς κινδύνους· μᾶλλον δὲ δὲν θαυμάζω αὐτὸν λιγώτερο ἀπὸ τοὺς κινδύνους, ἀπὸ τοὺς ὁποίους καθημερινὰ ἐπέθαινε· ὅμως αὐτὸ περισσότερο μὲ κερδίζει. Γιατὶ ἐγίνετο αὐτὸ ἀπὸ

φιλοστόργου ἐγίνετο, ἀπὸ ἀγάπης, ἣν αὐτὸς ὁ Χριστὸς ἐζήτει, ἀπὸ συμπαθείας ἀδελφικῆς καὶ πατρικῆς, μᾶλλον δὲ καὶ τούτων ἀμφοτέρων μείζονος.

Οὕτω διακεῖσθαι χρή, οὕτω δακρύειν· τὰ τοιαῦτα δάκρυα πολλῆς ἐστιν εὐφροσύνης μεστά· τὸ τοιοῦτον πένθος ὑπόθεσις χαρᾶς ἐστι. Καὶ μή μοι εἴπῃς, τί πλέον ἐκ τοῦ θρηνεῖν, ὑπὲρ ὧν τοῦτο ποιῶ; Κἂν μηδὲν ὀνήσωμεν τοὺς θρηνουμένους, ἀλλὰ πάντως ἡμᾶς αὐτοὺς ὠφελήσομεν. Ὁ γὰρ ὑπὲρ τῶν ἀλλοτρίων οὕτως ἀλγῶν, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἰδίων τοῦτο ποιήσεται· ὁ ἐπὶ τοῖς ἑτέρων οὕτω δακρύων, οὐκ ἀδακρυτὶ τὰ οἰκεῖα παρελεύσεται πλημμελήματα· μᾶλλον δὲ οὐδὲ ἁμαρτήσει ταχέως. Τὸ δὲ δεινόν, ὅτι κελευσθέντες οὕτως ἐπὶ τοῖς ἁμαρτάνουσι θρηνεῖν, οὐδὲ ἐπὶ τοῖς οἰκείοις τινὰ ἐπιδεικνύμεθα μετάνοιαν, ἀλλ' ἀναλγήτως παίοντες διακείμεθα, καὶ πάντων μᾶλλον φροντίζομεν, καὶ πάντα λογιζόμεθα μᾶλλον ἢ τὰ οἰκεῖα ἁμαρτήματα. Διὰ τοῦτο χαίρομεν χαρὰν τὴν ἀνόνητον, τὴν τοῦ κόσμου, τὴν εὐθέως σβεννυμένην, τὴν μυρίας τίκτουσαν λύπας.

Λυπηθῶμεν τοίνυν λύπην χαρᾶς μητέρα, καὶ μὴ ἡσθῶμεν χαρὰν λύπην τίκτουσαν· ἀφῶμεν δάκρυα σπείροντα πολλὴν ἡδονήν, καὶ μὴ γελῶμεν γέλωτα βρυγμὸν ἡμῖν ὀδόντων τίκτοντα· θλιβῶμεν θλῖψιν, ἀφ' ἧς πολλὴ θλῖψις καὶ ὀδύνη τίκτεται· ἐπὶ τῆς γῆς μικρὸν πονήσωμεν, ἵνα τρυφήσωμεν διηνεκῶς ἐν τοῖς οὐρανοῖς· ἐν τῷ ἐπικήρῳ βίῳ θλίψωμεν ἑαυτούς, ἵνα ἐν τῷ ἀπείρῳ τύχωμεν ἀνέσεως· μὴ διαχυθῶμεν ἐν τῷ βραχεῖ τούτῳ, ἵνα μὴ στενάξωμεν ἐν τῷ ἀπείρῳ.

Οὐχ ὁρᾶτε πόσοι καὶ ἐνταῦθα θλίβονται ἕνεκεν πραγμάτων; Ἐννόησον ὅτι καὶ σὺ εἷς ἐξ ἐκείνων εἶ, καὶ φέρε τὴν θλῖψιν καὶ τὴν ὀδύνην, τῇ ἐλπίδι τῶν μελλόντων τρεφόμενος· οὐκ εἶ σὺ τοῦ Παύλου βελτίων οὐδὲ τοῦ Πέτρου, τῶν οὐδέποτε ἀνέσεως τυχόντων, τῶν ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι τὸν πάντα βίον διεξελθόντων. Εἰ βούλει τῶν αὐτῶν ἐκείνοις τυχεῖν τί τὴν ἐναντίαν ὁδεύεις ὁδόν; εἰ βούλει πρὸς τὴν πόλιν ἀπαντῆσαι ἐκείνην,

---

σαν τὴν κατάρα καὶ τὴν τιμωρία τῶν θεῶν καὶ ἔγιναν ἀγαπητὰ θέματα γιὰ τοὺς ποιητὰς τραγωδιῶν.

31. Β' Κορ. 7, 10
32. Β' Κορ. 2, 4
33. Ματθ. 5, 4

ἄνθρωπο θεοσεβῆ καὶ φιλόστοργο, ἀπὸ ἀγάπη, τὴν ὁποία ὁ ἴδιος ὁ Χριστὸς ἐζητοῦσε, ἀπὸ συμπάθεια ἀδελφικὴ καὶ πατρική, ἢ καλύτερα ὅμως πιὸ μεγάλη καὶ ἀπὸ αὐτὰ τὰ δύο.

Ἔτσι πρέπει νὰ συμπεριφερώμασθε, ἔτσι νὰ δακρύζωμε. Τὰ δάκρυα αὐτὰ εἶναι γεμᾶτα ἀπὸ πολλὴ εὐθυμία, ἕνα τέτοιο πένθος εἶναι προϋπόθεσις χαρᾶς. Καὶ μὴ μοῦ εἰπῇς, τί περισσότερο κερδίζω ἀπὸ τὸ νὰ θρηνῶ γι' αὐτὰ τὰ ὁποῖα κάνω τοῦτο; Καὶ ἂν δὲν βοηθήσωμε καθόλου αὐτοὺς ποὺ θρηνοῦμε, ὁπωσδήποτε ὅμως θὰ ὠφελήσωμε ἐμᾶς τοὺς ἰδίους. Διότι ἐκεῖνος ποὺ αἰσθάνεται πόνο γιὰ τὰ ξένα, πολὺ περισσότερο θὰ κάμη αὐτὸ γιὰ τὰ ἰδικά του. Ἐκεῖνος ποὺ δακρύζει ἔτσι γιὰ τὰ ἁμαρτήματα τῶν ξένων, δὲν θὰ περάση χωρὶς δάκρυα τὰ ἰδικά του, καλύτερα ὅμως οὔτε θὰ ἁμαρτήση γρήγορα. Καὶ τὸ φοβερὸ εἶναι, ὅτι ἐνῶ μᾶς παρήγγειλλε νὰ θρηνοῦμε ἔτσι γι' αὐτοὺς ποὺ ἁμαρτάνουν, οὔτε γιὰ τὰ ἰδικά μας ἁμαρτήματα δὲν δείχνομε κάποια μετάνοια, ἀλλὰ συμπεριφερόμασθε ἁμαρτάνοντας ἀσυναίσθητα, καὶ φροντίζομε περισσότερο γιὰ ὅλα καὶ σκεπτόμασθε περισσότερο τὰ πάντα παρὰ τὰ ἰδικά μας ἁμαρτήματα. Γι' αὐτὸ χαιρόμασθε τὴ χωρὶς ὄφελος χαρά, τὴ χαρὰ τοῦ κόσμου, τὴ χαρὰ ποὺ σωβήνεται ἀμέσως, τὴ χαρὰ ποὺ γεννᾶ πολλὲς λύπες.

Ἂς λυπηθοῦμε λοιπὸν τὴ λύπη ποὺ εἶναι μητέρα τῆς χαρᾶς καὶ ἂς μὴ χαιρώμασθε τὴ χαρὰ ποὺ γεννᾶ λύπη. Ἂς χύσωμε δάκρυα ποὺ σπείρουν μεγάλη εὐχαρίστησι καὶ ἂς μὴ γελᾶμε τὸ γέλιο ποὺ μᾶς προκαλεῖ τὸ τρίξιμο τῶν δοντιῶν. Ἂς λυπηθοῦμε τὴ θλῖψι, ἀπὸ τὴν ὁποία φυτρώνει ἡ ἄνεσις καὶ ἂς μὴ ἐπιζητοῦμε τὴν ἀπόλαυσι, ἀπὸ τὴν ὁποία προέρχεται μεγάλη θλῖψις καὶ ὀδύνη. Ἂς κοπιάσωμε γιὰ μικρὸ χρονικὸ διάστημα στὴ γῆ, γιὰ νὰ ζήσωμε μὲ ἀπολαύσεις παντοτινὰ στοὺς οὐρανούς. Ἂς στενοχωρήσωμε τὸν ἑαυτό μας στὴ θνητὴ ζωή, γιὰ νὰ ἐπιτύχωμε τὴν ἄνεσι στὴν ἄλλη, ποὺ εἶναι ἀθάνατη. Ἂς μὴ ζήσωμε ἀκόλαστα στὴν παροδικὴ αὐτὴ ζωή, γιὰ νὰ μὴ θρηνήσωμε στὴν αἰώνιο.

Δὲν βλέπετε καὶ ἐδῶ πόσοι στενοχωροῦνται ἐξ αἰτίας τῶν ἐπιγείων πραγμάτων; Κατανόησε ὅτι καὶ σὺ εἶσαι ἕνας ἀπὸ ἐκείνους καὶ νὰ ὑπομένης τὴ θλῖψι καὶ τὴν ὀδύνη, τρεφόμενος μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν. Δὲν εἶσαι ἐσύ καλύτερος ἀπὸ τὸν Παῦλο, οὔτε τὸν Πέτρο, ποὺ δὲν ἔζησαν ποτὲ μὲ ἄνεσι καὶ ἐπέρασαν ὅλη τὴ ζωή τους μὲ πεῖνα καὶ δίψα καὶ γυμνότητα. Ἐὰν θέλης νὰ ἐπιτύχης τὰ ἴδια μὲ ἐκείνους, γιατί βαδίζεις τὸν ἀντίθετο δρόμο;

ἧς ἐκεῖνοι κατηξιώθησαν, ἐκείνην βάδιζε τὴν ὁδὸν τὴν ἐκεῖ φέρουσαν. Οὐ φέρει ἡ τῆς ἀνέσεως ὁδὸς ἐκεῖ, ἀλλ' ἡ τῆς θλίψεως· ἐκείνη εὐρύχωρος, αὕτη στενή.

Ταύτην βαδίζωμεν, ἵνα τύχωμεν τῆς αἰωνίου ζωῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐὰν θέλης νὰ εἰσέλθης στὴν πόλι ἐκείνη, γιὰ τὴν ὁποία ἐθεωρήθηκαν αὐτοὶ ἄξιοι, βάδιζε ἐκεῖνον τὸ δρόμο ποὺ ὁδηγεῖ ἐκεῖ. Δὲν ὁδηγεῖ ἐκεῖ ὁ δρόμος τῆς ἀνέσεως, ἀλλὰ ὁ δρόμος τῆς θλίψεως· ἐκεῖνος εἶναι εὐρύχωρος, αὐτὸς εἶναι στενός.

Ἂς βαδίζωμε τὸ δρόμο αὐτό, γιὰ νὰ ἐπιτύχωμε τὴν αἰώνιο ζωὴ μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καί ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

ΟΜΙΛΙΑ Α΄

(Κολ. 1, 1 – 8)

«Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν».

1. Πᾶσαι μὲν ἅγιαι αἱ ἐπιστολαὶ Παύλου, ἔχουσι δέ τι πλέον αἱ δεδεμένου αὐτοῦ πεμπόμεναι, οἷα ἐστὶν ἡ πρὸς Ἐφεσίους, οἷα ἡ πρὸς Φιλήμονα, οἷα ἡ πρὸς Τιμόθεον, οἷα ἡ πρὸς Φιλιππησίους, οἷα αὕτη ἡ παροῦσα· καὶ γὰρ καὶ αὕτη δεσμίου ὄντος ἐπέμπετο, καθὼς γράφων ἔλεγε· «Δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι». Ἀλλ' αὕτη μὲν δοκεῖ τῆς πρὸς Ρωμαίους ὑστέρα εἶναι. Ἐκείνην μὲν γὰρ οὐδέπω ἰδὼν Ρωμαίους ἔγραφε, ταύτην δὲ ἤδη τεθεαμένος, καὶ πρὸς τῷ τέλει τοῦ κηρύγματος ὤν.

Καὶ δῆλον ἐκεῖθεν. Ἐν γὰρ τῇ ἐπιστολῇ φησι τῇ πρὸς Φιλήμονα, «Τοιοῦτος ὤν, ὡς Παῦλος πρεσβύτης», καὶ ὑπὲρ Ὀνησίμου ἀξιῶν· ἐν ταύτῃ δὲ αὐτὸν πέμπει τὸν Ὀνήσιμον, καθώς φησι, «Σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ», πιστὸν καὶ ἀγαπητὸν καὶ ἀδελφὸν αὐτὸν καλῶν. Διὸ καὶ θαῤῥούντως λέγει ἐν ταύτῃ τῇ ἐπιστολῇ· «Ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου, οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν»· ἤδη γὰρ χρόνον εἶχε τὸ κήρυγμα. Ταύτης οὖν ὑστέραν οἶμαι τὴν πρὸς Τιμόθεον εἶναι, καὶ πρὸς αὐτῇ τῇ τελευτῇ λοιπόν· ἐκεῖ γάρ φησιν, «Ἐγὼ γὰρ ἤδη σπένδομαι». Τῆς μὲν οὖν πρὸς Φιλιππησίους πρεσβυτέρα· ἐκεῖ γὰρ ἦν τότε ἀρχὴν ἔχων τῶν δεσμῶν τῶν ἐν Ρώμῃ.

Τίνος δὲ ἕνεκεν λέγω πλέον ἔχειν ταύτας τὰς ἐπιστολὰς

---

1. Οἱ Κολοσσὲς ἦσαν σημαντικὴ πόλις τῆς Φρυγίας, πλησίον τῆς Λαοδικείας καὶ Ἱεραπόλεως. Ὁ ἀπόστολος Παῦλος δὲν εἶχε ἐπισκεφθῆ ὁ ἴδιος τὶς Κολοσσές. Φαίνεται, ὅτι τὸ Εὐαγγέλιο ἐκήρυξε ἐδῶ ὁ Ἐπαφρᾶς, πολίτης καὶ αὐτὸς τῆς πόλεως τῶν Κολοσσῶν, ὁ ὁποῖος εἶχε μεταστραφῆ στὸ Χριστιανισμὸ ἀπὸ τὸ κήρυγμα τοῦ Παύλου στὴν Ἔφεσο.
2. Ἀπὸ τὶς ἐπιστολὲς τοῦ Παύλου ἐπεκράτησε τὶς ἐπιστολὲς πρὸς Κολασσαεῖς, Φιλήμονα, Ἐφεσίους καὶ Φιλιππησίους νὰ ὀνομάζωμε Ἐπιστολὲς τῆς αἰχμα-

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

ΟΜΙΛΙΑ Α΄
(Κολ. 1,1 – 8)

«Ἐγὼ ὁ Παῦλος, ὁ ὁποῖος εἶμαι ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ μὲ τὸ θέλημα τοῦ Θεοῦ, καὶ ὁ Τιμόθεος ὁ ἀδελφός, γράφομε πρὸς τοὺς κατοικοῦντας στὶς Κολοσσὲς[1] χριστιανοὺς καὶ πιστοὺς ἀδελφοὺς ἐξ αἰτίας τῆς ἑνώσεώς μας μὲ τὸν Χριστό· εἴθε νὰ σᾶς δοθῆ χάρις καὶ εἰρήνη ἀπὸ τὸν Θεὸ Πατέρα μας».

1. Ὅλες οἱ ἐπιστολὲς τοῦ Παύλου εἶναι ἅγιες, ἔχουν ὅμως κάτι περισσότερο ἐκεῖνες ποὺ ἔστειλε ὅταν ἦταν φυλακισμένος, ὅπως εἶναι ἡ πρὸς Ἐφεσίους, ἡ πρὸς Φιλήμονα, ἡ πρὸς Τιμόθεο, ἡ πρὸς Φιλιππησίους, ὅπως εἶναι καὶ ἡ πρὸς Κολοσσαεῖς[2]. Γιατὶ ὅταν ἦταν φυλακισμένος ἔστειλε καὶ τὴν ἐπιστολὴ αὐτή, καθὼς ὅταν ἔγραφε ἔλεγε: «Γιὰ τὸ ὁποῖο καὶ εἶμαι δεμένος, γιὰ νὰ φανερώσω αὐτό, ὅπως πρέπει νὰ ὁμιλήσω»[3]. Ἡ ἐπιστολὴ αὐτὴ φαίνεται ὅτι ἐγράφηκε ὕστερα ἀπὸ τὴν πρὸς Ρωμαίους. Γιατὶ χωρὶς νὰ ἰδῆ μέχρι τότε τοὺς Ρωμαίους ἔγραφε τὴν ἐπιστολή, αὐτὴν ὅμως ἀφοῦ τοὺς εἶχε ἰδεῖ πιὰ καὶ εὑρίσκετο πρὸς τὸ τέλος τοῦ κηρύγματος.

Καὶ εἶναι φανερὸ ἀπὸ τοῦτο. Γιατὶ στὴν πρὸς Φιλήμονα ἐπιστολὴ λέγει, «Σὰν τέτοιος ποὺ εἶμαι, δηλαδὴ σὰν Παῦλος ἠλικιωμένος»[4], καὶ παρακαλεῖ γιὰ τὸν Ὀνήσιμο[5]. Σὲ αὐτὴν ὅμως στέλλει τὸν ἴδιο τὸν Ὀνήσιμο, καθὼς λέγει, «Μαζὶ μὲ τὸν Ὀνήσιμο, τὸν πιστὸ καὶ ἀγαπητὸ ἀδελφό»[6], ἀποκαλώντας αὐτὸν πιστὸ καὶ ἀγαπητὸ ἀδελφό. Γι' αὐτὸ καὶ μὲ θάρρος λέγει σ' αὐτὴν τὴν ἐπιστολή· «Ἀπὸ τὴν ἐλπίδα τοῦ Εὐαγγελίου, τὸ ὁποῖο ἠκούσατε καὶ τὸ ὁποῖο ἔχει κηρυχθῆ σὲ ὅλη τὴν οἰκουμένη ποὺ εἶναι κάτω ἀπὸ τὸν οὐρανό»[7]. Τὸ κήρυγμα λοιπὸν εἶχε κάποιο χρόνο. Νομίζω λοιπὸν ὅτι ἡ πρὸς Τιμόθεο ἐπιστολὴ ἐγράφηκε μετὰ ἀπὸ αὐτήν, καὶ κατὰ συνέπεια ἐγγὺς τοῦ τέλους του, γιατὶ ἐκεῖ λέγει, «Γιατὶ ἐγὼ τώρα θυσιάζομαι»[8]. Εἶναι βέβαια πιὸ παλαιὰ ἀπὸ τὴν πρὸς Φιλιππησίους, γιατὶ ὅταν τὴν ἔγραφε τότε ἦταν στὴν ἀρχὴ τῆς φυλακίσεώς του στὴν Ρώμη.

Γιὰ ποιὸ λόγο ὅμως λέγω ὅτι οἱ ἐπιστολὲς αὐτὲς ἔχουν κάτι

κατὰ τοῦτο, ὅτι ἐν δεσμοῖς ὢν γράφει; Ὡς ἂν εἰ ἀριστεὺς σφαγὰς μεταξὺ καὶ τρόπαια ἱστὰς ἐπέστελλεν· οὕτω δὴ ἐποίει καὶ αὐτός. Οἶδε γὰρ καὶ αὐτὸς τοῦτο μέγα ὄν· τῷ γὰρ Φιλήμονι γράφων φησίν, «Ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου». Ταῦτα δὲ εἶπεν, ἵνα μὴ ἀσχάλλωμεν πρὸς τὰ δεινά, ἀλλὰ καὶ χαίρωμεν. Ἐνταῦθα ἦν παρὰ τούτοις Φιλήμων· καὶ γὰρ ἐκεῖ γράφων φησί, «Καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν» `καὶ ἐνταῦθα, «Εἴπατε Ἀρχίππῳ». Δοκεῖ μοι οὗτος ἐγκεχειρίσθαι τινὰ τῆς ἐκκλησίας. Οὐκ εἶδε δὲ οὔτε τούτους, οὔτε Ῥωμαίους, οὔτε Ἑβραίους, ἡνίκα ἔγραφε πρὸς αὐτούς.

Καὶ περὶ μὲν ἐκείνων πολλαχοῦ δηλοῖ, περὶ δὲ τούτων ἄκουε αὐτοῦ λέγοντος, «Καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί». καὶ πάλιν, «Εἰ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι». Οὕτως ᾔδει μέγα ὂν τὴν παρουσίαν αὐτοῦ πανταχοῦ, καὶ ἀεὶ ἑαυτὸν καὶ ἀπόντα ἐφίστησι τῷ δικαστηρίῳ. «Ἐγὼ μέν, γάρ, φησίν, «ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρών». καὶ πάλιν, «Ἐλεύσομαι πρὸς ὑμᾶς, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν»· καὶ πάλιν, «Μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ ἀπεῖναί με».

«Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ». Ἄξιον δὲ καὶ τὴν ὑπόθεσιν εἰπεῖν, ἣν ἐκ τῆς ἐπιστολῆς εὕρομεν. Τίς οὖν ἐστιν αὕτη; Δι' ἀγγέλων προσήγοντο τῷ Θεῷ, παρατηρήσεις εἶχον πολλὰς Ἰουδαϊκὰς καὶ Ἑλληνικάς. Ταῦτ' οὖν διορθοῦται. Διὰ τοῦτο καὶ ἀρχόμενός φησι, «διὰ θελήματος Θεοῦ». Ἰδοὺ πάλιν τό, διά, τέθεικε. «Καὶ Τιμόθεος ὁ ἀδελφός», φησίν. Οὐκοῦν καὶ αὐτὸς ἀπόστολος. Εἰκὸς ἦν καὶ τοῦτον αὐτοῖς γνωρίζεσθαι. «Τοῖς ἐν Κολοσσαῖς ἁγίοις». Ἡ πόλις τῆς Φρυγίας ἦν· καὶ δῆλον ἐκ τοῦ τὴν Λαοδίκειαν πλησίον εἶναι. «Καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ». Πόθεν, φησίν, ἅγιος γέγονας, εἰπέ μοι; πόθεν

λωσίας, καὶ τὶς ἐπιστολὲς πρὸς Τιμόθεο καὶ πρὸς Τίτο νὰ ἀποκαλοῦμε Ποιμαντικὲς ἐπιστολές. Ὅλες σχεδὸν οἱ παραπάνω ἐπιστολὲς ἐγράφηκαν σὲ χρόνο ποὺ ὁ Παῦλος ἦταν δέσμιος.

3. Κολ. 4,3.4
4. Φιλ. 9
5. Ὁ Ὀνήσιμος ἦταν δοῦλος τοῦ Φιλήμονος, ὁ ὁποῖος ἦταν χριστιανὸς εὔπορος τῆς ἐκκλησίας τῶν Κολοσσῶν καὶ κατεῖχε σὲ αὐτὴν σημαντικὴ θέσι.
6. Κολ. 4,9
7. Κολ. 1,23
8. Β' Τιμ. 4,6
9. Φιλ. 10

περισσότερο σὲ τοῦτο, ὅτι δηλαδὴ ἐνῶ εἶναι φυλακισμένος τὶς γράφει; Ὅπως ὁ ἀρχηγός, ἀφοῦ ἐστάθηκε ἀνάμεσα στὶς σφαγὲς καὶ τὰ τρόπαια, ἔγραφε ἐπιστολές, ἔτσι λοιπὸν ἔκανε καὶ αὐτός. Γιατὶ γνωρίζει καὶ αὐτός, ὅτι τοῦτο εἶναι μεγάλο, ἀφοῦ γράφοντας στὸν Φιλήμονα λέγει, «Τὸν ὁποῖο ἐγέννησα τώρα ποὺ εἶμαι στὰ δεσμά»[9]. Καὶ τὰ εἶπε αὐτὰ γιὰ νὰ μὴ στενοχωρούμασθε μὲ τὰ κακά, ἀλλὰ καὶ νὰ χαιρώμασθε. Ἐδῶ ἦταν πλησίον σὲ αὐτοὺς ὁ Φιλήμων, γιατὶ ἐκεῖ γράφοντας λέγει, «Καὶ πρὸς τὸν Ἄρχιππο τὸ συνεργάτη μας», ἐνῶ ἐδῶ, «Νὰ εἰπῆτε στὸν Ἄρχιππο»[10]. Μοῦ φαίνεται ὅτι αὐτὸς ἔχει ἐμπιστευθῆ κάποιον ἀπὸ τὴν ἐκκλησία. Δὲν εἶδε ὅμως οὔτε αὐτούς, οὔτε τοὺς Ρωμαίους, οὔτε τοὺς Ἑβραίους, ὅταν ἔγραφε πρὸς αὐτούς.

Καὶ γιὰ ἐκείνους σὲ πολλὰ σημεῖα ὁμιλεῖ, γι' αὐτοὺς ὅμως ἄκουε αὐτὸν ποὺ λέγει, «Καὶ ὅσοι δὲν ἔχουν ἰδεῖ τὸ πρόσωπό μου καὶ δὲν μὲ ἐγνώρισαν σωματικῶς», καὶ πάλι, «Ἂν καὶ ἀπουσιάζω σωματικῶς, μὲ τὸ πνεῦμα μου ὅμως εἶμαι μαζί σας»[11]. Ἔτσι ἐγνώριζε ὅτι ἦταν σπουδαῖο πρᾶγμα ἡ παρουσία του παντοῦ, καὶ πάντοτε παρουσιάζει τὸν ἑαυτόν του καὶ ὅταν εἶναι ἀπών. Καὶ ὅταν τιμωρῆ τὸν αἱμομίκτη πρόσεξε πῶς παρουσιάζει τὸν ἑαυτόν του στὸ δικαστήριο. «Γιατὶ ἐγὼ βέβαια», λέγει, «ἐπειδὴ ἀπουσιάζω σωματικῶς, εἶμαι παρὼν ὅμως μὲ τὸ πνεῦμα, ἔχω πλέον κρίνει ὡς νὰ ἤμουν παρών»· καὶ πάλι, «Θὰ ἔλθω πρὸς σᾶς καὶ θὰ γνωρίσω ὄχι τὴν εὐγλωττία αὐτῶν τῶν φαντασμένων, ἀλλὰ τὴ δύναμί τους»· καὶ πάλι, «Ὄχι μόνο ὅταν εἶμαι παρὼν σὲ σᾶς, ἀλλὰ πολὺ περισσότερο ὅταν εἶμαι ἀπών»[12].

«Ἐγὼ ὁ Παῦλος, ὁ ὁποῖος εἶμαι ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ μὲ τὸ θέλημα τοῦ Θεοῦ». Ἀξίζει ὅμως νὰ ἀναφέρωμε καὶ τὴν ἀφορμή, τὴν ὁποία εὑρίσκομε ἀπὸ τὴν ἐπιστολή. Ποιὰ λοιπὸν εἶναι αὐτή; Ἐπίστευαν ὅτι ὡδηγοῦντο στὸν Θεὸ μὲ ἀγγέλους, εἶχαν πολλὲς διακρίσεις ἰουδαϊκὲς καὶ εἰδωλολατρικές. Αὐτὰ λοιπὸν προσπαθεῖ νὰ διορθώση. Γι' αὐτὸ καὶ ὅταν ἀρχίζη λέγει, «μὲ τὸ θέλημα τοῦ Θεοῦ». Ἰδοῦ πάλι ἔχει θέσει τὸ «μέ». «Καὶ ὁ Τιμόθεος ὁ ἀδελφός», λέγει. Συνεπῶς καὶ αὐτὸς εἶναι ἀπόστολος. Ἦταν φυσικὸ νὰ τοὺς γνωρίση καὶ αὐτόν. «Πρὸς τοὺς ἁγίους ποὺ κατοικοῦν στὶς Κολοσσές». Ἡ πόλις τῆς Φρυγίας ἦταν καὶ διαπιστώνεται ἀπὸ τὸ ὅτι ἡ Λαοδίκεια εἶναι πλησίον σ' αὐτήν. «Καὶ στοὺς πιστοὺς ἀδελφοὺς ἐξ αἰτίας τῆς ἑνώσεώς μας μὲ τὸν Χριστό». Ἀπὸ ποῦ, λέγει, ἔχεις γίνει ἅγιος, εἰπέ μου; ἀπὸ ποῦ ὀνομάζεσαι πιστός; ὄχι ἐπειδὴ ἔχεις

πιστὸς καλῇ; οὐχ ὅτι διὰ τοῦ θανάτου ἡγιάσθης; οὐχ ὅτι εἰς Χριστὸν πιστεύεις; Πόθεν ἀδελφὸς γέγονας; οὐ γὰρ ἐν ἔργῳ, οὐδὲ ἐν λόγῳ, οὐδὲ ἐν κατορθώματι πιστὸς ἐφάνης. Πόθεν τοσαῦτα ἐπιστεύθης, εἰπέ μοι, μυστήρια; οὐ διὰ Χριστόν;

«Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ», φησί, «Πατρὸς ἡμῶν». Πόθεν ἡ χάρις ὑμῖν; πόθεν ἡ εἰρήνη; «Ἀπὸ Θεοῦ», φησί, «Πατρὸς ἡμῶν». Καίτοι ἐν ταύτῃ τὸ τοῦ Χριστοῦ οὐ τίθησιν ὄνομα. Πρὸς τοὺς τὸ Πνεῦμα διαβάλλοντας ἐρῶ, πόθεν ὁ Θεὸς Πατὴρ τῶν δούλων; Ταῦτα τὰ μεγάλα τίς κατώρθωσε; τίς ἅγιόν σε ἐποίησε; τίς πιστόν; τίς Υἱὸν τοῦ Θεοῦ; Ὁ ποιήσας σε ἀξιόπιστον, αὐτὸς καὶ τοῦ πιστευθῆναί σε ἅπαντα αἴτιος. Πιστοὶ γὰρ οὐ διὰ τὸ πιστεύειν καλούμεθα μόνον, ἀλλὰ καὶ διὰ τὸ πιστευθῆναι παρὰ τοῦ Θεοῦ μυστήρια, ἅπερ οὐδὲ ἄγγελοι πρὸ ἡμῶν ᾔδεσαν. Ἀλλ' ἀδιάφορον τῷ Παύλῳ οὕτω ταῦτα τιθέναι.

2. «Εὐχαριστοῦμεν τῷ Θεῷ τῷ Πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἐμοὶ δοκεῖ πάντα ἐπὶ τὸν Πατέρα ἀνατιθέναι, ὥστε μὴ εὐθέως αὐτοῖς προστῆναι τὸν λόγον. «Πάντοτε περὶ ὑμῶν προσευχόμενοι». Οὐ διὰ τῆς εὐχαριστίας μόνον, ἀλλὰ καὶ τῆς διηνεκοῦς εὐχῆς, τὴν ἀγάπην δείκνυσιν, ὅτι καὶ οὓς οὐχ ἑώρα, τούτους εἶχε διαπαντὸς ἐν ἑαυτῷ. «Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ». Ἀνωτέρω, «τοῦ Κυρίου ἡμῶν», εἰπών, αὐτός ἐστι Κύριος, φησίν, οὐχ οἱ δοῦλοι. «Ἰησοῦ Χριστοῦ». Καὶ ταῦτα σύμβολα τῆς εὐεργεσίας· «Αὐτὸς» γάρ, φησί, «σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν».

«Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους». Ἤδη οἰκειοῦται αὐτούς. Ἐπαφρόδιτός ἐστιν ὁ ταῦτα ἀπαγγέλλων· πέμπει δὲ τὴν ἐπιστολὴν διὰ Τυχικοῦ, ἐκεῖνον παρ' ἑαυτῷ κατασχών. «Καὶ τὴν ἀγάπην», φησί, «τὴν εἰς πάντας τοὺς ἁγίους». Οὐκ εἰς τόνδε καὶ τόνδε· οὐκοῦν καὶ εἰς ἡμᾶς. «Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς». Τὰ μέλλοντά φησιν ἀγαθά. Τοῦτο πρὸς τοὺς πειρασμούς, ὥστε μὴ ἐνταῦθα ζητεῖν τὴν ἄνεσιν. Ἵνα γὰρ μή τις εἴπῃ, καὶ τί τὸ κέρδος τῆς ἀγάπης τῆς εἰς τοὺς ἁγίους, κοπτομένων αὐτῶν; χαίρομεν, φησίν, ὅτι μεγάλα ἑαυτοῖς προξε-

10. Φιλ. 2Κολ. 4,17. Ὁ Ἄρχιππος κατὰ πᾶσα πιθανότητα ἦταν μέλος τῆς οἰκογενείας τοῦ Φιλήμονος.
11. Κολ. 2,1.5
12. Α' Κορ. 5,3'4,19. Γαλ. 4,18
13. Ματθ. 1,21

ἁγιασθῆ μὲ τὸ θάνατο; ὄχι ἐπειδὴ πιστεύεις στὸν Χριστό; Ἀπὸ ποῦ ἔχεις γίνει ἀδελφός; γιατί δὲν φάνηκες πιστὸς οὔτε μὲ τὰ ἔργα, οὔτε μὲ τὰ λόγια, οὔτε μὲ τὰ κατορθώματά σου. Ἀπὸ ποῦ, εἰπέ μου, σοῦ ἐμπιστεύθηκαν τόσο μεγάλα μυστήρια; ὄχι ἐξ αἰτίας τοῦ Χριστοῦ;

«Εἴθε νὰ σᾶς δοθῆ καὶ εἰρήνη ἀπὸ τὸν Θεὸ Πατέρα μας». Ἀπὸ ποῦ ἡ χάρις σὲ σᾶς; ἀπὸ ποῦ ἡ εἰρήνη; «Ἀπὸ τὸν Θεό, λέγει, τὸν Πατέρα μας». Καὶ πράγματι σὲ αὐτὴν δὲν θέτει τὸ ὄνομα τοῦ Χριστοῦ. Πρὸς ἐκείνους ποὺ διαβάλλουν τὸ πνεῦμα θὰ ἐρωτήσω, ἀπὸ ποῦ ὁ Θεὸς εἶναι πατέρας τῶν δούλων; Ποιὸς ἐπέτυχε αὐτὰ τὰ θαυμαστά; ποιὸς σὲ ἔκανε ἅγιο; ποιὸς πιστό; ποιὸς υἱὸ τοῦ Θεοῦ; Ἐκεῖνος ποὺ σὲ ἔκανε ἀξιόπιστο, ὁ ἴδιος εἶναι ὁ αἴτιος τοῦ ὅτι σοῦ ἔχει ἐμπιστευθῆ τὰ πάντα. Γιατὶ δὲν ὀνομαζόμασθε πιστοὶ ἐξ αἰτίας τοῦ ὅτι πιστεύομε μόνο, ἀλλὰ καὶ ἐξ αἰτίας τοῦ ὅτι μᾶς ἔχει ἐμπιστευθῆ ὁ Θεὸς μυστήρια, τὰ ὁποῖα οὔτε οἱ ἄγγελοι ἐγνώριζαν πρὶν ἀπὸ ἐμᾶς. Ἀλλὰ εἶναι ἀδιάφορο στὸν Παῦλο νὰ ἐκθέση αὐτὰ ἔτσι.

2. «Εὐχαριστοῦμε τὸν Θεό, τὸν πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Μοῦ φαίνεται ὅτι τὰ πάντα ἀναθέτει στὸν Πατέρα, γιὰ νὰ μὴ τοὺς προσβάλη ἀμέσως. «Πάντοτε ὅταν προσευχώμασθε γιὰ σᾶς». Ἀποδεικνύει τὴν ἀγάπη του ὄχι μόνο μὲ τὴν εὐχαριστία, ἀλλὰ καὶ μὲ τὴ διαρκῆ προσευχή, γιατὶ καὶ ἐκείνους ποὺ δὲν ἔβλεπε, αὐτοὺς εἶχε παντοτινὰ στὴ σκέψι του. «Ἐπειδὴ ἠκούσαμε τὴν πίστι σας, ποὺ σᾶς ἑνώνει μὲ τὸν Ἰησοῦ Χριστό». Ἀφοῦ εἶπε παραπάνω, «τοῦ Κυρίου μας», αὐτὸς εἶναι κύριος, λέγει, ὄχι οἱ δοῦλοι. «Ἰησοῦ Χριστοῦ». Καὶ αὐτὰ τὰ λόγια εἶναι ἀποδείξεις τῆς εὐεργεσίας. «Γιατὶ αὐτὸς θὰ σώση», λέγει, «ἀπὸ τὶς ἁμαρτίες τὸ λαό του»[13].

«Ἐπειδὴ ἠκούσαμε τὴν πίστι σας, ποὺ σᾶς ἑνώνει μὲ τὸν Ἰησοῦ Χριστό, καὶ τὴν ἀγάπη ποὺ ἔχετε πρὸς ὅλους τοὺς πιστούς». Ἤδη ἔκανε αὐτοὺς φίλους. Ὁ Ἐπαφρόδιτος ἔφερε τὶς πληροφορίες αὐτές· ἀποστέλλει ὅμως τὴν ἐπιστολὴ μὲ τὸν Τυχικό, ἐπειδὴ ἐκράτησε ἐκεῖνον πλησίον του. «Καὶ τὴν ἀγάπη», λέγει, «ποὺ ἔχετε πρὸς ὅλους τοὺς πιστούς». Ὄχι στὸν τάδε καὶ τὸν τάδε· συνεπῶς καὶ σὲ μᾶς. «Γιὰ τὴν ἐλπίδα ποὺ ἔχει ἀποταμιευθῆ γιὰ σᾶς στοὺς οὐρανούς». Τὰ μελλοντικὰ ἐννοεῖ ἀγαθά. Τοῦτο ἀντιπαραβάλλεται πρὸς τοὺς πειρασμούς, ὥστε νὰ μὴ ἐπιζητοῦμε ἐδῶ τὴν ἄνεσι. Γιὰ νὰ μὴ εἰπῆ λοιπὸν κανείς, καὶ ποιὸ τὸ κέρδος τῆς ἀγάπης ποὺ ἔχετε πρὸς τοὺς πιστούς, ἀφοῦ αὐτοὶ ὀδύρονται; χαιρόμασθε, λέγει, γιατὶ προετοιμάζετε γιὰ τὸν ἑαυτό σας μεγάλα ἀγαθὰ στοὺς οὐρανούς.

νεῖτε ἐν τοῖς οὐρανοῖς. «Διὰ τὴν ἐλπίδα», φησί, «τὴν ἀποκειμένην». Τὸ ἀσφαλὲς ἔδειξεν. «Ἣν προσηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας». Ἐνταῦθα πλήττοντος αὐτούς ἐστι τὸ ῥῆμα, ὅτι πολὺν χρόνον ἔχοντες μετέστησαν. «Ἣν προηκούσατε», φησίν, «ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου». Καὶ ἀλήθειαν μαρτυρεῖ, εἰκότως· ὅτι οὐδὲν ψεῦδος ἐν αὐτῷ. «Τοῦ εὐαγγελίου». Οὐ λέγει, τοῦ κηρύγματος, ἀλλ' εὐαγγέλιον καλεῖ, συνεχῶς ἀναμιμνήσκων αὐτοὺς τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Καὶ πρῶτον ἐπαινέσας αὐτούς, οὕτω τούτων ἀναμιμνήσκει.

«Τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ». Ἤδη χαρίζεται αὐτοῖς. «Παρόντος» δὲ μεταφορικῶς εἶπεν· οὐ παρεγένετο, φησί, καὶ ἀπέστη, ἀλλ' ἔμεινε καὶ ἔστιν ἐκεῖ. Εἶτα, ἐπειδὴ μάλιστα οἱ πολλοὶ ἐκ τοῦ κοινωνοὺς ἔχειν πολλοὺς τῶν δογμάτων στηρίζονται, διὰ τοῦτο ἐπήγαγε, «καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ». Πανταχοῦ πάρεστι, πανταχοῦ κρατεῖ, πανταχοῦ ἕστηκε. «Καὶ ἔστι καρποφορούμενον καὶ αὐξανόμενον, καθὼς καὶ ἐν ὑμῖν». Καρποφορούμενον διὰ τὰ ἔργα, αὐξανόμενον τῷ πολλοὺς παραλαμβάνειν, τῷ μᾶλλον στηρίζεσθαι. Καὶ γὰρ ἐν τοῖς φυτοῖς τότε πυκνὰ γίνεται, ὅταν στηριχθῇ τὸ φυτόν. «Καθὼς καὶ ἐν ὑμῖν», φησί. Προκαταλαμβάνει τὸν ἀκροατὴν τοῖς ἐπαίνοις, ὥστε μηδὲ ἄκοντα ἀποστῆναι. «Ἀφ' ἧς ἡμέρας ἠκούσατε». Τὸ θαυμαστόν, ὅτι ταχέως προσήλθετε καὶ ἐπιστεύσατε, καὶ εὐθέως ἐκ προοιμίων ἐπεδείξασθε τοὺς καρπούς. «Ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ». Οὐκ ἐν λόγῳ, φησίν, οὐδὲ ἐν ἀπάτῃ, ἀλλ' ἐν αὐτοῖς τοῖς ἔργοις. Τοῦτο τοίνυν λέγει, «καρποφορούμενον»· ἤτοι τὰ σημεῖα καὶ τὰ θαύματα, ὅτι ἅμα ἐδέξασθε, ἅμα ἔγνωτε τὴν χάριν τοῦ Θεοῦ. Τὸ τοίνυν εὐθέως ἐπιδειξάμενον τὴν οἰκείαν δύναμιν νῦν ἀπιστεῖσθαι πῶς οὐ χαλεπόν;

«Καθὼς καὶ ἐμάθετε παρὰ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν». Τοῦτον εἰκὸς ἐκεῖ κεκηρυχέναι· ἐμάθετε τὸ εὐαγγέλιον. Εἶτα τὸ ἀξιόπιστον δεικνὺς τοῦ ἀνδρός, φησί, «τοῦ συνδούλου ἡμῶν». «Ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ, ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν Πνεύματι». Μὴ ἀμφιβάλλετε, φησί, περὶ τῆς μελλούσης ἐλπίδος· ὁρᾶτε τὴν οἰκουμένην ἐπιστρέφουσαν. Καὶ τί δεῖ λέγειν τὰ ἐν τοῖς ἄλλοις; τὰ ἐν ὑμῖν

«Γιὰ τὴν ἐλπίδα», λέγει, «ποὺ ἔχει ἀποταμιευθῆ». Ἔδειξε τὴν ἀσφάλεια. «Τὴν ὁποία ἠκούσατε κατὰ τὸ παρελθὸν στὸ λόγο τῆς ἀληθείας». Ἐδῶ πλήττουν τὰ λόγια αὐτούς, γιατί, ἂν καὶ εἶχαν στὴ διάθεσί τους πολὺ χρόνο ἀπεμακρύνθηκαν. «Τὴν ὁποία ἠκούσατε κατὰ τὸ παρελθόν», λέγει, «στὸ λόγο τῆς ἀληθείας τοῦ εὐαγγελίου». Καὶ ἀλήθεια μαρτυρεῖ· καὶ εἶναι αὐτὸ εὔλογο, γιατὶ δὲν ὑπάρχει κανένα ψέμα μέσα σ' αὐτό. «Τοῦ εὐαγγελίου». Δὲν λέγει, τοῦ κηρύγματος, ἀλλὰ ἀναφέρει τὸ εὐαγγέλιο, συνεχῶς ὑπενθυμίζοντας σ' αὐτοὺς τὶς εὐεργεσίες τοῦ Θεοῦ. Καὶ ἀφοῦ πρῶτα τοὺς ἐπήνεσε ἔτσι ὑπενθυμίζει τὶς εὐεργεσίες.

«Τὸ ὁποῖο εἶναι παρὸν σὲ σᾶς, καθὼς καὶ σ' ὅλο τὸν κόσμο». Ἤδη γίνεται εὐάρεστος σ' αὐτούς. Εἶπε μεταφορικὰ «Τὸ ὁποῖο εἶναι παρόν». Δὲν ἦλθε, λέγει, καὶ ἔφυγε, ἀλλ' ἔμεινε καὶ εὑρίσκεται ἐκεῖ. Ἔπειτα, ἐπειδὴ πρὸ πάντων οἱ περισσότεροι στηρίζονται στὴν πίστι ἀπὸ τὸ νὰ συμμετέχουν πολλοὶ στὰ δόγματα, γι' αὐτὸ ἐπρόσθεσε, «καθὼς καὶ σ' ὅλο τὸν κόσμο». Παντοῦ εἶναι παρόν, παντοῦ ἐπικρατεῖ, παντοῦ ὑπάρχει. «Καὶ ἐξακολουθεῖ νὰ καρποφορῆ καὶ νὰ διαδίδεται, ὅπως καὶ μεταξύ σας». Καρποφορεῖ ἐξ αἰτίας τῶν ἔργων, διαδίδεται μὲ τὸ νὰ παραλαμβάνη πολλούς, μὲ τὸ νὰ ἐνισχύωνται περισσότερο. Γιατὶ καὶ στὰ φυτὰ τότε γίνονται αὐτὰ ἰσχυρά, ὅταν ὑποστηρίζωνται. «Ὅπως καὶ μεταξύ σας», λέγει. Προλαβαίνει τὸν ἀκροατὴ μὲ τοὺς ἐπαίνους, ὥστε οὔτε χωρὶς τὴ θέλησί του νὰ ἀπομακρυνθῆ. «Ἀπὸ τὴν ἡμέρα ποὺ ἠκούσατε». Τὸ θαυμαστὸ εἶναι, ὅτι γρήγορα προσήλθατε καὶ ἐπιστεύσατε, καὶ ἀμέσως ἀπὸ τὴν ἀρχὴ ἐπαρουσιάσατε τοὺς καρπούς. «Ἀπὸ τήν ἡμέρα ποὺ ἠκούσατε καὶ ἐγνωρίσατε καλὰ τὴ χάρι τοῦ Θεοῦ στὰ ἀληθινά». Ὄχι στὰ λόγια, λέγει, οὔτε στὸ ψέμα, ἀλλὰ στὰ ἴδια τὰ ἔργα. Τοῦτο λοιπὸν λέγει, ὅτι «καρποφορεῖ», δηλαδὴ τὰ σημάδια καὶ τὰ θαύματα. γιατὶ μόλις ἐδεχθήκατε, ἀμέσως ἐγνωρίσατε τὴ χάρι τοῦ Θεοῦ.

«Ὅμως καὶ ἐμάθατε ἀπὸ τὸν Ἐπαφρᾶ, τὸν ἀγαπητό μας σύντροφο». Εἶναι φυσικὸ νὰ ἔχη κηρύξει ἐκεῖ ὁ Ἐπαφρᾶς. Ἐμάθατε τὸ εὐαγγέλιο. Ἔπειτα ἀποδεικνύοντας τὸ ἀξιόπιστο τοῦ ἄνδρα αὐτοῦ, λέγει, «τοῦ συντρόφου μας». «Ὁ ὁποῖος εἶναι πιστὸς ὑπηρέτης τοῦ Χριστοῦ γιὰ τὴν ἰδική σας ὠφέλεια, αὐτὸς καὶ μᾶς ἐφανέρωσε τὴν ἀγάπη σας ποὺ εἶναι ἀποτέλεσμα τοῦ ἁγίου Πνεύματος». Μὴ ἔχετε ἀμφιβολίες, λέγει, γιὰ τὴ μελλοντικὴ ἐλπίδα· βλέπετε τὴν οἰκουμένη νὰ ἐπιστρέφη. Καὶ γιατί πρέπει νὰ ἀναφέρω ἐκεῖνα ποὺ συμβαίνουν στοὺς ἄλλους; αὐτὰ ποὺ συμβαίνουν ἀναμεταξύ σας καὶ

αὐτοῖς καὶ χωρὶς τούτων πιστά. «Ἐπέγνωτε γὰρ τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ» τουτέστιν, ἐν τοῖς ἔργοις. Ὥστε δύο ταῦτα τὰ μέλλοντα βεβαιοῦται, τό τε πάντας πιστεῦσαι, τό τε καὶ ὑμᾶς· καὶ οὐκ ἄλλα μὲν ἐγένετο, ἄλλα δὲ εἶπεν Ἐπαφρᾶς. «Ὅς ἐστι», φησί, «πιστός» τουτέστιν, ἀληθής. Πῶς «ὑπὲρ ὑμῶν διάκονος»; Τῷ πρὸς αὐτὸν ἀπελθεῖν. «Ὁ καὶ δηλώσας ἡμῖν», φησί, «τὴν ὑμῶν ἀγάπην ἐν Πνεύματι». Τουτέστι, τὴν πνευματικὴν τὴν εἰς ἡμᾶς. Εἰ οὗτος τοῦ Χριστοῦ διάκονος, πῶς δι' ἀγγέλων λέγετε προσάγεσθαι; «Ὁ καὶ δηλώσας ἡμῖν», φησί, «τὴν ὑμῶν ἀγάπην ἐν Πνεύματι». Αὕτη γὰρ θαυμαστὴ καὶ βεβαία ἡ ἀγάπη· ὡς αἵ γε ἄλλαι ὄνομα ἀγάπης ἔχουσι μόνον. Εἰσὶ δέ τινες οὐ τοιοῦτοι· ἀλλ' οὐ φιλία τοῦτο· διὸ καὶ εὐδιάλυτος γίνεται.

3. Πολλαὶ προφάσεις εἰσὶν αἱ φιλίας ποιοῦσαι· καὶ τὰς μὲν αἰσχρὰς παρήσομεν· οὐδεὶς γὰρ ἡμῖν ὑπὲρ ἐκείνων ἀντερεῖ, ὡς πονηρῶν οὐσῶν· ἀλλ', εἰ βούλεσθε, τὰς φυσικὰς καὶ τὰς βιωτικὰς εἰς μέσον παραγάγωμεν. Βιωτικαὶ μὲν οὖν εἰσιν αὗται· οἷον εὖ ἔπαθέ τις, ἀπὸ προγόνων ἐκτήσατο φίλον, ἐκοινώνησε τραπέζης ἢ ἀποδημίας, ἢ γείτων ἐστί· καλαὶ αὗται· ἢ ὁμότεχνος γέγονεν· αὕτη μὲν οὖν οὐκ ἔστιν εἰλικρινής· ἔχει γάρ τινα καὶ ζῆλον καὶ βασκανίαν. Αἱ δὲ φυσικαί, οἷον Πατρὸς πρὸς Υἱόν, Υἱοῦ πρὸς Πατέρα, ἀδελφοῦ πρὸς ἀδελφόν, πρὸς ἔκγονον πάππου, μητρὸς πρὸς τέκνα· εἰ δὲ βούλεσθε, καὶ τὴν τῆς γυναικὸς πρὸς ἄνδρα· καὶ γὰρ πᾶσαι αἱ γαμικαί εἰσι βιωτικαὶ καὶ γήϊναι. Αὗται μὲν οὖν ἐκείνων εἶναι δοκοῦσι σφοδρότεραι· δοκοῦσι δέ, εἶπον, διὰ τὸ πολλάκις ὑπ' ἐκείνων ἡττηθῆναι. Καὶ γὰρ φίλοι ἀλλαχοῦ γνησιώτερον ἐφάνησαν ἀδελφῶν διακείμενοι, καὶ υἱῶν πρὸς πατέρας· καὶ ὁ μὲν γεννηθεὶς οὐκ ἐβοήθησεν, ὁ δὲ μὴ γνοὺς αὐτόν, παρέστη καὶ ἐβοήθησεν.

Ἡ δὲ πνευματικὴ ἀγάπη πασῶν ἐστιν ἀνωτέρα, καθάπερ τις βασίλισσα τῶν ἰδίων κρατοῦσα, καὶ λαμπρὸν ἔχει τὸ σχῆμα. Οὐδὲν γὰρ γήϊνον αὐτὴν τίκτει, καθάπερ ἐκείνην, οὐ συνήθεια, οὐκ εὐεργεσία, οὐ φύσις, οὐ χρόνος, ἀλλ' ἄνωθεν κάτεισιν ἐκ τοῦ

χωρὶς ἐκεῖνα εἶναι ἀξιόπιστα. «Γιατὶ ἐγνωρίσατε τὴ χάρι τοῦ Θεοῦ στὰ ἀληθινά», δηλαδή, στὰ ἔργα. Ὥστε βεβαιώνονται τὰ δύο αὐτὰ ποὺ θὰ συμβοῦν στὸ μέλλον, δηλαδὴ καὶ τὸ ὅτι θὰ πιστεύσουν ὅλοι, καὶ τὸ ὅτι θὰ πιστεύσετε καὶ ἐσεῖς. Δὲν ἔγιναν βέβαια ἄλλα καὶ ἄλλα ἀνέφερε ὁ Ἐπαφρᾶς. «Ὁ ὁποῖος», λέγει, «εἶναι πιστός», δηλαδή, ἀληθής. Μὲ ποιὸ τρόπο εἶναι «ὑπηρέτης γιὰ σᾶς»; Μὲ τὸ νὰ ἀπέλθη πρὸς αὐτόν. «Ὁ ὁποῖος καὶ μᾶς ἐφανέρωσε», λέγει, «τὴν ἀγάπη σας ποὺ εἶναι ἀποτέλεσμα τοῦ ἁγίου Πνεύματος», δηλαδή, τὴν πνευματικὴ ἀγάπη ποὺ ἔχετε γιὰ ἐμᾶς. Ἐὰν αὐτὸς εἶναι ὑπηρέτης τοῦ Χριστοῦ, πῶς λέγετε ὅτι ὁδηγεῖσθε ἀπὸ τοὺς ἀγγέλους; «Ὁ ὁποῖος καὶ μᾶς ἐφανέρωσε», λέγει, «τὴν ἀγάπη σας τὴν πνευματική». Γιατὶ αὐτὴ εἶναι ἡ θαυμαστὴ καὶ ἡ πραγματικὴ ἀγάπη, γιατὶ βέβαια οἱ ἄλλες ἔχουν μόνο τὸ ὄνομα τῆς ἀγάπης. Ὑπάρχουν ὅμως μερικοὶ ποὺ δὲν εἶναι τέτοιοι. Ἀλλὰ αὐτὸ δὲν εἶναι ἀγάπη, γι' αὐτὸ καὶ εὔκολα διαλύεται.

3. Ὑπάρχουν πολλὲς αἰτίες ποὺ προκαλοῦν φιλίες. Τὶς αἰσχρὲς θὰ τὶς παραμελήσωμε, γιατὶ κανεὶς δὲν θὰ μᾶς ἀντιμιλήση γιὰ ἐκεῖνες, ἐπειδὴ εἶναι πονηρές. Ἀλλά, ἂν θέλετε, ἂς ἀσχοληθοῦμε μὲ τὶς φυσικὲς καὶ τὶς βιωτικές. Βιωτικὲς λοιπὸν εἶναι αὐτές· ὅπως, εὐεργετήθηκε κάποιος, ἀπὸ τοὺς προγόνους ἀπέκτησε φίλο, συνδέθηκε σὲ τραπέζι ἢ στὴ ξενιτειά, ἢ εἶναι γείτοντας. Εἶναι καλὲς καὶ αὐτές. Ἢ ἔχει τὸ ἴδιο ἐπάγγελμα. Αὐτὴ ὅμως δὲν εἶναι εἰλικρινής, γιατὶ περιέχει κάποια ζηλοτυπία καὶ φθόνο. Καὶ οἱ φυσικὲς εἶναι, ὅπως τοῦ πατέρα πρὸς τὸν υἱό, τοῦ υἱοῦ πρὸς τὸν πατέρα, τοῦ ἀδελφοῦ πρὸς τὸν ἀδελφό, τοῦ παπποῦ πρὸς τὸν ἐγγονό, τῆς μητέρας πρὸς τὰ παιδιά, καὶ ἐὰν θέλετε, καὶ τῆς γυναίκας πρὸς τὸν ἄνδρα. Πραγματικὰ ὅσες προέρχονται ἀπὸ τὸ γάμο εἶναι βιωτικὲς καὶ γήινες. Αὐτὲς λοιπὸν φαίνονται ὅτι εἶναι δυνατότερες ἀπὸ ἐκεῖνες, καὶ εἶπα, φαίνονται, γιατὶ πολλὲς φορὲς ἡττήθηκαν ἀπὸ ἐκεῖνες. Καὶ εἶναι ἀλήθεια ὅτι οἱ φίλοι ἀλλοῦ συμπεριφέρθηκαν πιὸ γνήσια ἀπὸ τοὺς ἀδελφοὺς καὶ ἀπὸ τοὺς υἱοὺς πρὸς τοὺς πατέρες· καὶ ἐκεῖνος μὲν ποὺ ἐγεννήθηκε δὲν ἐβοήθησε, ἐκεῖνος ὅμως ποὺ δὲν ἐγνώρισε αὐτόν, ἦλθε καὶ ἐβοήθησε.

Ἡ πνευματικὴ ὅμως ἀγάπη εἶναι ἀπ' ὅλες ὑψηλοτέρα, ὅπως ἀκριβῶς κάποια βασίλισσα ποὺ ἐξουσιάζει τὰ ἰδικά της καὶ ἔχει λαμπρὸ σχῆμα. Γιατὶ δὲν τὴν προκαλεῖ τίποτε τὸ γήινο, ὅπως ἐκείνη, οὔτε ἡ συνήθεια, οὔτε ἡ εὐεργεσία, οὔτε ἡ φύσις, οὔτε ὁ χρόνος, ἀλλὰ κατέρχεται ἀπὸ ἐπάνω, ἀπὸ τὸν οὐρανό. Καὶ γιατί

οὐρανοῦ. Καὶ τί θαυμάζεις, εἰ εὐεργεσίας οὐ δεῖται πρὸς τὸ συνεστάναι, ὅπου γε οὐδὲ τῷ κακῶς παθεῖν ἀνατρέπεται; Ὅτι δὲ αὕτη μείζων ἐκείνης ἐστίν, ἄκουσον Παύλου λέγοντος· «Ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου». Τίς ἂν τοῦτο ηὔξατο πατήρ, ὥστε ἐν κακοῖς εἶναι; Καὶ πάλιν, «Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς». Ποία μήτηρ ταῦτα ἂν ἕλοιτο εἰπεῖν, ὥστε τὰ αὐτῆς παριδεῖν; Καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος· «Ἀπορφανισθέντες γὰρ ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ».

Καὶ ἐνταῦθα μὲν ὁ πατὴρ ὑβρισθεὶς ἔλυσε τὴν φιλίαν, ἐκεῖ δὲ οὐκέτι, ἀλλὰ πρὸς τοὺς λιθάζοντας ἀπῄει εὐεργετήσων αὐτούς. Οὐδὲν γάρ, οὐδὲν οὕτως ἰσχυρόν, ὡς ὁ τοῦ Πνεύματος δεσμός. Ὁ μὲν γὰρ διὰ τὸ παθεῖν εὖ φίλος γενόμενος, ἂν μὴ διηνεκῶς τοῦτο γίνηται, ἔσται ἐχθρός· ὁ ἀπὸ συνηθείας ἀδιάσπαστος ὤν, πάλιν, ἂν μάχη γένηται, ἀφῆκε τὸν ἄνδρα, καὶ τὸν πόθον ἔλυσεν· ὁ υἱός, ἂν ἐπιπολὺ ζῶντα τὸν πατέρα ἴδῃ, καὶ βαρύνεται. Ἐπὶ δὲ τοῦ πνεύματος τούτων οὐκ ἔστιν οὐδέν· οὐδενὶ γὰρ τούτων λύεται, ἐπεὶ μηδὲ ἐκ τούτων συνέστη· οὔτε χρόνος, οὔτε μῆκος ὁδοῦ, οὔτε τὸ κακῶς παθεῖν, οὔτε τὸ κακῶς ἀκοῦσαι, οὐ θυμός, οὐχ ὕβρις, οὐκ ἄλλο οὐδὲν ἐπεισέρχεται, οὐδὲ δύναται αὐτὴν διαλῦσαι. Καὶ ἵνα μάθῃς, ἐλιθάζετο ὁ Μωϋσῆς, καὶ ὑπὲρ αὐτῶν ἠξίου. Τίς ἂν τοῦτο εἰργάσατο πατὴρ ὑπὲρ τοῦ λιθάσαντος, ἀλλ' οὐχὶ καὶ αὐτὸν ἂν κατέλευσε;

Ταύτας δὴ μεταδιώκωμεν τὰ φιλίας τὰς ἀπὸ τοῦ πνεύματος· ἰσχυραὶ γάρ εἰσι καὶ δυσδιάλυτοι· μὴ τὰς ἀπὸ τῶν τραπεζῶν· ἐκεῖ γὰρ καὶ κωλυόμεθα τούτους εἰσάγειν. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος ἐν τῷ εὐαγγελίῳ· «Μὴ καλέσῃς τοὺς φίλους σου, μηδὲ τοὺς γείτονάς σου, ἐὰν ποιήσῃς δοχήν, ἀλλὰ τοὺς χωλούς, τοὺς ἀναπήρους»· εἰκότως· πολὺς γὰρ ὁ ὑπὲρ τούτων μισθός. Ἀλλ' οὐ δύνασαι, οὐδὲ ἀνέχῃ μετὰ χωλῶν καὶ τυφλῶν ἑστιᾶσαθι, ἀλλὰ

---

14. Ρωμ. 9,3
15. Φιλιπ. 1,23.24
16. Α' Θεσ. 2,17
17. Ἐξ. κεφ. 17
18. Λουκᾶ 14,12.13

θαυμάζεις, ἐὰν δὲν χρειάζεται τὴν εὐεργεσία γιὰ νὰ ὑπάρξῃ, ὅπου βέβαια οὔτε μὲ τὴν κακὴ μεταχείρισι ἀνατρέπεται; Ὅτι ὅμως αὐτὴ εἶναι πιὸ μεγάλη ἀπὸ ἐκείνη, ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Γιατὶ θὰ ηὐχόμουν νὰ γίνω ἐγὼ ὁ ἴδιος ἀνάθεμα ἀπὸ τὸν Χριστὸ γιὰ χάρι τῶν ἀδελφῶν μου»[14]. Ποιὸς πατέρας θὰ ἠμποροῦσε νὰ εὐχηθῇ αὐτό, ὥστε νὰ εἶναι μέσα στὰ κακά; Καὶ πάλι, «Τὸ νὰ πεθάνω καὶ νὰ εἶμαι μαζὶ μὲ τὸ Χριστὸ εἶναι κατὰ πολὺ καλύτερο, τὸ νὰ παραμείνω ὅμως μὲ τὸ σῶμα στὴ ζωὴ εἶναι πιὸ ἀναγκαῖο γιὰ τὴν ὠφέλειά σας»[15]. Ποιὰ μητέρα θὰ ἐπροτιμοῦσε νὰ εἰπῇ αὐτά, ὥστε νὰ παραβλέψῃ τὰ ἰδικά της; Καὶ πάλι ἄκουε αὐτὸν ποὺ λέγει· «Ὅταν ἐμείναμε ὀρφανοὶ μακριὰ ἀπὸ σᾶς προσωρινά, μὲ τὸ σῶμα, ὄχι μὲ τὴν καρδιά»[16].

Καὶ στὴν περίπτωσι τῆς σαρκικῆς φιλίας ὁ πατέρας θὰ διαλύσῃ τὴ φιλία ὅταν προσβαλθῇ, στὴν πνευματικὴ ὅμως καθόλου, ἀλλὰ θὰ τρέξῃ πρὸς τοὺς προσβάλλοντας αὐτὸν γιὰ νὰ τοὺς εὐεργετήσῃ. Γιατὶ τίποτε, πραγματικὰ τίποτε δὲν εἶναι τόσο ἰσχυρό, ὅσο ὁ πνευματικὸς δεσμός. Γιατὶ ἐκεῖνος ποὺ ἔγινε φίλος ἐξ αἰτίας τῆς εὐεργεσίας, ἂν δὲν ἐπαναλαμβάνεται αὐτὴ συνέχεια, θὰ γίνῃ ἐχθρός· ἐκεῖνος ποὺ ἀπὸ συνήθεια εἶναι σταθερὸς στὴ φιλία, ὅταν θὰ διακοπῇ ἡ συνήθεια, θὰ σβήσῃ τὴ φιλία. Ἡ γυναῖκα πάλι, ἂν γίνῃ κάποια διαμάχη, θὰ ἐγκαταλείψῃ τὸν ἄνδρα καὶ θὰ διαλύσῃ τὴν ἐπιθυμία της γι' αὐτόν. Ὁ υἱὸς ἂν ἰδῇ τὸν πατέρα νὰ ζῇ πάρα πολύ, αἰσθάνεται δυσφορία. Στὴν περίπτωσι τῆς πνευματικῆς ὅμως φιλίας δέν ὑπάρχει τίποτε ἀπ' αὐτά. Οὔτε ὁ χρόνος, οὔτε τὰ πολλὰ ταξίδια, οὔτε ἡ κακὴ μεταχείρισις, οὔτε ἡ ἐπίκρισις, οὔτε ὁ θυμός, οὔτε ἡ ὕβρις, οὔτε τίποτε ἄλλο ἐπεισέρχεται, οὔτε μπορεῖ νὰ διαλύσῃ αὐτήν. Καὶ γιὰ νὰ μάθῃς, ἐχλευάζετο ὁ Μωησῆς ἀπὸ τοὺς Ἰσραηλίτας καὶ γι' αὐτούς ἐζητοῦσε[17]. Ποιὸς πατέρας θὰ ἠμποροῦσε νὰ κάμνῃ αὐτὸ πρὸς ὄφελος ἐκείνου ποὺ τὸν ἐχλεύασε, ἀλλὰ καὶ δὲν θὰ ἐφόνευε αὐτόν;

Ἂς ἐπιδιώκωμε λοιπὸν αὐτὲς τὶς φιλίες ποὺ προέρχονται ἀπὸ τὸ Πνεῦμα, γιατὶ εἶναι ἰσχυρὲς καὶ δὲν διαλύονται εὔκολα. Ἂς μὴ ἐπιζητοῦμε αὐτὲς ποὺ προέρχονται ἀπὸ τραπέζια, γιατὶ ἐκεῖ γιὰ νὰ ὁδηγήσωμε αὐτοὺς συναντᾶμε καὶ ἐμπόδια. Γιατὶ ἄκουε τὸν Χριστὸ ποὺ λέγει στὸ εὐαγγέλιο· «Ὅταν κάμῃς τραπέζι νὰ μὴ προσκαλέσῃς τοὺς φίλους σου, οὔτε τοὺς γείτονάς σου, ἀλλὰ τοὺς χωλούς, τοὺς ἀναπήρους»[18]. Καὶ εἶναι εὔλογο αὐτό, γιατὶ εἶναι μεγάλη ἡ ἀνταμοιβὴ γι' αὐτούς. Ἀλλὰ δὲν μπορεῖς, οὔτε ἀνέχεσαι νὰ τρώγῃς μὲ τοὺς χωλοὺς καὶ τοὺς τυφλούς, ἀλλὰ θεωρεῖς κάτι τέτοιο βαρὺ

βαρὺ καὶ φορτικὸν ἡγῇ τοῦτο, καὶ παραιτῇ; Μάλιστα μὲν οὐκ ἔδει, πλὴν ἀλλ' οὐκ ἔστιν ἀνάγκη· κἂν μὴ συγκαθίσῃς αὐτοὺς μετὰ σοῦ, τὰ ἐδέσματα αὐτοῖς ἀπόστειλον τὰ ἀπὸ τῆς τραπέζης. Καὶ ὁ φίλους καλῶν, οὐδὲν μέγα ἐποίησεν· ἀπέλαβε γὰρ ἐνταῦθα τὸν μισθόν· ὁ δὲ ἀνάπηρον καλῶν καὶ πένητα, ἔχει τὸν Θεὸν ὀφειλέτην.

Μὴ τοίνυν ἀσχάλλωμεν, ὅταν μὴ ἐνταῦθα ἀπολάβωμεν, ἀλλ' ὅταν ἀπολάβωμεν· ἐκεῖ γὰρ οὐκέτι ἀποληψόμεθα ὁμοίως. Ἂν ἄνθρωπος ἀποδῷ, Θεὸς οὐκ ἀποδίδωσιν· ἂν οὗτος μὴ ἀποδῷ, τότε ἀποδώσει Θεός. Μὴ τοίνυν ἐκείνους ζητῶμεν εὐεργετεῖν τοὺς ἀνταποδοῦναι ἡμῖν δυναμένους, μηδὲ ἐπὶ τοιαύταις αὐτοὺς ἐλπίσιν εὐεργετῶμεν· ψυχρὰ αὕτη ἡ διάνοια. Τὸν φίλον ἂν καλέσῃς, μέχρι ἑσπέρας ἡ χάρις· διὰ τοῦτο τῶν καταβαλλομένων ταχύτερον ἡ τῶν καιρῶν δαπανᾶται φιλία· τὸν μέντοι πένητα καὶ ἀνάπηρον ἂν καλέσῃς, οὐδέποτε ἀπολεῖται ἡ χάρις· τὸν γὰρ πάντοτε μνημονεύοντα Θεόν, καὶ οὐδέποτε ἐπιλανθανόμενον, ἔχεις αὐτὸν ὀφειλέτην.

Πόσης δὲ καὶ βλακείας, εἰπέ μοι, τὸ μὴ δύνασθαι πένησι συγκαθέζεσθαι; Τί λέγεις; Ἀκάθαρτός ἐστι, φησί, καὶ ῥυπαρός. Καὶ λοῦσον αὐτόν, καὶ ἀνάγαγε ἐπὶ τράπεζαν τὴν σήν. Ἀλλ' ἱμάτια ἔχει ἐρρυπωμένα; Καὶ ἄμειψον, καὶ δὸς καθαρὰν στολήν. Οὐχ ὁρᾷς τὸ κέρδος ὅσον; Ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται, καὶ σὺ ὑπὲρ τούτου μικρολογῇ; τὸν βασιλέα καλῶν ἐπὶ τὴν τράπεζαν, ὑπὲρ τούτων δέδοικας; Ὑποκείσθωσαν τράπεζαι δύο, καὶ ἡ μὲν ἐκ τούτων πεπληρώσθω, καὶ ἐχέτω τυφλούς, χωλούς, κυλλούς, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένους, ἀνυποδέτους, ἕνα περικειμένους χιτωνίσκον, καὶ τοῦτον ἐκτετριμμένον· ἡ δὲ ἑτέρα ἐχέτω δυνάστας, στρατηγούς, τοπάρχας, ἄρχοντας μεγάλους, ἐνδεδυμένους ἱμάτια πολυτελῆ καὶ ὀθόνας λεπτάς, ἐζωσμένους ζώνας χρυσᾶς. Πάλιν ἐνταῦθα ἐν τῇ τῶν πενήτων τραπέζῃ μήτε ἄργυρος ἔστω, μήτε οἶνος πολύς, ἀλλ' ὁ ἀρκῶν καὶ εὐφρᾶναι δυνάμενος· τὰ δὲ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη ἀπὸ ὑέλου κατασκευαζέσθω μόνης· ἐκεῖ δὲ ἐν τῇ τῶν πλουσίων τραπέζῃ ἔστω μὲν σκεύη τὰ πάντα ἐξ ἀργύρου καὶ χρυσοῦ, καὶ μηδὲ εἷς φερέτω τὸ ἡμικύκλιον, ἀλλὰ δύο νεανίαι μόλις αὐτὸ κινείτωσαν· καὶ οἱ ἀμφορεῖς κείσθωσαν ἐφεξῆς πολλῷ ἄμεινον τοῦ

καὶ ἐνοχλητικό, καὶ τὸ ἀποφεύγεις; Μάλιστα δὲν ἔπρεπε, πλὴν ὅμως δὲν εἶναι ἀνάγκη νὰ γίνη αὐτό. Καὶ ἂν δὲν κάθεσαι μαζὶ μὲ αὐτούς, στεῖλε σὲ αὐτοὺς τὰ φαγητὰ ἀπὸ τὸ τραπέζι. Καὶ ἐκεῖνος ποὺ προσκαλεῖ φίλους, δὲν ἔκαμε κάτι μεγάλο, γιατὶ ἔλαβε ἐδῶ τὴν ἀμοιβή του. Ἐκεῖνος ὅμως ποὺ προσκαλεῖ τὸν ἀνάπηρο καὶ τὸν πτωχὸ ἔχει τὸν Θεὸ ὀφειλέτη.

Ἂς μὴ στενοχωρούμασθε λοιπόν, ὅταν δὲν ἀπολαμβάνωμε στὴν παροῦσα ζωή, ἀλλὰ ὅταν ἀπολαμβάνωμε, γιατὶ στὴν ἄλλη ζωὴ δὲν θὰ ἀπολαύσωμε ὁμοίως. Ἂν μᾶς ἀνταπαδώση ἄνθρωπος, ὁ Θεὸς δὲν ἀνταποδίδει· ἂν αὐτὸς δὲν ἀνταποδώση, τότε θὰ ἀνταποδώση ὁ Θεός. Ἂς μὴ ἐπιζητοῦμε λοιπὸν νὰ εὐεργετοῦμε ἐκείνους ποὺ μποροῦν νὰ μᾶς ἀνταποδώσουν, οὔτε νὰ εὐεργετοῦμε αὐτοὺς μὲ τέτοιες ἐλπίδες· εἶναι ψυχρὴ αὐτὴ ἡ σκέψις. Ἂν προσκαλέσης τὸν φίλο, ἡ εὐεργεσία θὰ διατηρηθῆ μέχρι τὸ βράδυ. Γι' αὐτὸ ἡ περιστασιακὴ φιλία χάνεται πιὸ γρήγορα ἀπὸ τὰ ἀποδιδόμενα. Ἂν προσκαλέσης ὅμως τὸν πτωχὸ καὶ τὸν ἀνάπηρο, ποτὲ δὲν θὰ χαθῆ ἡ εὐεργεσία, γιατὶ ἔχεις ὀφειλέτη τὸν Θεό, ποὺ πάντοτε ἐνθυμεῖται καὶ ποτὲ δὲν ξεχνᾶ.

Πόσης ὅμως ἀνοησίας ἀπόδειξις εἶναι, εἰπέ μου, τὸ νὰ μὴ μπορῆς νὰ κάθεσαι μαζὶ μὲ τοὺς πτωχούς; Τί λέγεις; Εἶναι ἀκάθαρτος, λέγει, καὶ ρυπαρός. Καθάρισε αὐτὸν καὶ ὡδήγησέ τον στὸ τραπέζι σου. Μήπως ἔχει βρώμικα ροῦχα; Ἀντάλλαξε αὐτὰ καὶ δῶσε καθαρὴ στολή. Δὲν βλέπεις πόσο εἶναι τὸ κέρδος; Ὁ Χριστὸς ἔρχεται διὰ μέσου αὐτοῦ, καὶ ἐσὺ φέρεσαι μὲ μικροπρέπεια γιὰ ὄφελος αὐτοῦ; Προσκαλώντας τὸ βασιλέα στὸ τραπέζι, φοβεῖσαι γι' αὐτά; Ἂς ὑποτεθῆ ὅτι ὑπάρχουν δύο τραπέζια. Καὶ τὸ ἕνα εἶναι γεμᾶτο ἀπ' αὐτοὺς καὶ ἔχει τυφλούς, χωλούς, στραβούς, ἀναπήρους στὰ χέρια καὶ στὰ πόδια, ξυπόλητους καὶ φοροῦν ἕνα μικρὸ χιτῶνα καὶ αὐτὸν τριμμένο. Τὸ ἄλλο ὅμως ἔχει ἡγεμόνας, στρατηγούς, τοπάρχας, ἄρχοντας μεγάλους, ποὺ φοροῦν πολυτελῆ ἐπανωφόρια καὶ λεπτὰ λινὰ ἐνδύματα καὶ εἶναι ζωσμένοι μὲ χρυσὲς ζῶνες. Πάλι ἐδῶ στὸ τραπέζι τῶν πτωχῶν δὲν ὑπάρχουν ἀργυρὰ σκεύη, οὔτε πολὺ κρασί, ἀλλὰ τόσο ποὺ εἶναι ἀρκετὸ καὶ μπορεῖ νὰ τέρψη· τὰ ποτήρια καὶ τὰ ὑπόλοιπα σκεύη εἶναι κατασκευασμένα μόνο ἀπὸ γυαλί. Ἐκεῖ ὅμως στὸ τραπέζι τῶν πλουσίων εἶναι ὅλα τὰ σκεύη ἀπὸ ἄργυρο καὶ χρυσό, καὶ οὔτε ἕνας δὲν ἀνησυχεῖ τὸ ἀμφιθέατρο, ἀλλὰ δύο νεαροὶ μόλις διαταράσσουν αὐτό. Καὶ οἱ ἀμφορεῖς εἶναι στὴ σειρὰ ἀκτινοβολώντας μὲ τὸ χρυσάφι πολὺ καλύτερα ἀπὸ τὸν

ἀργύρου ἀπολάμποντες τῷ χρυσῷ· ἔστω δὲ καὶ τὸ ἡμικύκλιον ἁπαλῇ στρωμνῇ πάντοτεν ἐστορεσμένον. Πάλιν ἐνταῦθα μὲν ἔστωσαν διάκονοι πολλοί, τῶν κατακειμένων οὐχ ἧττον κεκοσμημένοι τοῖς ἱματίοις, καὶ ἐνδεδυμένοι λαμπρῶς, καὶ ἀναξυρίδας ἔχοντες, καλοὶ μὲν ἰδεῖν, αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος, σφριγῶντες καὶ εὐσωματοῦντες· ἐκεῖ δὲ δύο μόνοι ἔστωσαν διάκονοι, πάντα τὸν τῦφον τοῦτον πεπατηκότες· καὶ ἔστω τοῖς μὲν τὰ ἐδέσματα πολυτελῆ, τοῖς δὲ τοσαῦτα ὅσα σβέσαι τὸν λιμόν, καὶ εὐφροσύνης ἐμπλῆσαι.

Ἆρα εἶπον ἀρκούντως; καὶ μετὰ ἀκριβείας κατασκευασμέναι εἰσὶν ἀμφότεραι αἱ τράπεζαι; μή τι ἐνδεῖ; Ἐγὼ μὲν οὐκ οἶμαι· καὶ γὰρ τοὺς κεκλημένους ἐπῆλθον, καὶ τὴν πολυτέλειαν καὶ τῶν σκευῶν καὶ τῶν στρωμάτων καὶ τῶν ἐδεσμάτων· πλὴν ἀλλὰ καὶ εἴ τι παρελίπομεν, ἐπεξαγαγόντες τὸν λόγον εὑρήσομεν. Φέρε οὖν, ἐπειδὴ καλῶς ἡμῖν τὸ πρόσφορον ἀπέλαβε σχῆμα ἑκάστη τράπεζα, ἴδωμεν ποῦ ὑμεῖς κατακλισθήσεσθε. Ἐγὼ μὲν γὰρ ἐπ' ἐκείνην ἄπειμι τὴν τῶν τυφλῶν, τὴν τῶν χωλῶν· ὑμῶν δὲ τάχα οἱ πλείους ταύτην αἱρήσονται, τὴν τῶν στρατηγῶν, τὴν λαμπρὰν καὶ φαιδρά. Ἴδωμεν οὖν ποία πλείονος γέμει τῆς ἡδονῆς· μήπω γὰρ τὰ μέλλοντα ἐξετάσωμεν· ἐν ἐκείνοις μὲν γὰρ αὕτη κρατεῖ ἡ ἐμή. Διὰ τί; Ὅτι αὕτη μὲν ἔχει τὸν Χριστὸν ἀνακείμενον, ἐκείνη δὲ ἀνθρώπους· αὕτη τὸν δεσπότην, ἐκείνη τοὺς δούλους. Ἀλλὰ μήπω ταῦτα, ἀλλ' ἴδωμεν ποία πλείονα ἔχει τὴν ἡδονὴν τὴν ἐν τῷ παρόντι. Καὶ κατὰ τοῦτο μὲν οὖν πλείων αὕτη ἡ ἡδονή· τὸ γὰρ μετὰ βασιλέως ἀναπεσεῖν, πλείονα φέρει τὴν ἡδονήν τοῦ μετὰ τῶν οἰκετῶν. Ἀλλὰ καὶ τοῦτο ὑπεξέλωμεν, αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. Οὐκοῦν ἐγώ, καὶ οἱ σὺν ἐμοὶ ταύτην ἑλόμενοι τὴν τράπεζαν μετὰ πολλῆς τῆς ἐλευθερίας καὶ τῆς θυμηδίας καὶ ἐροῦμεν ἅπαντα, καὶ ἀκουσόμεθα· ὑμεῖς δὲ τρέμοντες καὶ δεδοικότες, καὶ τοὺς ἀνακειμένους αἰδούμενοι, οὐδὲ ἐκτεῖναι χεῖρα τολμήσετε, καθάπερ εἰς παιδαγωγεῖον, ἀλλ' οὐκ εἰς ἄριστον εἰσελθόντες, καθάπερ δεσπότας δεινοὺς τρέμοντες. Ἀλλ' οὐκ ἐκεῖνοι οὕτως.

Ἀλλὰ τὰ τῆς τιμῆς, φησί, μεγάλα. Καὶ μὴν ἐγὼ ἐν πλείονί εἰμι τιμῇ· ὑμῶν μὲν γὰρ ἡ εὐτέλεια μείζων φαίνεται, ὅταν καὶ τῆς

---

19. Ἀναξυρίδες· στενὰ πανταλόνια ποὺ ἔφθαναν μέχρι τοὺς ἀστραγάλους καὶ ἐφοροῦσαν (καὶ φοροῦν) οἱ ἀνατολικοὶ λαοὶ καὶ ἰδίως οἱ Πέρσαι.

ἄργυρο, καὶ εἶναι τὸ ἀμφιθέατρο ἀπὸ παντοῦ στρωμένο μὲ μαλακὸ χαλί. Πάλι ἐδῶ ὑπάρχουν ὑπηρέται πολλοί, στολισμένοι στὰ ροῦχα ὄχι χειρότερα ἀπὸ τοὺς παρευρισκομένους καὶ φοροῦν λαμπερὰ ἐνδύματα καὶ ἔχουν στενὰ πανταλόνια[19], ὄμορφοι στὸ πρόσωπο, στὸ ἄνθος τῆς ἡλικίας, εὔρωστοι καὶ εὔσωμοι. Ἐκεῖ ὅμως ὑπάρχουν δύο μόνο ὑπηρέτες, ποὺ περιφρονοῦν ὅλη αὐτὴ τὴν ἔπαρσι. Ἀκόμη εἶναι στοὺς μὲν τὰ φαγητὰ πολυτελῆ, στοὺς ἄλλους ὅμως τόσα, ὅσα εἶναι ἀρκετὰ νὰ σβήσουν τὴν πεῖνα καὶ νὰ προξενήσουν εὐχαρίστησι.

Ἄραγε ἀρκετὰ εἶπα; καὶ μὲ ἀκρίβεια εἶναι ἑτοιμασμένα καὶ τὰ δύο τραπέζια; Μήπως κάτι λείπει; Ἐγὼ δὲν νομίζω, γιατὶ ἀνέφερα καὶ τοὺς καλεσμένους καὶ τὴν πολυτέλεια τῶν σκευῶν, τῶν στρωμάτων καὶ τῶν φαγητῶν. Πλὴν ὅμως καὶ ἐὰν κάτι ἐπαραλείψαμε, παρατείνοντας τὴν ὁμιλία θὰ τὸ εὕρουμε. Ἐμπρὸς λοιπόν, ἀφοῦ γιὰ μᾶς τὸ κάθε τραπέζι ἔλαβε ἐντελῶς τὸ κατάλληλο σχῆμα, ἂς ἰδοῦμε ποῦ θὰ καθήσετε ἐσεῖς. Ἐγὼ λοιπὸν θὰ πάω σὲ ἐκεῖνο ποὺ εἶναι οἱ τυφλοί, οἱ χωλοί, καὶ οἱ περισσότεροι ἴσως ἀπὸ σᾶς θὰ προτιμήσουν τὸ τραπέζι τῶν στρατηγῶν, τὸ λαμπρὸ καὶ φαιδρό. Ἂς ἰδοῦμε λοιπὸν ποιό τραπέζι εἶναι γεμᾶτο ἀπὸ πιὸ πολλὴ ἀπόλαυσι καὶ ἂς μὴ ἐξετάσωμε ἀκόμη τὰ μέλλοντα, γιατὶ σ' αὐτὰ ὑπερισχύει τὸ δικό μου τραπέζι. Γιὰ ποιό λόγο; Γιατὶ σ' αὐτὸ κάθεται ὁ Χριστὸς καὶ σὲ ἐκεῖνο ἄνθρωποι, σ' αὐτὸ ὁ Κύριος, σ' ἐκεῖνο οἱ δοῦλοι. Ἀλλὰ ὄχι ἀκόμη αὐτά· ἂς ἰδοῦμε ὅμως ποιὸ ἔχει πιὸ πολλὴ ἀπόλαυσι κατὰ τὸ παρόν. Καὶ κατὰ τοῦτο λοιπὸν εἶναι πιὸ πολλὴ ἡ ἀπόλαυσις αὐτή, γιατὶ τὸ νὰ καθήσει κανεὶς σὲ γεῦμα μαζὶ μὲ τὸν βασιλέα φέρει πιὸ πολλὴ εὐχαρίστησι ἀπὸ τὸ νὰ καθήση μέ τοὺς ὑπηρέτας. Ἀλλὰ καὶ τοῦτο ἂς ἀφήσωμε κατὰ μέρος καὶ ἂς ἐξετάσωμε αὐτὸ τὸ ἴδιο τὸ πρᾶγμα. Λοιπὸν ἐγὼ καὶ ἐκεῖνοι ποὺ εἶναι μαζί μου ἐπροτιμήσαμε τὸ τραπέζι αὐτὸ μὲ μεγάλη ἐλευθερία καὶ χαρά, θὰ εἰποῦμε καὶ θὰ ἀκούσωμε τὰ πάντα. Ἐσεῖς ὅμως μὲ τρόμο καὶ φόβο, καὶ μὲ σεβασμὸ πρὸς τοὺς συνδαιτυμόνας, δὲν θὰ τολμήσετε οὔτε τὸ χέρι νὰ ἁπλώσετε, ὅπως ἀκριβῶς στὸ σχολεῖο, ἀλλὰ οὔτε τὸ γεῦμα θὰ ἀρχίσετε, σὰν νὰ τρέμετε φοβεροὺς κυρίους. Ἐκεῖνοι ὅμως δὲν θὰ συμπεριφέρωνται ἔτσι.

Ἀλλὰ εἶναι μεγάλη ἡ τιμή, θὰ εἰπῆ κάποιος. Καὶ ὅμως ἐγὼ ἀπολαμβάνω πιὸ πολλὴ τιμή, γιατὶ ἡ ἰδική σας εὐτέλεια φαίνεται πιὸ μεγάλη, καθὼς μετέχοντας στὸ ἴδιο τραπέζι μεταχειρίζεσθε τὰ λόγια τῶν δούλων. Γιατὶ καὶ ὁ δοῦλος τότε πρὸ παντὸς φαίνεται,

αὐτῆς τραπέζης κοινωνοῦντες, δούλων προβάλλησθε ῥήματα. Καὶ γὰρ ὁ δοῦλος τότε μάλιστα φαίνεται, ὅταν μετὰ τοῦ δεσπότου κατακείμενος ᾖ. Ἐκεῖνος μὲν γάρ, ἔνθα μὴ προσῆκεν αὐτῷ, γίνεται, οὐ τοσαύτην ἀπὸ τῆς οἰκειώσεως ἔχων σεμνότητα, ὅσην τὴν ταπείνωσιν· σφόδρα γὰρ τότε ταπεινοῦται. Καὶ τὸν δοῦλον ἴδοι τις ἂν λαμπρὸν ὄντα καθ' ἑαυτόν, καὶ τὸν πένητα λαμπρὸν ὄντα καθ' ἑαυτόν, ἢ ὅταν μετὰ πλουσίου βαδίζῃ· τὸ γὰρ ταπεινόν, ὅταν ἐγγὺς ᾖ τοῦ ὑψηλοῦ, τότε φαίνεται ταπεινόν, καὶ ἡ παράθεσις τὸ ταπεινὸν ταπεινότερον δείκνυσιν, οὐχ ὑψηλότερον. Οὕτω καὶ ὑμᾶς εὐτελεστέρους δείκνυσι τὸ μετ' ἐκείνων ἀνακεῖσθαι, ἀλλ' οὐχ ἡμᾶς.

Δύο μὲν οὖν τούτοις πλεονεκτοῦμεν, τῇ τε ἐλευθερίᾳ, καὶ τῇ τιμῇ, ὧν οὐδὲν ἴσον εἰς ἡδονῆς λόγον ἐστί. Βουλήσομαι γὰρ ἂν ἔγωγε ἄρτου μεταλαβεῖν μετ' ἐλευθερίας, ἢ μυρίων ἐδεσμάτων μετὰ δουλείας. «Κρεῖσσον γάρ», φησί, «ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ βοῦς ἀπὸ φάτνης μετ' ἔχθρας». Ὃ γὰρ ἂν εἴπωσιν ἐκεῖνοι, ἀνάγκη τοὺς παρόντας ἐπαινεῖν, ἢ προσκρούειν, παρασίτων τάξιν ἀναδεδειγμένους, μᾶλλον δὲ ἐκείνων χείρους ὄντας. Τοῖς μὲν γὰρ εἰ καὶ μετ' αἰσχύνης καὶ τοῦ ὑβρίζεσθαι, ὅμως μέτεστι παρρησίας· ὑμῖν δὲ οὐδὲ τούτου. Ἀλλ' ἡ μὲν εὐτέλεια τοσαύτη· δεδοίκατε γὰρ καὶ κατεπτήχατε· ἡ δὲ τιμὴ οὐκέτι. Οὐκοῦν πάσης μὲν ἡδονῆς ἀπεστέρηται ἡ τράπεζα ἐκείνη, πάσης δὲ αὕτη γέμει θυμηδίας.

4. Ἀλλὰ καὶ αὐτῶν τῶν ἐδεσμάτων τὴν φύσιν ἐξετάσωμεν. Ἐκεῖ μὲν γὰρ ἀνάγκη καὶ μὴ βουλόμενον ἐσθίειν καὶ πίνειν. Ὥστε ἐκεῖ μὲν τὴν ἐκ τῆς τῶν σιτίων ποιότητος ἡδονὴν ἥ τε προλαβοῦσα ἀτιμία ἀφαιρεῖται, καὶ ἡ ἐκ τῆς πλησμονῆς ἀηδία. Οὐ γὰρ ἧττον λιμοῦ τὰ σώματα ἡμῖν ἡ πλησμονὴ διαφθείρει καὶ ὀδυνᾷ, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον· καὶ ὃν ἂν θέλῃς μοι δοῦναι, εὐκολώτερον αὐτὸν διαρρηγνύω τῇ πλησμονῇ τοῦ λιμοῦ. Οὕτω γὰρ τοῦτο ἐκείνου φορητότερον, ὅτι λιμὸν μὲν ἄν τις καὶ εἴκοσιν ἡμέρας ἐνέγκοι, πλησμονὴν δὲ οὐδὲ δύο μόνας· καὶ τούτῳ μὲν προσπαλαίοντες διηνεκῶς οἱ ἐν τοῖς ἀγροῖς, ἐν ὑγείᾳ

20. Παροιμ. 15,17

ὅταν κάθεται μαζὶ μὲ τὸν Κύριό του. Ἐκεῖνος λοιπὸν γίνεται δοῦλος ἀπὸ αὐτὸ ποὺ δὲν ἐταίριαζε σὲ αὐτόν, ἐπειδὴ δὲν ἔχει ἀπὸ τὴ γνωριμία τόση σεμνότητα, ὅση ταπείνωσι, γιατὶ τότε ταπεινώνεται ὑπερβολικά. Καὶ τὸ δοῦλο θὰ ἠμποροῦσε νὰ ἰδῆ κανεὶς νὰ εἶναι λαμπρὸς μόνος του, καὶ τὸν πτωχὸ νὰ εἶναι λαμπρὸς μόνος του, παρὰ ὅταν βαδίζη μαζὶ μὲ τὸν πλούσιο. Γιατὶ τὸ ταπεινό, ὅταν εὑρίσκεται κοντὰ στὸ ὑψηλό, τότε φαίνεται ταπεινὸ καὶ ἡ σύγκρισις τὸ ταπεινὸ ἀποδεικνύει ταπεινότερο καὶ ὄχι ὑψηλότερο. Ἔτσι καὶ τὸ νὰ κάθεσθε μαζὶ μὲ ἐκείνους ἀποδεικνύει ἐσᾶς πιὸ τιποτένιους καὶ ὄχι ἐμᾶς.

Πλεονεκτοῦμε λοιπὸν ἀπὸ αὐτοὺς σὲ δύο πράγματα, καὶ στὴν ἐλευθερία δηλαδὴ καὶ στὴν τιμή, τῶν ὁποίων τίποτε δὲν εἶναι ἴσο σὰν αἰτία ἀπολαύσεως. Γιατὶ ἐγὼ βέβαια θὰ ἤθελα νὰ ἀπολαμβάνω τὸ ψωμὶ μὲ ἐλευθερία, παρὰ πλούσια φαγητὰ μὲ δουλεία. Καὶ ἡ Γραφὴ λέγει, «Εἶναι προτιμότερο νὰ φιλοξενήσῃς μὲ λάχανα γιὰ χάρι φιλίας καὶ ἀγάπης, παρὰ μὲ μοσχάρι μὲ ἐχθρικὲς διαθέσεις»[20]. Ἐκεῖνο ποὺ θὰ ἐπικαλεσθοῦν ἐκεῖνοι, εἶναι αὐτό, ὅτι δηλαδὴ εἶναι ἀνάγκη νὰ ἐπαινοῦν τοὺς παρόντας παρὰ νὰ τοὺς κακίζουν, ἀναλαμβάνοντας τὴ θέση τῶν παρασίτων, ἢ καλύτερα ὅμως χειρότεροι ἀπὸ ἐκείνους. Αὐτοὶ λοιπὸν ἂν καὶ κάθονται μὲ ἐντροπὴ καὶ ὑβρίζονται, ὅμως ἔχουν τὴν παρρησία τοῦ λόγου, ἀλλ' ἐσεῖς οὔτε αὐτὸ ἔχετε. Ἀλλ' ἡ εὐτέλεια εἶναι τόσο μεγάλη, γιατὶ ἔχετε φοβηθῆ καὶ καταπτοηθῆ, ἡ τιμὴ δὲν ὑπάρχει. Συμπερασματικὰ λοιπὸν τὸ τραπέζι ἐκεῖνο ἔχει στερηθῆ ἀπὸ κάθε ἀπόλαυσι, ἐνῶ αὐτὸ εἶναι γεμᾶτο ἀπὸ κάθε χαρά.

4. Ἂς ἐξετάσωμε ὅμως καὶ τὴ φύσι τῶν φαγητῶν. Ἐκεῖ λοιπὸν εἶναι ἀνάγκη καὶ χωρὶς τὴ θελησί σου νὰ «σκάσῃς» ἀπὸ τὸ πολὺ κρασί, ἐδῶ ὅμως δὲν εἶναι δυνατὸ χωρὶς τὴ θέλησί σου νὰ τρώγῃς καὶ νὰ πίνῃς. Συνεπῶς ἐκεῖ τὴν ἀπόλαυσι ἀπὸ τὴν ποιότητα τῶν φαγητῶν ἀφαιρεῖ καὶ ἡ περιφρόνησις ποὺ ἐκδηλώνεται προκαταβολικὰ καὶ ἡ ἀηδία ἀπὸ τὸ χορτασμό. Γιατὶ ὁ χορτασμὸς καταστρέφει καὶ ἐνοχλεῖ τὰ σώματά μας ὄχι λιγώτερο ἀπὸ τὴν πεῖνα, ἀλλὰ καὶ πολὺ πιὸ ἐπικίνδυνα· καὶ αὐτὸν ποὺ θὰ θελήσῃς νὰ μοῦ δώσῃς πιὸ εὔκολα θὰ τὸν σκάσω μὲ τὸ χορτασμό, παρὰ μὲ τὴν πεῖνα. Ἔτσι λοιπὸν αὐτὸ εἶναι πιὸ ὑποφερτὸ ἀπὸ ἐκεῖνο, γιατὶ τὴν πεῖνα θὰ ἠμποροῦσε κανεὶς νὰ τὴν ἀντέξῃ καὶ εἴκοσι ἡμέρες, τὸ χορτασμὸ ὅμως οὔτε δύο μόνο. Καὶ μὲ τὴν πεῖνα ἂν καὶ ἀγωνίζονται διαρκῶς οἱ κάτοικοι τῆς ὑπαίθρου ἔχουν ὑγεία καὶ δὲν χρειάζονται τοὺς

εἰσὶ καὶ οὐ δέονται ἰατρῶν· ταύτην δὲ, τὴν πλησμονὴν λέγω, οὐκ ἂν ἐνέγκαιεν μὴ συνεχῶς καλοῦντες ἰατρούς· μᾶλλον δὲ καὶ τὴν ἐκείνων βοήθειαν ἤλεγξε πολλάκις ἡ ταύτης τυραννίς.

Καὶ ἡδονῆς μὲν οὖν ἕνεκεν αὕτη τὰ πρῶτα ἔχει. Εἰ γὰρ ἡ τιμὴ τοῦ ἀτιμάζεσθαι ἡδίων, καὶ τὸ ἐν ἐξουσίᾳ εἶναι τοῦ ὑποτάσσεσθαι, καὶ τὸ θαρρεῖν τοῦ τρέμειν καὶ δεδοικέναι, καὶ τὸ τῶν ἀρκούντων ἀπολαύειν τοῦ πέρα τοῦ μέτρου εἰς τὸ τῆς τρυφῆς καταποντίζεσαθι κλυδώνιον, βελτίων αὕτη ἐκείνης ἡ τράπεζα καὶ ἡδονῆς ἕνεκεν. Καὶ τὰ τῆς δαπάνης δὲ ἐνταῦθα βελτίω· ἐκείνη μὲν γὰρ δαπανηρά, αὕτη δὲ οὐκέτι. Ἀλλὰ τί; ἆρα τοῖς ἀνακειμένοις μόνου ἡδίων αὕτη ἡ τράπεζα, ἢ καὶ τῷ καλοῦντι πλείονα αὕτη φέρει τὴν ἡδονὴν ἐκείνης; Τοῦτο γάρ ἐστι τὸ μᾶλλον ζητούμενον ἡμῖν.

Οὐκοῦν ὁ μὲν ἐκείνους καλῶν, πρὸ πλειόνων ἡμερῶν παρασκευάζεται, καὶ πράγματα ἔχειν ἀναγκάζεται καὶ φροντίδας καὶ μερίμνας, οὔτε τὰς νύκτας καθεύδων, οὔτε τὰς ἡμέρας ἡσυχάζων· ἀλλὰ ἀναπλάττων παρ' ἑαυτῷ πολλά, μαγείροις διαλεγόμενος, ὀψοποιοῖς, τραπεζοποιοῖς. Εἶτα αὐτῆς τῆς ἡμέρας ἐπιστάσης ἴδοι τις ἂν αὐτὸν μᾶλλον δεδοικότα, ἢ τοὺς μέλλοντας πυκτεύειν, μή τι παρὰ λόγον γένηται, μὴ βασκανίᾳ βληθῇ, μὴ κατηγόρους ἐκεῖθεν λάβῃ πολλούς. Οὗτος δὲ πάσης ταύτης ἀπήλλακται τῆς φροντίδος καὶ τῶν πραγμάτων, αὐτοσχεδιάζων τὴν τράπεζαν, καὶ οὐ πρὸ πολλῶν ἡμερῶν μεριμνῶν. Καὶ μετὰ δὴ ταῦτα οὗτος μὲν εὐθέως τὴν χάριν ἀπώλεσεν, ἐκεῖνος δὲ ἔχει τὸν Θεὸν ὀφειλέτην, καὶ χρησταῖς τρέφεται ταῖς ἐλπίσι, καθ' ἑκάστην ἡμέραν εὐωχούμενος ἀπ' ἐκείνης τῆς τραπέζης. Τὰ μὲν γὰρ σιτία ἀναλίσκεται, ἡ δὲ χάρις οὐκ ἀναλίσκεται, ἀλλὰ καθ' ἑκάστην ἡμέραν μᾶλλον χαίρει καὶ γάννυται ἐκείνων τῶν τὸν πολὺν οἶνον ἐμφορηθέντων. Οὐδὲν γὰρ οὕτω τρέφει τὴν ψυχήν, ὡς ἐλπὶς ἀγαθὴ καὶ τό χρηστὰ προσδοκᾶν.

Ἀλλὰ δὴ τὰ μετὰ ταῦτα ἴδωμεν. Ἐκεῖ μὲν αὐλοὶ καὶ κιθάραι καὶ σύριγγες, ἐνταῦθα δὲ οὐδὲν ἀπηχὲς μέλος, ἀλλὰ τί; ὕμνοι, ψαλμῳδίαι. Ἐκεῖ μὲν οἱ δαίμονες ἀνυμνοῦνται, ἐνταῦθα δὲ ὁ πάντων δεσπότης Θεός. Ὁρᾷς πόσης μὲν αὕτη χάριτος, πόσης

ἰατρούς. Αὐτὸν ὅμως, δηλαδὴ τὸ χορτασμό, δὲν θὰ τὸν ἄντεχαν ἂν δὲν ἐκαλοῦσαν συνέχεια τοὺς ἰατρούς, μᾶλλον δὲ καὶ τὴ βοήθεια αὐτῶν ἐμπόδιζε πολλὲς φορὲς ἡ τυραννίδα τοῦ χορτασμοῦ.

Καὶ ἐξ αἰτίας τῆς ἀπολαύσεως κατέχει τὸ τραπέζι αὐτὸ τὰ πρωτεῖα. Γιατὶ ἐὰν ἡ τιμὴ εἶναι πιὸ εὐχάριστο πρᾶγμα ἀπὸ τὴν περιφρόνησι, καὶ ἡ ἐξουσία ἀπὸ τὴν ὑποταγὴ καὶ τὸ θάρρος ἀπὸ τὸν τρόμο καὶ φόβο καὶ ἡ ἀπόλαυσις τῶν ἀναγκαίων ἀγαθῶν πέρα ἀπὸ τὸ κανονικὸ πνίγεται στὴν τρικυμία τῆς τρυφῆς, εἶναι καλύτερο ἀπὸ ἐκεῖνο τὸ τραπέζι αὐτὸ καὶ ἐξ αἰτίας τῆς εὐχαριστήσεως. Καὶ ἡ δαπάνη σὲ αὐτὸ εἶναι πιὸ μικρή, γιατὶ τὸ τραπέζι ἐκεῖνο εἶναι πολυέξοδο, ἐνῶ αὐτὸ καθόλου. Ἀλλὰ τί συμβαίνει; Μήπως τὸ τραπέζι αὐτὸ εἶναι πιὸ εὐχάριστο στοὺς συνδαιτυμόνας μόνο, ἢ μήπως δίνει καὶ στὸν οἰκοδεσπότη πιὸ μεγάλη εὐχαρίστησι ἀπὸ ἐκεῖνο; Αὐτὸ βέβαια εἶναι ἐκεῖνο ποὺ ἐπιζητοῦμε καὶ ἐμεῖς περισσότερο.

Λοιπὸν ἐκεῖνος ποὺ καλεῖ αὐτοὺς προετοιμάζεται πρὶν ἀπὸ περισσότερες ἡμέρες καὶ ὑποχρεώνεται νὰ ἔχη φασαρίες καὶ φροντίδες καὶ ἔγνοιες, χωρὶς νὰ κοιμᾶται τὶς νύκτες, οὔτε νὰ ἡσυχάζη τὶς ἡμέρες, ἀλλὰ κάνοντας μόνος του πολλὲς σκέψεις, συζητᾶ μὲ τοὺς ἀρτοποιούς, τοὺς μαγείρους καὶ τοὺς τραπεζοκόμους. Ἔπειτα ὅταν ἔλθη ἡ ἡμέρα τοῦ δείπνου θὰ ἠμποροῦσε νὰ ἰδῆ κανεὶς αὐτὸν νὰ φοβῆται περισσότερο ἀπὸ τοὺς πυγμάχους ποὺ πρόκειται νὰ πυγμαχήσουν, μήπως κάτι δὲν γίνη σωστά, μήπως φθονηθῆ, μήπως ἀποκτήση ἐξ αἰτίας τούτου πολλοὺς κατηγόρους. Αὐτὸς ὅμως εἶναι ἀπαλλαγμένος ἀπὸ ὅλες τὶς φροντίδες καὶ τὶς ἐνοχλήσεις αὐτές, αὐτοσχεδιάζοντας τὸ τραπέζι καὶ δὲν φροντίζει γι' αὐτὸ πρὶν ἀπὸ πολλὲς ἡμέρες. Καὶ ὕστερα λοιπὸν ἀπὸ αὐτὰ ὁ πρῶτος ἔχασε ἀμέσως τὴν εὐγνωμοσύνη, ἐνῶ ὁ δεύτερος ἔχει τὸν Θεὸ ὀφειλέτη καὶ τρέφεται μὲ ἀγαθὲς ἐλπίδες, ἀφοῦ καθημερινὰ τρέφεται πλούσια ἀπὸ τὸ τραπέζι ἐκεῖνο. Γιατὶ τὰ φαγητὰ καταναλώνονται, ἡ χαρὰ ὅμως δὲν καταναλώνεται, ἀλλὰ κάθε ἡμέρα χαίρεται καὶ λάμπει ἀπὸ χαρὰ περισσότερο ἀπὸ ἐκείνους ποὺ ἔπιναν πολὺ κρασί. Τίποτε βέβαια δέν τρέφει τόσο τὴν ψυχή, ὅσο ἡ ἀγαθὴ ἐλπίδα καὶ ἡ προσδοκία τῶν ἀγαθῶν.

Ἀλλὰ ἂς ἐξετάσωμε καὶ τὰ ἑπόμενα. Ἐκεῖ ὑπάρχουν αὐλοί, κιθάρες καὶ φλογέρες, ἐνῶ ἐδῶ δὲν ἀκούγεται κανένα παράφωνο τραγούδι, ἀλλὰ τί; ὕμνοι, ψαλμωδίες. Ἐκεῖ ἐξυμνοῦνται οἱ δαίμονες, ἐνῶ ἐδῶ ὁ κυρίαρχος τῶν πάντων Θεός. Βλέπεις πόση εὐγνωμοσύνη πλημμυρίζει τὸ τραπέζι αὐτὸ καὶ πόση ἀχαριστία καὶ ἀναι-

δὲ ἀγνωμοσύνης ἐκείνη καὶ ἀναισθησίας γέμει; Εἰπὲ γάρ μοι· ὁ Θεός σε ἔθρεψεν ἐκ τῶν ἀγαθῶν αὐτοῦ, καὶ δέον αὐτῷ εὐχαριστεῖν μετὰ τὸ τραφῆναι, σὺ δὲ τοὺς δαίμονας ἐπεισάγεις; τὰ γὰρ διὰ τῶν πηκτίδων οὐδὲν ἄλλο ἐστίν, ἢ τῶν δαιμόνων ᾄσματα. Δέον εἰπεῖν, εὐλογητὸς εἶ, Κύριε, ὅτι ἔθρεψάς με ἐκ τῶν ἀγαθῶν σου, καθάπερ τις κύων ἄτιμος, οὐδὲ μέμνησαι, ἀλλὰ τοὺς δαίμονας ἐπεισάγεις; Μᾶλλον δὲ οἱ μὲν κύνες λαβόντες καὶ μὴ λαβόντες σαίνουσι τοὺς οἰκείους, σὺ δὲ οὐδὲ τοῦτο. Ὁ κύων καὶ μὴ λαμβάνων σαίνει τὸν δεσπότην, σὺ δὲ καὶ λαβὼν ὑλακτεῖς κατ' αὐτοῦ. Πάλιν ὁ κύων καὶ εὐεργετούμενος παρὰ τοῦ ἀλλοτρίου, οὐδὲ οὕτω καταλύει τὴν ἔχθραν τὴν πρὸς αὐτόν, οὐδὲ ἐπισπᾶται πρὸς φιλίαν· σὺ δὲ καὶ μυρία πάσχων κακὰ παρὰ τῶν δαιμόνων, ἐπ' ἄριστα αὐτοὺς εἰσάγεις· ὥστε διπλῇ τοῦ κυνὸς εἶ χείρων.

Καλῶς δὲ ἀνεμνήσθην νῦν τῶν κυνῶν πρὸς τοὺς τότε μόνο εὐχαριστοῦντας, ὅταν εὖ πάσχωσιν. Αἰδέσθητε, παρακαλῶ, τοὺς κύνας, οἳ καὶ λιμώττοντες σαίνουσι τοὺς δεσπότας· σὺ δὲ ἂν ἀκούσῃς, ὅτι ὁ δαίμων τινὰ ἐθεράπευσεν, ἀφίῃς εὐθέως τὸν δεσπότην, ὦ κυνῶν ἀλογώτερε. Ἀλλ' αἱ πόρναι, φησίν, ἡδονὴν ἔχουσιν ὁρώμεναι. Ποίαν ἡδονήν; ποίαν δὲ οὐκ ἀτιμίαν; Πορνεῖον γέγονέ σου ἡ οἰκία, μανία καὶ οἶστρος· καὶ οὐκ αἰσχύνῃ ταῦτα ἡδονήν καλῶν; Ἂν μὲν οὖν ἐξῇ χρήσασθαι, πάσης ἡδονῆς μείζων ἡ αἰσχύνη καὶ ἡ ἐκ ταύτης ἀηδία, πορνεῖον τὴν οἰκίαν ποιεῖν, καθάπερ χοίρους ἐγκαλινδουμένους βορβόρῳ. Ἂν δὲ μέχρι τοῦ φανῆναι μόνον, ἰδοὺ πάλιν ὀδύνη μείζων· ἡ γὰρ ὄψις οὐχ ἡδονή, ὅταν ἡ χρῆσις μὴ ᾖ, ἀλλὰ καὶ μείζων ἡ ἐπιθυμία, καὶ σφοδροτέρα ἡ φλόξ.

Ἀλλὰ τὸ τέλος βούλει μαθεῖν; Οἱ μὲν τοῖς μαινομένοις καὶ τοῖς παραπλῆξιν ἐοίκασιν ἀπὸ τῆς τραπέζης ἀνιστάμενοι, θρασεῖς, ὀργίλοι, καταγέλαστοι καὶ τοῖς ἀνδραπόδοις· καὶ οἱ μὲν οἰκέται ἀναχωροῦσι νήφοντες, οὗτοι δὲ μεθύοντες. Ὢ τῆς αἰσχύνης. Ἐκεῖ δὲ τοιοῦτον οὐδέν, ἀλλ' εὐχαριστίᾳ τὴν τράπεζαν κατακλείσαντες, οὕτως ἀναχωροῦσιν οἴκαδε, ἡδόμενοι καθεύδοντες, ἡδόμενοι ἐγειρόμενοι, πάσης αἰσχύνης ἀπηλλαγμένοι

σθησία ἐκεῖνο; Στὰ ἀλήθεια εἰπέ μου· ὁ Θεὸς σὲ ἔθρεψε ἀπὸ τὰ ἀγαθά του, καὶ ἐνῶ ἔπρεπε νὰ τὸν εὐγνωμονῆς γι' αὐτό, ἐπεισάγεις ἐσὺ τοὺς δαίμονας; γιατὶ τὰ τραγούδια ποὺ λέγονται μὲ τὴ συνοδεία τῶν ὀργάνων δὲν εἶναι τίποτε ἄλλο, παρὰ δαιμονικὰ τραγούδια. Ἀντὶ νὰ εἰπῆς, εἶσαι δοξασμένος, Κύριε, γιατὶ ἀπὸ τὰ ἀγαθὰ σου μὲ ἔθρεψες, σὰν κάποιο ἀχάριστο σκυλί, οὔτε ἐνθυμεῖσαι, ἀλλὰ ἐπεισάγεις τοὺς δαίμονας; Μᾶλλον δὲ τὰ σκυλιὰ εἴτε λάβουν, εἴτε δὲν λάβουν κάτι ἐκδηλώνουν τὴν χαρά τους στοὺς γνωστούς τους, ἐσὺ ὅμως οὔτε αὐτὸ κάνεις. Τὸ σκυλὶ καὶ ὅταν δὲν λαμβάνη ἐκδηλώνει χαρὰ στὸν κύριό του, ἐσὺ ὅμως ἂν καὶ ἔλαβες γαυγίζεις ἐναντίον του. Ἐξ ἄλλου τὸ σκυλὶ καὶ ὅταν εὐεργετῆται ἀπὸ ἐχθρό, δὲν διαλύει τόσο εὔκολα τὴν ἔχθρα του πρὸς αὐτόν, οὔτε σύρεται γιὰ φιλία. Ἐσὺ ὅμως ἂν καὶ πάσχεις ἄπειρα κακὰ ἀπὸ τοὺς δαίμονας, ὁδηγεῖς αὐτοὺς στὰ γεύματα. Ἐπομένως εἶσαι δύο φορὲς χειρότερος ἀπὸ τὸ σκυλί.

Ἔκανα καλὰ συγκρίνοντας τώρα τὰ σκυλιὰ πρὸς ἐκείνους ποὺ μόνο τότε εὐχαριστοῦν, ὅταν εὐεργετοῦνται. Ἐντραπεῖτε, παρακαλῶ, τὰ σκυλιά, τὰ ὁποῖα καὶ ὅταν πεινοῦν ἐκδηλώνουν χαρὰ πρὸς τοὺς κυρίους, ἐσὺ ὅμως, πιὸ ἀνόητε ἀπὸ τὰ σκυλιά, ἂν ἀκούσης, ὅτι ὁ δαίμονας ἐπεριποιήθηκε κάποιον, ἀφήνεις ἀμέσως τὸν Κύριό σου. Ἀλλὰ οἱ πόρνες, λέγει, προξενοῦν ἡδονὴ καθὼς τὶς βλέπομε. Ποιὰ ἡδονή; καὶ ποιὰ δὲν ἔχουν ἀτιμία; Ἔχει γίνει τὸ σπίτι σου πορνεῖο, παραφροσύνη καὶ τρέλλα, καὶ δὲν ἐντρέπεσαι νὰ ἀποκαλῆς αὐτὰ ἡδονή; Ἂν μὲν λοιπὸν σοῦ ἐπιτραπῆ νὰ ἐκδηλώσης τὸ πάθος, ἡ ἐντροπὴ καὶ ἡ ἀηδία ποὺ ἀπὸ αὐτὴν προέρχεται εἶναι πιὸ μεγάλη ἀπὸ κάθε ἡδονή. Μετατρέπεις τὸ σπίτι σὲ πορνεῖο, ὅπως ἀκριβῶς τὰ γουρούνια κυλίονται μέσα στὸ βόρβορο. Ἂν ὅμως φθάνης μέχρι τὸ σημεῖο νὰ ἰδῆς μόνο, πάλι ἡ ὀδύνη εἶναι πιὸ μεγάλη, γιατὶ ἡ θέα δέν εἶναι ἡδονή, ὅταν δὲν ὑπάρχει συνουσία, ἀλλὰ καὶ ἡ ἐπιθυμία εἶναι πιὸ μεγάλη καὶ ἡ φλόγα τῆς σάκρας πιὸ δυνατή.

Ἀλλὰ ἐπιθυμεῖς νὰ μάθης τὸ τέλος; Αὐτοὶ ὅταν σηκωθοῦν ἀπὸ τὸ τραπέζι εἶναι ὅμοιοι μὲ τοὺς τρελλοὺς καὶ τοὺς παράφρονες, θρασεῖς, γεμᾶτοι ὀργή, γελοῖοι καὶ στὰ μάτια τῶν δούλων· καὶ οἱ μὲν ὑπηρέτες ἀναχωροῦν νηφάλιοι, ἐνῶ αὐτοὶ μεθυσμένοι. Τί μεγάλη ἐντροπή! Ἐκεῖ ὅμως δὲν συμβαίνει τίποτε τέτοιο, ἀλλὰ ἀφοῦ μὲ εὐχαριστία τελειώσουν τὸ τραπέζι, ἔτσι ἐπιστρέφουν στὰ σπίτια τους, μὲ εὐχαρίστησι κοιμοῦνται, μὲ εὐχαρίστησι ξυπνοῦν χωρὶς καμμία ἐντροπὴ καὶ κατηγορία. Ἐὰν θέλης νὰ ἰδῆς καὶ αὐτοὺς τοὺς

καὶ κατηγορίας. Εἰ βούλει καὶ αὐτοὺς τοὺς κεκλημένους ἰδεῖν, ὄψει τούτους μὲν τοιούτους ὄντας ἔνδον, ὅπερ οὗτοι ἔξω, τυφλούς, ἀναπήρους, χωλούς· καὶ οἷα τούτων τὰ σώματα, τοιαῦται ἐκείνων αἱ ψυχαί, ὑδέρῳ καὶ φλεγμονῇ κατεχόμεναι. Τοιοῦτον γὰρ ἡ ἀπόνοια· μετὰ γὰρ τὴν τρυφὴν πήρωσις γίνεται· τοιοῦτον γὰρ ἡ πλησμονὴ καὶ ἡ μέθη, χωλοὺς καὶ κυλλοὺς ποιοῦσα. Καὶ ὄψει καὶ τούτους τοιαύτας ἔχοντας ψυχάς, οἷα οὗτοι τὰ σώματα, λαμπράς, κεκοσμημένας. Οἱ γὰρ ἐν εὐχαριστίᾳ ζῶντες, οἱ τῆς αὐταρκείας μηδὲν πλέον ἐπιζητοῦντες, οἱ φιλοσοφοῦντες οὕτως εἰσὶν ἐν πάσῃ φαιδρότητι.

Ἴδωμεν δὲ καὶ ἐνταῦθα κἀκεῖ τὸ τέλος. Ἐκεῖ μὲν ἡδονὴ ἀκόλαστος, γέλως κεχυμένος, μέθη, εὐτραπελία, αἰσχρολογία· ἐπειδὴ γὰρ αὐτοὶ αἰδοῦνται αἰσχρὰ φθέγγεσθαι, διὰ τῶν πορνῶν τοῦτο γίνεται· ἐνταῦθα δὲ φιλανθρωπία, ἡμερότης. Τῷ μὲν οὖν ἐκείνους καλοῦντι παρέστηκε κενοδοξία ὁπλίζουσα αὐτόν· τῷ δὲ ἐνταῦθα φιλανθρωπία καὶ ἡμερότης. Ἐκείνην μὲν γὰρ τὴν τράπεζαν φιλανθρωπία συνίστησι, ταύτην δὲ κενοδοξία καὶ ὠμότης ἐξ ἀδικίας καὶ πλεονεξίας. Κἀκείνη μὲν καταλήγει εἰς ἅπερ εἶπον, εἰς ἀπόνοιαν, εἰς ἔκστασιν, εἰς μανίαν· τοιαύτη γὰρ ἡ τῆς κενοδοξίας βλάστη· αὕτη δὲ εἰς εὐχαριστίαν καὶ δόξαν Θεοῦ. Καὶ ὁ ἔπαινος δὲ ὁ παρὰ ἀνθρώπων ταύτῃ πλείων· ἐκείνῳ μὲν γὰρ καὶ βασκαίνουσι, τοῦτον δὲ ὡς κοινὸν πατέρα πάντες ἔχουσι καὶ οἱ μὴ παθόντες εὖ. Καὶ καθάπερ ἐπὶ τῶν ἠδικημένων καὶ οἱ μηδὲν ἠδικημένοι συναλγοῦσι, καὶ κοινῇ γίνονται πάντες ἐχθροί· οὕτω καὶ ἐπὶ τῶν πασχόντων εὖ καὶ οἱ μὴ παθόντες εὖ, καθάπερ οἱ παθόντες, ἐπαινοῦσι καὶ θαυμάζουσι τὸν πεποιηκότα. Κἀκεῖ μὲν πολὺς ὁ φθόνος, δὲ πολλὴ ἡ κηδεμονία, πολλαὶ παρὰ πάντων εὐχαί. Καὶ ἐνταῦθα μὲν ταῦτα· ἐκεῖ δέ, ὅταν ὁ Χριστὸς παραγένηται, οὗτος μὲν στήσεται μετὰ πολλῆς τῆς παρρησίας, καὶ ἀκούσεται ἐπὶ πάσης τῆς οἰκουμένης, «Πεινῶντά με εἴδες», καὶ ὅσα τοιαῦτα· ἐκεῖνος δὲ τὰ ἐναντία ἀκούσεται, «Πονηρὲ δοῦλε καὶ ὀκνηρέ»· καὶ πάλιν, «Οὐαὶ οἱ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι·

21. Ματθ. 25,35.36
22. Ματθ. 25,26

καλεσμένους, θὰ ἰδῆς ὅτι αὐτοὶ ἐσωτερικὰ εἶναι τέτοιοι, ὅπως ἐκεῖνοι ἐξωτερικά, δηλαδή, τυφλοί, ἀνάπηροι, χωλοί, καὶ ὅπως εἶναι τὰ σώματα ἐκείνων, ἔτσι εἶναι οἱ ψυχὲς αὐτῶν, κατεχόμενες ἀπὸ ὑδρωπικία καὶ πυρετό. Τέτοια λοιπὸν εἶναι ἡ ἀπόγνωσις, γιατὶ μετὰ τὶς ἀπολαύσεις μετατρέπεται σὲ ἀναπηρία. Τέτοιος λοιπὸν εἶναι ὁ κορεσμὸς καὶ ἡ μέθη, ἀφοῦ κάνη χωλοὺς καὶ στραβούς. Καὶ θὰ ἰδῆς καὶ ἐκείνους νὰ ἔχουν τέτοιες ψυχές, ὅπως αὐτοὶ τὰ σώματα, δηλαδή, λαμπρὲς καὶ στολισμένες. Γιατὶ ἐκεῖνοι οἱ ὁποῖοι ζοῦν μὲ εὐγνωμοσύνη, οἱ ὁποῖοι δὲν ἐπιζητοῦν τίποτε περισσότερο ἀπὸ τὴν αὐτάρκεια, οἱ ὁποῖοι φιλοσοφοῦν, ἔτσι εἶναι μὲ κάθε χαρά.

Ἂς ἰδοῦμε ὅμως καὶ στὶς δύο περιπτώσεις τὸ τέλος. Ἐκεῖ ὑπάρχει ἡδονὴ ἀκόλαστος, γέλια πολλά, μέθη, ἀστεῖα, αἰσχρολογία, γιατὶ ἐπειδὴ αὐτοὶ ἐντρέπονται νὰ ὁμιλοῦν αἰσχρά, τοῦτο γίνεται μὲ τὶς πόρνες. Ἐδῶ ὅμως φιλανθρωπία, ἠπιότητα. Σὲ ἐκεῖνον ποὺ καλεῖ αὐτοὺς εἶναι παροῦσα ἡ ματαιοδοξία καὶ τὸν ὁπλίζει, ἐνῶ ἐδῶ ἡ φιλανθρωπία καὶ ἡ ἠπιότητα. Γιατὶ ἐκεῖνο τὸ τραπέζι τὸ συγκροτεῖ ἡ φιλανθρωπία, αὐτὸ ὅμως ἡ ματαιοδοξία καὶ ἡ ὠμότητα ἀπὸ τὴν ἀδικία καὶ τήν πλεονεξία. Καὶ ἐκεῖνο καταλήγει σὲ αὐτὰ ποὺ εἶπα, δηλαδὴ σέ ἀπόγνωση, σὲ ἔκσταση, σὲ τρέλλα, γιατὶ τέτοια γεννᾶ ἡ ματαιοδοξία. Αὐτὸ ὅμως καταλήγει σὲ εὐχαριστία καὶ δόξα τοῦ Θεοῦ. Καὶ ὁ ἔπαινος τῶν ἀνθρώπων σὲ αὐτὸ εἶναι περισσότερος, γιατὶ ἐκεῖνον τὸν φθονοῦν, ἐνῶ αὐτὸν ὅλοι τὸν ἔχουν ὡς κοινὸ Πατέρα, ἀκόμη καὶ ἐκεῖνοι ποὺ δὲν εὐεργετήθηκαν. Καὶ ὅπως ἀκριβῶς στὴν περίπτωσι τῶν ἀδικημένων καὶ ἐκεῖνοι ποὺ δὲν ἔχουν ἀδικηθῆ καθόλου συμπάσχουν καὶ φαίνονται ὅλοι ἀπὸ κοινοῦ ἐχθροί, ἔτσι καὶ στὴν περίπτωσι τῶν εὐεργετηθέντων καὶ ἐκεῖνοι ποὺ δὲν εὐεργετήθηκαν, ὅπως οἱ εὐεργετηθέντες, ἐπαινοῦν καὶ θαυμάζουν αὐτὸν ποὺ ἔχει κάνει τὶς εὐεργεσίες. Καὶ ἐκεῖ ὑπάρχει πολὺς φθόνος, ἐδῶ ὅμως μεγάλη φροντίδα καὶ εὐχαριστίες ἀπὸ ὅλους. Καὶ αὐτὰ συμβαίνουν στὴν παροῦσα ζωή. Στὴν ἄλλη ὅμως, ὅταν θὰ ἔλθη ὁ Χριστός, αὐτὸς θὰ σταθῆ μὲ πολλὴ παρρησία καὶ θὰ ἀκουσθῆ σὲ ὅλη τὴν οἰκουμένη, «Μὲ εἶδες νὰ πεινῶ καὶ μοῦ ἔδωσες νὰ φάγω, γυμνὸ καὶ μὲ ἔντυσες, ξένο καὶ μὲ ἐπεριμάζευσες» καὶ ὅλα τὰ παρόμοια[21]. Ἐκεῖνος ὅμως θὰ ἀκούση τὰ ἀντίθετα, «Πονηρὲ δοῦλε καὶ τεμπέλη»[22]· καὶ πάλι, «Ἀλλοίμονο σὲ σᾶς ποὺ σπαταλᾶτε χρήματα γιὰ τὰ στρώματά σας καὶ κοιμᾶσθε σὲ ἐλεφάντινα κρεββάτια, σὲ σᾶς ποὺ πίνετε το διϋλισμένο ἐκλεκτὸ κρασὶ καὶ ἀλείφεσθε μὲ τὰ καλύτερα μύρα, γιατὶ ἐνομίσατε αὐτὰ ὡς μόνιμα καὶ ὄχι ὡς

ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα».

5. Ταῦτα ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε μεταθεῖναι ὑμῶν τὴν γνώμην, καὶ μηδὲν ὑμᾶς ἀκερδὲς ποιεῖν. Τί οὖν, φησίν, ὅτι καὶ ταῦτα κἀκεῖνα ποιῶ; Πολὺς οὗτος ὁ λόγος παρὰ πᾶσι. Καὶ ποία ἀνάγκη, εἰπέ μοι, ἐξὸν πάντα χρησίμως ποιεῖν, διαιρεῖν, καὶ τὰ μὲν εἰς οὐδὲν δέον, ἀλλὰ καὶ εἰκῆ ἀναλίσκειν, τὰ δὲ χρησίμως; Εἰπέ μοι, εἰ σπείρων τὰ μὲν εἰς πέτραν ἔρριπτες, τὰ δὲ εἰς γῆν ἀρίστην, ἆρα ἂν ἀπέχρησέ σοι τοῦτο, καὶ εἶπες ἄν· τί γὰρ βλάπτει, ἂν τὰ μὲν εἰκῆ, τὰ δὲ εἰς ἀρίστην ῥίψωμεν γῆν; Διὰ τί γὰρ μὴ πάντα εἰς ἀρίστην; διὰ τί τὸ κέρδος ἐλαττοῖς; Κἂν μὲν συνάγειν δέῃ χρήματα, οὐκ ἐρεῖς τοῦτο, ἀλλὰ πάντοθεν συνάγεις, ἐκεῖ δὲ οὐκέτι· κἂν δανείζειν δέῃ, οὐκ ἐρεῖς, διὰ τί τὰ μὲν τοῖς ἀπόροις, τὰ δὲ τοῖς εὐπόροις δώσομεν, ἀλλὰ πάντα ἐκείνοις· ἐνταῦθα δὲ, ἔνθα τοσοῦτον τὸ κέρδος, οὐ λογίζῃ τοῦτο, καὶ παύσῃ ποτὲ τοῦ εἰκῆ δαπανᾶσθαι καὶ μάτην ἀναλίσκειν;

'Αλλ' ἔχει καὶ τοῦτο κέρδος, φησί. Ποῖον εἰπέ μοι; Τὰς φιλίας αὔξει. Οὐδὲν ἀνθρώπων ψυχρότερον ἀπό τούτων φίλων γινομένων, ἀπὸ τῆς τραπέζης καὶ πλησμονῆς· τῶν παρασίτων αἱ φιλίαι ἐντεῦθεν τίκτονται μόνον. Μὴ ὑβρίσῃς πρᾶγμα οὕτω θαυματόν, τὴν ἀγάπην, μηδὲ ταύτην αὐτῆς εἶναι ῥίζαν φῇς· ὥσπερ ἂν εἴ τις δένδρου χρυσὸν καὶ λίθους τιμίους φέροντος τὴν ῥίζαν οὐχὶ τοιαύτην ἔλεγεν εἶναι, ἀλλ' ἀπὸ σηπεδόνος τίκτεσθαι. Τοῦτο καὶ σὺ ποιεῖς· κἂν γὰρ τεχθῇ φιλία ἐντεῦθεν, οὐδὲν αὐτῆς ψυχρότερον γένοιτ' ἄν. 'Αλλ' ἐκεῖναι αἱ τράπεζαι φιλίαν ποιοῦσιν, οὐχὶ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεόν, καὶ ἐπιτεταμένην, ὅταν ἐπιτεταμέναι γίνωνται. Ὁ μὲν γὰρ τὰ μὲν ἐνταῦθα, τὰ δὲ ἐκεῖ καταναλίσκων, κἂν πολλὰ δῷ, οὐδὲν μέγα πεποίηκεν· ὁ δὲ πάντα ἐνταῦθα ἀναλίσκων, κἂν ὀλίγα δεδωκὼς ᾖ, τὸ πᾶν εἰργάσατο. Τὸ γὰρ ζητούμενον οὐχὶ πολλὰ δοῦναι, ἢ ὀλίγα, ἀλλὰ τῆς οἰκείας δυνάμεως μὴ ἔλαττον. 'Εννοῶμεν τὸν τὰ πέντε τάλαντα, καὶ τὸν

23. 'Αμὼς 6,4 – 6
24. Βλ. Ματθ. 25, 14 – 30

παροδικά»[23].

5. Σᾶς ἔχω εἰπῆ αὐτὰ ὄχι χωρὶς λόγο, ἀλλὰ γιὰ νὰ ἀλλάξω τὴ γνώμη σας καὶ νὰ μὴ κάνετε τίποτε τὸ ἀνώφελο. Τί λοιπόν, θὰ εἰπῆ κάποιος, ὅτι καὶ αὐτὰ καὶ ἐκεῖνα κάνω; Πολὺς λόγος γίνεται γι' αὐτὸ ἀπὸ ὅλους. Καὶ ποιὰ ἀνάγκη ὑπάρχει, εἰπέ μου, ἐνῶ εἶναι δυνατὸ νὰ κάνης τὰ πάντα μὲ ὠφέλεια, νὰ τὰ διακρίνης, σὲ ἄλλα ποὺ δὲν χρειάζονται καθόλου, ἀλλὰ καὶ νὰ καταναλώνης στὰ χαμένα, σ' ἄλλα δὲ χρήσιμα; Εἰπέ μου, ἐὰν καθὼς ἔσπερνες ἕνα μέρος τοῦ σπόρου ἔρριπτες στὴν πέτρα καὶ τὸ ἄλλο σὲ χῶμα εὔφορο, ἆρα θὰ σοῦ ἐπαρκοῦσε αὐτὸ καὶ θὰ ἔλεγες· τί λοιπὸν βλάπτει ἂν ρίψωμε ἄλλο σπόρο στὰ χαμένα καὶ ἄλλο σὲ εὔφορο χῶμα; Γιατί λοιπὸν νὰ μή ρίψωμε ὅλο τὸ σπόρο σὲ εὔφορο χῶμα; γιατί περιορίζεις τὸ κέρδος; Καὶ ἂν εἶναι ἀνάγκη νὰ συγκεντρώνης χρήματα, δὲν θὰ τὸ εἰπῆς αὐτό, ἀλλὰ ἀπὸ παντοῦ συγκεντρώνεις, ἐκεῖ ὅμως ὄχι. Καὶ ἂν πρέπει νὰ δανείζης, δὲν θὰ εἰπῆς, γιατί ἄλλα νὰ δώσωμε στοὺς πτωχοὺς καὶ ἄλλα στοὺς πλουσίους, ἀλλὰ ὅλα σὲ ἐκείνους. Ἐδῶ ὅμως, ὅπου τὸ κέρδος εἶναι τόσο μεγάλο, δὲν σκέπτεσαι αὐτὸ καὶ δὲν θὰ σταματήσης ποτὲ τὸ νὰ ἐξοδεύης στὰ χαμένα καὶ νὰ σπαταλᾶς μάταια;

Ἀλλ' ἔχει καὶ αὐτὸ κέρδος, θὰ εἰπῆ κάποιος. Ποιὸ εἶναι αὐτό; εἰπέ μου. Αὐξάνει τὶς φιλίες. Τίποτε δὲν εἶναι ψυχρότερο ἀπὸ τοὺς ἀνθρώπους ποὺ γίνονται φίλοι ἀπὸ αὐτά, ἀπὸ τὸ τραπέζι δηλαδὴ καὶ τὸ χορτασμό. Ἀπὸ ἐδῶ προέρχονται οἱ φιλίες μόνο τῶν παρασίτων. Νὰ μὴ ὑβρίσης τόσο θαυμαστὸ πρᾶγμα, τὴν ἀγάπη, οὔτε νὰ λέγης αὐτὴν τὴ φιλία ὅτι εἶναι ρίζα τῆς ἀγάπης, ὅπως ἐὰν κάποιος ἔλεγε γιὰ ἕνα δένδρο ποὺ καρπίζει χρυσὸ καὶ πολυτίμους λίθους, ὅτι δὲν εἶναι τέτοια ἡ ρίζα, ἀλλὰ ὅτι προέρχονται ἀπὸ τοὺς χυμοὺς αὐτοῦ. Αὐτὸ κάνεις καὶ σύ, γιατὶ καὶ ἂν ἀκόμη προέλθη ἀπὸ ἐκεῖ φιλία, δὲν θὰ ἠμποροῦσε τίποτε νὰ γίνη ψυχρότερο ἀπὸ αὐτήν. Ἐκεῖνα ὅμως τὰ τραπέζια προκαλοῦν φιλία, ὄχι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεὸ καὶ μάλιστα ἰσχυρή, ὅταν παρατείνωνται τὰ τραπέζια. Γιατὶ ἐκεῖνος ποὺ καταναλώνει ἄλλα ἐδῶ καὶ ἄλλα ἐκεῖ, καὶ ἂν ἀκόμη δώση πολλά, δὲν ἔχει πράξει τίποτε μεγάλο. Ἐκεῖνος ὅμως ποὺ καταναλώνει τὰ πάντα ἐδῶ, καὶ ἂν ἀκόμη ἔχη δώσει λίγα, ἔπραξε τὸ πᾶν. Γιατὶ ἐκεῖνο ποὺ ἐπιζητοῦμε δὲν εἶναι νὰ δώσωμε πολλὰ ἢ λίγα, ἀλλὰ νὰ μὴ δώσωμε λιγώτερα ἀπὸ τὶς δυνάμεις μας. Ἂς ἐνθυμούμεθα τὸ δοῦλο μὲ τὰ πέντε τάλαντα καὶ ἐκεῖνον μὲ τὰ δύο[24]. Ἂς ἐνθυμούμεθα τὴ χήρα ποὺ ἔρριψε τὰ δύο

τὰ δύο· ἐννοῶμεν τὴν τοὺς δύο ὀβολοὺς καταβαλοῦσαν· ἐννοῶμεν τὴν χήραν τὴν ἐπὶ τοῦ Ἠλία. Οὐκ εἶπεν ἐκείνη ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα· τί γὰρ βλάπτει, ἂν τὸν μὲν ἕνα ὀβολὸν ἐμαυτῇ κατάσχω, τὸν δὲ ἕνα δῶ; ἀλλ' ὅλον ἔδωκε τὸν βίον· σὺ δὲ ἐν τοσαύτῃ ἀφθονίᾳ ὤν, ἐκείνης φειδωλότερος εἶ.

Μὴ τοίνυν ἀμελῶμεν ἑαυτῶν τῆς σωτηρίας, ἀλλ' ἐπιθώμεθα τῇ ἐλεημοσύνῃ. Οὐδὲν γὰρ ταύτης βέλτιον· καὶ δείξει ὁ μέλλων χρόνος· τέως δὲ καὶ ὁ παρὼν ἔδειξεν. Εἰς δόξαν τοίνυν τοῦ Θεοῦ ζήσωμεν, καὶ τὰ αὐτῷ δοκοῦντα πράττωμεν, ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ τῆς Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

25. Λουκᾶ 21, 1 – 4
26. Βλ. Γ' Βασ. 17, 9 – 16

λεπτά[25]. Ἂς ἐνθυμούμεθα τὴ χήρα ποὺ ἔζησε στὰ χρόνια τοῦ προφήτη Ἠλία[26]. Δὲν εἶπε ἐκείνη ποὺ ἔρριψε τὰ δύο λεπτά, τί λοιπὸν βλάπτει, ἂν κρατήσω τὸ ἕνα λεπτὸ γιὰ τὸν ἑαυτό μου καὶ δώσω τὸ ἄλλο; ἀλλὰ ἐπρόσφερε ὅλη τὴν περιουσία της. Ἐσὺ ὅμως ἂν καὶ ἔχεις τόση μεγάλη ἀφθονία ἀγαθῶν, εἶσαι πιὸ φιλάργυρος ἀπὸ ἐκείνη.

Ἂς μὴ ἀδιαφοροῦμε λοιπὸν γιὰ τὴ σωτηρία μας, ἀλλὰ ἂς τὴν στηρίξωμε στὴν ἐλεημοσύνη. Γιατὶ τίποτε δὲν εἶναι καλύτερο ἀπὸ αὐτήν, καὶ θὰ τὸ ἀποδείξη τὸ μέλλον, μάλιστα δὲ τὸ ἀπέδειξε καὶ τὸ παρόν. Ἂς ζήσωμε λοιπὸν γιὰ τὴ δόξα τοῦ Θεοῦ καὶ ἂς πράττωμε ἐκεῖνα ποὺ εἶναι ἀρεστὰ σὲ αὐτόν, γιὰ νὰ ἀξιωθοῦμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ἐμεῖς νὰ ἐπιτύχωμε μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄

(Κολ. 1,9 – 15)

«Διὰ τοῦτο καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ· περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ».

1. Διὰ τοῦτο, ποῖον; Ἐπειδὴ ἠκούσαμεν τὴν πίστιν ὑμῶν καὶ τὴν ἀγάπην· ἐπειδὴ χρηστὰς ἔχομεν ἐλπίδας, εὐέλπιδές ἐσμεν καὶ περὶ τῶν μελλόντων αἰτεῖν. Καθάπερ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους μάλιστα διεγείρομεν τοὺς ἐγγὺς ὄντας τῆς νίκης· οὕτω δὴ καὶ ὁ Παῦλος τούτους μάλιστα παρακαλεῖ τοὺς τὸ πλέον κατωρθωκότας. «Ἀφ' ἧς ἡμέρας ἠκούσαμεν», φησίν, «οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι». Οὐ μίαν ἡμέραν ὑπερευχόμεθα, οὐδὲ δύο, οὐδὲ τρεῖς. Ἐνταῦθα καὶ τὴν ἀγάπην δείκνυσι, καὶ ἠρέμα αὐτοὺς αἰνίττεται ὡς οὐδέπω πρὸς τὸ τέλος ἐφθακότας· τὸ γάρ, «ἵνα πληρωθῆτε», τοῦτο δηλοῦντος ἦν. Καὶ ὅρα μοι τὴν σύνεσιν τοῦ μακαρίου τούτου· οὐδαμοῦ τοῦ παντὸς αὐτοὺς ἀπεστερῆσθαί φησιν, ἀλλὰ λείπειν αὐτούς. Πανταχοῦ τό, «ἵνα πληρωθῆτε», τοῦτο δηλοῖ. Καὶ πάλιν, «εἰς πᾶσαν ἀρέσκειαν ἐν παντὶ ἔργῳ ἀγαθῷ»· καὶ πάλιν, «ἐν πάσῃ δυνάμει δυναμούμενοι»· καὶ πάλιν, «εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν»· Τὸ γὰρ «πᾶσαν» ἀεὶ προστιθέναι, μαρτυροῦντός ἐστι καί τι τοῖς κατορθοῦσιν, εἰ καὶ μὴ τὸ πᾶν.

Καί, «ἵνα πληρωθῆτε», φησίν, οὐχ ἵνα λάβητε· ἔλαβον γάρ· ἀλλὰ τὸ λεῖπον ἵνα πληρωθῆτε. Οὕτω καὶ ὁ ἔλεγχος ἀνεπαχθὴς ἐγίνετο, καὶ τὸ ἐγκώμιον οὐκ ἠφίει αὐτοὺς καταπεσεῖν καὶ γενέσθαι ὑπτίους, ὁλοσχερὲς γενόμενον. Τί δέ ἐστιν, «ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ;» Διὰ τοῦ Υἱοῦ προσάγεσθαι ἡμᾶς αὐτῷ, οὐκέτι δι' ἀγγέλων. Ὅτι μὲν οὖν δεῖ προσ-

ΟΜΙΛΙΑ Β΄
(Κολ. 1,9–15)

«Γι' αὐτὸ καὶ ἐμεῖς ἀπὸ τὴν ἡμέρα ἐκείνη, ποὺ ἠκούσαμε αὐτά, δὲν παύομε νὰ προσευχώμασθε γιὰ σᾶς, καὶ νὰ ζητοῦμε νὰ σᾶς δώση ἐντελῶς σαφῆ γνῶσι τοῦ θελήματός του μὲ κάθε πνευματικὴ σοφία καὶ σύνεσι· νὰ συμπεριφερθῆτε ὅπως ἀξίζει στὸν Κύριο, ὥστε νὰ ἀρέσετε στὸ καθετί, μὲ κάθε ἀγαθὸ ἔργο παράγοντας καρπὸ καὶ προαγόμενοι στὴν ἐπίγνωσι τοῦ Θεοῦ».

1. Γι' αὐτό, ποιό; Ἐπειδὴ ἠκούσαμε τὴν πίστι καὶ τὴν ἀγάπη σας. Ἐπειδὴ ἔχομε καλὲς ἐλπίδες, εἴμασθε αἰσιόδοξοι καὶ γιὰ τὰ μέλλοντα νὰ ζητοῦμε. Ὅπως ἀκριβῶς στοὺς ἀθλητικοὺς ἀγῶνας πιὸ πολὺ παρακινοῦμε ἐκείνους ποὺ πλησιάζουν στὴ νίκη, ἔτσι λοιπὸν καὶ ὁ Παῦλος προτρέπει ὑπερβολικὰ αὐτοὺς ποὺ ἔχουν κατορθώσει τὸ περισσότερο. «Ἀπὸ τὴν ἡμέρα ποὺ ἠκούσαμε αὐτά, λέγει, δὲν παύομε νὰ προσευχώμασθε γιὰ σᾶς». Δὲν προσευχόμασθε γιὰ σᾶς μία ἡμέρα, οὔτε δύο, οὔτε τρεῖς. Ἐδῶ καὶ τὴν ἀγάπη του δείχνει καὶ μὲ ἤρεμο τρόπο δηλώνει, ὅτι ἀκόμη δὲν ἔχουν φθάσει αὐτοὶ στὴν τελειότητα, γιατὶ τὸ «νὰ γεμίσετε ἐντελῶς», αὐτὴ τὴν ἔννοια ἔχει. Καὶ πρόσεξε τὴ σύνεσι τοῦ μακαρίου Παύλου· πουθενὰ δὲν λέγει ὅτι ἔχουν στερηθῆ αὐτοὶ ἀπὸ τὸ καθετί, ἀλλὰ ὅτι ἔχουν ἔλλειψι. Παντοῦ τὸ «νὰ γεμίσετε ἐντελῶς», αὐτὸ δηλώνει. Καὶ πάλι «ὥστε νά ἀρέσετε στὸ καθετὶ μὲ κάθε ἔργο ἀγαθό»· καὶ πάλι «ἐνισχυόμενοι μὲ κάθε δύναμι», καὶ «σὲ κάθε ὑπομονὴ καὶ μεγαλοκαρδία».

Καὶ «νὰ συμπληρώσετε», λέγει, ὄχι νὰ λάβετε, γιατὶ ἔλαβαν, ἀλλὰ νὰ γεμίσετε ἐκεῖνο ποὺ λείπει. Ἔτσι καὶ ὁ ἔλεγχος δὲν ἦταν ἐνοχλητικὸς καὶ ὁ ἔπαινος δὲν ἄφηνε νὰ χάσουν τὸ θάρρος τους καὶ νὰ ἀπογοητευθοῦν, ἐπειδὴ ἔγινε πλήρης. Τί λοιπὸν σημαίνει, «νὰ συμπληρώσετε τὴν ἐπίγνωσι τοῦ θελήματός του»; Μὲ τὸν Υἱὸ πρέπει νά ὁδηγούμασθε σ' αὐτόν, ὄχι πιὰ μὲ τοὺς ἀγγέλους. Τὸ ὅτι λοιπὸν πρέπει νὰ ὁδηγῆσθε, τὸ ἐγνωρίζατε, ἀπομένει ὅμως νὰ μάθετε αὐτό, γιὰ ποιὸ δηλαδὴ λόγο ἔστειλε τὸν Υἱό του. Γιατί, ἐὰν

ἄγεσθαι, ἔγνωτε, λείπει δὲ ὑμῖν τὸ τοῦτο μαθεῖν, καὶ διὰ τί τὸν Υἱὸν ἔπεμψεν. Εἰ γὰρ δι' ἀγγέλων ἔδει σώζεσθαι, οὐκ ἂν αὐτὸν ἔπεμψεν, οὐκ ἂν ἐξέδωκεν. «Ἐν πάσῃ σοφίᾳ» φησί, «καὶ συνέσει πνευματικῇ». Ἐπειδὴ γὰρ αὐτοὺς οἱ φιλόσοφοι ἠπάτων, βούλομαι ὑμᾶς ἐν πνευματικῇ, φησί, σοφίᾳ εἶναι, μὴ κατὰ τὴν σοφίαν τῶν ἀνθρώπων. Εἰ δὲ ὥστε τὸ θέλημα μαθεῖν πνευματικῆς δεῖ σοφίας, ὥστε τὴν οὐσίαν, τί ἐστιν, εὐχῶν διηνεκῶν. Καὶ δείκνυσιν ἐνταῦθα τοῦτο, ὅτι ἐξ ἐκείνου ὁ Παῦλος εὔχεται, καὶ οὐδέπω ἤνυσε, καὶ οὐκ ἀπέστη· τὸ γάρ, «ἀφ' ἧς ἡμέρας ἠκούσαμεν», τοῦτο δηλοῖ. Κατάγνωσιν δὲ αὐτοῖς φέρει, εἰ ἐξ ἐκείνου καὶ εὐχαῖς βοηθούμενοι μὴ ἀνεκτήσαντο ἑαυτούς.

«Καὶ αἰτούμενοι», φησί, μετὰ πολλῆς τῆς σπουδῆς· τοῦτο γὰρ δείκνυσιν, ὅτι ἔγνωτε, ἀλλὰ δεῖ τι καὶ ἐπιγνῶναι. «Εἰς τὸ περιπατῆσαι ὑμᾶς», φησίν, «ἀξίως τοῦ Κυρίου». Ἐνταῦθα περὶ βίου καὶ τῶν ἔργων φησί· καὶ γὰρ καὶ τοῦτο πανταχοῦ ποιεῖ· ἀεὶ τῇ πίστει συζεύγνυσι τὴν πολιτείαν. «Εἰς πᾶσαν ἀρέσκειαν». Πῶς δέ, «πᾶσαν ἀρέσκειαν;» «Ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ». Ὥσπερ, φησίν, ἀθρόως ὑμῖν ἑαυτὸν ἀπεκάλυψε, καὶ ὥσπερ τηλικαύτην ἐλάβετε γνῶσιν, οὕτω καὶ πολιτείαν ἀξίαν ἐπιδείξασθε τῆς πίστεως· μεγάλης γὰρ αὕτη δεῖται πολιτείας, καὶ πολλῷ μείζονος, ἢ ἡ παλαιά. Ὁ γὰρ τὸν Θεὸν εἰδώς, καὶ τοῦ Θεοῦ δοῦλος εἶναι καταξιωθείς, μᾶλλον δὲ καὶ υἱός, ὅρα ὅσης δεῖται ἀρετῆς.

2. «Ἐν πάσῃ δυνάμει δυναμούμενοι». Ἐνταῦθα περὶ τῶν πειρασμῶν καὶ τῶν διωγμῶν φησιν· εὐχόμεθα ἵνα πληρωθῆτε δυναμούμενοι, ὥστε μὴ ἀκηδιᾶσαι, μηδὲ ἀπογνῶναι· «κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ»· ἀλλ' ἵνα τοιαύτην ἀναλάβητε προθυμίαν, οἵαν πρέπει τῇ ἰσχύι τῆς δόξης αὐτοῦ δοῦναι. «Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν». Ὃ λέγει, τοιοῦτόν ἐστι· συντόμως εὐχόμεθα, φησίν, ὥστε ἐνάρετον ὑμᾶς βίον σχεῖν καὶ τῆς πολιτείας ἄξιον, καὶ στῆναι βεβαίως, δυναμωθέντας ὡς εἰκὸς ἀπὸ Θεοῦ δυναμωθῆναι. Διὰ τοῦτο τέως οὐδέπω ἅπτεται δογμάτων, ἀλλ' ἐν τῷ βίῳ στρέφεται, ἔνθα οὐδὲν εἶχεν ἐγκαλέσαι· καὶ ἐπαινέσας ἐφ' οἷς ἐχρῆν, τότε καθίησιν εἰς κατηγορίαν. Τοῦτο καὶ πανταχοῦ ποιεῖ· ὅταν μέλλῃ τισὶ γράφειν, ἔχων μέν τι ἐγκαλεῖν, ἔχων δὲ καί τι ἐπαινέσαι, πρότερον ἐπαινεῖ, καὶ τότε καθίησιν εἰς

ἔπρεπε νὰ σώζεσθε μὲ ἀγγέλους, δὲν θὰ ἔστελνε αὐτόν, δὲν θὰ τὸν παρέδιδε στὸ θάνατο. «Μὲ κάθε σοφία», λέγει, «καὶ πνευματικὴ σύνεσι». Ἐπειδὴ δηλαδὴ οἱ φιλόσοφοι ἐξαπατοῦσαν αὐτούς, θέλω νὰ ἔχετε ἐσεῖς τὴν πνευματικὴ σοφία, λέγει, ὄχι τὴ σοφία τῶν ἀνθρώπων. Ἐὰν ὅμως χρειάζεται ἡ πνευματικὴ σοφία γιὰ νὰ μάθωμε τὸ θέλημά του, τότε τὸ τί εἶναι ἡ οὐσία του, χρειάζονται συνεχεῖς προσευχές. Καὶ τὸ δείχνει αὐτὸ ἐδῶ, τὸ ὅτι ἀπὸ ἐκεῖνο ὁ Παῦλος εὔχεται καὶ ποτὲ δὲν τὸ κατόρθωσε καὶ οὔτε ἐσταμάτησε, γιατὶ τὸ «ἀπὸ τὴν ἡμέρα ποὺ ἠκούσαμε», αὐτὸ δηλώνει. Φέρει ὅμως κατάκρισι σ' αὐτούς, ἐὰν δὲν ἐπανωρθώσουν τοὺς ἑαυτούς τους βοηθούμενοι ἀπὸ ἐκεῖνο καὶ μὲ τὶς προσευχές.

«Καὶ νὰ τὸ ζητοῦμε», λέγει, μὲ πολὺ ζῆλο, γιατὶ αὐτὸ ἀποδεικνύει, ὅτι ἔχετε γνῶσι, ἀλλὰ πρέπει νὰ προστεθῇ περισσότερη γνῶσις. «Ὥστε νὰ συμπεριφερθῆτε», λέγει, «ὅπως ἀξίζει στὸν Κύριο». Ἐδῶ ἀναφέρεται στὸν τρόπο ζωῆς καὶ τὰ ἔργα, πράγμα ποὺ κάμνει παντοῦ· συνδέει πάντοτε τὴν πίστι μὲ τὸν τρόπο ζωῆς μας. «Νὰ ἀρέσετε στὸ καθετί». Πῶς ὅμως, «ἀρέσετε στὸ καθετί»; «Μὲ κάθε ἔργο ἀγαθὸ παράγοντας καρπὸ καὶ προχωρώντας στὴν ἐπίγνωσι τοῦ Θεοῦ». Ὅπως, λέγει, σᾶς ἀπεκάλυψε τὸν ἑαυτό του καὶ ὅπως ἐλάβατε τόσο μεγάλη γνῶσι, ἔτσι νὰ ἐπιδείξετε καὶ συμπεριφορὰ ὅπως ἀξίζει στὴν πίστι, γιατὶ αὐτὴ χρειάζεται τρόπο ζωῆς κατὰ πολὺ πιὸ ἀνώτερο ἀπὸ ὅ,τι ἡ παλαιά. Γιατὶ ἐκεῖνος ποὺ ἐγνώρισε τὸν Θεὸ καὶ ἔχει ἀξιωθῆ νὰ εἶναι δοῦλος τοῦ Θεοῦ, μᾶλλον δὲ καὶ υἱός του, πρόσεχε πόση ἀρετὴ χρειάζεται νὰ ἔχῃ.

2. «Ἐνισχυόμενοι μὲ κάθε δύναμι». Ἐδῶ ὁμιλεῖ γιὰ τοὺς πειρασμοὺς καὶ τοὺς διωγμούς. Προσευχόμασθε νὰ γεμίσετε δύναμι, ὥστε νὰ μὴ ἐξαντληθῆτε, οὔτε νὰ χάσετε κάθε ἐλπίδα. «Σύμφωνα μὲ τὴ δύναμι τῆς δόξας του». Πρέπει ὅμως νὰ δείξετε τέτοια προθυμία, τέτοια ποὺ ταιριάζει στὴ δύναμι τῆς μεγαλωσύνης αὐτοῦ. «Σὲ κάθε ὑπομονὴ καὶ μακροθυμία». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· προσευχόμασθε ἐπίμονα, λέγει, ὥστε νὰ ἀποκτήσετε ἐνάρετο βίο καὶ ὅπως ἀξίζει στὸ νέο τρόπο ζωῆς, καὶ νὰ στέκεσθε σταθερά, ἀφοῦ ἐνισχυθῆτε ὅσο εἶναι δυνατὸ νὰ ἐνισχυθῆτε ἀπὸ τὸν Θεό. Γι' αὐτὸ στὴν ἀρχὴ ποτὲ δὲν ὁμιλεῖ γιὰ δόγματα, ἀλλὰ περιστρέφει τὸ λόγο στὸν τρόπο ζωῆς, ὅπου δὲν ἠμποροῦσε νὰ κατηγορήσῃ τίποτε. Καὶ ἀφοῦ ἐπήνεσε γιὰ ἐκεῖνα ποὺ ἔπρεπε, τότε ἔρχεται στὴν κατηγορία. Τὸ ἴδιο κάνει καὶ παντοῦ. Ὅταν θέλῃ νὰ γράψῃ σὲ κάποιους καὶ ἔχῃ γιὰ κάτι νὰ κατηγορήσῃ καὶ γιὰ κάτι νὰ

τά ἐγκλήματα. Οἰκειοῦται γὰρ πρότερον τὸν ἀκροατήν, καὶ τὴν κατηγορίαν ἀπαλλάττει πάσης ὑποψίας, καὶ δείκνυσιν ὅτι αὐτὸς μὲν ἐβούλετο διόλου ἐγκωμιάζειν, ὑπὸ δὲ τῆς ἀνάγκης εἰς τούτους ἐμβιβάζεται τούς λόγους.

Τοῦτο καὶ ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ποιεῖ. Ἐπαινέσας γὰρ αὐτοὺς μυρία ὡς ἀγαπῶντας αὐτόν, καὶ ἀπὸ τοῦ πεπορνευκότος, τότε εἰς κατηγορίαν καθίησιν. Ἐν δὲ τῇ πρὸς Γαλάτας οὐκέτι, ἀλλὰ τουναντίον· μᾶλλον δὲ εἴ τις ἐξετάσειε, κἀκείνη ἐξ ἐπαίνου ἡ κατηγορία. Ἐπειδὴ γὰρ αὐτῶν οὐδὲν εἶχε κατόρθωμα τότε εἰπεῖν, καὶ σφοδρὸν τὸ ἔγκλημα ἦν, καὶ πάντες διεφθάρησαν, καὶ φέρειν ἠδύναντο ἰσχυροὶ ὄντες, ἀπὸ κατηγορίας ἄρχεται λέγων, «Θαυμάζω»· ὥστε καί τοῦτο ἐγκώμιόν ἐστιν. Ὕστερον δὲ αὐτοὺς ἐπαινεῖ, οὐκ ἐπὶ τοῖς παροῦσιν, ἀλλ' ἐπὶ τοῖς παρελθοῦσιν, λέγων, ὅτι «Εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι».

«Καρποφοροῦντες», φησί· τοῦτο περὶ ἔργων· «δυναμούμενοι», περὶ πειρασμῶν. «Εἰς πᾶσαν ὑπομονὴν πρὸς τοὺς ἔξω. Μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, οὓς δυνατὸν καὶ ἀμύνασθαι, ὑπομένει δὲ οὓς οὐ δύναται ἀμύνασθαι. Διὰ τοῦτο ἐπὶ μὲν Θεοῦ οὐδέποτε ὑπομονὴ λέγεται, μακροθυμία δὲ πολλαχοῦ· καθὼς αὐτὸς οὗτος ὁ μακάριός φησι, γράφων ἀλλαχοῦ. «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς;» «Εἰς πᾶσαν». Μὴ νῦν μέν, μετὰ δὲ ταῦτα οὐκέτι. «Ἐν πάσῃ», φησί, «σοφίᾳ καὶ συνέσει πνευματικῇ». Ἄλλως γὰρ οὐκ ἔνι τὸ θέλημα αὐτοῦ ἐπιγνῶναι. Καίτοιγε ᾤοντο τὸ θέλημα αὐτοῦ ἔχειν, ἀλλ' οὐ πνευματικὴ ἦν ἡ σοφία. «Εἰς τὸ περιπατῆσαι ὑμᾶς», φησίν, «ἀξίως τοῦ Κυρίου». Τοῦτο γὰρ ὁδὸς γίνεται τῆς ἀρίστης πολιτείας. Ὁ γὰρ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καταμαθών, καταμανθάνει δέ, ἂν ἴδῃ τὸν Υἱὸν ἐκδεδομένον, μείζονα ἕξει προθυμίαν. Καὶ ἄλλως δὲ οὐ τοῦτο εὐχόμεθα μόνον ἵνα μάθητε, ἀλλ' ἵνα καὶ ἐπὶ τῶν ἔργων ἐπιδείκνυσθε· ὁ γὰρ εἰδὼς χωρὶς τοῦ ποιεῖν, καὶ κολάζεσθαι μέλει.

«Εἰς τὸ περιπατῆσαι ὑμᾶς», φησί· τουτέστιν, ἀεί· οὐχ ἅπαξ,

1. Γαλ. 1,6
2. Γαλ. 4,15
3. Ρωμ. 2,4

ἐπαινέση, πρῶτα ἐπαινεῖ καὶ ὕστερα ἔρχεται στὶς κατηγορίες. Γιατὶ κερδίζει πρῶτα τὴ φιλία τοῦ ἀκροατοῦ καὶ ἀπαλλάσσει ἀπὸ κάθε ὑποψία τὴν κατηγορία, καὶ ἀποδεικνύει ὅτι αὐτὸς ἤθελε νὰ ἐπαινῆ συνεχῶς, ἀπὸ ἀνάγκη ὅμως λέγει σ' αὐτοὺς τὰ λόγια αὐτά.

Αὐτὸ κάνει καὶ στὴν πρώτη πρὸς Κορινθίους ἐπιστολή. Γιατί, ἀφοῦ τοὺς ἐπήνεσε ὅτι ἀγαποῦν πάρα πολὺ αὐτόν, μὲ ἀφορμὴ τὸν αἱμομίκτη, ἔρχεται ὕστερα στὴν κατηγορία. Στὴν πρὸς Γαλάτας ὅμως δὲν κάνει τὸ ἴδιο, ἀλλὰ τὸ ἀντίθετο, μᾶλλον δὲ ἂν κάποιος τὸ ἐξετάση, καὶ ἐκείνη ἡ κατηγορία θὰ ἰδῆ ὅτι προέρχεται ἀπὸ ἔπαινο. Γιατί, ἐπειδὴ δὲν ἠμποροῦσε τότε νὰ ἀναφέρη κανένα κατόρθωμα αὐτῶν καὶ ἦταν μεγάλο τὸ παράπτωμα, καὶ ὅλοι εἶχαν διαφθαρῆ, καὶ ἐπειδὴ ἦσαν ἰσχυροὶ ἠμποροῦσαν νὰ ὑποφέρουν τὴν κατηγορία, ἀρχίζει ἀπὸ τὴν κατηγορία λέγοντας, «Θαυμάζω»[1]· συνεπῶς καὶ αὐτὸ εἶναι ἔπαινος. Ὕστερα ὅμως ἐπαινεῖ αὐτούς, ὄχι γιὰ τὰ παρόντα, ἀλλὰ γιὰ τὰ παρελθόντα, λέγοντας ὅτι, «Ἐὰν ἦταν δυνατό, ἀφοῦ θὰ ἐβγάζατε τὰ μάτια σας, θὰ μοῦ τὰ ἐδίνατε»[2].

«Παράγοντας καρπό», λέγει· αὐτὸ λέγεται γιὰ τὰ ἔργα τους. «Ἐνισχυόμενοι»· αὐτὸ λέγεται γιὰ τοὺς πειρασμούς. «Σὲ κάθε ὑπομονὴ καὶ μεγαλοκαρδία»· μεγαλοκαρδία μεταξύ τους, ὑπομονὴ πρὸς τοὺς ἔξω. Γιατὶ δείχνει κανεὶς μεγαλοκαρδία πρὸς ἐκείνους, τοὺς ὁποίους εἶναι δυνατὸ καὶ νὰ πολεμήση, ὑπομένει δὲ ἐκείνους, τοὺς ὁποίους δὲν μπορεῖ νὰ πολεμήση. Γι' αὐτὸ στὴν περίπτωση τοῦ Θεοῦ ποτὲ δὲν γίνεται λόγος γιὰ ὑπομονή, ἀλλὰ παντοῦ γίνεται λόγος γιὰ μεγαλοκαρδία, ὅπως ὁ ἴδιος ὁ μακάριος Παῦλος λέγει, γράφοντας σὲ ἄλλους· «Ἢ περιφρονεῖς τὴ μεγάλη ἀγαθότητά του, τὴν ἀνεκτικότητα καὶ τὴ μεγαλοκαρδία του;»[3]. «Σὲ κάθε». Ὄχι τώρα ναί, καὶ ὕστερα ὄχι πιά. «Μὲ κάθε», λέγει, «σοφία καὶ πνευματικὴ σύνεσι». Γιατὶ διαφορετικὰ δὲν εἶναι δυνατὸ νὰ γνωρίσουν καλὰ τὸ θέλημά του. Ἂν καὶ βέβαια ἐνόμιζαν ὅτι ἐγνώριζαν τὸ θέλημά του, ἡ σοφία ὅμως δὲν ἦταν πνευματική. «Ὥστε ἡ συμπεριφορά σας», λέγει, «νὰ εἶναι ὅπως ἀξίζει στὸν Κύριο». Διότι αὐτὸ γίνεται ὁδηγὸς τοῦ ἀρίστου τρόπου ζωῆς. Γιατὶ ἐκεῖνος ποὺ ἐγνώρισε καλὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ, καὶ τὴν γνωρίζει ἂν ἰδῆ τὸν Υἱὸ νὰ παραδίδεται, θὰ ἀποκτήση πιὸ μεγάλη προθυμία. Ἐξ ἄλλου δὲ ὄχι μόνο αὐτὸ εὐχόμασθε νὰ γνωρίσετε, ἀλλὰ νὰ τὸ δείχνετε καὶ μὲ τὰ ἔργα σας, γιατὶ ἐκεῖνος ποὺ γνωρίζει χωρὶς νὰ πράττη, ἐνδεχομένως καὶ νὰ τιμωρηθῆ ἀκόμη.

«Ὥστε νὰ συμπεριφέρεσθε ἐσεῖς ὀρθά», λέγει· δηλαδή, πάν-

ἀλλὰ διαπαντός. Ὥσπερ τὸ περιπατεῖν ἀναγκαῖον ἡμῖν, οὕτω καὶ τὸ ὀρθῶς βιοῦν. Καὶ ἀεὶ περίπατον τὸ τοιοῦτον καλεῖ, εἰκότως, δεικνὺς ὅτι οὗτος ἡμῖν ὁ βίος ἐστὶν ὁ προκείμενος· ἀλλ' οὐχ ὁ κοσμικὸς τοιοῦτος. Καὶ πολὺ δὲ τὸ ἐγκώμιον. «Περιπατῆσαι ὑμᾶς», φησίν, «ἀξίως τοῦ Κυρίου», καί, «ἐν παντὶ ἔργῳ ἀγαθῷ», ὥστε ἀεὶ ἐπιδιδόναι, καὶ μηδαμοῦ ἵστασθαι· καὶ μεταφορικῶς, «καρποφοροῦντες καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ», ἵνα οὕτω δυναμωθῆτε κατὰ τὴν ἰσχὺν τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν ἦν. «Διὰ τοῦ κράτους αὐτοῦ». Πολλὴ ἡ παραμυθία. Οὐκ εἶπε δύναμιν, ἀλλά, κράτος, ὅπερ μεῖζόν ἐστι. «Διὰ τοῦ κράτους», φησί, «τῆς δόξης αὐτοῦ»· ὅτι πανταχοῦ ἡ δόξα αὐτοῦ κρατεῖ. Ἤδη παρεμυθήσατο τὸν ἐν ὀνείδει ὄντα. Καὶ πάλιν, «περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου». Περὶ τοῦ Υἱοῦ φησι, τὸ πανταχοῦ κρατεῖν αὐτόν, καὶ ἐν οὐρανῷ καὶ ἐν γῇ, ὅτι ἡ δόξα αὐτοῦ πανταχοῦ βασιλεύει. Οὐχ ἁπλῶς ἐνδυναμοῦσθε, ἀλλ' ὡς εἰκὸς τοὺς οὕτως ἰσχυρῷ δεσπότῃ δουλεύοντας. «Ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ». Ἅμα καὶ παράπτεται τῶν τῆς γνώσεως λόγων· τοῦτο γὰρ πεπλανῆσθαί ἐστι, τὸ μὴ εἰδέναι Θεόν, ὡς δεῖ. Ἢ ὥστε ἐπιδοῦναι, φησίν, ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. Εἰ γὰρ ὁ τὸν Υἱὸν οὐκ εἰδώς, οὐδὲ τὸν Πατέρα, εἰκότως δεῖ τῆς ἐπιγνώσεως· οὐδὲν γὰρ ὄφελος βίου ταύτης ἄνευ.

3. «Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν», φησί, «μετὰ χαρᾶς εὐχαριστοῦντες τῷ Θεῷ». Εἶτα μέλλων αὐτοὺς παρακαλεῖν, οὐ μέμνηται τῶν μελλόντων αὐτοῖς ἀποκεῖσθαι, ἀλλὰ τοῦτο μὲν ἠνίξατο ἐν τῇ ἀρχῇ εἰπών, «Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς»· ἐνταῦθα δὲ τῶν ἤδη ὑπαρξάντων μέμνηται· ταῦτα γὰρ ἐκείνων αἴτια. Καὶ πολλαχοῦ τοῦτο ποιεῖ. Τὰ γὰρ ἤδη γεγονότα πιστοῦται, καὶ μᾶλλον αἱρεῖ τὸν ἀκροατήν. «Μετὰ χαρᾶς», φησίν, «εὐχαριστοῦντες τῷ Θεῷ». Ἡ ἀκολουθία αὕτη ἐστίν· οὐ παυόμεθα εὐχόμενοι ὑπὲρ ὑμῶν, καὶ εὐχαριστοῦντες ἐπὶ τοῖς προτέροις. Ὁρᾷς πῶς ἑαυτὸν ἐμβιβάζει εἰς τὸν περὶ τοῦ Υἱοῦ λόγον; Εἰ γὰρ εὐχαριστοῦμεν μετὰ χαρᾶς πολλῆς, μεγάλα

4. Κολ. 1,5

τοτε· ὄχι μία φορά, ἀλλὰ παντοτινά. Ὅπως μᾶς χρειάζεται νὰ περιπατοῦμε ὀρθά, ἔτσι μᾶς χρειάζεται καὶ ὁ σωστὸς τρόπος ζωῆς. Καὶ πάντοτε αὐτὸ τὸ ὀνομάζει περίπατο, καὶ πολὺ σωστά, γιὰ νὰ δείξη ὅτι αὐτὴ ἡ ζωὴ ταιριάζει σὲ ἐμᾶς, ἡ κοσμικὴ ὅμως ζωὴ δὲν εἶναι τέτοια. Καὶ εἶναι δὲ μεγάλος ὁ ἔπαινος. «Νὰ συμπεριφέρεσθε ἐσεῖς», λέγει, «ὅπως ἀξίζει στὸν Κύριο», καὶ «σὲ κάθε ἔργο ἀγαθό», ὥστε πάντοτε νὰ προοδεύετε καὶ πουθενὰ νὰ μὴ μένετε στάσιμοι. Καὶ μεταφορικὰ λέγει, «παράγοντας καρπούς, καὶ προοδεύοντας στὴν ἐπίγνωσι τοῦ Θεοῦ», γιὰ νὰ ἐνισχυθῆτε ἔτσι σύμφωνα μὲ τὴ δύναμι τοῦ Θεοῦ, ὅσο εἶναι δυνατὸ στὸν ἄνθρωπο. «Μὲ τὴν ὑπεροχή του». Εἶναι μεγάλη ἡ προτροπή. Δὲν εἶπε δύναμι, ἀλλὰ ὑπεροχή, πρᾶγμα ποὺ εἶναι βέβαια σπουδαιότερο. «Μὲ τὴν ὑπεροχή», λέγει, «τῆς δόξας του», γιατὶ παντοῦ ὑπερισχύει ἡ δόξα του. Ἤδη ἐπαρηγόρησε αὐτὸν ποὺ ζεῖ μέσα σὲ ὄνειδος. Καὶ πάλι, «νὰ συμπεριφερθῆτε ὅπως ἀξίζει στὸν Κύριο». Ὁμιλεῖ γιὰ τὸν Υἱό, διότι παντοῦ ὑπερισχύει αὐτός, καὶ στὸν οὐρανὸ καὶ στὴ γῆ, γιατὶ ἡ δόξα του παντοῦ βασιλεύει. Δὲν λέγει ἁπλῶς, ἐνισχυθῆτε, ἀλλὰ ὅπως ταιριάζει σὲ ἐκείνους ποὺ ὑπηρετοῦν τέτοιον ἰσχυρὸ κύριο. «Στὴν ἐπίγνωσι τοῦ Θεοῦ». Ἤδη λοιπὸν κάμνει λόγο γιὰ τὸν τρόπο τῆς γνώσεως τοῦ Θεοῦ· γιατὶ αὐτὸ ἀποτελεῖ πλάνη, τὸ νὰ μὴ γνωρίζη δηλαδὴ κανένας τὸν Θεό, ὅπως πρέπει. Ἢ γιὰ νὰ προοδεύσουν, λέγει, στὴν ἐπίγνωσι τοῦ Θεοῦ. Ἐὰν λοιπὸν ἐκεῖνος ποὺ δὲν γνωρίζει τὸν Υἱό, οὔτε τὸν Πατέρα γνωρίζη, εἶναι φυσικὸ νὰ χρειάζεται τὴν ἐπίγνωσι, γιατὶ χωρὶς αὐτὴ δὲν ὑπάρχει κανένα ὄφελος στὴ ζωή.

3. «Σὲ κάθε ὑπομονὴ καὶ μακροθυμία», λέγει, «μὲ χαρὰ εὐχαριστώντας τὸν Θεό». Ἔπειτα θέλοντας νὰ τοὺς δώση συμβουλές, δὲν μνημονεύει τὰ μέλλοντα ἀγαθὰ ποὺ ἔχουν φυλαχθῆ γι' αὐτούς, ἀλλὰ αὐτὸ τὸ ὑπαινίχθηκε στὴν ἀρχὴ λέγοντας, «Γιὰ τὴν ἐλπίδα ποὺ ἔχει ἀποταμιευθῆ γιὰ σᾶς στοὺς οὐρανούς»[4]. Ἐδῶ ὅμως ἀναφέρει ἐκεῖνα ποὺ ἤδη ἔγιναν, γιατὶ αὐτὰ εἶναι ἡ αἰτία τῶν μελλοντικῶν. Καὶ σὲ πολλὲς περιπτώσεις κάμνει αὐτό. Γιατὶ αὐτὰ ποὺ ἔγιναν ἐπιβεβαιώνονται καὶ περισσότερο πείθουν τὸν ἀκροατή. «Μὲ χαρά», λέγει, «εὐχαριστώντας τὸν Θεό». Τὸ νόημα τῶν λόγων αὐτῶν εἶναι τὸ ἑξῆς· δὲν παύομε νὰ προσευχώμασθε γιὰ σᾶς καὶ νὰ εὐχαριστοῦμε γιὰ τὰ προηγούμενα. Βλέπεις πῶς εἰσάγει τὸν ἑαυτό του στὸ λόγο γιὰ τὸν Υἱό; Ἐὰν δηλαδὴ εὐχαριστοῦμε μὲ μεγάλη χαρά, εἶναι μεγάλα τὰ λόγια. Γιατὶ εἶναι δυνατὸ νὰ εὐχαριστῆ κανεὶς ἐξ

τὰ λεγόμενα. Ἔστι γὰρ εὐχαριστεῖν διὰ φόβον μόνον, ἔστιν εὐχαριστεῖν καὶ ἐν λύπῃ ὄντα, οἷον ὁ Ἰὼβ ηὐχαρίστει μέν, ὀδυνώμενος δέ· καὶ ἔλεγεν, «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο». Μὴ γάρ τις λεγέτω, ὅτι οὐκ ἐλύπει αὐτὸν τὰ γενόμενα, οὐδὲ ἀθυμίᾳ περιέβαλλε, μηδὲ τὸ μέγα ἐγκώμιον ἀφαιρείσθω τοῦ δικαίου. Ὅταν δὲ τοιαῦτα ᾖ, οὐ διὰ τὸν φόβον, οὐδὲ διὰ δεσποτείαν μόνον, ἀλλὰ καὶ δι' αὐτὴν τὴν τῶν πραγμάτων φύσιν εὐχαριστοῦμεν.

«Τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί». Μέγα ἐφθέγξατο. Τοιαῦτά ἐστι τὰ δεδομένα, φησίν, ὡς μὴ δοῦναι μόνον, ἀλλὰ καὶ ἰσχυροὺς ποιῆσαι πρὸς τὸ λαβεῖν. Τῷ οὖν εἰπεῖν, «τῷ ἱκανώσαντι», πολὺ τὸ βάρος ἔδειξεν. Οἷον ἐάν τις εὐτελὴς καὶ βασιλεὺς γένηται, δυνατὸν αὐτῷ ἐπαρχότητα δοῦναι ᾧ βούλεται· καὶ τοσοῦτον δύναται μόνον, τὸ ἀξίωμα δοῦναι, ἀλλ' οὐχὶ καὶ ἐπιτήδειον ποιῆσαι πρὸς τὴν ἀρχήν· πολλάκις δὲ τὸν τοιοῦτον καὶ καταγέλαστον ἡ τιμὴ ποιεῖ· ἐὰν μέντοι καὶ τὸ ἀξίωμα δῷ, καὶ ἐπιτήδειον ποιήσῃ πρὸς τὴν τιμήν, καὶ ἱκανὸν πρὸς τὴν οἰκονομίαν, τότε τιμὴ τὸ πρᾶγμά ἐστι. Τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι οὐ μόνον ἡμῖν ἔδωκε τὴν τιμήν, ἀλλὰ καὶ ἰσχυροὺς πρὸς τὸ λαβεῖν ἐποίησε. Διπλῆ γὰρ αὕτη τιμὴ τὸ καὶ δοῦναι, καὶ ἐπιτηδείους κατασκευάσαι τῆς δωρεᾶς. Οὐκ εἶπε, δόντι, ἁπλῶς, ἀλλ', «ἱκανώσαντι εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί»· τουτέστι, τῷ κατατάξαντι ἡμᾶς μετὰ τῶν ἁγίων.

Ἀλλ' οὐχ ἁπλῶς εἶπε, κατατάξαντι, ἀλλὰ καὶ τῶν αὐτῶν ἀπολαῦσαι παρεσχηκότι. Ἡ γὰρ καὶ ἐν τῇ αὐτῇ εἶναι πόλει, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν, οὐκ ἔστιν. Ἔστιν ἐν τῷ αὐτῷ κλήρῳ εἶναι, καὶ μὴ τὴν ἔχειν μερίδα· οἷον ἐν τῷ κλήρῳ πάντες ἐσμέν, ἀλλ' οὐ τὴν αὐτὴν ἔχομεν πάντες μερίδα. Ἐνταῦθα δὲ οὐ τοῦτό φησιν, ἀλλὰ καὶ τὴν μερίδα μετὰ τοῦ κλήρου. Διὰ τί κλῆρον καλεῖ; Δεικνὺς ὅτι οὐδεὶς ἀπὸ κατορθωμάτων οἰκείων βασιλείας τυγχάνει· ἀλλ' ὥσπερ ὁ κλῆρος ἐπιτυχίας μᾶλλόν ἐστιν, οὕτω δὴ καὶ ἐνταῦθα.

---

5. Ἰὼβ 1,21

αἰτίας τοῦ φόβου μόνο, εἶναι δυνατὸ νὰ εὐχαριστῆ δὲ καὶ ὅταν εὑρίσκεται σὲ λύπη, ὅπως ὁ Ἰὼβ εὐχαριστοῦσε, ἂν καὶ ἐθλίβετο, καὶ ἔλεγε, «Ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφήρεσε»[5]. Ἂς μὴ λέγη λοιπὸν κανείς, ὅτι δὲν ἔφεραν λύπη σ' αὐτὸν ἐκεῖνα ποὺ ἔγιναν, οὔτε τὸν περιέβαλαν μὲ δυσφορία, οὔτε νὰ ἀφαιρέση τὸ μεγάλο ἔπαινο ἀπὸ τὸν δίκαιο ἄνδρα. Ὅταν ὅμως εἶναι τέτοια τὰ πράγματα, εὐχαριστοῦμε ὄχι ἐξ αἰτίας τοῦ φόβου, οὔτε ἐξ αἰτίας τῆς ἐξουσίας μόνο, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς ἴδιας τῆς φύσεως τῶν πραγμάτων.

«Ὁ ὁποῖος μᾶς κατέστησε ἱκανοὺς νὰ λάβωμε στὴ βασιλεία τοῦ φωτὸς τὸ μερίδιο τοῦ κλήρου τῶν ἁγίων». Εἶπε μεγάλο λόγο. Εἶναι τέτοια αὐτὰ ποὺ ἔχουν δοθῆ, λέγει, ὥστε νὰ μὴ δίνωμε μόνο, ἀλλὰ καὶ νὰ μᾶς κάμουν ἱκανοὺς γιὰ νὰ λάβωμε. Μὲ τὸ νὰ εἰπῆ λοιπόν, «ὁ ὁποῖος μᾶς κατέστησε ἱκανούς», ἔδειξε τὴ μεγάλη βαρύτητα τοῦ πράγματος. Παράδειγμα· Ἂν κάποιος ἀσήμαντος γίνη καὶ βασιλεύς, εἶναι δυνατὸ νὰ προσφέρη αὐτὸς τὸ ἀξίωμα τοῦ ἐπάρχου σὲ ὅποιον θέλει· ἀλλὰ τόσο μόνο μπορεῖ, τὸ νὰ δώση δηλαδὴ τὸ ἀξίωμα, ἀλλὰ ὄχι καὶ νὰ καταστήση αὐτὸν κατάλληλο γιὰ τὸ ἀξίωμα· πολλὲς φορὲς ὅμως ἡ τιμὴ κάνει αὐτὸν καὶ καταγέλαστο· ἐὰν λοιπὸν καὶ τὸ ἀξίωμα δώση, καὶ τὸν καταστήση κατάλληλο γιὰ τὴν τιμὴ καὶ ἱκανὸ γιὰ τὴ διοίκησι, τότε εἶναι πραγματικὴ ἡ τιμή. Αὐτὸ λοιπὸν καὶ ἐδῶ λέγει, ὅτι ὄχι μόνο μᾶς ἔδωσε τὴν τιμή, ἀλλὰ καὶ ἱκανοὺς μᾶς κατέστησε γιὰ νὰ τὴ λάβωμε. Εἶναι πραγματικὰ διπλὴ αὐτὴ ἡ τιμή, καὶ τὸ νὰ μᾶς τὴ δώση καὶ νὰ μᾶς κάνη ἱκανοὺς γιὰ τὴ δωρεά. Δὲν εἶπε, ὁ ὁποῖος ἔδωσε, ἁπλῶς, ἀλλὰ «ὁ ὁποῖος μᾶς κατέστησε ἱκανοὺς νὰ λάβωμε στὴ βασιλεία τοῦ φωτὸς τὸ μερίδιο τοῦ κλήρου τῶν ἁγίων», δηλαδή, ὁ ὁποῖος μᾶς κατέταξε ἀνάμεσα στοὺς ἁγίους.

Ἀλλὰ δὲν εἶπε ἁπλῶς, ὁ ὁποῖος μᾶς κατέταξε, ἀλλὰ καὶ ὁ ὁποῖος μᾶς παραχώρησε τὴ δυνατότητα ν' ἀπολαύσωμε αὐτὰ τὰ ἀγαθά. Γιατὶ ἡ μερίδα εἶναι ἐκεῖνο ποὺ παίρνει ὁ καθένας. Εἶναι βέβαια δυνατὸ νὰ εὑρισκώμασθε στὴν ἴδια πόλι, καὶ νὰ μὴ ἀπολαμβάνωμε τὰ ἴδια, δὲν εἶναι ὅμως δυνατὸ νὰ ἔχωμε τὴν ἴδια μερίδα, καὶ νὰ μὴ ἀπολαμβάνωμε τὰ ἴδια. Εἶναι δυνατὸ νὰ βρισκώμασθε στὸν ἴδιο κλῆρο, καὶ νὰ μὴ ἔχωμε ὅλοι τὴν ἴδια μερίδα· ὅπως ὅλοι εἴμασθε στὸν κλῆρο, ἀλλὰ δὲν ἔχομε ὅλοι τὴν ἴδια μερίδα. Ἐδῶ ὅμως δὲν ἐννοεῖ αὐτό, ἀλλὰ καὶ τὴν μερίδα μαζὶ μὲ τὸν κλῆρο. Γιατὶ τὸ ὀνομάζει κλῆρο; Γιὰ νὰ δείξη ὅτι κανένας δὲν κερδίζει τὴ βασιλεία ἀπὸ τὰ κατορθώματά του, ἀλλὰ ὅπως ὁ κλῆρος εἶναι ἀπόδειξις

Οὐδεὶς γὰρ τοιαύτην ἐπιδείκνυται πολιτείαν ὥστε βασιλείας ἀξιωθῆναι, ἀλλὰ τῆς αὐτοῦ δωρεᾶς ἐστι τὸ πᾶν. Διὰ τοῦτό φησιν, «Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν». «Εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί»· καὶ τῷ μέλλοντι λέγει, καὶ τῷ παρόντι· τουτέστι, τῇ γνώσει. Δοκεῖ δέ μοι καὶ περὶ τῶν παρόντων, καὶ περὶ τῶν μελλόντων ὁμοῦ λέγειν.

4. Εἶτα δείκνυσιν ὧν ἠξιώθημεν. Οὐ γὰρ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι βασιλείας ἀξιούμεθα, ἀλλὰ καὶ τίνες ὄντες, δεῖ προστιθέναι· οὐ γάρ ἐστιν ἴσον. Ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ, λέγων· «Μόλις γάρ τις ὑπὲρ τοῦ ἀδίκου ἀποθανεῖται· ὑπὲρ δὲ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν». «Ὃς ἐρρύσατο ἡμᾶς», φησίν, «ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους». Αὐτοῦ τὸ πᾶν ἐστι, καὶ ταῦτα δοῦναι κἀκεῖνα· οὐδαμοῦ γὰρ ἡμῶν κατόρθωμα. «Ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους», φησί· τουτέστι, τῆς πλάνης, τοῦ διαβόλου τῆς τυραννίδος. Οὐκ εἶπε, «σκότους», ἀλλ', «ἐξουσίας»· πολλὴν γὰρ ἡμῶν εἶχε τὴν ἐξουσίαν, καὶ ἐκράτει ἡμῶν. Χαλεπὸν μὲν γὰρ καὶ τὸ ἁπλῶς εἶναι ὑπὸ τῷ διαβόλῳ· τὸ δὲ καὶ μετ' ἐξουσίας, τοῦτο χαλεπώτερον. «Καὶ μετέστησε», φησίν, «εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ». Οὐκ ἄρα εἰς τὴν ἀπαλλαγὴν τοῦ σκότους μόνον ἔδειξεν αὐτοῦ τὴν φιλανθρωπίαν. Μέγα μὲν οὖν καὶ τὸ τοῦ σκότους ἀπαλλάξαι· τὸ δὲ καὶ εἰς βασιλείαν εἰσαγαγεῖν, πολλῷ μεῖζον. Ὅρα οὖν πῶς πολύπλοκον γίνεται τὸ δῶρον, ὅτι ἐν τῷ πυθμένι κειμένους ἀπήλλαξεν ἡμᾶς· δεύτερον, ὅτι οὐκ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ μετέθηκεν εἰς βασιλείαν.

«Ὃς ἐρρύσατο ἡμᾶς». Οὐκ εἶπεν, ἐξέβαλεν, ἀλλ', «ἐρρύσατο», τὴν πολλὴν ταλαιπωρίαν δεικνὺς ἡμῶν, καὶ ἐκείνων τὴν αἰχμαλωσίαν. Εἶτα καὶ τὸ εὔκολον τῆς τοῦ Θεοῦ δυνάμεως· «καὶ μετέστησε», φησίν· ὥσπερ ἂν εἴ τις στρατιώτην ἀπὸ τόπου εἰς τόπον μεταγάγοι. Καὶ οὐκ εἶπε, μετήγαγεν, οὐδὲ μετέθηκε· τὸ μὲν γὰρ ὅλον τοῦ μεταθέντος ἦν, οὐ τοῦ μετελθόντος· ἀλλά, «μετέστησεν», εἶπεν, ὥστε καὶ ἡμῶν καὶ αὐτοῦ ἐστιν. «Εἰς τὴν

6. Λουκᾶ 17,10
7. Ρωμ. 5,7

ἐπιτυχίας μᾶλλον, ἔτσι λοιπὸν καὶ ἐδῶ. Γιατὶ κανένας δὲν ἐπιδεικνύει τέτοια συμπεριφορά, ὥστε νὰ κριθῆ ἄξιος τῆς βασιλείας, ἀλλὰ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴ δωρεά του. Γι' αὐτὸ λέγει, «Ὅταν κάμετε ὅλα, λέγετε ὅτι εἴμασθε δοῦλοι ἄχρηστοι, γιατὶ ἐκεῖνα ποὺ εἴχαμε χρέος νὰ κάνωμε, ἐκεῖνα ἔχομε κάνει»[6]. «Στὴ μερίδα τοῦ κλήρου τῶν ἁγίων στὴ βασιλεία τοῦ φωτός». Καὶ στὸ μέλλον λέγει, καὶ στὸ παρόν, δηλαδή, στὴ γνῶσι. Μοῦ φαίνεται ὅτι ἐννοεῖ μαζὶ καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα.

4. Στὴ συνέχεια παρουσιάζει αὐτὰ ποὺ ἀξιωθήκαμε. Γιατὶ δὲν εἶναι μόνο αὐτὸ τὸ θαυμαστό, ὅτι δηλαδὴ θεωρούμασθε ἄξιοι τῆς βασιλείας, ἀλλὰ πρέπει νὰ προσθέσωμε, καὶ ποιοὶ εἴμαστε, γιατὶ δὲν εἶναι τὸ ἴδιο. Αὐτὸ κάνει καὶ στὴν πρὸς Ρωμαίους ἐπιστολή, λέγοντας, «Γιατὶ πολὺ δύσκολα θὰ πεθάνη κανεὶς γιὰ τὸν ἄδικο, γιὰ τὸν ἐνάρετο ὅμως ἴσως καὶ τολμήση κανεὶς νὰ πεθάνη»[7]. «Ὁ ὁποῖος μᾶς ἔσωσε», λέγει, «ἀπὸ τὴν ἐξουσία τοῦ σκότους». Τὰ πάντα εἶναι ἰδικά του, καὶ αὐτὰ μᾶς τὰ δίνει καὶ ἐκεῖνα, γιατὶ πουθενὰ δὲν εἶναι ἰδικό μας τὸ κατόρθωμα. «Ἀπὸ τὴν ἐξουσία τοῦ σκότους», λέγει· δηλαδή, τῆς πλάνης, τῆς τυραννίας τοῦ διαβόλου. Δὲν εἶπε ἁπλῶς, τοῦ σκότους, ἀλλὰ «τὴν ἐξουσία τοῦ σκότους», γιατὶ εἶχε ἐπάνω μας μεγάλη ἐξουσία· καὶ μᾶς ἐξουσίαζε. Εἶναι βέβαια φοβερὸ τὸ νὰ εἶναι κανεὶς καὶ ἁπλῶς κάτω ἀπὸ τὸ διάβολο, τὸ νὰ εἶναι ὅμως καὶ κάτω ἀπὸ τὴν ἐξουσία του αὐτὸ εἶναι φοβερώτερο. «Καὶ μᾶς μετέφερε», λέγει, «στὴ βασιλεία τοῦ ἀγαπημένου του Υἱοῦ». Συνεπῶς δὲν ἔδειξε τὴ φιλανθρωπία του μόνο στὴν ἀπαλλαγὴ τοῦ σκότους. Εἶναι βέβαια μεγάλο δῶρο καὶ τὸ ὅτι μᾶς ἀπήλαξε ἀπὸ τὸ σκότος τοῦ διαβόλου, τὸ ὅτι ὅμως μᾶς ὡδήγησε καὶ στὴ βασιλεία του, εἶναι πολὺ μεγαλύτερο. Πρόσεξε λοιπὸν πῶς γίνεται πολυσύνθετο τὸ δῶρο, γιατί, ἐνῶ εὑρισκόμασθε στὸν πυθμένα, μᾶς ἐλύτρωσε· δεύτερο, γιατὶ ὄχι μόνο μᾶς ἐλύτρωσε, ἀλλὰ καὶ μᾶς μετέφερε στὴ βασιλεία.

«Ὁ ὁποῖος μᾶς ἔσωσε». Δὲν εἶπε, ἔβγαλε, ἀλλά, «ἔσωσε», γιὰ νὰ δείξη τὴ μεγάλη μας ταλαιπωρία καὶ τὴν αἰχμαλωσία ἐκείνων. Στὴ συνέχεια δείχνει καὶ τὴν εὐκολία τῆς δυνάμεως τοῦ Θεοῦ· «καὶ μᾶς μετετόπισε», λέγει· ὅπως ἀκριβῶς ἐὰν κανεὶς θελήση νὰ μεταφέρη ἕνα στρατιώτη ἀπὸ τόπο σὲ τόπο. Καὶ δὲν εἶπε, μετέφερε, οὔτε μετέθεσε, γιατὶ τὸ κατόρθωμα ἦταν ἐκείνου ποὺ μετέθεσε, ὄχι ἐκείνου ποὺ μετέβαινε σὲ ἄλλο τόπο, ἀλλὰ «μᾶς μετακίνησε», εἶπε, ὥστε αὐτὸ νὰ ὀφείλεται καὶ σ' ἐμᾶς καὶ σὲ αὐτόν. «Στὴ βασι-

βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ». Οὐχ ἁπλῶς εἶπε, βασιλείαν οὐρανῶν, ἀλλὰ σεμνότερον εἰργάσατο τὸν λόγον, βασιλείαν Υἱοῦ εἰπών· τούτου γὰρ οὐδὲν μεῖζον ἐγκώμιον· ὃ καὶ ἀλλαχοῦ φησιν· «Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν». Τῶν αὐτῶν ἠξίωσεν ἡμᾶς τῷ Υἱῷ καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἐπίτασις, τῷ ἀγαπητῷ. Τοὺς ἐχθρούς, τοὺς ἐσκοτισμένους, ἀθρόον που αὐτοὺς μετέστησεν, ἔνθα ὁ Υἱός, εἰς τὴν αὐτὴν ἐκείνῳ τιμήν. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνῳ, ἵνα δείξῃ μέγα τὸ δῶρον· οὐκ ἠρκέσθη τῷ εἰπεῖν, βασιλείαν, ἀλλὰ καὶ τοῦ Υἱοῦ προσέθηκε· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τοῦ ἀγαπητοῦ· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τὸ τῆς φύσεως ἔντιμον. Τί γάρ φησιν; «Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου». Ἀλλ' οὐκ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ἀλλὰ παρενέβαλε τὴν εὐεργεσίαν τὴν εἰς ἡμᾶς.

Ἵνα γὰρ μὴ ἀκούων, ὅτι τὸ πᾶν τοῦ Πατρὸς ἦν, νομίσῃς τὸν Υἱὸν ἐκτὸς εἶναι, δίδωσι τὸ πᾶν τῷ Υἱῷ, καὶ τὸ πᾶν τῷ Πατρί. Ἐκεῖνος μὲν γὰρ μετέθηκεν, ἀλλ' οὗτος τὴν αἰτίαν παρέσχε. Τί γάρ φησιν; «Ὅς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους». Ταὐτὸν δέ ἐστιν, «Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων». Εἰ γὰρ μὴ ἀφείθημεν τῶν ἁμαρτημάτων, οὐκ ἂν μετέστημεν. Ἰδοὺ πάλιν ἐνταῦθα τό, «ἐν ᾧ». Καὶ οὐκ εἶπε λύτρωσιν, ἀλλ', «ἀπολύτρωσιν», ὥστε μηδὲ ἐκπεσεῖν λοιπόν, μηδὲ γενέσθαι θνητούς. «Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως». Εἰς ζήτημα ἐμπίπτομεν αἱρετικόν· διὸ σήμερον ἀναβαλλομένους αὔριον τοῦτο προθεῖναι δεῖ, ἀκμαζούσαις ἡμῶν ταῖς ἀκοαῖς προσβάλλοντας. Εἰ δὲ δεῖ τι πλέον εἰπεῖν, μεῖζον τοῦ Υἱοῦ ἔργον. Πῶς; Ἐκεῖνο μὲν γὰρ ἀδύνατον γίνεται, τὸ ἐν τοῖς ἁμαρτήμασι μένουσι δοῦναι βασιλείαν, τοῦτο δὲ εὐκολώτερον· ὥστε τῇ δωρεᾷ ᾠδοποίησε. Τί λέγεις; Τῶν ἁμαρτημάτων σε αὐτὸς ἀφῆκεν; οὐκοῦν καὶ αὐτὸς προσήγαγεν. Ἤδη προκατεβάλετο τοῦ δόγματος τὴν ῥίζαν.

5. Τέως δὲ ἐκεῖνο εἰπόντας καταπαῦσαι τὸν λόγον ἀνάγκη. Ποῖον δὴ τοῦτο; Ὅτι τοσαύτης ἀπολαύσαντες εὐεργεσίας ἀεὶ ταύτης μεμνῆσθαι ὀφείλομεν, καὶ στρέφειν διαπαντὸς ἐν ἑαυ-

8. Β' Τιμ. 2,12

λεία τοῦ ἀγαπημένου του Υἱοῦ». Δὲν εἶπε ἁπλῶς, βασιλεία τῶν οὐρανῶν, ἀλλὰ ἔκαμε πιὸ ἐπιβλητικὸ τὸ λόγο, μὲ τὸ νὰ εἰπῆ στὴ βασιλεία τοῦ Υἱοῦ του». Γιατὶ κανένας ἔπαινος δὲν εἶναι μεγαλύτερος ἀπ' αὐτόν, πρᾶγμα ποὺ λέγει καὶ ἀλλοῦ, «Ἐὰν κάνωμε ὑπομονή, τότε καὶ θὰ βασιλεύσωμε μαζὶ μ' αὐτόν»[8]. Μᾶς ἔκρινε ἀξίους γιὰ τὰ ἴδια ἀγαθὰ μὲ τὸν Υἱό του, καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ἡ ἔμφασις, «τὸν ἀγαπημένο». Τοὺς ἐχθρούς του, ἐκείνους ποὺ ἐζοῦσαν μέσα στὸ σκότος, τοὺς μετέφερε διὰ μιᾶς ἐκεῖ, ὅπου εἶναι ὁ Υἱός του, στὴν αὐτὴ μὲ ἐκεῖνον τιμή. Καὶ δὲν ἀρκέσθηκε μόνο σὲ αὐτό, γιὰ νὰ δείξῃ μεγάλο τὸ δῶρο. Δὲν ἀρκέσθηκε στὸ νὰ εἰπῆ, βασιλεία, ἀλλὰ ἐπρόσθεσε καὶ τοῦ Υἱοῦ, καὶ ὄχι μόνο σὲ αὐτό, ἀλλὰ καὶ «τοῦ ἀγαπημένου» ἐπρόσθεσε. Καὶ ὄχι μόνο σὲ αὐτό, ἀλλὰ καὶ τὴ δόξα τῆς φύσεως ἐπρόσθεσε. Τί λοιπὸν λέγει; «Ὁ ὁποῖος εἶναι εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου». Ὅμως δὲν εἶπε ἀμέσως αὐτό, ἀλλὰ ἀνέφερε στὸ μεταξὺ τὴν εὐεργεσία ποὺ ἔκαμε σὲ μᾶς.

Γιὰ νὰ μὴ νομίσῃς λοιπόν, ὅταν ἀκούῃς ὅτι τὰ πάντα εἶναι τοῦ Πατέρα, ὅτι ὁ Υἱὸς δὲν συμμετέχει σὲ αὐτά, ἀποδίδει τὰ πάντα στὸν Υἱὸ καὶ τὰ πάντα στὸν Πατέρα. Γιατὶ ἐκεῖνος μᾶς μετέφερε, αὐτὸς ὅμως ἦταν ἡ αἰτία. Τί λοιπὸν λέγει; «Ὁ ὁποῖος μᾶς ἔσωσε ἀπὸ τὴν ἐξουσία τοῦ σκότους». Ἔχει τὴν αὐτὴν ἔννοια μὲ τό, «Μὲ τὴν βοήθεια τοῦ ὁποίου ἐλάβαμε τὴν ἀπολύτρωσι, δηλαδή, τὴν συγχώρησι τῶν ἁμαρτιῶν μας». Γιατὶ ἐὰν δὲν θὰ ἐσυγχωροῦντο οἱ ἁμαρτίες μας, δὲν θὰ μᾶς μετέφερε. Νὰ πάλι ἐδῶ τὸ «ἐν ᾧ». Καὶ δὲν εἶπε λύτρωσι, ἀλλά, «ἀπολύτρωσι», ὥστε οὔτε νὰ πέσωμε στὸ μέλλον, οὔτε νὰ γίνωμε θνητοί. «Ὁ ὁποῖος εἶναι εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος ὅλης τῆς φύσεως». Εἰσερχόμασθε σὲ ζήτημα αἱρετικό. Γι' αὐτό, ἀφοῦ σήμερα τὸ ἀναβάλλωμε, αὔριο θὰ πρέπει νὰ ἐξετάσωμε αὐτό, ὁπότε θὰ ὁμιλήσωμε στὰ γεμᾶτα προσοχὴ αὐτιά σας. Ἐὰν ὅμως πρέπει κάτι περισσότερο νὰ εἰποῦμε, εἶναι μεγαλύτερο τὸ ἔργο τοῦ Υἱοῦ. Πῶς; Γιατὶ ἐκεῖνο γίνεται ἀδύνατο, τὸ νὰ δώσῃ τὴ βασιλεία σὲ ἐκείνους ποὺ παραμένουν στὶς ἁμαρτίες τους, αὐτὸ ὅμως εὐκολώτερο. Συνεπῶς τὸ ἔκαμε εὔκολο μὲ τὴ δωρεά του. Τί λέγεις; Ἐσυγχώρησε αὐτὸς τὶς ἁμαρτίες σου; Συνεπῶς καὶ αὐτὸς σὲ μετέφερε. Ἤδη ἐτοποθετήθηκε τὸ θεμέλιο τοῦ δόγματος.

5. Ἀφοῦ ὅμως προηγουμένως εἰποῦμε ἐκεῖνο, εἶναι ἀνάγκη νὰ σταματήσωμε τὸ λόγο. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ὅτι, ἐπειδὴ ἔχομε ἀπολαύσει τόσο μεγάλη εὐεργεσία, πρέπει νὰ ἐνθυμούμασθε πάν-

τοῖς τὴν τοῦ Θεοῦ δωρεάν, καὶ τίνων ἀπηλλάγημεν, τίνων ἐτύχομεν ἐννοεῖν· καὶ οὕτως ἐσόμεθα εὐχάριστοι, οὕτω τήν ἀγάπην τὴν πρὸς αὐτὸν ἐπιτενοῦμεν. Τί λέγεις, ἄνθρωπε; εἰς βασιλείαν κέκλησαι, εἰς βασιλείαν Υἱοῦ τοῦ Θεοῦ, καὶ χάσμης πληροῦσαι, καὶ κνᾶσαι, καὶ ναρκᾷς; Εἰ γὰρ εἰς μυρίους θανάτους πηδῆσαι ἑκάστης τῆς ἡμέρας ἔδει, οὐ πάντα ἐχρῆν ὑπομεῖναι; Ἀλλ' ὑπὲρ μὲν ἀρχῆς πᾶν ὁτιοῦν ποιεῖς, τῆς δὲ βασιλείας μέλλων κοινωνεῖν τῆς τοῦ μονογενοῦς οὐ καθάλλῃ κατὰ μυρίων ξιφῶν, οὐκ ἐμπηδᾷς εἰς πῦρ; Καὶ οὔπω τοῦτο δεινόν, ἀλλ' ὅτι καὶ μέλλων ἀπιέναι θρηνεῖς, καὶ ἐμφιλοχωρεῖς τοῖς ἐνταῦθα φιλοσώματος ὤν. Τί δὴ τοῦτο; καὶ τὸν θάνατον φρικτὸν πρᾶγμα εἶναι νομίζεις; Ἡ τρυφὴ τούτων αἰτία, ἡ ἄνεσις· ἐπεὶ ὅ γε κατάπικρον βίον ζῶν, καὶ πτερωθῆναι ἕλοιτο ἂν καὶ ἀπαλλαγῆναι ἐντεῦθεν. Νῦν δὲ ταὐτὸν πάσχομεν, οἷον εἰ νεοττοὶ μαλακισθῶσι, διαπαντὸς ἐπὶ τῆς καλιᾶς μένειν ἐθέλοντες. Ἀλλ' ὅσῳπερ ἂν μένωσι, τοσούτῳ ἀσθενέστεροι γίνονται.

Καλιὰ γὰρ ὁ παρὼν βίος ἐστίν, ἀπὸ καρφῶν καὶ πηλοῦ συγκεκολλημένος. Κἂν τὰς μεγάλας μοι δείξῃς οἰκίας, κἂν αὐτὰ τὰ βασίλεια λάμποντα πολλῷ τῷ χρυσῷ καὶ τοῖς λίθοις, οὐδὲν οἰήσομαι διαφέρειν καλιᾶς χελιδόνων· τοῦ γὰρ χειμῶνος ἐπιστάντος, αὐτόματα πάντα πεσεῖται. Χειμῶνα δὲ τὴν ἡμέραν ἐκείνην λέγω, οὐχὶ πᾶσι χειμῶνα. Ἐπεὶ καὶ ὁ Θεὸς νύκτα τε ὁμοῦ καὶ ἡμέραν καλεῖ, τὸ μὲν πρὸς τοὺς ἁμαρτωλούς, τὸ δὲ πρὸς τοὺς δικαίους. Οὕτω καὶ ἐγὼ νῦν χειμῶνα αὐτὴν καλῶ. Ἂν ἐν τῷ θέρει μὴ ἐκτραφῶμεν καλῶς, ὥστε δύνασθαι ἵστασθαι τοῦ χειμῶνος ἐπιστάντος, οὐ λήψονται ἡμᾶς αἱ μητέρες, ἀλλ' ἐάσουσιν ἡμᾶς τῷ λιμῷ διαφθαρῆναι, ἢ τῆς καλιᾶς πεσούσης ἀπολέσθαι. Καθάπερ γὰρ καλιάν, μᾶλλον δὲ καὶ εὐκολώτερον ταύτης, ἅπαντα καθαιρεῖ τότε ὁ Θεός, ἀνασκευάζων καὶ μεταρρυθμίζων ἅπαντα. Οἱ δὲ ἄπτηνες καὶ ἀπαντῆσαι αὐτῷ μὴ δυνάμενοι εἰς τὸν ἀέρα, ἀλλ' οὕτω βαναύσως τραφέντες, ὡς μὴ ἔχειν τὸ πτερὸν κοῦφον,

τοτε αὐτὴν καὶ νὰ σκεπτώμασθε παντοτινὰ μέσα μας τὴ δωρεὰ τοῦ Θεοῦ καὶ νὰ κατανοοῦμε ἀπὸ ποιὰ ἔχομε ἀπαλλαγὴ καὶ ποιὰ ἔχομε ἐπιτύχει. Καὶ ἔτσι θὰ γίνωμε εὐγνώμονες, ἔτσι θὰ αὐξήσωμε τὴν ἀγάπη μας πρὸς αὐτόν. Τί λέγεις, ἄνθρωπε; ἔχεις προσκληθῆ στὴ βασιλεία, στὴ βασιλεία τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ χασμουριέσαι καὶ ξίνεσαι καὶ δείχνεις ἀδιαφορία; Ἐὰν λοιπὸν χρειαζόταν νὰ ὑποστῆς καθημερινὰ ἀμέτρητους θανάτους, δὲν θὰ ἔπρεπε νὰ ὑπομείνης τὰ πάντα; Ἀλλὰ προκειμένου νὰ ἀποκτήσης ἐξουσία κάνεις ὁ,τιδήποτε, ὅταν ὅμως πρόκειται νὰ γίνης μέτοχος τῆς βασιλείας τοῦ Υἱοῦ τοῦ Θεοῦ, δὲν ἀγωνίζεσαι ἐναντίον μυρίων ξιφῶν, δὲν ρίπτεσαι μέσα στὴ φωτιά; Καὶ αὐτὸ βέβαια δὲν εἶναι κακό, ἀλλὰ τὸ ὅτι ὅταν πρόκειται νὰ πεθάνης θρηνεῖς καὶ ἀσχολεῖσαι μὲ τὰ παρόντα ἐπειδὴ ἀγαπᾶς τὸ σῶμα σου. Τί λοιπὸν σημαίνει αὐτό; καὶ τὸ θάνατο τὸν θεωρεῖς φοβερὸ πρᾶγμα; Αἰτία αὐτῶν εἶναι οἱ ἀπολαύσεις καὶ ἡ ἄνεσις, γιατὶ ὁπωσδήποτε ἐκεῖνος ποὺ ζῆ μία θλιβερὴ ζωή, θὰ ἐπροτιμοῦσε νὰ ἀποκτήση πτερὰ καὶ νὰ ἀπαλλαγῆ ἀπὸ τὴ ζωὴ αὐτήν. Τώρα ὅμως παθαίνομε τὸ ἴδιο μὲ τοὺς νεοσσούς, οἱ ὁποῖοι, ἐὰν ἀσθενήσουν, θέλουν παντοτινὰ νὰ μένουν στὴ φωλιά τους. Ἀλλ᾽ ὅσο περισσότερο χρόνο μείνουν, τόσο περισσότερο ἀσθενεῖς γίνονται.

Πραγματικὰ ἡ παροῦσα ζωὴ εἶναι φωλιά, ποὺ εἶναι κατασκευασμένη ἀπὸ καρφιὰ καὶ λάσπη. Εἴτε μοῦ δείξης τὰ μεγάλα σπίτια, εἴτε τὰ ἴδια τὰ ἀνάκτορα ποὺ λάμπουν ἀπὸ τὸ πολὺ χρυσάφι καὶ τοὺς πολυτίμους λίθους, δὲν θὰ νομίσω καθόλου ὅτι διαφέρουν ἀπὸ τὴ φωλιὰ τῶν χελιδονιῶν· γιατὶ μόλις ἔλθη ὁ χειμώνας, ἀμέσως ὅλα θὰ πέσουν. Χειμώνα ὅμως ἐννοῶ τὴν ἡμέρα ἐκείνη, ποὺ δὲν εἶναι χειμώνας γιὰ ὅλους. Ἐπειδὴ καὶ ὁ Θεὸς ὀνομάζει μαζὶ νύκτα καὶ ἡμέρα, ἐννοώντας ἀφ᾽ ἑνὸς μὲν τοὺς ἁμαρτωλούς, ἀφ᾽ ἑτέρου δὲ τοὺς δικαίους. Ἔτσι καὶ ἐγὼ τώρα χειμώνα αὐτὴν ὀνομάζω. Ἐὰν κατὰ τὸ θέρος δὲν τραφοῦμε καλὰ ὥστε νὰ μπορέσωμε νὰ ἀντιμετωπίσωμε τὸν χειμώνα ὅταν ἔλθη, δὲν θὰ μᾶς φροντίσουν οἱ μητέρες, ἀλλὰ θὰ μᾶς ἀφήσουν νὰ καταστραφοῦμε ἀπὸ τὴν πεῖνα ἤ, ἀφοῦ πέσει ἡ φωλιά, νὰ χαθοῦμε. Γιατὶ ὡσὰν ἀκριβῶς τὴ φωλιά, μᾶλλον δὲ πιὸ εὔκολα ἀπὸ αὐτήν, θὰ καταστρέψη τὰ πάντα τότε ὁ Θεός, ξανακτίζοντας καὶ μετασχηματίζοντας τὰ πάντα. Καὶ ἐκεῖνοι ποὺ δὲν ἔχουν φτερὰ καὶ δὲν μποροῦν νὰ συναντήσουν αὐτὸν στὸν ἀέρα, ἀλλὰ ἔχουν τραφῆ τόσο ἄσχημα, ὥστε νὰ μὴ ἔχουν ἐλαφρὰ φτερά, θὰ πάθουν αὐτά, τὰ ὁποῖα εἶναι φυσικὸ νὰ πάθουν αὐτοὶ ποὺ

πείσονται ταῦτα, ἅπερ εἰκὸς τοὺς οὕτω διακειμένους παθεῖν. Ἡ μὲν οὖν τῶν χελιδόνων νεοττιά, ὅταν καταπέσῃ, ταχέως ἀπόλλυται· ἡμεῖς δὲ οὐκ ἀπολλύμεθα, ἀλλὰ κολαζόμεθα διηνεκῶς.

Χειμὼν ἔσται ὁ τότε καιρός, μᾶλλον δὲ χειμῶνος χαλεπώτερος. Οὐ γὰρ χείμαρροι κατασύρονται ὕδατος, ἀλλὰ ποταμοὶ πυρός· οὐ σκότος ἀπὸ νεφῶν γίνεται, ἀλλὰ σκότος ἄλυτον καὶ ἀφεγγές, ὥστε μήτε τὸν οὐρανὸν ἰδεῖν, μήτε τὸν ἀέρα, ἀλλὰ τῶν εἰς γῆν κατωρυγμένων μᾶλλον στενοχωρεῖσθαι. Πολλάκις ταῦτα λέγομεν, ἀλλ' οὐ πείθομέν τινας. Ἀλλ' οὐδὲν θαυμαστόν, εἴγε ἡμεῖς ἄνθρωποι εὐτελεῖς ταῦτα πάσχομεν ὑπὲρ τοιούτων διαλεγόμενοι, ὅπου γε καὶ οἱ προφῆται ἔπασχον ταῦτα, οὐχ ὑπὲρ τοιούτων μόνον πραγμάτων διαλεγόμενοι, ἀλλὰ καὶ ὑπὲρ πολέμου καὶ αἰχμαλωσίας. Καὶ ὁ Σεδεκίας ὑπὸ τοῦ Ἱερεμίου ἠλέγχετο, καὶ οὐκ ᾐσχύνετο. Διὰ τοῦτο ἔλεγον οἱ προφῆται· «Οὐαὶ οἱ λέγοντες, ἐγγισάτω τὸ τάχος ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν».

Μὴ θαυμάζωμεν τοῦτο. Οὐδὲ γὰρ οἱ ἐπὶ τῆς κιβωτοῦ ἐπίστευον, ἀλλ' ἐπίστευσαν ὅτε τῆς πίστεως κέρδος ἦν οὐδέν· οὐδὲ οἱ ἐν Σοδόμοις προσεδόκησαν, ἀλλ' ἐπίστευσαν καὶ αὐτοί, ὅτε οὐδὲν πλέον αὐτοῖς γέγονε. Καὶ τί λέγω τὰ μέλλοντα; τίς ἂν ταῦτα προσεδόκησε τὰ νῦν γινόμενα κατὰ διαφόρους τόπους, τοὺς σεισμούς, τῶν πόλεων τὰς ἀναιρέσεις; Καίτοι γε ταῦτα ἐκείνων πιστότερα, τῆς κιβωτοῦ λέγω. Πόθεν δῆλον; Ὅτι ἐκεῖνοι μὲν οὐκ εἶχον εἰς ἄλλο παράδειγμα ἰδεῖν, οὐδὲ τῶν Γραφῶν ἤκουσαν· ἐνταῦθα δὲ κυρία ὅσα γέγονε, καὶ ἐπὶ τῶν ἐτῶν τῶν ἡμετέρων, καὶ ἐπὶ τῶν προτέρων. Ἀλλὰ πόθεν ἡ ἀπιστία τῶν τοιούτων; Ἀπὸ μαλακῆς ψυχῆς· ἔπινον καὶ ἤσθιον, καὶ διὰ τοῦτο οὐκ ἐπίστευον. Ἃ γὰρ βούλεταί τις, ταῦτα καὶ οἴεται, ταῦτα καὶ προσδοκᾷ· οἱ δὲ ἀντιλέγοντες λῆρός εἰσιν.

6. Ἀλλὰ μὴ πάθωμεν ταὐτόν· οὐ γὰρ κατακλυσμὸς ἔσται λοιπόν, οὐδὲ μέχρι τελευτῆς ἡ κόλασις, ἀλλ' ἀρχὴ τιμωριῶν ὁ θάνατος ἀπιστούντων ὅτι ἔστι κρίσις. Καὶ τίς ἐκεῖθεν ἦλθε, φησί, καὶ ταῦτα ἐφθέγξατο; Εἰ μὲν παίζων ταῦτα λέγεις, οὐδὲ οὕτω

9. *Σεδεκίας*· Ὁ τελευταῖος βασιλεὺς τοῦ Ἰούδα (597 – 586). Ἐβασίλευσε σὲ δύσκολο περίοδο καὶ δὲν ἐστάθηκε ποτὲ στὸ ὕψος τῶν περιστάσεων. Ὁ Ἱερεμίας ἐσυμβούλευε τὸν Σεδεκία χωρὶς ὅμως νὰ ἀκολουθῇ τὶς ὑποδείξεις του. Εἶχε τραγικὸ τέλος. Γιὰ τὰ γεγονότα τῆς βασιλείας του βλ. Δ´ Βασ. κεφ. 24 – 25, Β´ Παρ. κεφ. 36, Ἱερ. κεφ. 27 – 39.

10. Ἡσ. 5,19

ἐφαρμόζουν τέτοιο τρόπο ζωῆς. Ἡ μὲν λοιπὸν φωλιὰ μὲ τοὺς νεοσσοὺς τῶν χελιδονιῶν, ὅταν πέση κάτω, ἀμέσως καταστρέφεται, ἐμεῖς ὅμως δὲν καταστρεφόμασθε, ἀλλὰ τιμωρούμαστε συνεχῶς.

Χειμώνας θὰ εἶναι ἡ ὥρα τότε, μᾶλλον δὲ πιὸ φοβερὴ ἀπὸ τὸ χειμώνα. Γιατὶ δὲν καταστρέφουν χείμαρροι μὲ νερά, ἀλλὰ ποτάμια μὲ φωτιά· δὲν γίνεται σκοτάδι ἀπὸ τὰ σύννεφα, ἀλλὰ σκοτάδι ἀδιαπέραστο καὶ πυκνό, ὥστε οὔτε τὸν οὐρανὸ νὰ ἠμπορῇ νὰ ἰδῇ κανείς, οὔτε τὸν ἀέρα, ἀλλὰ νὰ στενοχωρῆται περισσότερο ἀπὸ ἐκείνους ποὺ ἔχουν ταφῇ στὴ γῆ. Πολλὲς φορὲς τὰ λέμε αὐτά, ἀλλὰ δὲν πείθομε μερικούς. Δὲν εἶναι καθόλου παράξενο, ἂν ἐμεῖς ποὺ εἴμασθε ἀσήμαντοι παθαίνωμε αὐτὰ συζητώντας γι' αὐτά, τὴ στιγμὴ βέβαια ποὺ καὶ οἱ προφῆτες ἐπάθαιναν τὰ ἴδια, ὅταν ὡμιλοῦσαν ὄχι μόνο γιὰ τέτοια πράγματα, ἀλλὰ καὶ γιὰ πόλεμο καὶ αἰχμαλωσία. Καὶ ὁ Σεδεκίας[9] ἠλέγχετο ἀπὸ τὸν Ἱερεμία καὶ δὲν ἐντρέπετο. Γι' αὐτὸ ἔλεγαν οἱ προφῆτες· «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ λέγουν, ἂς σπεύση, ἂς ἐπιταχύνη τὸ ἔργο του ὁ Θεός, γιὰ νὰ ἰδοῦμε, καὶ ἂς ἔλθη τὸ θέλημα τοῦ Ἁγίου τοῦ Ἰσραήλ, γιὰ νὰ μάθωμε αὐτό»[10].

Ἂς μὴ θαυμάζωμε αὐτό. Γιατὶ οὔτε οἱ εὑρισκόμενοι ἐπάνω στὴν κιβωτὸ ἐπίστευαν, ἀλλ' ἐπίστευσαν ὅταν δὲν ὑπῆρχε κανένα κέρδος ἀπὸ τὴν πίστι. Οὔτε οἱ κάτοικοι τῶν Σοδόμων ἐπίστευσαν ἀπὸ τὴν ἀρχή, ἀλλὰ ἐπίστευσαν καὶ αὐτοί, ὅταν πλέον δὲν ὑπῆρχε κανένα κέρδος γι' αὐτούς. Καὶ γιατί ἀναφέρω τὰ μέλλοντα; ποιὸς θὰ ἐπερίμενε αὐτὰ ποὺ γίνονται τώρα στοὺς διαφόρους τόπους, τοὺς σεισμούς, τὶς καταστροφὲς τῶν πόλεων; Ἂν καὶ βέβαια αὐτὰ εἶναι πιὸ πιστευτὰ ἀπὸ ἐκεῖνα, δηλαδὴ ἀπὸ τὴν κιβωτό. Ἀπὸ ποῦ εἶναι φανερό; Ἀπὸ τὸ ὅτι ἐκεῖνοι δὲν εἶχαν νὰ ἰδοῦν σὲ ἄλλο παράδειγμα, οὔτε εἶχαν ἀκούσει τὶς Γραφές, ἐνῶ τώρα ἔχουν συμβῆ πάρα πολλὰ καὶ στὰ ἰδικά μας χρόνια καὶ στὰ προηγούμενα. Ἀλλὰ ποῦ ὀφείλεται ἡ ἀπιστία αὐτῶν; Στὴ νωθρότητά τους· ἔπιναν καὶ ἔτρωγαν, καὶ γι' αὐτὸ δὲν ἐπίστευαν. Γιατὶ αὐτὰ ποὺ ἐπιθυμεῖ κανείς, αὐτὰ καὶ σκέπτεται, αὐτὰ καὶ περιμένει, τὰ ὅσα δὲ λέγουν ὅσοι ἔχουν διαφορετικὴ γνώμη, εἶναι ἀνοησία.

6. Ἂς μὴ πάθωμε ὅμως τὸ ἴδιο· γιατὶ δὲν θὰ συμβῆ ὁ κατακλυσμὸς στὸ ἑξῆς, οὔτε ἡ τιμωρία θὰ εἶναι μέχρι τὸ θάνατο, ἀλλὰ ὁ θάνατος θὰ εἶναι ἡ ἀρχὴ τῶν τιμωριῶν γιὰ ἐκείνους ποὺ δὲν πιστεύουν ὅτι ὑπάρχει κρίσις. Καὶ ποιὸς ἦλθε ἀπὸ ἐκεῖ, λέγει, καὶ εἶπε αὐτά; Ἐὰν τὰ λέγης αὐτὰ ἀστειευόμενος, οὔτε ἔτσι δικαιολογεῖ-

καλῶς· οὐ γὰρ δεῖ ἐν τοῖς τοιούτοις παίζειν· οὐ γὰρ ἐν παικτοῖς, ἀλλ' ἐπικινδύνως παίζομεν· εἰ δὲ ὄντως οὕτως ἔχων, καὶ οὐκ οἴει εἶναί τι μετὰ ταῦτα, πῶς εἶναι φῄς Χριστιανός; οὐδεὶς γάρ μοι τῶν ἔξω λόγος. Διὰ τί λουτρὸν λαμβάνεις; διὰ τί τῆς ἐκκλησίας ἐπιβαίνεις; μὴ γὰρ ἀρχὰς ὑπισχνούμεθα; πᾶσα ἡμῶν ἐλπὶς ἐν τοῖς μέλλουσι. Τί τοίνυν προσέρχῃ, εἰ οὐ πιστεύεις ταῖς Γραφαῖς; Εἰ μὴ πιστεύεις τῷ Χριστῷ, οὐκ ἂν εἴποιμι τὸν τοιοῦτον Χριστιανὸν εἶναι, μὴ γένοιτο, ἀλλὰ καὶ Ἑλλήνων χείρω. Κατὰ τί; Κατὰ τοῦτο, ὅτι τὸν Χριστὸν νομίζων εἶναι Θεόν, οὐ πιστεύεις ὡς Θεῷ. Ἐκείνη μὲν γὰρ ἀκολουθίας ἔχεται ἡ ἀσέβεια· τὸν γὰρ μὴ νομίζοντα εἶναι Θεὸν τὸν Χριστόν, ἀνάγκη μηδὲ πιστεύειν· αὕτη δὲ ἡ ἀσέβεια οὐδὲ ἀκολουθίαν ἔχει, Θεὸν ὁμολογεῖν, καὶ μὴ νομίζειν ἀξιόπιστον εἶναι ὑπὲρ ὧν ἔφη. Τῆς μέθης ταῦτα τὰ ῥήματα, τῆς τρυφῆς, τῆς σπατάλης· «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν». Οὐκ αὔριον, ἀλλ' ὅταν ταῦτα λέγητε, ἤδη τεθνήκατε.

Οὐδὲν οὖν τῶν χοίρων διοίσομεν, οὐδὲ τῶν ὄνων, εἰπέ μοι; Εἰ γὰρ μήτε κρίσις ἔστι, μήτε ἀντίδοσις, μήτε δικαστήριον, τίνος ἕνεκεν τοιούτῳ τετιμήμεθα δώρῳ, τῷ λόγῳ, καὶ πάντα ἔχομεν ὑποτεταγμένα; διὰ τί ἡμεῖς μὲν ἄρχομεν, ἐκεῖνα δὲ ἄρχονται; Ὅρα πῶς πάντοθεν ὁ διάβολος ἐπείγεται πεῖσαι ἡμᾶς ἀγνοῆσαι τὴν δωρεὰν τοῦ Θεοῦ. Τοὺς δούλους ἀναμίγνυσι τοῖς δεσπόταις· καθάπερ τις ἀνδραποδιστὴς καὶ οἰκέτης ἀγνώμων, τὸν ἐλεύθερον εἰς τὴν αὐτὴν βιάζεται τῷ προσκεκρουκότι καταγαγεῖν εὐτέλειαν. Καὶ δοκεῖ μὲν τὴν κρίσιν ἀναιρεῖν, ἀναιρεῖ δὲ τὸ εἶναι Θεόν. Τοιοῦτος γὰρ ἀεὶ ὁ διάβολος· μεθοδείᾳ πάντα, οὐκ ἐξ εὐθείας προβάλλει, ἵνα φυλαττώμεθα. Εἰ κρίσις οὐκ ἔστιν, οὐκ ἔστι δίκαιος ὁ Θεός· κατὰ ἄνθρωπον λέγω· εἰ δίκαιος οὐκ ἔστιν ὁ Θεὸς, οὐδέ Θεός ἐστιν· εἰ Θεὸς οὐκ ἔστιν· ἁπλῶς ἅπαντα φέρεται, οὐδέν ἀρετή, οὐδὲν κακία. Ἀλλ' οὐδὲν τούτων λέγει φανερῶς. Εἶδες τοῦ σατανικοῦ ἐνθυμήματος τὴν διάνοιαν; πῶς ἐξ ἀνθρώπων ἄλογα βούλεται ποιῆσαι, μᾶλλον δὲ θηρία, μᾶλλον δὲ δαίμονας;

Μὴ τοίνυν πειθώμεθα. Ἔστι γὰρ κρίσις, ἄθλιε καὶ ταλαίπωρε.

---

11. Α΄ Κορ. 15,32

σαι· γιατὶ δὲν πρέπει νὰ ἀστειευώμασθε μὲ αὐτά· γιατὶ δὲν εἶναι πράγματα γιὰ ἀστεῖα, ἀλλ' ἀστειευόμασθε ἐπικίνδυνα. Ἐὰν ὅμως τὸ πιστεύῃς πραγματικὰ αὐτὸ καὶ δὲν νομίζῃς ὅτι ὑπάρχει κάτι ὕστερα ἀπὸ τὸ θάνατο πῶς ἰσχυρίζεσαι ὅτι εἶσαι Χριστιανός; γιατὶ νομίζω δὲν ὑπάρχει κανένας ἄλλος λόγος. Γιατί βαπτίζεσαι; γιατί ἔρχεσαι στὴν ἐκκλησία; μήπως δηλαδὴ ὑποσχόμασθε ἀξιώματα; ὅλη μας ἡ ἐλπίδα στηρίζεται στὰ μέλλοντα. Γιατί λοιπὸν προσέρχεσαι, ἀφοῦ δὲν πιστεύῃς στὶς Γραφές; Ἐὰν δὲν πιστεύῃ κανεὶς στὸν Χριστό, δὲν θὰ μποροῦσα νὰ εἰπῶ ὅτι αὐτὸς εἶναι Χριστιανός, μὴ γένοιτο, ἀλλὰ καὶ χειρότερος ἀπὸ τοὺς ἐθνικούς. Ὡς πρὸς τί; Ὡς πρὸς τοῦτο, ὅτι δηλαδή, ἐνῶ θεωρεῖς τὸν Χριστὸ ὅτι εἶναι Θεός, δὲν τὸν πιστεύεις σὰν Θεό. Ἐκείνη λοιπὸν ἡ ἀσέβεια ἔρχεται ὡς ἐπακόλουθο, γιατὶ ἐκεῖνος ποὺ δὲν θεωρεῖ ὅτι εἶναι Θεὸς ὁ Χριστός, κατ' ἀνάγκη, οὔτε καὶ πιστεύει. Αὐτὴ ὅμως ἡ ἀσέβεια οὔτε ἐπακόλουθο ἔχει, νὰ ὁμολογῇ δηλαδὴ κάποιος τὸν Θεὸ καὶ νὰ μὴ τὸν θεωρῇ ἀξιόπιστο γι' αὐτὰ ποὺ εἶπε. Τὰ λόγια αὐτὰ εἶναι λόγια μέθης, τῆς ἀπολαύσεως, τῆς σπατάλης. «Ἂς φᾶμε καὶ ἂς πιοῦμε, γιατὶ αὔριο πεθαίνομε»[11]. Ὄχι αὔριο, ἀλλὰ ὅταν λέγετε αὐτά, ἤδη ἔχετε πεθάνει.

Εἰπέ μου, δὲν θὰ διαφέρωμε λοιπὸν σὲ τίποτε ἀπὸ τοὺς χοίρους, οὔτε ἀπὸ τοὺς ὄνους; Ἐὰν λοιπὸν δὲν ὑπάρχῃ κρίσις, οὔτε ἀνταπόδοσις, οὔτε δικαστήριο, γιὰ ποιὰ αἰτία ἔχομε τιμηθῆ μὲ τέτοιο χάρισμα, δηλαδὴ τὸ λόγο, καὶ ἔχομε τὰ πάντα κάτω ἀπὸ τὴν ἐξουσία μας; γιατί ἐμεῖς τὰ ἐξουσιάζομε καὶ ἐκεῖνα ἐξουσιάζονται; Πρόσεχε πῶς μὲ κάθε τρόπο ὁ διάβολος βιάζεται νὰ μᾶς πείσῃ νὰ ἀγνοήσωμε τὴ δωρεὰ τοῦ Θεοῦ. Ἀναμειγνύει τοὺς δούλους μὲ τοὺς κυρίους· σὰν κάποιος ἔμπορος δούλων καὶ ὑπηρέτης ἀχάριστος, βιάζεται νὰ ἐξευτελίσῃ τὸν ἐλεύθερο ὅπως ἐκεῖνον ποὺ ἔχει ὑποπέσει σὲ δυσαρέσκεια. Καὶ νομίζει ὅτι καταργεῖ τὴν ὕπαρξι τοῦ Θεοῦ. Γιατὶ τέτοιος εἶναι πάντοτε ὁ διάβολος· προβάλλει τὰ πάντα μὲ δόλο, ὄχι κατ' εὐθεῖαν, ὥστε νὰ προφυλασσώμεθα. Ἐὰν δὲν ὑπάρχῃ κρίσις, δὲν εἶναι δίκαιος ὁ Θεός – ὁμιλῶ σὰν ἄνθρωπος –, ἐὰν δὲν ὑπάρχῃ Θεός, τὰ πάντα εἶναι ἁπλᾶ λόγια, τίποτε δὲν εἶναι ἡ ἀρετή, τίποτε ἡ κακία. Τίποτε ὅμως ἀπὸ αὐτὰ δὲν λέγει φανερά. Εἶδες τὴν σκέψι τῆς διαβολικῆς ἐπινοήσεως; πῶς ἀπὸ ἀνθρώπους θέλει νὰ δημιουργήσῃ ἄλογα ζῶα, μᾶλλον δὲ θηρία ἢ μᾶλλον δαίμονες;

Ἂς μὴ πειθώμεθα λοιπόν. Ὑπάρχει πραγματικὰ κρίσις, ἄθλιε

Οἶδα πόθεν ἔρχῃ ἐπὶ τούτους τοὺς λόγους· πολλά σοι ἡμάρτηται, προσκέκρουκας, παρρησίαν οὐκ ἔχεις, οἴει τοῖς σοῖς λόγοις ἀκολουθεῖν καὶ τὴν τῶν πραγμάτων φύσιν. Τέως μὴ ὀδυνήσω, φησί, τὴν ψυχὴν τῇ προσδοκίᾳ τῆς γεέννης· κἂν ᾖ γέεννα, πείσω αὐτὴν ὅτι οὐκ ἔστι· τέως ἐνταῦθα τρυφήσω. Διὰ τί προστιθεῖς ἁμαρτήματα ἁμαρτήμασιν; Ἂν ἁμαρτήσας πιστεύσῃς εἶναι γέενναν, ἀπελεύσῃ τῶν ἁμαρτημάτων μόνον τίνων δίκην· ἂν δὲ καὶ τοῦτο προσθῇς τὸ ἀσέβημα, καὶ τῆς ἀσεβείας καὶ τοῦ λογισμοῦ τούτου δώσεις τὴν ἐσχάτην κόλασιν· καὶ ἡ ἐν βραχεῖ γενομένη σοι παραμυθία ψυχρὰ ἔσται σοι διηνεκοῦς κολάσεως ὑπόθεσις. Ἔστω, ἥμαρτες· τί καὶ τοὺς ἄλλους ἁμαρτάνειν προτρέπεις, λέγων μὴ εἶναι γέενναν; τί ἠπάτας τοὺς ἀφελεστέρους; τί τὰς χεῖρας ἐξέλυες τοῦ λαοῦ; Τό σὸν μέρος, ἅπαντα ἀνατέτραπται· οὔτε οἱ σπουδαῖοι σπουδαιότεροι ἔσονται, ἀλλὰ ῥᾴθυμοι· οὔτε οἱ κακοὶ ἀποστήσονται τῆς κακίας. Μὴ γάρ, ἂν ἑτέρους διαφθείρωμεν, συγγνώμην ἔχομεν τῶν ἁμαρτημάτων; Οὐχ ὁρᾷς τὸν διάβολον πῶς ἐπεχείρησε κατενεγκεῖν τὸν Ἀδάμ; ἆρα τούτῳ συγγνώμη γέγονε; Μείζονος μὲν οὖν κολάσεως ἀφορμή, ἵνα μὴ ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων κολάζηται.

Μὴ νομίζωμεν τοίνυν τὸ ἑτέρους καταστρέφειν εἰς τὴν αὐτὴν ἡμῖν ἀπώλειαν, ἡμερώτερον ἡμῖν τὸ δικαστήριον ἐργάζεσθαι· τοῦτο μὲν οὖν χαλεπώτερον αὐτὸ ποιήσει. Τί ὠθοῦμεν ἑαυτούς, καὶ ἀπόλλυμεν; Σατανικὸν τοῦτο ὅλον ἐστίν. Ἄνθρωπε, ἥμαρτες; φιλάνθρωπον ἔχεις τὸν δεσπότην· παρακάλει, ἱκέτευε, δάκρυε, στέναζε καὶ τοὺς ἄλλους φόβει, καὶ ἀξίου μὴ τοῖς αὐτοῖς περιπεσεῖν. Εἴ τις, εἰπέ μοι, ἐν οἰκίᾳ δοῦλος ὢν τῶν προσκεκρουκότων λέγει πρὸς τὸν ἑαυτοῦ παῖδα, τέκνον, ἐγὼ προσέκρουσα τῷ δεσπότῃ, σὺ σπούδασον ἀρέσαι, ἵνα μὴ τὰ αὐτὰ πάθῃς, οὐχ ἕξει τινὰ συγγνώμην, εἰπέ μοι; οὐκ ἐπικλάσει καὶ κατακάμψει τὸν δεσπότην; Ἂν δὲ ταῦτα ἀφεὶς τὰ ῥήματα, λέγῃ ἐκεῖνα, οἷον, ὅτι τὸ κατ' ἀξίαν ἑκάστῳ οὐκ ἀποδώσει, ὅτι ἁπλῶς πάντα ἀνακέχυται, καὶ τὰ καλὰ καὶ τὰ κακά, ὅτι οὐκ ἔστιν εὐχαριστία ἐν τῷ οἴκῳ

καὶ ταλαίπωρε. Γνωρίζω ἀπὸ ποιὰ αἰτία τὰ λέγεις αὐτά· ἔχεις πολλὲς ἁμαρτίες, ἔχεις ὑποπέσει σὲ πταίσματα, δὲν ἔχεις παρρησία, νομίζεις ὅτι ἀκολουθεῖ τὰ λόγια σου καὶ ἡ φύσις τῶν πραγμάτων. Πρῶτα - πρῶτα ἂς μὴ στενοχωρήσω, λέγει, τὴν ψυχὴ μὲ τὴν ἀναμονὴ τῆς κολάσεως· καὶ ἂν ἀκόμη ὑπάρχη κόλασις, θὰ πείσω αὐτὴν ὅτι δὲν ὑπάρχει· μέχρι τότε ἐδῶ θὰ ζήσω μὲ ἀπολαύσεις. Γιατί προσθέτεις ἁμαρτίες στὶς ἁμαρτίες σου; Ἂν ἁμαρτήσης καὶ πιστεύσης ὅτι ὑπάρχει κόλασις, θὰ ἀπέλθης νὰ τιμωρηθῆς μόνο γιὰ τὶς ἁμαρτίες σου, ἂν ὅμως προσθέσης καὶ αὐτὸ τὸ ἀσέβημα, θὰ τιμωρηθῆς πολὺ φοβερὰ καὶ γιὰ τὴν ἀσέβειά σου καὶ γιὰ τὴ σκέψι σου αὐτή, καὶ ἡ σύντομη γιὰ σὲ παρηγοριά, θὰ γίνη ἡ ἀφορμὴ τῆς παντοτινῆς τιμωρίας σου. Ἔστω, ἔχεις ἁμαρτήσει· γιατί προτρέπεις καὶ τοὺς ἄλλους νὰ ἁμαρτάνουν, λέγοντας ὅτι δὲν ὑπάρχει κόλασις; γιατί ἐξαπατᾶς τοὺς πιὸ ἀφελεῖς; γιατί ἀπελευθερώνεις τὰ χέρια τῶν ἀνθρώπων; Σύμφωνα μὲ τὶς ἀπόψεις σου, τὰ πάντα ἔχουν ἀνατραπῆ· οὔτε οἱ σπουδαῖοι θὰ γίνουν πιὸ σπουδαῖοι, ἀλλὰ ράθυμοι, οὔτε οἱ κακοὶ θά ἀποφύγουν τὴν κακία. Μήπως λοιπόν, ἂν καταστρέψωμε ἄλλους, θὰ ἔχομε συγχώρησι τῶν ἁμαρτιῶν μας; Δὲν βλέπεις τὸν διάβολο πῶς ἐπροσπάθησε νὰ καταστρέψη τὸν Ἀδάμ; ἄραγε ἔχει δοθῆ συγχώρηση σὲ αὐτόν; Ἔχει γίνει πιὸ μεγάλη ἀφορμὴ τιμωρίας, γιὰ νὰ τιμωρῆται ὄχι μόνο γιὰ τὶς δικές του ἁμαρτίες, ἀλλὰ καὶ γιὰ τὶς ἁμαρτίες τῶν ἄλλων.

Ἂς μὴ νομίζωμε λοιπὸν ὅτι τὸ νὰ ὁδηγοῦμε τοὺς ἄλλους στὴν ἴδια μὲ μᾶς καταστροφή, καθιστᾶ αὐτὸ πιὸ ἤπιο γιὰ ἐμᾶς τὸ δικαστήριο· αὐτὸ θὰ τὸ κάνη πιὸ φοβερό. Γιατὶ ὠθοῦμε τοὺς ἑαυτούς μας καὶ τοὺς καταστρέφομε; Αὐτὸ εἶναι ἐξ ὁλοκλήρου σατανικὴ ἐνέργεια. Ἄνθρωπε, ἔχεις ἁμαρτήσει; Ἔχεις τὸν φιλάνθρωπο Κύριο· νὰ παρακαλῆς, νὰ ἱκετεύης, νὰ δακρύζης, νὰ στενάζης, καὶ νὰ φοβερίζης τοὺς ἄλλους καὶ νὰ ἀξιώνης νὰ μὴ πέσουν στὰ ἴδια ἁμαρτήματα. Ἐὰν κάποιος, εἰπέ μου, ὁ ὁποῖος εἶναι σὲ σπίτι δοῦλος καὶ ἀπὸ ἐκείνους ποὺ ὑπέπεσαν στὴ δυσαρέσκεια τοῦ Κυρίου, λέγη στὸ παιδί του, παιδί μου, ἐγὼ ὑπέπεσα στὴ δυσαρέσκεια τοῦ κυρίου, σὺ προσπάθησε νὰ ἀρέσης, γιὰ νὰ μὴ πάθης τὰ ἴδια, εἰπέ μου, δὲν θὰ ἔχη κάποια συγγνώμη; δὲν θὰ λυγίση καὶ δὲν θὰ κάμψη τὸν κύριο; Ἂν ὅμως ἀφήση αὐτὰ τὰ λόγια καὶ λέγη ἐκεῖνα, ὅπως, ὅτι δὲν θὰ ἀποδώση στὸν καθένα αὐτὸ ποὺ τοῦ ἀξίζει, ὅτι ἁπλῶς τὰ πάντα ἀνακατεύει, καὶ τὰ καλὰ καὶ τὰ κακά, ὅτι δὲν ὑπάρχει εὐχάριστο πρᾶγμα στὸ σπίτι αὐτό, ποιὰ γνώμη νομίζεις ὅτι θὰ ἔχη ὁ κύριος γι’

τούτῳ, τίνα νομίζεις τὸν δεσπότην νοῦν ἔχειν περὶ αὐτοῦ; ἆρα οὐχὶ τῶν οἰκείων ἁμαρτημάτων μείζονα δώσει δίκην; Εἰκότως· ἐκεῖ μὲν γὰρ τὸ πάθος ἀπολογήσεται, εἰ καὶ ἀσθενῶς, ἐνταῦθα δὲ οὐδείς. Εἰ μηδένα τοίνυν ἕτερον, τὸν γοῦν πλούσιον μίμησαι τὸν ἐν τῇ γεέννῃ, τὸν λέγοντα, «Πάτερ Ἀβραάμ, πέμψον ἐπὶ τούς συγγενεῖς μου, ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον», ἐπειδὴ αὐτὸς ἀπελθεῖν οὐκ ἠδύνατο, ὥστε μὴ τοῖς αὐτοῖς ἐκείνους περιπεσεῖν. Ἀποστῶμεν τῶν ῥημάτων τούτων τῶν σατανικῶν.

7. Τί οὖν, ὅταν Ἕλληνες ἡμᾶς ἐρωτῶσι, φησίν; οὐκ ἐκείνους βούλει θεραπεῦσαι; Ἀλλ' εἰς ἀπορίαν ἐμβαλὼν τὸν Χριστιανὸν προσχήματι τοῦ τὸν Ἕλληνα θεραπεύειν, κυρῶσαι βούλει τὸ δόγμα τὸ σατανικόν. Ἐπειδὴ γὰρ αὐτὸς μόνῃ τῇ ψυχῇ διαλεγόμενος ὑπὲρ τούτων οὐ πείθεις, ἑτέρους θέλεις παράγειν μάρτυρας. Εἰ δὲ Ἕλληνι χρὴ διαλέγεσθαι, οὐκ ἐντεῦθεν ἡ ἀρχὴ τῆς διαλέξεως, ἀλλ' εἰ Θεὸς ὁ Χριστός, καὶ Θεοῦ παῖς, εἰ δαίμονες οἱ παρ' ἐκείνοις θεοί. Ἐὰν ταῦτα κατασκευασθῇ, πάντα τὰ ἄλλα ἕπεται· πρὶν δὲ τὴν ἀρχὴν θέσθαι, μάταιον περὶ τῆς τελευτῆς διαλέγεσθαι· πρὶν ἢ τὰ πρῶτα στοιχεῖα μαθεῖν, περιττὸν καὶ ἀνόνητον περὶ τὸ τέλος ἔρχεσθαι. Ἀπιστεῖ ὁ Ἕλλην τῇ κρίσει, καὶ αὐτὸς τὸ αὐτό σοι πάσχει· ἐπεὶ ἔχει καὶ αὐτὸς πολλοὺς ὑπὲρ τούτων φιλοσοφήσαντας, εἰ καὶ τὸ σῶμα ἀποσχίσαντες τῆς ψυχῆς τοῦτο εἶπον· ἀλλ' ὅμως δικαστήριον ἐκάθισαν. Καὶ τοσαύτη ἐστὶ τοῦ πράγματος ἡ περιφάνεια, ὡς μηδένα σχεδὸν ἀγνοῆσαι τοῦτο, ἀλλὰ καὶ ποιητάς, καὶ πάντας συμφωνῆσαι ἑαυτοῖς καὶ περὶ δικαστηρίου καὶ περὶ κρίσεως. Ὥστε κἀκεῖνος τοῖς οἰκείοις οὐκ ἀπιστεῖ πρώτοις, καὶ Ἰουδαῖος οὐκ ἀμφισβητεῖ περὶ τούτων, καὶ πᾶς ἄνθρωπος.

Τί τοίνυν ἀπατῶμεν ἑαυτούς; Ἰδοὺ ταῦτα λέγεις πρὸς ἐμέ· τί πρὸς τὸν Θεὸν ἐρεῖς τὸν πλάσαντα καταμόνας τὰς καρδίας ἡμῶν; τὸν εἰδότα τὰ ἐν τῇ διανοίᾳ πάντα; τὸν ζῶντα καὶ ἐνεργοῦντα καὶ τομώτερον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον; Εἰπὲ γάρ μοι μετὰ ἀληθείας· σὺ οὐ καταγινώσκεις σαυτοῦ; Καὶ πῶς ἂν ἀπὸ ταὐτομάτου τοσαύτη σοφία γέγονεν, ὥστε αὐτὸν τὸν ἁμαρτάνοντα καταγινώσκειν ἑαυτοῦ; τοῦτο γὰρ μεγάλης σοφίας ἐστί. Σύ σαυτοῦ καταγινώσκεις· ὁ δὲ τοιαύτην σοι διδοὺς διάνοιαν

12. Λουκᾶ 16,27.28

αὐτόν; ἄραγε δὲν θὰ τιμωρηθῆ περισσότερο γιὰ τὰ ἰδικά του σφάλματα; Εἶναι φυσικό· γιατὶ ἐκεῖ θὰ ἀπολογηθῆ τὸ πάθος, ἂν καὶ ἀσθενῶς, ἐδῶ ὅμως καθόλου. Δὲν μιμεῖσαι λοιπὸν κανένα ἄλλον, παρὰ τὸν πλούσιο, ὁ ὁποῖος εὑρισκόμενος στὴν κόλασι λέγει, «Πατέρα Ἀβραάμ, στεῖλε αὐτὸν στοὺς συγγενεῖς μου, γιὰ νὰ μὴ ἔλθουν καὶ αὐτοὶ στὸν τόπο αὐτό»[12], ἐπειδὴ ὁ ἴδιος δὲν ἠμποροῦσε νὰ ἀπέλθη, ὥστε νὰ μὴ πέσουν καὶ ἐκεῖνοι στὰ ἴδια ἁμαρτήματα. Ἂς ἀποφύγωμε τὰ λόγια αὐτὰ τοῦ σατανᾶ.

7. Τί λοιπόν, ὅταν μᾶς ἐρωτοῦν οἱ εἰδωλολάτρες, λέγει; δὲν θέλεις νὰ τούς θεραπεύσης ἐκείνους; Ἀλλὰ βάζοντας σὲ ἀπορία τὸν Χριστιανὸ μὲ τὸ πρόσχημα τῆς θεραπείας τοῦ εἰδωλολάτρου, θέλεις νὰ ἐπικυρώσης τὴ γνώμη τοῦ σατανᾶ. Ἐπειδὴ λοιπὸν συνομιλώντας μόνος σου γι' αὐτοὺς δὲν πείθεις, θέλεις νὰ κάνης ἄλλους μάρτυρας. Ἂν ὅμως χρειασθῆ νὰ συνομιλήσης μὲ εἰδωλολάτρη, δὲν πρέπει νὰ ἀρχίζη ἀπὸ ἐδῶ ἡ συνομιλία, ἀλλὰ ἀπὸ τὸ ὅτι ὁ Χριστὸς εἶναι Θεός, εἶναι Υἱὸς τοῦ Θεοῦ, καὶ ὅτι δαίμονες εἶναι οἱ θεοὶ ποὺ πιστεύουν ἐκεῖνοι. Ἐὰν ἀποδειχθοῦν αὐτά, ὅλα τὰ ἄλλα ἀκολουθοῦν· προτοῦ νὰ τεθῆ ἡ ἀρχή, εἶναι μάταιο νὰ συζητοῦμε γιὰ τὸ τέλος· προτοῦ νὰ μάθωμε τὰ πρῶτα στοιχεῖα εἶναι περιττὸ καὶ ἀνώφελο νὰ ἐρχώμασθε στὸ τέλος. Δὲν πιστεύει ὁ εἰδωλολάτρης στὴν κρίσι καὶ αὐτὸς τὸ ἴδιο μὲ σὲ πάσχει, ἐπειδὴ καὶ αὐτὸς ἔχει πολλοὺς φιλοσόφους ποὺ μίλησαν γι' αὐτά, ἂν καὶ εἶπαν αὐτά, ἀποχωρίσαντες τὸ σῶμα ἀπὸ τὴν ψυχή· ἀλλ' ὅμως καταδικάσθηκαν. Καὶ εἶναι τόσο φανερὸ τὸ πρᾶγμα, ὥστε κανεὶς σχεδὸν νὰ μὴ ἀγνοήση αὐτό, ἀλλὰ καὶ οἱ ποιητὲς καὶ ὅλοι νὰ συμφωνήσουν μεταξύ τους καὶ περὶ τοῦ δικαστηρίου καὶ περὶ τῆς κρίσεως. Ὥστε καὶ ἐκεῖνος δὲν ἀπιστεῖ στὰ ἰδικά του πρῶτα διδάγματα, καὶ ὁ Ἰουδαῖος δὲν ἔχει διαφωνίες γι' αὐτά, καθὼς καὶ κάθε ἄνθρωπος.

Γιατί λοιπὸν ἐξαπατοῦμε τὸν ἑαυτό μας; Νά, τὰ λέγεις αὐτὰ πρὸς ἐμένα· τί θὰ εἰπῆς πρὸς τὸν Θεό, ὁ ὁποῖος ἔπλασε χωριστὰ τὶς ψυχές μας; ὁ ὁποῖος γνωρίζει τὰ πάντα ποὺ ἔχομε στὴ σκέψι μας; ὁ ὁποῖος εἶναι ζωντανὸς καὶ δραστικὸς καὶ κοπτερώτερος ἀπὸ κάθε δίκοπο μαχαίρι[13]; Εἰπέ μου λοιπὸν ἀληθινά· ἐσὺ δὲ κατηγορεῖς τὸν ἑαυτό σου; Καὶ πῶς θὰ μποροῦσε νὰ δημιουργηθῆ τυχαῖα τόση σοφία, ὥστε ὁ ἴδιος ὁ ἁμαρτωλὸς νὰ κατηγορῆ τὸν ἑαυτό του; γιατὶ αὐτὸ εἶναι ἀπόδειξις μεγάλης σοφίας. Ἐσὺ κατηγορεῖς τὸν ἑαυτό σου καὶ ἐκεῖνος ποὺ σοῦ ἔδωσε τέτοια διάνοια θὰ ἀφήση τὰ πάντα νὰ φέρωνται τυχαῖα; Εἶναι λοιπὸν γενικὸς κανόνας αὐτὸς καὶ ὅρος.

πάντα ἁπλῶς ἀφήσει φέρεσθαι; Κανὼν οὖν οὗτος ἔσται καθολικός, καὶ ὅρος· οὐδεὶς τῶν ἐν ἀρετῇ ζώντων διαπιστεῖ τῷ τῆς κρίσεως λόγῳ, κἂν Ἕλλην ᾖ, κἂν αἱρετικός· οὐδεὶς τῶν ἐν κακίᾳ ἀναστρεφομένων πολλῇ, πλὴν ὀλίγων, παραδέχεται τὸν τῆς ἀναστάσεως λόγον. Καὶ τοῦτό φησιν ὁ ψαλμῳδός· «Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ». Διὰ τί; «Ὅτι βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ». «Φάγωμεν» γάρ, φησί, «καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν».

Ὁρᾷς ὅτι ταπεινῶν ἐστι ταῦτα λέγειν; Ἀπὸ τοῦ τρώγειν καὶ πίνειν ταῦτα τὰ ῥήματά ἐστι τὰ ἀνατρεπτικὰ τῆς ἀναστάσεως. Οὐ φέρει γάρ, οὐ φέρει τὸ ἀπὸ τοῦ συνειδότος κριτήριον ἡ ψυχή· καὶ ταὐτὸν γίνεται, οἷον ὁ ἀνδροφόνος πρότερον ὑποθεὶς ἑαυτῷ ὅτι οὐχ ἁλώσεται, οὕτω φονεύει· ἐπεί, τοῦ συνειδότος αὐτὸν κρίνοντος, οὐκ ἂν ταχέως ἦλθεν ἐπὶ τὸ τόλμημα. Καὶ οἶδεν οὖν, καὶ ἀγνοεῖν προσποιεῖται, ἵνα μὴ βασανίζηται τῷ συνειδότι καὶ τῷ φόβῳ· ἢ γὰρ ἂν ἀσθενέστερος γέγονε πρὸς τὴν τόλμαν. Οὕτω δὴ καὶ οἱ ἁμαρτάνοντες, καὶ καθ' ἑκάστην ἐν τοῖς αὐτοῖς κακοῖς κυλινδούμενοι, οὐ θέλουσιν εἰδέναι, καίτοι τοῦ συνειδότος αὐτῶν ἐπιλαμβανομένου. Ἀλλὰ μὴ ἐκείνοις προσέχωμεν· ἔσται γάρ, ἔσται πάντως κρίσις καὶ ἀνάστασις, καὶ οὐκ ἀφήσει εἰκῇ τοσαῦτα ἔργα ὁ Θεός. Διό, παρακαλῶ, τῆς κακίας ἀποσχόμενοι, τῆς ἀρετῆς ἐχώμεθα, ἵνα τὸν ἀληθῆ λόγον παραδεξώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Καίτοι τί εὐκολώτερον, τὸν περὶ ἀναστάσεως δέξασθαι λόγον, ἢ τὸν περὶ εἱμαρμένης; Ἐκεῖνος ἀδικίας γέμει, ἐκεῖνος ἀλογίας, ἐκεῖνος ὠμότητος, ἐκεῖνος ἀπανθρωπίας· οὗτος δικαιοσύνης, τοῦ κατ' ἀξίαν ἀπονεμητικός· καὶ ὅμως αὐτὸν οὐ παραδέχονται. Τὸ δὲ αἴτιον ἡ ἀργία· ἐπεὶ οὐδεὶς νοῦν ἔχων, ἐκεῖνον δέχεται. Καὶ γὰρ καὶ ἐν Ἕλλησιν οἱ τὴν ἡδονὴν ὁριζόμενοι τέλος εἶναι, φασίν, ἐκεῖνοι αὐτὸν ἐδέξαντο· οἱ δὲ τὴν ἀρετὴν ἀγαπήσαντες, οὐκέτι, ἀλλ' ἐξέβαλον ὡς ἄλογον. Εἰ δὲ ἐν Ἕλλησι τοῦτο, πολλῷ μᾶλλον καὶ ἐν τῷ περὶ τῆς ἀναστάσεως λόγῳ οὕτω. Θέα δέ μοι πῶς δύο ἐναντία κατεσκεύασεν ὁ διάβολος· ἵνα γὰρ ἀμελῶμεν ἀρετῆς, καὶ ἵνα θεραπεύωμεν δαίμονας, τὴν ἀνάγκην εἰσ-

13. Ἑβρ. 4,12

Κανένας ἀπὸ ἐκείνους ποὺ ζοῦν ἐνάρετα δὲν δυσπιστεῖ πρὸς τὴ διδασκαλία τῆς κρίσεως, εἴτε εἶναι εἰδωλολάτρης, εἴτε εἶναι αἱρετικός· κανένας ἀπὸ ἐκείνους ποὺ συμπεριφέρονται μὲ πολλὴ κακία, ἐκτὸς ἀπὸ λίγους, δὲν παραδέχεται τὴν ἀλήθεια τῆς ἀναστάσεως. Καὶ αὐτὸ τὸ λέγει ὁ ψαλμωδός· «Καταφρονεῖ τὶς ἐντολές σου ἀπὸ ἐμπρός του»[14]. Γιατί; «Γιατὶ ὅλοι οἱ δρόμοι του εἶναι πάντοτε μολυσμένοι». «Ἂς φᾶμε καὶ ἂς πιοῦμε», λέγει, «γιατὶ αὔριο πεθαίνομε».

Βλέπεις ὅτι τὰ λόγια αὐτὰ τὰ λέγουν ἄνθρωποι ἀσήμαντοι; Ἀπὸ τὸ φαγητὸ καὶ τὸ ποτὸ προέρχονται τὰ λόγια αὐτά, τὰ ὁποῖα δὲν παραδέχονται τὴν ἀνάστασι. Γιατὶ δὲν ἀντέχει, πραγματικὰ δὲν ἀντέχει ἡ ψυχὴ τὸν ἔλεγχο τῆς συνειδήσεως, καὶ γίνεται τὸ ἴδιο, ὅπως ὁ δολοφόνος, ὁ ὁποῖος ἀφοῦ κάνῃ μόνος του προηγουμένως τὴ σκέψι ὅτι δὲν θὰ συλληφθῇ, προχωρεῖ μετὰ στὸ φόνο, γιατί, ἐὰν τὸν ἤλεγχε ἡ συνείδησις, δὲν θὰ ἐτολμοῦσε νὰ κάνῃ ἀμέσως τὸ φόνο. Καὶ τὸ γνωρίζει λοιπόν, καὶ προσποιεῖται ὅτι δὲν τὸ γνωρίζει, γιὰ νὰ μὴ βασανίζεται ἀπὸ τὴ συνείδησι καὶ τὸ φόβο, γιατὶ πράγματι θὰ ἐγίνετο πιὸ ἀνίσχυρος γιὰ τὸ φόνο. Ἔτσι λοιπὸν καὶ ἐκεῖνοι ποὺ ἁμαρτάνουν, καὶ ἐνῶ κυλίονται καθημερινὰ στὰ ἴδια κακά, δὲν θέλουν νὰ τὸ γνωρίζουν, ἂν καὶ ἡ συνείδησίς τους ἀντιτίθεται. Ἂς μὴ προσέχωμε ὅμως ἐκείνους, γιατὶ θὰ ὑπάρξῃ, πράγματι θὰ ὑπάρξῃ κρίσις καὶ ἀνάστασις καὶ δὲν θὰ ἀφήσῃ στὴν τύχη τόσα ἔργα ὁ Θεός. Γι' αὐτό, σᾶς παρακαλῶ, ἀφοῦ ἀποφύγωμε τὴν κακία, ἂς ἐπιδιώκωμε τὴν ἀρετή, γιὰ νὰ παραδεχθοῦμε τὴν ἀληθινὴ διδασκαλία μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

Ἂν καὶ τί εἶναι εὐκολώτερο, νὰ δεχθοῦμε τὴ διδασκαλία γιὰ τὴν ἀνάστασι ἢ γιὰ τὴν εἱμαρμένη; Ἐκείνη ἡ διδασκαλία εἶναι γεμάτη ἀδικία, παραλογία, σκληρότητα, ἀπανθρωπία, αὐτὴ δὲ γεμάτη δικαιοσύνη καὶ ἀπονέμει ὅ,τι ἀξίζει στὸν καθένα, καὶ ὅμως δὲν τὴν παραδέχονται αὐτήν. Ἡ αἰτία εἶναι ἡ φυγοπονία, ἀφοῦ κανείς μὲ νοῦ δὲν παραδέχεται ἐκείνη. Γιατὶ πράγματι καὶ ἐκεῖνοι ἀπὸ τοὺς Ἕλληνες, ποὺ διδάσκουν ὅτι ἡ ἡδονὴ εἶναι ὁ σκοπὸς τῆς ζωῆς, ἰσχυρίζονται, ὅτι ἐδέχθηκαν αὐτὴν ἀπὸ ἄλλους, ἐκεῖνοι ὅμως ποὺ ἀγάπησαν τὴν ἀρετή, ὄχι, ἀλλὰ τὴν ἀπεμάκρυναν σὰν κάτι παράλογο. Ἐὰν ὅμως συμβαίνῃ αὐτὸ στοὺς ἐθνικούς, πολὺ περισσότερο θὰ συμβαίνῃ ἔτσι καὶ στὴ διδασκαλία περὶ τῆς ἀναστάσεως. Καὶ πρόσεξε, σὲ παρακαλῶ, πῶς ὁ διάβολος ἔκαμε δύο ἀντίθετα πράγματα· γιὰ νὰ ἀδιαφοροῦμε δηλαδὴ γιὰ τὴν ἀρετὴ καὶ νὰ ὑπηρετοῦμε τοὺς δαίμονες, ἐπινόησε τὴν ἀνάγκη καὶ μὲ τὸ καθένα χωρι-

ἤγαγεν, καὶ δι' ἑκατέρων ἀμφότερα ἔπεισε. Τίνα οὖν δυνήσεται λόγον δοῦναι ὁ διαπιστῶν πράγματι οὕτω θαυμαστῷ, καὶ τοῖς ἐκεῖνα ληροῦσι πειθόμενος;

Μὴ τοίνυν μηδὲ αὕτη σε ἡ παραμυθία τρεφέτω, ὡς τεύξῃ συγγνώμης, ἀλλὰ συστρέψαντες ἑαυτούς, διεγείρωμεν πρὸς ἀρετήν, καὶ ζήσωμεν ἀληθῶς τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Ψαλμ. 9,26

στὰ ἔπεισε καὶ τὰ δύο. Ποιὰ λοιπὸν ἀπολογία θὰ μπορέση νὰ δώση ἐκεῖνος ποὺ δυσπιστεῖ πραγματικὰ στὴν τόσο θαυμαστὴ διδασκαλία, καὶ ποὺ πείθεται σὲ αὐτοὺς ποὺ λένε τέτοιες ἀνοησίες;

Ἂς μὴ σὲ τρέφη λοιπὸν οὔτε αὐτὴ ἡ ἐλπίδα ὅτι θὰ τύχης συγγνώμης, ἀλλὰ ἀφοῦ συνέλθωμε, ἂς προτρέπωμε τοὺς ἑαυτοὺς μας πρὸς τὴν ἀρετὴ καὶ ἂς ζήσωμε ὅπως ἀληθινὰ θέλει ὁ Θεός, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ΄
(Κολ. 1,15 – 20)

῞Ος ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως. ῞Οτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας».

1. Τήμερον ἀποδοῦναι ἀναγκαῖον τὸ ὄφλημα, ὅπερ χθὲς ἀνεβαλόμην, ὥστε ἀκμαζούσαις ὑμῶν προσβαλεῖν ταῖς διανοίαις. Περὶ τῆς τοῦ Υἱοῦ ἀξίας διαλεγόμενος ὁ Παῦλος ταῦτά φησιν, ὥσπερ καὶ ἀπεδείξαμεν· «῞Ος ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου». Τίνος οὖν βούλει εἰκόνα εἶναι; τοῦ Θεοῦ; Οὐκοῦν ἀπαράλλακτος οὗπερ ἂν θῇς. Εἰ μὲν γὰρ ὡς ἀνθρώπου εἰκών, εἰπέ, καὶ λοιπὸν ὡς μαινομένου ἀποστήσομαι· εἰ δὲ ὡς Θεὸς καὶ Θεοῦ Υἱός, Θεοῦ εἰκών, τὸ ἀπαράλλακτον δείκνυσι. Διὰ τί μηδαμοῦ μήτε εἰκών, μήτε Υἱός, ἄγγελος κέκληται, ἀλλ' ἄνθρωπος ἀμφότερα; διὰ τί; ῞Οτι ἐκεῖ μὲν τὸ τῆς φύσεως ἀνηγμένον ταχέως ἂν τοὺς πολλοὺς εἰς ταύτην τὴν ἀσέβειαν ἐνέβαλεν· ἐνταῦθα δὲ τὸ εὐτελὲς καὶ ταπεινὸν ἐγγυᾶται τὴν ἀσφάλειαν, καὶ οὐδὲ βουλομένους ἀφίησιν ὑποπτεῦσαί τι τοιοῦτον, καὶ καταγαγεῖν τὸν λόγον κάτω. Διὰ τοῦτο ἔνθα μὲν ἦν πολλὴ ταπεινότης, θαρρούντως ἡ Γραφὴ τίθησι τὴν τιμήν· ἔνθα δὲ μείζων ἡ φύσις, οὐκέτι.

῾Η τοῦ ἀοράτου εἰκών, καὶ αὐτὴ ἀόρατος, καὶ ὁμοίως ἀόρατος, ἐπεὶ οὐδ' ἂν εἰκὼν εἴη. Τὴν γὰρ εἰκόνα, καθὸ ἐστιν εἰκών, καὶ παρ' ἡμῖν ἀπαράλλακτον δεῖ εἶναι, οἷον τῶν χαρακτήρων καὶ τῆς ὁμοιώσεως. Ἀλλ' ἐνταῦθα μὲν οὐδαμῶς τοῦτο δυνατόν· τέχνη

ΟΜΙΛΙΑ Γ΄
(Κολ. 1, 15 – 20)

«Αὐτὸς εἶναι ἡ εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος ὅλης τῆς κτίσεως. Διότι δι' αὐτοῦ ἐδημιουργήθηκαν τὰ πάντα, ὅσα ὑπάρχουν στοὺς οὐρανοὺς καὶ ὅσα εἶναι ἐπάνω στὴ γῆ, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε εἶναι οἱ θρόνοι, εἴτε οἱ κυριότητες, εἴτε οἱ ἀρχές, εἴτε οἱ ἐξουσίες, τὰ πάντα δι' αὐτοῦ καὶ γι' αὐτὸν ἔχουν δημιουργηθῆ. Καὶ αὐτὸς ὑπάρχει πρὶν ἀπὸ ὅλα, καὶ ὅλα ἀπὸ αὐτὸν συγκρατοῦνται. Καὶ αὐτὸς εἶναι ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας».

1. Εἶναι ἀνάγκη νὰ ἀποδώσω σήμερα τὸ χρέος, ποὺ ἀνέβαλα χθές, ὥστε νά ἀπευθυνθῶ στὴν καθαρὴ διάνοιά σας. Ὁμιλώντας περὶ τῆς ἀξίας τοῦ Υἱοῦ τοῦ Θεοῦ ὁ Παῦλος λέγει αὐτά, ὅπως ἀκριβῶς καὶ ἀπεδείξαμε· «Ὁ ὁποῖος εἶναι ἡ εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου». Τίνος λοιπὸν θέλεις νά εἶναι εἰκόνα; τοῦ Θεοῦ; Μάλιστα εἶναι ἀπαράλλακτος, ὅπου ἀκριβῶς θὰ τὴν τοποθετήσης. Διότι ἂν εἶναι σὰν εἰκόνα τοῦ ἀνθρώπου, εἰπέ, καὶ στὴ συνέχεια θὰ ἀπομακρυνθῶ ὡσὰν ἀνθρώπου ποὺ καταλαμβάνεται ἀπὸ μανία· ἂν ὅμως, σὰν Θεὸς καὶ Υἱὸς τοῦ Θεοῦ, εἶναι εἰκόνα τοῦ Θεοῦ, καὶ φανερώνει τὴν ὁμοιότητα. Γιατὶ πουθενὰ δὲν ἔχει ὀνομασθῆ ὁ ἄγγελος οὔτε εἰκόνα, οὔτε υἱός, ἀλλὰ ὁ ἄνθρωπος καὶ τὰ δύο; γιατί; Διότι στὴν περίπτωσι τῶν ἀγγέλων ἡ ἐξύψωσις τῆς φύσεως γρήγορα θά ὤθοῦσε τοὺς πολλοὺς στὴν ἀσέβεια αὐτήν, ἐνῶ στὴν περίπτωσι τῶν ἀνθρώπων ἡ ἁπλότητα καὶ ἡ ταπεινότητα ἐγγυῶνται τὴν ἀσφάλεια, καὶ οὔτε ἀφήνει, καὶ ὅταν ἀκόμη θέλουν, νὰ ὑποψιασθοῦν κάτι τέτοιο καὶ νὰ κατεβάσουν τὸ λόγο κάτω. Γι' αὐτὸ ὅπου ὑπῆρχε μεγάλη ταπεινότητα, ἄφοβα ἡ Γραφὴ θέτει τὴν τιμή, ὅπου ὅμως ἀνωτέρα φύσις, δὲν τὴν θέτει πλέον.

Ἡ εἰκόνα τοῦ ἀοράτου εἶναι καὶ αὐτὴ ἀόρατος, καὶ ὁμοίως ἀόρατος, ἐπειδὴ διαφορετικὰ οὔτε καὶ εἰκόνα θὰ ἦταν. Γιατὶ ἡ εἰκόνα, ἀφοῦ εἶναι εἰκόνα, πρέπει καὶ σὲ μᾶς νὰ εἶναι ἀκριβῶς ἴδια, δηλαδὴ στὰ χαρακτηριστικὰ καὶ στὴν ὁμοιότητα. Ἀλλὰ ἐδῶ δὲν

γάρ ἐστιν ἀνθρωπίνη ἡ πολλαχοῦ διαπίπτουσα, μᾶλλον δὲ πανταχοῦ, ἐὰν μετὰ ἀκριβείας ζητῇς· ἔνθα δὲ ὁ Θεός, οὐδαμοῦ σφάλλεται, οὐδὲ διάπτωσίς τις γίνεται. Εἰ δὲ κτίσμα, πῶς εἰκὼν τοῦ κτίσαντος; οὐδὲ γὰρ ἵππος ἀνθρώπου εἰκών. Εἰ μὴ τὸ ἀπαράλλακτον τοῦ ἀοράτου δηλοῖ ἡ εἰκών, τί κωλύει καὶ ἀγγέλους εἰκόνα εἶναι; καὶ γὰρ καὶ αὐτοὶ ἀόρατοι, ἀλλ' οὐχ ἑαυτοῖς. Ἀλλὰ ψυχὴ ἀόρατος· ἀλλ' ἐπειδὴ ἀόρατος, ἁπλῶς διὰ τοῦτο εἰκών; καὶ μὴ οὕτως, ὥσπερ αὐτὸς καὶ ἄγγελοι εἰκόνες;

2. «Πρωτότοκος πάσης κτίσεως». Τί οὖν, φησίν; ἰδοὺ ἔκτισται. Πόθεν, εἰπέ μοι; Ἐπειδή, «πρωτότοκος», εἶπε. Καὶ μὴν οὐ, πρωτόκτιστος, εἶπεν, ἀλλά, «πρωτότοκος». Ἔπειτα πολλὰ εἰκὸς αὐτὸν λέγεσθαι· καὶ γὰρ ἀδελφὸν αὐτὸν δεῖ λέγειν κατὰ πάντα, καὶ τὴν δημιουργίαν ἀφαιρεῖν, καὶ μήτε ἀξιώματι, μήτε ἄλλῳ τινὶ προέχειν. Τὸ γάρ, πρωτότοκος, οὐχὶ ἀξίας ἢ τιμῆς, οὐδὲ ἄλλου οὐδενός, ἀλλὰ χρόνου μόνον. Τί σημαίνει ὁ πρωτότοκος; Τὸ ἔκτισται, φησί. Καλῶς. Ἐὰν οὖν τοῦτο ᾖ, καὶ ἀδελφὰ ἔχει. Ἄλλως δὲ ὁ πρωτότοκος ὁμοούσιός ἐστιν ὧν ἐστι πρωτότοκος. Οὐκοῦν πάντων ἔσται ὁ Υἱὸς πρωτότοκος· πάσης γὰρ εἶπε κτίσεως· οὐκοῦν καὶ λίθων, καὶ ἐμοῦ πρωτότοκός ἐστιν ὁ Θεὸς Λόγος. Ἄλλως δέ, εἰπέ μοι, «Πρωτότοκος ἐκ τῶν νεκρῶν», τί δηλοῖ; Οὐχ ὅτι πρῶτος ἀνέστη· οὐ γὰρ εἶπε, νεκρῶν, ἀλλὰ «πρωτότοκος ἐκ τῶν νεκρῶν»· καὶ οὐκ εἶπεν ὅτι ἀπέθανε πρῶτος, ἀλλ' ὅτι πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη. Ὥστε οὐδὲν ἕτερον δηλοῖ, ἢ τοῦτο, ὅτι τῆς ἀναστάσεως ἀπαρχὴ γέγονεν. Οὐκοῦν οὐδὲ ἐνταῦθα.

Εἶτα λοιπὸν ἐμβαίνει εἰς τὸ δόγμα αὐτό. Ἵνα γὰρ μὴ νομίσωσι νεώτερον αὐτὸν εἶναι, διὰ τὸ πάλαι μὲν δι' ἀγγέλων προσάγεσθαι, νῦν δὲ δι' αὐτοῦ, δείκνυσι πρῶτον, ὅτι οὐδὲν ἴσχυσαν ἐκεῖνοι· οὐ γὰρ ἂν ἀπὸ σκότους οὗτος ἤγαγε· δεύτερον, ὅτι καὶ πρὸ αὐτῶν ἐστι. Καὶ σημεῖον ποιεῖται τοῦ πρὸ αὐτῶν εἶναι, τὸ δι'

εἶναι καθόλου δυνατὸ αὐτό, γιατὶ εἶναι τέχνη τοῦ ἀνθρώπου, ἡ ὁποία σὲ πολλὰ ἀποτυγχάνει, ἢ καλύτερα παντοῦ, ἐὰν ἐπιθυμῇς μεγάλη ἀκρίβεια. Ὅπου ὅμως εἶναι ὁ Θεός, πουθενὰ δὲν σφάλλει, οὔτε παρατηρεῖται κάποια ἀποτυχία. Ἐὰν ὅμως εἶναι δημιούργημα, πῶς εἶναι εἰκόνα τοῦ δημιουργοῦ; γιατὶ οὔτε ὁ ἵππος εἶναι εἰκόνα τοῦ ἀνθρώπου. Ἐὰν δὲν φανερώνῃ τὴν ἀκριβῆ ὁμοιότητα τοῦ ἀοράτου ἡ εἰκόνα, τί ἐμποδίζει καὶ τοὺς ἀγγέλους νὰ εἶναι εἰκόνα; γιατὶ καὶ αὐτοὶ εἶναι ἀόρατοι, ἀλλὰ ὄχι μεταξύ τους. Ἀλλὰ ἡ ψυχὴ εἶναι ἀόρατος· ἐπειδὴ ὅμως εἶναι ἀόρατος, ἁπλῶς γι' αὐτὸ εἶναι εἰκόνα; καὶ ἐὰν δὲν εἶναι ἔτσι, εἶναι καὶ οἱ ἄγγελοι ὅπως ἀκριβῶς αὐτὸς εἰκόνες;

2. «Πρωτότοκος ὅλης τῆς κτίσεως». Τί λοιπόν, ἰσχυρίζονται οἱ αἱρετικοί; Νά, ἔχει δημιουργηθῆ. Ἀπὸ ποῦ τὸ συμπεραίνεις αὐτό, εἰπέ μου. Ἐπειδὴ εἶπε, «πρωτότοκος». Ἀλλ' ὅμως δὲν εἶπε, πρωτόκτιστος, ἀλλὰ «πρωτότοκος». Ἔπειτα εἶναι φυσικὸ νὰ λέγεται αὐτὸς πολλά, γιατὶ καὶ ἀδελφὸ πρέπει νά λέγωμε αὐτὸν ὡς πρὸς ὅλα, καὶ νὰ τοῦ ἀφαιροῦμε τὴ δημιουργία, καὶ οὔτε ὡς πρὸς τὸ ἀξίωμα, οὔτε ὡς πρὸς κάτι ἄλλο νὰ ὑπερέχῃ. Διότι τό, πρωτότοκος, δὲν λέγεται ἐξ αἰτίας τῆς ἀξίας ἢ τῆς τιμῆς, οὔτε τίποτε ἄλλου, ἀλλὰ μόνο ἐξ αἰτίας τοῦ χρόνου. Τί σημαίνει πρωτότοκος; Τὸ ὅτι ἔχει κτισθῆ πρῶτος, λέγει. Καλῶς. Ἐὰν λοιπὸν εἶναι αὐτό, ἔχει καὶ ἀδέλφια. Ἄλλωστε δὲ ὁ πρωτότοκος εἶναι ὁμοούσιος ἐκείνων πού εἶναι πρωτότοκος. Ἑπομένως ὅλων θὰ εἶναι ὁ Υἱὸς πρωτότοκος, γιατὶ εἶπε ὅλης τῆς κτίσεως· συνεπῶς ὁ Θεὸς Λόγος εἶναι πρωτότοκος καὶ τῶν λίθων καὶ ἐμοῦ. Ἐξ ἄλλου ὅμως, εἰπέ μου, «Πρωτότοκος ἀπὸ τοὺς νεκρούς», τί σημαίνει; Δὲν σημαίνει ὅτι ἀνεστήθηκε πρῶτος· γιατὶ δὲν εἶπε, πρωτότοκος τῶν νεκρῶν, ἀλλὰ «πρωτότοκος ἀπὸ τοὺς νεκρούς». Καὶ δὲν εἶπε ὅτι ἐπέθανε πρῶτος, ἀλλὰ ὅτι ἀνεστήθηκε πρῶτος ἀπὸ τοὺς νεκρούς. Συνεπῶς δὲν σημαίνει τίποτε ἄλλο, παρὰ τοῦτο, ὅτι δηλαδὴ ἔχει γίνει ἡ ἀρχὴ τῆς ἀναστάσεως. Ὥστε οὔτε ἐδῶ σημαίνει ὅτι ἔχει δημιουργηθῆ πρῶτος.

Στὴ συνέχεια εἰσέρχεται στὸ δόγμα αὐτό. Γιά νά μὴ νομίσουν λοιπὸν ὅτι αὐτὸς εἶναι νεώτερος, ἐξ αἰτίας τοῦ ὅτι κάποτε τὸν ὡδηγοῦσαν οἱ ἄγγελοι καὶ τώρα αὐτός, ἀποδεικνύει πρῶτα, ὅτι δὲν κατώρθωσαν τίποτε ἐκεῖνοι, γιατὶ δὲν θὰ τοὺς ὡδηγοῦσε αὐτὸς ἀπὸ τὸ σκοτάδι· δεύτερο, ὅτι ὑπῆρχε καὶ πρὶν ἀπὸ αὐτούς. Καὶ φέρει ἀπόδειξι τοῦ ὅτι ὑπῆρχε πρὶν ἀπὸ αὐτούς, τὸ ὅτι οἱ ἄγγελοι ἔχουν δι' αὐτοῦ δημιουργηθῆ. «Διότι δι' αὐτοῦ», λέγει, ἐδημιουρ-

αὐτοὺς ἐκτίσθαι· «Ὅτι ἐν αὐτῷ», φησίν, «ἐκτίσθη τὰ πάντα». Τί λέγουσιν ἐνταῦθα οἱ Παύλου τοῦ Σαμοσατέως; «Τὰ ἐν τοῖς οὐρανοῖς» ὅπερ ἀμφισβητούμενον ἦν, πρῶτον τέθεικε· «καὶ τὰ ἐπὶ τῆς γῆς». Εἶτά φησι, «τὰ ὁρατὰ καὶ τὰ ἀόρατα»· ἀόρατα, οἷον ψυχή, καὶ ὅσα ἐν οὐρανῷ γέγονεν· ὁρατά, οἷον ἄνθρωποι, ἥλιος, πόλος. «Εἴτε θρόνοι». Καὶ τὸ μὲν ὁμολογούμενον ἀφίησι, τὸ δὲ ἀμφιβαλλόμενον τίθησιν. Τό, εἴτε καὶ εἴτε, τοῦ παντὸς περιληπτικόν ἐστιν· ἀλλὰ ἀπὸ τῶν μειζόνων καὶ τὰ ἐλάττω δεικνύντος ἐστί. Τὸ δὲ Πνεῦμα οὐ μετὰ τῶν ἐξουσιῶν.

«Τὰ πάντα», φησί, «δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται». Ἰδοὺ τό, «ἐν αὐτῷ», δι' αὐτοῦ ἐστιν. Εἰπὼν γάρ, ὅτι «ἐν αὐτῷ», ἐπήγαγε, «δι' αὐτοῦ». Τὸ δὲ «εἰς αὐτόν», τί ἐστι; Τουτέστιν, εἰς αὐτὸν κρέμαται ἡ πάντων ὑπόστασις. Οὐ μόνον αὐτὸς αὐτὰ συγκρατεῖ νῦν· ὥστε ἂν ἀποσπασθῇ τῆς αὐτοῦ προνοίας, ἀπόλωλε καὶ διέφθαρται. Ἀλλ' οὐκ εἶπε, διακρατεῖ, ὅπερ ἦν παχύτερον, ἀλλὰ τὸ λεπτότερον, ὅτι εἰς αὐτὸν κρέμαται. Μόνον τὸ πρὸς αὐτὸν νεύειν, ἱκανὸν διακρατῆσαι καὶ συσφίγξαι. Οὕτω καὶ «πρωτότοκος», ὡς θεμέλιος. Τοῦτο δὲ οὐ τὸ ὁμοούσιον τῶν κτισμάτων, ἀλλὰ τὸ δι' αὐτοῦ πάντα εἶναι, καὶ ἐν αὐτῷ φέρεσθαι δηλοῖ. Ἐπεὶ καὶ Παῦλος ὅταν λέγῃ, «Θεμέλιον τέθεικα», οὐ περὶ τῆς οὐσίας φησίν, ἀλλὰ τῆς ἐνεργείας. Ἵνα γὰρ μὴ νομίσῃς ὑπηρέτην εἶναι αὐτόν, φησίν, αὐτὸν αὐτὰ διακρατεῖν, ὅπερ οὐχ ἧττον τοῦ ποιῆσαί ἐστι. Καίτοι ἐφ' ἡμῶν καὶ μεῖζον· ἐκεῖνο μὲν γὰρ ἡ τέχνη εἰσάγει, τοῦτο δὲ οὐκέτι, οὐδὲ φθειρόμενον κατέχει.

«Καὶ αὐτός ἐστι πρὸ πάντων», φησί. Τοῦτο Θεῷ ἁρμόζον. Ποῦ Παῦλος ὁ Σαμοσατεύς; «Καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε»· τουτέστιν, εἰς αὐτὸν ἔκτισται. Συνεχῶς αὐτὰ στρέφει, τῇ συνεχείᾳ τῶν ῥημάτων καθάπερ πυκναῖς τισι πληγαῖς πρόρριζον ἀνασπῶν τὸ δόγμα τὸ ὀλέθριον. Εἰ γὰρ καὶ τοσαῦτα εἴρηται, καὶ μετὰ τοσοῦτον χρόνον ἀνέφυ Παῦλος ὁ Σαμοσατεύς, πόσῳ μᾶλλον, εἰ μὴ ταῦτα προείρητο; «Καὶ τὰ πάντα», φησίν, «ἐν αὐτῷ συνέστηκε». Πῶς συνέστηκεν ἐν τῷ οὐκ ὄντι; Ὥστε καὶ τὰ δι'

---

1. Παῦλος ὁ Σαμοσατεύς· αἱρετικὸς τοῦ γ' αἰ., ἐπίσκοπος Ἀντιοχείας, υἱοθετιστὴς μοναρχιανός. Γιὰ περισσότερα βλ. Π. Χρήστου, Ἑλληνικὴ Πατρολογία, τόμ. Β', σσ. 645 - 6, 947 - 949.
2. Α' Κορ. 3,10
3. Τὸ «ἐκεῖνο» ἀναφέρεται στὴ δημιουργία, ἐνῶ τὸ «αὐτὸ» στὴ συντήρηση ἑνὸς ἀντικειμένου.

γήθηκαν τὰ πάντα». Τί λέγουν ἐδῶ οἱ ὀπαδοὶ τοῦ Παύλου τοῦ Σαμοσατέως;[1] «Ὅσα ὑπάρχουν στοὺς οὐρανούς»· αὐτὸ ποὺ ἦταν ἀμφισβητούμενο, ἔθεσε πρῶτο· «καὶ ὅσα εἶναι ἐπάνω στὴ γῆ». Ἔπειτα λέγει, «τὰ ὁρατὰ καὶ τὰ ἀόρατα». Ἀόρατα, ὅπως ἡ ψυχὴ καὶ ὅσα ἔχουν γίνει στὸν οὐρανό· ὁρατά, ὅπως οἱ ἄνθρωποι, ὁ ἥλιος, ὁ θόλος τοῦ οὐρανοῦ. «Εἴτε οἱ θρόνοι». Καὶ ἐκεῖνο ποὺ θεωρεῖται ἀληθινὸ τὸ ἀφήνει, καὶ ἀναφέρει ἐκεῖνο ποὺ εἶναι ἀμφιβαλλόμενο. «Εἴτε οἱ θρόνοι, εἴτε οἱ κυριότητες, εἴτε οἱ ἀρχές, εἴτε οἱ ἐξουσίες». Τό, εἴτε καὶ εἴτε, περιλαμβάνει τὸ καθετί, ἀλλὰ ἀπὸ τὰ μεγαλύτερα ἀποδεικνύει καὶ τὰ μικρότερα. Τὸ Πνεῦμα ὅμως δὲν τὸ ἀναφέρει μαζὶ μέ τὶς ἀγγελικὲς ἐξουσίες.

«Τὰ πάντα», λέγει, «δι' αὐτοῦ ἔχουν δημιουργηθῆ καὶ δι' αὐτοῦ κυβερνῶνται». Ἰδοὺ τὸ «ἐν αὐτῷ», σημαίνει δι' αὐτοῦ. Διότι, ἀφοῦ εἶπε, ὅτι «ἐν αὐτῷ», ἐπρόσθεσε, «δι' αὐτοῦ». Καὶ τὸ «εἰς αὐτόν», τί σημαίνει; Δηλαδή, ἀπ' αὐτὸν ἐξαρτᾶται ἡ ὕπαρξις ὅλων. Ὄχι μόνο αὐτὸς ἀπὸ τὴν ἀνυπαρξία τὰ ἔφερε αὐτὰ στὴν ὕπαρξι, ἀλλὰ καὶ αὐτὸς τὰ συγκρατεῖ τώρα, ὥστε ἂν κάτι ἀποσπασθῆ ἀπὸ τὴν πρόνοιά του, θὰ χαθῆ καὶ θὰ καταστραφῆ. Ἀλλὰ δὲν εἶπε, τὰ ἔχει ὑπὸ τὴν ἐξουσία του, ποὺ ἦταν πιὸ ἔντονο, ἀλλὰ τὸ πιὸ λεπτό, ὅτι ἀπ' αὐτὸν ἐξαρτῶνται. Μόνο τὸ νὰ στρέφωνται πρὸς αὐτὸν εἶναι ἀρκετὸ νὰ τὰ συγκρατήση καὶ νὰ τὰ περισφίγξη. Ἔτσι καὶ τὸ «πρωτότοκος» ὡς ἡ ἀρχὴ λέγεται. Τοῦτο δὲν σημαίνει τὸ ὁμοούσιο τῶν δημιουργημάτων, ἀλλὰ τὸ ὅτι δι' αὐτοῦ ὑπάρχουν τὰ πάντα καὶ φέρονται μέσα σὲ αὐτόν. Ἐπειδὴ καὶ ὁ Παῦλος ὅταν λέγη, «Ἔχω θέσει τὸ θεμέλιο λίθο»[2], δὲν ἐννοεῖ τὴν οὐσία, ἀλλὰ τὴν ἐνέργεια. Γιὰ νὰ μὴ νομίσης λοιπὸν ὅτι αὐτὸς εἶναι ὑπηρέτης, λέγει, ὅτι αὐτὸς τὰ συγκρατεῖ ὅλα, πρᾶγμα ποὺ δὲν εἶναι μικρότερο ἀπὸ τὴ δημιουργία. Ἂν καὶ σὲ μᾶς εἶναι καὶ μεγαλύτερο, γιατὶ ἐκεῖνο τὸ κατασκευάζει ἡ τέχνη, αὐτὸ[3] ὅμως ὄχι, οὔτε συγκρατεῖ τὴ φθορά.

«Καὶ αὐτὸς ὑπάρχει πρὶν ἀπὸ ὅλα», λέγει. Τοῦτο ταιριάζει στὸν Θεό. Ποῦ εἶναι ὁ Παῦλος ὁ Σαμοσατεύς; «Καὶ ὅλα ἀπὸ αὐτὸν συγκρατοῦνται», δηλαδή, γι' αὐτὸν ἔχουν δημιουργηθῆ. Συνέχεια ἐπαναλαμβάνει αὐτά, γιὰ νὰ ξεριζώση μὲ τὴν ἐπανάληψη τῶν λόγων, σὰν μὲ συνεχῆ κτυπήματα, σύρριζα τὴν καταστρεπτικὴ διδασκαλία. Διότι ἂν καὶ ἔχουν λεχθῆ τόσα πολλά, καὶ ὕστερα ἀπὸ τόσο χρόνο ἐμφανίσθηκε ὁ Παῦλος ὁ Σαμοσατεύς, πόσο μᾶλλον, ἐὰν δὲν εἶχαν λεχθῆ αὐτὰ ἀπὸ πρίν; «Καὶ ὅλα, λέγει, ἀπὸ αὐτὸν συγκρατοῦνται». Πῶς συγκρατοῦνται ἀπὸ αὐτὸν κατὰ τὸ χρόνο ποὺ δὲν

ἀγγέλων αὐτοῦ ἐστι. «Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας». Εἶτα εἰπὼν περὶ τῆς ἀξίας, λέγει λοιπὸν καὶ περὶ τῆς φιλανθρωπίας. «Αὐτός ἐστι», φησίν, «ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας». Καὶ οὐκ εἶπε, τοῦ πληρώματος, αὐτὸ μὲν δηλῶν, θέλων δὲ ἡμῖν οἰκειότερον δεῖξαι αὐτόν, ὅτι ὁ οὕτως ἄνω καὶ πάντων ἀνώτερος, τοῖς κάτω ἑαυτὸν συνῆψε. Πανταχοῦ γάρ πρῶτος· ἄνω πρῶτος, ἐν τῇ ἐκκλησίᾳ πρῶτος· κεφαλὴ γάρ ἐστιν· ἐν τῇ ἀναστάσει πρῶτος. Τουτέστιν, «Ἵνα γένηται αὐτὸς πρωτεύων».

Ὥστε καὶ ἐν γενέσει πρῶτος. Καὶ τοῦτό ἐστι μάλιστα τὸ σπουδαζόμενον δεῖξαι τῷ Παύλῳ. Ἂν γὰρ τοῦτο κατασκευασθῇ, ὅτι πρὸ πάντων ἦν τῶν ἀγγέλων, κἀκεῖνο συνεισάγεται, ὅτι τὰ ἐκείνων αὐτὸς ἐποίει ἐπιτάττων. Καὶ τὸ δὴ θαυμαστόν, ἐν τῇ ὑστέρᾳ γενέσει ἐφιλονείκησε πρῶτον αὐτὸν δεῖξαι. Καίτοιγε ἀλλαχοῦ πρῶτόν φησι τὸν Ἀδάμ, ὥσπερ οὖν καὶ ἔστιν· ἀλλὰ τὴν ἐκκλησίαν ἔλαβεν ἀντὶ τοῦ παντὸς ἀνθρώπων γένους. Τῆς γὰρ ἐκκλησίας πρῶτός ἐστι, καὶ τῶν μὲν ἀνθρώπων, καθάπερ τῆς κτίσεως, πρῶτος κατὰ σάρκα· καὶ διὰ τοῦτο ἐνταῦθα τὸν πρωτότοκον τίθησι. Τί ἐστιν ἐνταῦθα ὁ πρωτότοκος; Ὁ πρῶτος κτισθείς, ἢ ὁ πρὸ πάντων ἀναστάς, ὥσπερ καὶ ἐκεῖ, ὁ πρὸ πάντων ὤν. Καὶ ἐνταῦθα μὲν ἀπαρχὴν τέθεικεν εἰπών· «Ὅς ἐστιν ἀπαρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων»· δεικνὺς ὅτι καὶ οἱ ἄλλοι τοιοῦτοι· ἐκεῖ δὲ οὐκ ἀπαρχὴ τῆς κτίσεως. Καὶ ἐκεῖ μέν, «εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου», καὶ τότε τό, πρωτότοκος.

3. «Ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς». Ὅσα τοῦ Πατρός», φησί, «ταῦτα καὶ τοῦ Υἱοῦ, καὶ μετὰ πλείονος σπουδῆς, ὅτι καὶ νεκρὸς γέγονε, καὶ ἥνωσεν ἑαυτὸν ἡμῖν. Ἀπαρχὴν δὲ εἶπε, καθάπερ ἐπὶ καρποῦ τινος. Οὐκ εἶπεν, ἀνάστασις, ἀλλά, «ἀπαρχή», δεικνὺς ὅτι πάντας ἡμᾶς ἡγίασε, καὶ ὥσπερ θυσίαν προσήνεγκε. Τὸ πλήρωμα οἱ μὲν τῆς

---

4. *Ἀπαρχή·* συνήθως στὸν πληθυντικό. Ὁ ὅρος ἀπαντᾶται ἤδη στὸν προχριστιανικὸ κόσμο, ἐθνικὸ καὶ ἰουδαϊκό. Ἔχει ἀπὸ τὴν ἀρχὴ θρησκευτικὴ σημασία συνδεόμενος μὲ τὶς προσφορὲς τοῦ πιστοῦ πρὸς τὴ θεότητα καὶ μάλιστα πρὸς τοὺς πρώτους καρπούς, ποὺ ἐπροσφέροντο ὡς θυσία στοὺς θεούς. Στὴν Κ.Δ καὶ στὴν πατερικὴ γραμματεία ἀπαντᾶται μὲ κυριολεκτικὴ καὶ μεταφορικὴ σημασία καὶ συνδέεται κυρίως πρὸς τὸ πρόσωπο καὶ τὸ ἔργο τοῦ Ἰησοῦ Χρι-

ύπῆρχε; Συνεπῶς καὶ ἐκεῖνα ποὺ ἔγιναν διὰ τῶν ἀγγέλων εἶναι ἰδικά του ἔργα. «Καὶ αὐτὸς εἶναι ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας». Ἔπειτα ἀφοῦ εἶπε περὶ τῆς ἀξίας, λέγει στὴ συνέχεια καὶ περὶ τῆς φιλανθρωπίας του. «Αὐτὸς εἶναι», λέγει, «ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας», δηλώνοντας μὲν καὶ αὐτό, ἀλλὰ θέλοντας νὰ μᾶς τὸν δείξη πιὸ οἰκεῖο, διότι αὐτὸς ποὺ εἶναι στὸν οὐρανὸ καὶ τόσο ἀνώτερος ὅλων, ἐσύνδεσε τὸν ἑαυτό του μὲ τοὺς εὑρισκομένους στὴ γῆ. Παντοῦ λοιπὸν εἶναι πρῶτος· στὸν οὐρανὸ πρῶτος, μέσα στὴν ἐκκλησία πρῶτος, γιατὶ εἶναι κεφαλή της· στὴν ἀνάστασι πρῶτος. Τοῦτο σημαίνει, «Γιὰ νὰ γίνη αὐτὸς πρῶτος».

Ὥστε καὶ στὴ δημιουργία πρῶτος. Καὶ αὐτὸ εἶναι ποὺ ἰδιαίτερα προσπαθεῖ νὰ ἀποδείξη ὁ Παῦλος. Διότι ἂν αὐτὸ ἀποδειχθῆ, ὅτι δηλαδὴ προϋπῆρχε ὅλων τῶν ἀγγέλων, καὶ ἐκεῖνο παρουσιάζεται μαζί, ὅτι δηλαδὴ διατάσσοντας αὐτὸς ἔκανε τὰ ἔργα ἐκείνων. Καὶ τὸ πιὸ θαυμαστό, στὴν τελευταία δημιουργία ἐπροσπάθησε νά ἀποδείξη αὐτὸν πρῶτο. Ἂν καὶ βέβαια τὸν Ἀδάμ λέγει ἀλλοῦ πρῶτο, ὅπως καὶ πράγματι εἶναι, ἀλλὰ στὴ θέσι ὅλου τοῦ γένους τῶν ἀνθρώπων ἔλαβε τὴν ἐκκλησία. Διότι εἶναι πρῶτος τῆς ἐκκλησίας, καὶ τῶν ἀνθρώπων, ὅπως ἀκριβῶς εἶναι πρῶτος τῆς κτίσεως, εἶναι πρῶτος ὡς πρὸς τὸ σῶμα, καὶ γι' αὐτὸ ἐδῶ θέτει τὴ λέξι πρωτότοκος. Τί σημαίνει ἐδῶ «ὁ πρωτότοκος»; Ὁ πρῶτος ποὺ δημιουργήθηκε ἢ αὐτὸς ποὺ ἀνεστήθηκε πρὶν ἀπὸ ὅλους, ὅπως καὶ ἐκεῖ, αὐτὸς ποὺ προϋπῆρχε ὅλων. Καὶ ἐδῶ τὸν ἔχει θέσει ὡς τὴν ἀρχή, ἀφοῦ εἶπε «Ὁ ὁποῖος εἶναι ἡ ἀρχή, ὁ πρῶτος ποὺ ἀνεστήθηκε ἀπὸ τοὺς νεκρούς, γιὰ νὰ γίνη σὲ ὅλα αὐτὸς ὁ πρῶτος», ἀποδεικνύοντας ὅτι καὶ οἱ ἄλλοι εἶναι τέτοιοι, ἐκεῖ ὅμως δὲν εἶναι ἡ ἀρχὴ τῆς κτίσεως. Καὶ ἐκεῖ ἀφοῦ εἶπε, «εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου», ὕστερα ἐπρόσθεσε τὸ «Πρωτότοκος ὅλης τῆς κτίσεως».

3. «Διότι μέσα σ' αὐτὸν εὐαρεστήθηκε νὰ κατοικήση ὅλη ἡ θεία φύσις, καὶ διὰ μέσου αὐτοῦ νὰ συμφιλιώση ὅλα πρὸς τὸν ἑαυτό του, καὶ εἰρήνευσε μὲ τὸ αἷμα τοῦ σταυρικοῦ του θανάτου εἴτε τοὺς εὑρισκομένους ἐπάνω στὴ γῆ ἀνθρώπους, εἴτε τοὺς ἀγγέλους στοὺς οὐρανούς». Ὅσα ἀνήκουν στὸν Πατέρα», λέγει, «αὐτὰ ἀνήκουν καὶ στὸν Υἱό, καὶ μὲ μεγαλύτερο ζῆλο, γιατὶ καὶ νεκρὸς ἔχει γίνει, καὶ τὸν ἑαυτό του ἔχει ἑνώσει μὲ μᾶς. Καὶ εἶπε ἀπαρχή,[4] ὅπως στὴν περίπτωσι τῶν καρπῶν. Δὲν εἶπε, ἀνάστασις, ἀλλά «ἀπαρχή», ἀποδεικνύοντας ὅτι ὅλους μᾶς κατέστησε ἁγίους καὶ σὰν θυσία μᾶς ἐπρόσφερε. Τὸ πλήρωμα ἄλλοι λέγουν τῆς θεότητος, καθὼς ὁ

θεότητός φασι, καθάπερ ὁ Ἰωάννης ἔλεγεν· «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν». Τουτέστιν, εἴ τι ἦν ὁ Υἱός, ὅλος ὁ Υἱὸς ἐκεῖ ᾤκησεν, οὐχὶ ἐνέργειά τις, ἀλλ' οὐσία. Οὐκ ἔχει αἰτίαν εἰπεῖν οὐδεμίαν, ἀλλά τὴν θέλησιν τοῦ Θεοῦ· τοῦτο γάρ ἐστιν, «ὅτι ἐν αὐτῷ ηὐδόκησε».

«Καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν». Ἵνα μὴ νομίσῃς, ὅτι ὑπηρέτου τάξιν ἀνέλαβεν, «εἰς ἑαυτόν», φησί. Καὶ μὴν ἀλλαχοῦ φησιν, ὅτι τῷ Θεῷ καταλλάττει, καθάπερ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγε. Καὶ καλῶς εἶπε, «δι' αὐτοῦ ἀποκαταλλάξαι». Ἤδη γὰρ ἦσαν κατηλλαγμένοι, ἀλλὰ τελείως, ὥστε μηκέτι ἐχθραίνειν αὐτῷ, φησί. Πῶς; Οὐ γὰρ ἡ καταλλαγὴ ἀπεδίδοτο μόνον, ἀλλὰ καὶ ὁ τρόπος τῆς καταλλαγῆς. «Εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ». Τὸ μὲν τὴν ἔχθραν δείκνυσι τὸ καταλλάξαι· τὸ δὲ τὸν πόλεμον. «Διὰ τοῦ αἵματος», φησί, «τοῦ σταυροῦ αὐτοῦ δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐπὶ τοῖς οὐρανοῖς». Μέγα μὲν τὸ καταλλάξαι, τὸ δὲ καὶ δι' αὐτοῦ, μεῖζον· καὶ τὸ τούτου μεῖζον, τὸ δι' ἑαυτοῦ πῶς; διὰ τοῦ αἵματος· καὶ οὐχ ἁπλῶς αἵματος, ἀλλὰ τὸ τούτου μεῖζον, διὰ τοῦ σταυροῦ. Ωστε πέντε ἐστὶ τὰ θαυμαστά, τῷ Θεῷ κατήλλαξε, δι' αὐτοῦ, διὰ θανάτου, διὰ σταυροῦ. Βαβαί, πῶς ἀνέμιξε πάλιν; Ἵνα γὰρ μὴ νομίσῃς ἓν εἶναι, μηδὲ τὸν σταυρὸν εἶναί τι καθ' ἑαυτό, λέγει, «δι' ἑαυτοῦ». Πῶς οἶδε μέγα τοῦτο ὄν; Ὅτι οὐ ῥήματα εἰπών, ἀλλ' ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῆς καταλλαγῆς, οὕτως ἅπαντα εἰργάσατο.

Τί δέ ἐστι, «τὰ ἐν τοῖς οὐρανοῖς»; Τὰ μὲν γὰρ ἐπὶ τῆς γῆς, εἰκότως· ἔχθρας γὰρ ἐμπέπληστο, καὶ εἰς πολλὰ διῄρητο· καὶ πρὸς ἑαυτὸν ἕκαστος ἡμῶν διεστασίαζε, καὶ πρὸς τοὺς πολλούς· τὰ δὲ ἐν τοῖς οὐρανοῖς πῶς εἰρηνοποίησε; καὶ ἐκεῖ πόλεμος ἦν καὶ μάχη; καὶ πῶς εὐχόμεθα λέγοντες, «Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς»; Τί οὖν ἐστιν; Ἀπέσχιστο ἡ γῆ τοῦ οὐρανοῦ, ἐκπεπολεμωμένοι ἦσαν οἱ ἄγγελοι πρὸς τοὺς ἀνθρώπους, τὸν δεσπότην ὁρῶντες τὸν αὐτῶν ὑβριζόμενον. «Ἀνακεφαλαιώσασθαι», φησί, «τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν τοῖς

5. Ἰω. 1,16
6. Β' Κορ. 5,18
7. Ματθ. 6,10

εὐαγγελιστὴς Ἰωάννης ἔλεγε, «Ἀπὸ τὸ πλήρωμά του ὅλοι ἐμεῖς ἐλάβαμε»[5]. Δηλαδή, ἐὰν ἦταν κάτι ὁ Υἱός, ὁλόκληρος ὁ Υἱὸς ἐκεῖ ἐκατοίκησε, ὄχι κάποια ἐνέργεια, ἀλλὰ οὐσία. Δὲν ἔχει νὰ εἰπῆ καμμία αἰτία, ἀλλὰ τὴ θέλησι τοῦ Θεοῦ, γιατὶ αὐτὸ σημαίνει, «διότι μέσα σ' αὐτὸν εὐαρεστήθηκε».

«Καὶ διὰ μέσου αὐτοῦ νὰ συμφιλιώση ὅλα πρὸς τὸν ἑαυτό του». Γιὰ νὰ μὴ νομίσης, ὅτι ἀνέλαβε θέσι ὑπηρέτου, «πρὸς τὸν ἑαυτό του», λέγει. Καὶ ἀλλοῦ βέβαια λέγει, ὅτι μὲ τὸν Θεὸ μᾶς συμφιλιώνει, ὅπως ἔλεγε γράφοντας τὴν πρὸς Κορινθίους ἐπιστολή του[6]. Καὶ καλὰ εἶπε, «διὰ μέσου αὐτοῦ νὰ συμφιλιώση». Διότι ἤδη εἶχαν συμφιλιωθῆ, ἀλλὰ ἐντελῶς, ὥστε νὰ μὴ ἐχθρεύωνται πιὰ αὐτόν, λέγει. Πῶς; Διότι δὲν ἀναφέρετο μόνο ἡ συμφιλίωσις, ἀλλὰ καὶ ὁ τρόπος τῆς συμφιλιώσεως. «Καὶ τὰ εἰρήνευσε μὲ τὸ αἷμα τοῦ σταυρικοῦ του θανάτου». Τὸ νὰ τὰ συμφιλιώση ἀποδεικνύει τὴν ἔχθρα, καὶ τὸ εἰρήνευσε τὸν πόλεμο. «Μὲ τὸ αἷμα», λέγει, «τοῦ σταυρικοῦ του θανάτου διὰ τοῦ ἑαυτοῦ του, εἴτε τοὺς εὑρισκομένους ἐπάνω στὴ γῆ ἀνθρώπους, εἴτε τοὺς εὑρισκομένους στοὺς οὐρανοὺς ἀγγέλους». Εἶναι μεγάλο ἔργο τὸ ὅτι τὰ ἐσυμφιλίωσε, καὶ πιὸ μεγάλο τὸ ὅτι τὰ ἐσυμφιλίωσε δι' αὐτοῦ· καὶ τὸ πιὸ μεγάλο ἀπὸ αὐτό, τὸ ὅτι τὰ ἐσυμφιλίωσε διὰ τοῦ ἑαυτοῦ του, μὲ ποιὸ τρόπο; μὲ τὸ αἷμα του· καὶ ὄχι ἁπλῶς μὲ τὸ αἷμα του, ἀλλὰ τὸ μεγαλύτερο ἀπὸ αὐτό, μὲ τὸ σταυρικὸ θάνατό του. Ὥστε πέντε εἶναι τὰ θαυμαστά, τὰ ἐσυμφιλίωσε μὲ τὸν Θεό, διὰ μέσου αὐτοῦ, διὰ τοῦ θανάτου, διὰ τοῦ σταυροῦ. Πώ, πὼ πῶς τὰ ἀνέμειξε πάλι; Γιὰ νὰ μὴ νομίσης λοιπὸν ὅτι εἶναι ἕνα, οὔτε ὅτι ὁ σταυρὸς ἔχει κάποια ἀξία μόνος του, λέγει, «διὰ τοῦ ἑαυτοῦ του». Πῶς γνωρίζει ὅτι αὐτὸ εἶναι μεγάλο; Διότι δὲν εἶπε λόγια, ἀλλ' ἀφοῦ παρέδωσε τὸν ἑαυτό του γιὰ χάρι τῆς συμφιλιώσεως, ἐπέτυχε μὲ αὐτὸ τὰ πάντα.

Τί ὅμως σημαίνει, «τοὺς εὑρισκομένους στοὺς οὐρανούς»; Διότι τοὺς εὑρισκομένους ἐπάνω στὴ γῆ, εἶναι εὔλογο, ἀφοῦ ἦταν γεμᾶτοι ἔχθρα καὶ ἦταν χωρισμένοι σὲ πολλὰ μέρη, καὶ ὁ καθένας μας ἐσυγκρούετο καὶ πρὸς τὸν ἑαυτό του καὶ πρὸς τοὺς πολλούς, τοὺς εὑρισκόμενους ὅμως στοὺς οὐρανοὺς πῶς ἐσυμφιλίωσε; καὶ ἐκεῖ ὑπῆρχε πόλεμος καὶ μάχη; καὶ πῶς εὐχόμασθε λέγοντας, «Εἴθε νὰ γίνη τὸ θέλημά σου, ὅπως στὸν οὐρανό, καὶ ἐπάνω στὴ γῆ»;[7] Τί λοιπὸν σημαίνει; Ἡ γῆ εἶχε ἀποκοπῆ ἀπὸ τὸν οὐρανό, οἱ ἄγγελοι εἶχαν καταστῆ ἐχθροὶ πρὸς τοὺς ἀνθρώπους, βλέποντας τὸν ἰδικό τους Κύριο νά ὑβρίζεται. «Νὰ συνενώση», λέγει, «τὰ

οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς». Πῶς; Τὰ μὲν ἐν τοῖς οὐρανοῖς οὕτω· μετέστησεν ἐκεῖ τὸν ἄνθρωπον, ἀνήγαγεν αὐτοῖς τὸν ἐχθρόν, τὸν μισούμενον. Οὐ μένοντα ἐπὶ τῆς γῆς ἐποίησεν εἰρηνεύειν, ἀλλ' ἀνήγαγεν αὐτὸν πρὸς αὐτούς, τὸν ἐχθρὸν καὶ πολέμιον. Τοῦτο εἰρήνη βαθεῖα. Ἄγγελοι πάλιν ἐπὶ γῆς ἐφαίνοντο λοιπόν, ἐπειδὴ καὶ ἄνθρωπος ἐν οὐρανῷ ἐφάνη. Δοκεῖ δέ μοι ἡ ἁρπαγὴ τοῦ Παύλου τούτου ἕνεκεν γεγενῆσθαι, καὶ τοῦ δεῖξαι ὅτι καὶ ὁ Υἱὸς ἐκεῖ ἀνελήφθη. Ἐν μὲν γὰρ τῇ γῇ διπλῆ ἡ εἰρήνη, καὶ πρὸς τὰ ἐπουράνια, καὶ πρὸς ἑαυτά· ἐν δὲ τοῖς οὐρανοῖς ἁπλῆ. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν οἱ ἄγγελοι, πολλῷ μᾶλλον ἐπὶ τοσούτοις. Ταῦτα πάντα ἡ τοῦ Θεοῦ ἰσχὺς κατώρθωσε. Τί οὖν ἀγγέλοις θαρρεῖτε, φησί; Τοσοῦτον γὰρ ἀπέχουσιν ἐκεῖνοι προσάγειν ὑμᾶς, ὅτι καὶ ἐκπεπολεμωμένοι ἦσαν, εἰ μὴ ὁ Θεὸς αὐτὸς ὑμᾶς ἐκείνοις κατήλλαξεν.

4. Τί τοίνυν ἐκείνοις προστρέχετε; Βούλει μαθεῖν τῶν ἀγγέλων τὸ μῖσος ὅσον εἶχον πρὸς ἡμᾶς, καὶ πῶς ἀπεστρέφοντο ἀεί; Εἰς τιμωρίαν ἐπέμποντο ἐπὶ τῶν Ἰσραηλιτῶν, ἐπὶ τοῦ Δαυΐδ, ἐπὶ τῶν Σοδομιτῶν, ἐπὶ τῆς κοιλάδος τοῦ κλαυθμῶνος. Ἀλλ' οὐ νῦν· ἀλλ' ἐξ ἐναντίας, ἐπὶ γῆς ᾖδον σφόδρα χαίροντες· καὶ τούτους κατήγαγε πρὸς αὐτούς, καὶ τοὺς ἀνθρώπους ἀνήγαγεν ἐκεῖ. Καὶ θέα μοι τὸ παράδοξον. Τούτους πρώτους κατήγαγεν ὧδε, καὶ τότε τὸν ἄνθρωπον ἀνήγαγε πρὸς αὐτούς· οὐρανὸς ἡ γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν οὐρανὸς δέχεσθαι. Διὰ τοῦτο εὐχαριστοῦντες λέγομεν, «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία». Ἰδού, φησί, καὶ ἄνθρωποι ἐφάνησαν εὐαρεστοῦντες λοιπόν. Τί ἐστιν, εὐδοκία; Καταλλαγή· οὐκέτι μεσότοιχόν ἐστιν ὁ οὐρανός.

Τὸ πρῶτον κατὰ ἀριθμὸν ἐθνῶν ἦσαν οἱ ἄγγελοι· νῦν δὲ οὐ κατὰ ἀριθμὸν ἐθνῶν, ἀλλὰ κατὰ ἀριθμὸν πιστῶν. Πόθεν δῆλον; Ἄκουε τοῦ Χριστοῦ λέγοντος· «Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς

---

8. Ἐφ. 1,10
9. Β' Κορ. 12, 2 – 4
10. Λουκᾶ 2,14
11. Δευτ. 32,8

πάντα διὰ τοῦ Χριστοῦ, τοὺς εὑρισκομένους στοὺς οὐρανοὺς ἀγγέλους καὶ τοὺς εὑρισκομένους ἐπάνω στὴ γῆ ἀνθρώπους»[8]. Πῶς; Τοὺς εὑρισκομένους στοὺς οὐρανοὺς ἀγγέλους ἔτσι· ἐτοποθέτησε ἐκεῖ τὸν ἄνθρωπο, ὕψωσε σὲ αὐτοὺς τὸν ἐχθρό, τὸ μισούμενο. Δὲν ἔκαμε νὰ εἰρηνεύουν καθὼς ἔμεινε ἐπάνω στὴ γῆ, ἀλλ' ὕψωσε πρὸς τοὺς ἀγγέλους αὐτόν, τὸν ἐχθρὸ καὶ ἀντίπαλο. Τοῦτο εἶναι εἰρήνη ἰσχυρή. Ἐξ ἄλλου ἄγγελοι ἐφαίνοντο στὸ ἑξῆς ἐπάνω στὴ γῆ, ἐπειδὴ καὶ ἄνθρωπος ἐπαρουσιάσθηκε στὸν οὐρανό. Μοῦ φαίνεται δὲ ὅτι καὶ ἡ ἁρπαγὴ τοῦ Παύλου[9] ἔχει συμβῆ ἐξ αἰτίας αὐτοῦ καὶ γιὰ νὰ ἀποδείξη ὅτι καὶ ὁ Υἱὸς ἐκεῖ ἀναλήφθηκε. Στὴ μὲν γῆ λοιπὸν εἶναι διπλὴ ἡ εἰρήνη, καὶ πρὸς τοὺς ἀγγέλους καὶ πρὸς αὐτοὺς τοὺς ἰδίους τοὺς ἀνθρώπους, στοὺς οὐρανοὺς δὲ ἁπλή. Διότι ἂν γιὰ ἕνα ἁμαρτωλό, ποὺ μετανοεῖ, χαίρονται οἱ ἄγγελοι, θὰ χαίρωνται πολὺ περισσότερο γιὰ τόσους πολλούς. Ὅλα αὐτὰ τὰ ἐπέτυχε ἡ δύναμις τοῦ Θεοῦ. Γιατί λοιπόν, λέγει, ἔχετε ἐμπιστοσύνη στοὺς ἀγγέλους; Διότι τόσο πολὺ ἀπέχουν ἐκεῖνοι νὰ σᾶς ὁδηγοῦν πρὸς αὐτόν, ἐπειδὴ καὶ ἐχθροὶ ἦσαν, ἐὰν ὁ ἴδιος ὁ Θεὸς δὲν σᾶς ἐσυμφιλίωνε μὲ ἐκείνους.

4. Γιατί λοιπὸν προστρέχετε πρὸς ἐκείνους; Θέλεις νά μάθης πόσο μῖσος ἔτρεφαν οἱ ἄγγελοι πρὸς ἐμᾶς καὶ πῶς μᾶς ἀπεστρέφοντο πάντοτε; Ἐστέλνοντο γιὰ τιμωρία στοὺς Ἰσραηλίτες, στὸν Δαυίδ, στοὺς κατοίκους τῶν Σοδόμων, στὴν κοιλάδα τοῦ κλαυθμῶνος. Ὄχι ὅμως καὶ τώρα, ἀλλ' ἀντίθετα ἔψαλλαν μὲ ὑπερβολικὴ χαρὰ ἐπάνω στὴ γῆ, καὶ κατέβασε τοὺς ἀγγέλους πρὸς τοὺς ἀνθρώπους, καὶ αὐτοὺς ἀνύψωσε πρὸς τὸν οὐρανό. Καὶ πρόσεξε, παρακαλῶ, τὸ παράδοξο. Αὐτοὺς πρῶτα κατέβασε ἐδῶ καὶ ὕστερα ἀνέβασε τὸν ἄνθρωπο πρὸς αὐτούς. Ἡ γῆ ἔχει γίνει οὐρανός, ἐπειδὴ τοὺς ἀνθρώπους ἐπρόκειτο νὰ δεχθῆ ὁ οὐρανός. Γι' αὐτὸ μὲ εὐγνωμοσύνη λέμε, «Δόξα ἂς εἶναι στὸν Θεὸ στὰ ὕψιστα μέρη τοῦ οὐρανοῦ, εἰρήνη ἂς ἐπικρατήση στὴ γῆ, σύμφωνα μὲ τὴν εὔνοιά του ποὺ ἔδειξε πρὸς τοὺς ἀνθρώπους»[10]. Νά, λέγει, καὶ οἱ ἄνθρωποι ἀπεδείχθησαν εὐάρεστοι στὴ συνέχεια. Τί σημαίνει, εὐδοκία; Συμφιλίωσις· δὲν εἶναι πιὰ ὁ οὐρανὸς τοῖχος ἀνάμεσα σὲ ἀγγέλους καὶ ἀνθρώπους.

Ἀρχικά, σύμφωνα μὲ τὸν ἀριθμὸ τῶν ἐθνῶν, ἦταν καὶ οἱ ἄγγελοι[11]. Τώρα ὅμως ὄχι σύμφωνα μὲ τὸν ἀριθμὸ τῶν ἐθνῶν, ἀλλὰ σύμφωνα μὲ τὸν ἀριθμὸ τῶν πιστῶν. Ἀπὸ ποῦ εἶναι φανερό; Ἄκουε τὸν Χριστό, ὁ ὁποῖος λέγει, «Προσέχετε νὰ μὴ καταφρονήσετε

τῶν μικρῶν τούτων· οἱ γὰρ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς». Ἕκαστος γὰρ πιστὸς ἄγγελον ἔχει, ἐπεὶ καὶ ἐξ ἀρχῆς ἕκαστος ἀνὴρ τῶν εὐδοκίμων ἄγγελον εἶχε· καθώς φησιν ὁ Ἰακώβ, «Ὁ ἄγγελος ὁ τρέφων με, καὶ ὁ ῥυόμενός με ἐκ νεότητός μου». Εἰ τοίνυν ἀγγέλους ἔχομεν, νήφωμεν, καθάπερ παιδαγωγῶν τινων ἡμῖν παρόντων· πάρεστι γὰρ καὶ δαίμων. Διὰ τοῦτο εὐχόμεθα, καὶ λέγομεν αἰτοῦντες τὸν ἄγγελον τῆς εἰρήνης, καὶ πανταχοῦ εἰρήνην, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς λιταῖς, ἐν ταῖς προσρήσεσι· καὶ ἅπαξ, καὶ δίς, καὶ τρίς, καὶ πολλάκις αὐτὴν δίδωσιν ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ὑμῖν. Διὰ τί; Ὅτι αὕτη μήτηρ πάντων τῶν ἀγαθῶν ἐστιν, αὕτη τῆς χαρᾶς ὑπόθεσις.

Διὰ τοῦτο καὶ ὁ Χριστὸς εἰσιοῦσιν εἰς τὰς οἰκίας τοῖς ἀποστόλοις τοῦτο λέγειν προσέταξεν εὐθέως, καθάπερ τι σύμβολον τῶν αγαθῶν. «Εἰσερχόμενοι» γάρ, φησίν, «εἰς τὰς οἰκίας, λέγετε, εἰρήνη ὑμῖν». Ταύτης γὰρ οὐκ οὔσης, πάντα περιττά. Καὶ ὁ Χριστὸς τοῖς μαθηταῖς ἔλεγεν, «Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ἡμῖν». Αὕτη τῇ ἀγάπῃ προοδοποιεῖ. Καὶ οὐ λέγει ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ἡμῖν ἁπλῶς, ἀλλ', εἰρήνη πᾶσι. Τί γάρ, ἂν μετὰ τοῦδε μὲν εἰρήνην ἔχωμεν, μεθ' ἑτέρου δὲ πόλεμον καὶ μάχην; τί τὸ κέρδος; Οὐδὲ γὰρ ἐν τῷ σώματι, ἂν τὰ μὲν ἡσυχάζῃ τῶν στοιχείων, τὰ δὲ διαστασιάζῃ, δυνατὸν ὑγίειαν συνεστάναι ποτέ, ἀλλὰ διὰ τῆς ἁπάντων εὐταξίας καὶ συμφωνίας καὶ εἰρήνης· κἂν μὴ πάντα ἡσυχάζῃ, καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένῃ, πάντα ἀνατραπήσεται. Καὶ ἐν τῇ διανοίᾳ δὲ τῇ ἡμετέρᾳ, ἐὰν μὴ πάντες ἡσυχάζωσιν οἱ λογισμοί, εἰρήνη οὐκ ἔσται.

Τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ εἰρήνη, ὡς υἱοὺς Θεοῦ καλεῖσθαι τοὺς αὐτῆς ποιητὰς καὶ δημιουργούς· εἰκότως· ἐπεὶ καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐπὶ τούτῳ ἦλθεν εἰς τὴν γῆν, εἰρηνοποιήσων τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. Εἰ δὲ οἱ εἰρηνοποιοὶ υἱοὶ τοῦ Θεοῦ, οἱ νεωτεροποιοὶ υἱοὶ διαβόλου. Τί λέγεις; ἔρεις καὶ μάχας ἐμβάλλεις; Καὶ τίς οὕτως ἄθλιος, φησίν; Εἰσὶ γὰρ πολλοὶ χαίροντες ἐπὶ τοῖς κακοῖς, καὶ τὸ σῶμα τοῦ Χριστοῦ διασπῶντες μᾶλλον, ἢ οἱ στρατιῶται τῇ λόγχῃ διέτεμνον, ἢ οἱ Ἰουδαῖοι τοῖς ἥλοις διέκο-

12. Ματθ. 18,10
13. Γεν. 48, 15.16
14. Ματθ. 10,12
15. Ἰω. 14,27

οὔτε ἕνα ἀπὸ τοὺς μικροὺς αὐτούς, διότι οἱ ἄγγελοι αὐτῶν βλέπουν πάντοτε τὸ πρόσωπο τοῦ Πατέρα μου, ποὺ εἶναι στοὺς οὐρανούς»[12]. Κάθε πιστὸς λοιπὸν ἔχει τὸν ἄγγελό του, ἀφοῦ καὶ ἀπὸ τὴν ἀρχὴ κάθε ἔντιμος ἄνδρας εἶχε τὸν ἄγγελό του, καθὼς λέγει ὁ Ἰακώβ, «Ὁ ἄγγελος ποὺ μὲ τρέφει καὶ μὲ προστατεύει ἀπὸ τὴ νεότητά μου»[13]. Ἐὰν λοιπὸν ἔχωμε ἀγγέλους, ἂς εἴμασθε νηφάλιοι, ὡσὰν νὰ εἶναι παρὼν καὶ ὁ διάβολος. Γι' αὐτὸ προσευχόμασθε καὶ λέμε παρακαλώντας τὸν ἄγγελο τῆς εἰρήνης καὶ παντοῦ ζητοῦμε εἰρήνη. Γιατὶ τίποτε δέν εἶναι ἴσο πρὸς αὐτήν. Στὶς ἐκκλησίες ζητοῦμε εἰρήνη, στὶς προσευχές, στὶς παρακλήσεις, στὶς προσφωνήσεις, καὶ ὁ προεστὼς τῆς ἐκκλησίας δίνει αὐτὴν καὶ μία καὶ δύο καὶ τρεῖς καὶ πολλὲς φορές, λέγοντας, εἰρήνη σὲ σᾶς. Γιατί; Διότι αὐτὴ εἶναι ἡ μητέρα ὅλων τῶν ἀγαθῶν, αὐτὴ εἶναι προϋπόθεσις τῆς χαρᾶς.

Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἐπρόσταξε τοὺς ἀποστόλους νὰ λέγουν ἀμέσως αὐτὸ ὅταν θὰ εἰσέρχωνται στὰ σπίτια, σὰν κάποιο σύμβολο τῶν ἀγαθῶν. «Καὶ ὅταν εἰσέρχεσθε», λέγει, «στὰ σπίτια νὰ λέγετε, ἂς ἔλθη εἰρήνη σὲ σᾶς»[14]. Διότι ὅταν δὲν ὑπάρχη αὐτή, ὅλα εἶναι ἄχρηστα. Καὶ ὁ Χριστὸς ἔλεγε στοὺς μαθητές του, «Σᾶς ἀφήνω εἰρήνη, σᾶς δίνω τὴν ἰδική μου εἰρήνη»[15]. Αὐτὴ προετοιμάζει τὸ δρόμο στὴν ἀγάπη. Καὶ δὲν λέγει ὁ προεστὼς τῆς ἐκκλησίας, «εἰρήνη σὲ σᾶς» μόνο, ἀλλά, εἰρήνη σὲ ὅλους. Γιατὶ βέβαια, ἂν ἔχωμε εἰρήνη μὲ κάποιον καὶ μὲ ἄλλον πόλεμο καὶ φιλονικεία, ποιὸ εἶναι τὸ ὄφελος; Διότι οὔτε καὶ στὸ σῶμα, ἂν ἄλλα μέλη εἶναι ἤρεμα, ἄλλα ὅμως συγκρούωνται, εἶναι δυνατὸ νὰ συγκροτήσουν ποτὲ τὴν ὑγεία, ἀλλὰ μὲ τὴν πειθαρχία καὶ συμφωνία καὶ εἰρήνη ὅλων. Καὶ ἂν δὲν ἡσυχάζουν ὅλα, καὶ παραμένουν στὴν ἰδική τους κατάστασι, τὰ πάντα θὰ ἀνατραποῦν. Καὶ μέσα στὴ διάνοιά μας, ἂν δὲν ἡσυχάζουν ὅλες οἱ σκέψεις, δὲν θὰ ὑπάρχη εἰρήνη.

Εἶναι τόσο μεγάλο ἀγαθὸ ἡ εἰρήνη, ὥστε νὰ ἀποκαλοῦνται αὐτοὶ ποὺ τὴν κάνουν καὶ τὴν δημιουργοῦν υἱοὶ Θεοῦ. Καὶ εἶναι φυσικό, ἀφοῦ καὶ ὁ Υἱὸς τοῦ Θεοῦ γιὰ τὸ σκοπὸ αὐτὸ ἦλθε στὴ γῆ, νὰ εἰρηνεύση τοὺς ἀνθρώπους στὴ γῆ καὶ τοὺς ἀγγέλους στοὺς οὐρανούς. Ἐὰν δέ οἱ εἰρηνεύοντες ὀνομάζωνται υἱοὶ τοῦ Θεοῦ, οἱ ἐγείροντες στάσεις υἱοὶ τοῦ διαβόλου. Τί λέγεις; εἰσάγεις ἔριδες καὶ φιλονικεῖες; Καὶ ποιὸς εἶναι, λέγει, τόσο ἄθλιος; Διότι ὑπάρχουν πολλοὶ ποὺ χαίρονται στὰ κακὰ καὶ διασποῦν τὸ σῶμα τοῦ Χριστοῦ περισσότερο, ἀπὸ ὅ,τι οἱ στρατιῶτες ἔκοψαν αὐτὸ μὲ τὴ

ψαν. Ἐκεῖνο τούτου ἔλαττον τὸ κακόν· ἐκεῖνα διατμηθέντα τὰ μέλη πάλιν συνήφθη· ταῦτα δὲ ἀποσπασθέντα, ἂν ἐνθάδε μὴ συναφθῇ, οὐκέτι συναφθήσεται, ἀλλὰ μένει τοῦ πληρώματος ἔξω. Ὅταν βούλῃ τῷ ἀδελφῷ πολεμῆσαι, ἐννόησον ὅτι τοῖς μέλεσι τοῦ Χριστοῦ πολεμεῖς, καὶ παῦσαι τῆς μανίας. Τί γάρ, εἰ ἀπερριμμένος ἐστί; τί γάρ, εἰ εὐτελής; τί γάρ, εἰ εὐκαταφρόνητος; «Οὕτως οὐκ ἔστι θέλημα», φησίν, «ἔμπροσθεν τοῦ Πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων» καὶ πάλιν, «Οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». Ὁ Θεὸς δι' αὐτὸν καὶ σὲ καὶ δοῦλος ἐγένετο, καὶ ἐσφάγη· σὺ δὲ οὐδὲν αὐτὸν εἶναι νομίζεις; Οὐκοῦν μάχη καὶ κατὰ τοῦτο τῷ Θεῷ, τὰς ἐναντίας αὐτῷ φέρων ψήφους.

Ὅταν εἰσέλθῃ ὁ τῆς ἐκκλησίας προεστώς, εὐθέως λέγει, εἰρήνη πᾶσιν· ὅταν ὁμιλῇ, εἰρήνη πᾶσιν· ὅταν εὐλογῇ, εἰρήνη πᾶσιν· ὅταν ἀσπάζεσθαι κελεύῃ, εἰρήνη πᾶσιν· ὅταν ἡ θυσία τελεσθῇ, εἰρήνη πᾶσι· καὶ μεταξὺ πάλιν, χάρις ὑμῖν καὶ εἰρήνη. Πῶς οὖν οὐκ ἄτοπον, εἰ τοσαυτάκις ἀκούοντες εἰρήνην ἔχειν, ἐκπεπολεμώμεθα πρὸς ἀλλήλους; καὶ λαμβάνοντες καὶ ἀντιδιδόντες, τῷ διδόντι τὴν εἰρήνην πολεμοῦμεν; Λέγεις, καὶ τῷ Πνεύματί σου, καὶ διαβάλλεις αὐτὸν ἔξω; Οἴμοι, ὅτι τὰ σεμνὰ τῆς ἐκκλησίας, σχήματα γέγονε πραγμάτων μόνον, οὐκ ἀλήθειά τις· οἴμοι, ὅτι μέχρι ῥημάτων τὰ σύμβολα μένει τοῦ στρατοπέδου τούτου. Ὅθεν καὶ ἀγνοεῖτε διὰ τί λέγεται, εἰρήνη πᾶσιν. Ἀλλ' ἀκούετε τὰ ἑξῆς, τί φησιν ὁ Χριστός. «Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, εἰσερχόμενοι εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν· καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἀποστραφήτω». Διὰ τοῦτο οὐκ ἴσμεν, ὅτι τύπον ῥημάτων νομίζομεν ταῦτα εἶναι, καὶ οὐ συντιθέμεθα τῷ νῷ. Μὴ γὰρ ἐγὼ δίδωμι τὴν εἰρήνην; Ὁ Χριστός, δι' ἡμῶν φθέγγεσθαι καταξιῶν. Εἰ καὶ τὸν ἄλλον ἅπαντα χρόνον κενοὶ τῆς χάριτός ἐσμεν, ἀλλ' οὐ νῦν δι' ὑμᾶς. Εἰ γὰρ εἰς ὄνον ἐνήργησε καὶ εἰς μάντιν ἡ τοῦ Θεοῦ χάρις, δι' οἰκονομίαν καὶ τὴν τῶν Ἰσραηλιτῶν ὠφέλειαν, εὔδηλον ὅτι οὐδὲ εἰς ἡμᾶς παραιτή-

16. Ματθ. 18,14.10
17. Ματθ. 10,11.12.13

λόγχη ἢ οἱ Ἰουδαῖοι ποὺ κατετρύπησαν αὐτὸ μὲ τὰ καρφιά. Ἐκεῖνο τὸ κακὸ εἶναι μικρότερο ἀπὸ αὐτό. Ἐκεῖνα τὰ μέλη, ἀφοῦ ἀπεκόπησαν, ἑνώθηκαν πάλι, αὐτὰ ὅμως ἀφοῦ ἀποχωρισθοῦν, ἐὰν δὲν συνενωθοῦν ἐδῶ, δὲν θὰ συνενωθοῦν πλέον, ἀλλὰ παραμένουν ἔξω ἀπὸ τὸ πλήρωμα τῆς ἐκκλησίας. Ὅταν θέλης νά πολεμήσης τὸν ἀδελφό σου, σκέψου ὅτι πολεμεῖς μὲ τὰ μέλη τοῦ Χριστοῦ καὶ σταμάτησε τὴν παράφορη ὀργή σου. Τί λοιπόν, ἐὰν εἶναι περιφρονημένος; ἐὰν εἶναι ἀσήμαντος; τί λοιπὸν, ἐάν εἶναι εὐκαταφρόνητος; «Ἔτσι δὲν εἶναι θέλημα», λέγει, «τοῦ Πατέρα μου, νὰ χαθῆ ἕνας ἀπὸ τοὺς μικροὺς αὐτούς»· καὶ πάλι, «οἱ ἄγγελοι αὐτῶν βλέπουν πάντοτε τὸ πρόσωπο τοῦ Πατέρα μου, ποὺ εἶναι στοὺς οὐρανούς»[16]. Ὁ Θεὸς γι' αὐτὸν καὶ γιὰ σὲ ἔγινε καὶ δοῦλος καὶ ἐσταυρώθηκε, καὶ ἐσὺ τίποτε δὲν θεωρεῖς αὐτόν; Λοιπὸν μάχεσαι καὶ σὲ αὐτὸ τὸν Θεό, ἀποφασίζοντας τὰ ἀντίθετα πρὸς αὐτόν.

Ὅταν εἰσέλθη στὸ σπίτι ὁ προεστὼς τῆς ἐκκλησίας, ἀμέσως λέγει, εἰρήνη σὲ ὅλους· ὅταν ὁμιλῆ, εἰρήνη σὲ ὅλους· ὅταν εὐλογῆ, εἰρήνη σὲ ὅλους· ὅταν προτρέπη νὰ χαιρετίζωμε, εἰρήνη σὲ ὅλους· ὅταν τελεσθῆ ἡ θυσία, εἰρήνη σὲ ὅλους· καὶ στὸν ἐνδιάμεσο χρόνο πάλι λέγει, χάρις καὶ εἰρήνη σὲ ὅλους. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ἐνῶ τόσες φορὲς ἀκοῦμε νὰ ἔχωμε εἰρήνη, ἐρχόμαστε καὶ πολεμοῦμε ὁ ἕνας τὸν ἄλλο, καὶ ἐνῶ λαμβάνομε καὶ ἀνταποδίδομε, ἐρχόμαστε καί πολεμοῦμε ἐκεῖνον ποὺ δίνει τὴν εἰρήνη; Λέγεις, 'καὶ στὸ Πνεῦμα σου', καὶ συκοφανεῖς αὐτὸν ἔξω στὸν κόσμο; Ἀλλοίμονο, διότι τὰ ἅγια τῆς ἐκκλησίας ἔχουν καταντήσει μόνο κενοὶ τύποι τῶν πραγμάτων, καὶ ὄχι ἀλήθεια. Ἀλλοίμονο, διότι τὰ σύμβολα τοῦ στρατοπέδου αὐτοῦ φθάνουν μέχρι τὰ λόγια. Γι' αὐτὸ καὶ δέν γνωρίζετε γιατί λέγεται, εἰρήνη σὲ ὅλους. Ἀλλὰ ἀκούσατε τὰ ἑπόμενα, τί λέγει ὁ Χριστός. «Σὲ ὅποια δὲ πόλι ἢ χωριὸ θὰ μεταβῆτε, ὅταν εἰσέρχεσθε στὸ σπίτι, χαιρετίσατε αὐτό· καὶ ἐὰν τὸ σπίτι εἶναι ἄξιο, ἂς ἔλθη ἡ εἰρήνη σας σ' αὐτό· ἐὰν ὅμως δὲν εἶναι ἄξιο, ἡ εἰρήνη σας ἂς ἐπιστρέψη σὲ σᾶς»[17]. Γι' αὐτὸ δὲν γνωρίζομε, ἐπειδὴ θεωροῦμε αὐτὰ πὼς εἶναι τύπος μόνο καὶ δὲν τὰ κατανοοῦμε. Μήπως ἐγὼ δίνω τὴν εἰρήνη; Ὁ Χριστός, καταδεχόμενος νὰ ὁμιλῆ διὰ μέσου ἡμῶν. Ἂν καὶ ὅλο τὸν ὑπόλοιπο χρόνο εἴμαστε χωρὶς τὴ χάρι του, ὅμως δὲν εἴμαστε τώρα ἐξ αἰτίας σας. Διότι, ἐὰν ἡ χάρις τοῦ Θεοῦ ἐνήργησε σὲ ὄνο καὶ σὲ μάντι, γιὰ τὴν προστασία καὶ τὴν ὠφέλεια τῶν Ἰσραηλιτῶν, εἶναι ὁλοφάνερο ὅτι οὔτε καὶ σὲ ἐμᾶς θὰ σταματήση νὰ ἐνεργῆ, ἀλλὰ θὰ ἀνεχθῆ καὶ τοῦτο γιὰ τὴν

σεται ἐνεργεῖν, ἀλλ' ἀνέξεται καὶ τοῦτο δι' ὑμᾶς.

5. Μηδεὶς τοίνυν εἴπῃ, ὅτι εὐτελὴς ἐγὼ καὶ ταπεινὸς καὶ οὐδενὸς ἄξιος λόγου, καὶ οὕτω μοι προσεχέτω. Εἰμὶ γὰρ τοιοῦτος· ἀλλ' ἀεὶ ἔθος τῷ Θεῷ διὰ τοὺς πολλοὺς καὶ τοῖς τοιούτοις ἐφίστασθαι. Καὶ ἵνα μάθητε, τῷ Κάϊν κατηξίωσε λαλῆσαι διὰ τὸν Ἄβελ, τῷ διαβόλῳ διὰ τὸν Ἰώβ, τῷ Φαραὼ διὰ τὸν Ἰωσήφ, τῷ Ναβουχοδονόσορ διὰ τὸν Δανιήλ, τῷ Βαλτάσαρ διὰ τὸν αὐτόν. Καὶ μάγοι δὲ ἀποκαλύψεως ἔτυχον, καὶ Καϊάφας προεφήτευσε, χριστοκτόνος ὢν καὶ ἀνάξιος, διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα. Λέγεται καὶ Ἀαρὼν διὰ τοῦτο μὴ λεπρωθῆναι. Διὰ τί γάρ, εἰπέ μοι, ἀμφοτέρων καταλαλησάντων, ἐκείνη μόνη τὴν δίκην ὑπέμεινε; Μὴ θαυμάσῃς· εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀξιώμασι, κἂν μυρία τις κατηγορῆται, οὐ πρότερον εἰς δικαστήριον ἄγεται, ἕως ἂν ἀπόθηται τὴν ἀρχήν, ἵνα μὴ ἐκείνη μετ' αὐτοῦ ὑβρίζηται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρχῆς τῆς πνευματικῆς, κἂν ὁστισοῦν ᾖ, ἐνεργεῖ ἡ τοῦ Θεοῦ χάρις· ἐπεὶ πάντα ἀπόλωλεν· ὅταν δὲ αὐτὴν ἀπόθηται, εἴτε ἀπελθών, εἴτε καὶ ἐνταῦθα, τότε δή, τότε χαλεπωτέραν δώσει τὴν δίκην.

Μὴ δὴ νομίζετε παρ' ἡμῶν ταῦτα λέγεσθαι· ἡ τοῦ Θεοῦ χάρις ἐστὶν ἡ καὶ εἰς ἀνάξιον ἐνεργοῦσα, οὐ δι' ἡμᾶς, ἀλλὰ δι' ὑμᾶς. Ἀκούσατε οὖν τί φησιν ὁ Χριστός· «Ἐὰν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ἡμῶν ἐπ' αὐτήν». Πῶς δὲ ἀξία γίνεται; «Ἐὰν δέξωνται ὑμᾶς», φησίν. «Ἐὰν δὲ μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσι τὸν λόγον ὑμῶν, ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ». Τί οὖν ὄφελος, ὅτι δέχεσθε ἡμᾶς, καὶ οὐκ ἀκούετε τῶν παρ' ἡμῶν λεγομένων; τί τὸ κέρδος, ὅτι θεραπεύετε, καὶ οὐ προσέχετε τοῖς λεγομένοις ὑμῖν; Ἐκείνη ἐστὶ τιμὴ ἡμῖν, ἐκείνη θεραπεία ἡ θαυμαστή, ἡ καὶ ὑμᾶς ὠφελοῦσα καὶ ἡμᾶς, ἐὰν ἡμῶν ἀκούητε. Ἀκούετε καὶ τοῦ Παύλου λέγοντος, «Οὐκ ᾔδειν, ἀδελφοί, ὅτι ἀρχιερεύς ἐστιν». Ἄκουε καὶ τοῦ Χριστοῦ λέγοντος, «Πάντα ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε».

Οὐκ ἐμοῦ καταφρονεῖς, ἀλλὰ τῆς ἱερωσύνης· ἂν ἴδῃς ταύτης γυμνόν, τότε καταφρόνει, τότε οὐδὲ ἐγὼ ἀνέχομαι ἐπιτάττειν.

---

18. Ματθ. 10,13.14.15
19. Πράξ. 23,5
20. Ματθ. 23,3

ἰδική σας ὠφέλεια.

5. Ἄς μὴ εἰπῆ λοιπὸν κανείς, ὅτι ἐγὼ εἶμαι ἀσήμαντος καὶ ταπεινὸς καὶ χωρὶς καμμία ἀξία, καὶ ἔτσι ἄς μὲ προσέχη. Βέβαια εἶμαι τέτοιος, ἀλλὰ πάντοτε συνηθίζει ὁ Θεὸς γιὰ χάρι τῶν πολλῶν νὰ προσέχη καὶ αὐτούς. Καὶ γιὰ νὰ μάθετε, ἐθεώρησε ἄξιο νὰ ὁμιλήση μὲ τὸν Κάιν ἐξ αἰτίας τοῦ Ἄβελ, μὲ τὸ διάβολο ἐξ αἰτίας τοῦ Ἰώβ, μὲ τὸν Φαραὼ ἐξ αἰτίας τοῦ Ἰωσήφ, μὲ τὸν Ναβουχοδονόσορα ἐξ αἰτίας τοῦ Δανιήλ, μὲ τὸν Βαλτάσαρ ἐξ αἰτίας τοῦ ἰδίου. Καὶ οἱ μάγοι ἐγνώρισαν τὴν ἀποκάλυψι, καὶ ὁ Καϊάφας ἐπροφήτευσε, ἄν καὶ ἦταν χριστοκτόνος καὶ ἀνάξιος, ἐξ αἰτίας τοῦ ἀξιώματος τῆς ἱερωσύνης. Λέγεται ὅτι καὶ ὁ Ἀαρὼν ἐξ αἰτίας αὐτοῦ δὲν ἔγινε λεπρός. Γιατί λοιπόν, εἰπέ μου, ἐνῶ καὶ οἱ δύο ἀφθαδίασαν κατὰ τοῦ Θεοῦ, ἐκείνη μόνη ἐτιμωρήθηκε; Μὴ ἀπορήσης· διότι ἐὰν στὰ κοσμικὰ ἀξιώματα, καὶ ἂν ἀκόμη ἔχη κατηγορηθῆ κανεὶς πάρα πολύ, δὲν ὁδηγῆται προηγουμένως στὸ δικαστήριο, πρὶν ἀποθέση τὴν ἐξουσία του, γιὰ νὰ μὴ ὑβρίζεται καὶ ἐκείνη μαζὶ μ' αὐτόν, πολὺ περισσότερο αὐτὸ πρέπει νὰ γίνεται στὴν περίπτωσι τῆς πνευματικῆς ἐξουσίας, ὅπου ὁποιοσδήποτε καὶ ἂν εἶναι, ἐνεργεῖ ἡ χάρις τοῦ Θεοῦ· διότι ἀλλιῶς θὰ εἶχαν χαθῆ τὰ πάντα. Ὅταν ὅμως ἀποθέση τὴν ἐξουσία, εἴτε στὴν ἄλλη ζωή, εἴτε καὶ ἐδῶ, τότε λοιπόν, τότε θά τιμωρηθῆ πιὸ βαριά.

Μὴ νομίζετε ὅτι ἐγὼ τὰ λέγω αὐτά. Ἡ θεία χάρις τὰ λέγει, ἡ ὁποία καὶ σὲ ἀνάξιο ἐνεργεῖ, ὄχι ἐξ αἰτίας μας, ἀλλ' ἐξ αἰτίας σας. Ἀκούσατε λοιπὸν τί λέγει ὁ Χριστός· «Ἐὰν εἶναι τὸ σπίτι ἄξιο, ἄς ἔλθη ἡ εἰρήνη σας σ' αὐτό». Πῶς ὅμως γίνεται ἄξιο; «Ἄν σᾶς δεχθοῦν», λέγει. «Ἄν ὅμως δὲν σᾶς δεχθοῦν, οὔτε ἀκούσουν τὰ λόγια σας, σᾶς λέγω ἀλήθεια, θὰ εἶναι πιὸ ἐπιεικὴς ἡ τιμωρία γιὰ τὰ Σόδομα καὶ Γόμορρα κατὰ τὴν ἡμέρα τῆς κρίσεως, παρὰ γιὰ τὴν πόλι ἐκείνη»[18]. Ποιὰ λοιπὸν εἶναι ἡ ὠφέλεια, ὅτι μᾶς δέχεσθε καὶ δὲν ἀκούετε τὰ λόγια μας; Ποιὸ τὸ κέρδος, ὅτι δέχεσθε θεραπεία καὶ δὲν προσέχετε τὰ λεγομένα σὲ σᾶς; Αὐτὴ εἶναι ἡ τιμὴ γιὰ μᾶς, αὐτὴ ἡ θαυμαστὴ θεραπεία, ἡ ὁποία ὠφελεῖ καὶ ἐσᾶς καὶ ἐμᾶς, ἐὰν δηλαδὴ μᾶς ἀκούετε. Ἀκούετε καὶ τὸν Παῦλο ποὺ λέγει, «Δὲν ἐγνώριζα, ἀδελφοί, ὅτι εἶναι ἀρχιερεύς»[19]. Ἄκουε ἐπίσης καὶ τὸν Χριστὸ ποὺ λέγει, «Ὅλα ὅσα σᾶς λέγουν νὰ φυλάσσετε, νὰ τὰ φυλάσσετε καὶ νὰ τὰ πράττετε»[20].

Δὲν περιφρονεῖς ἐμένα, ἀλλὰ τὴν ἱερωσύνη. Ἄν μὲ ἰδῆς χωρὶς αὐτήν, τότε νὰ μὲ περιφρονῆς, τότε οὔτε ἐγὼ ἀνέχομαι νὰ δίνω

Ἕως δ' ἂν ἐπὶ τοῦ θρόνου τούτου καθώμεθα, ἕως ἂν τὴν προεδρίαν ἔχωμεν, ἔχομεν καὶ τὴν ἀξίαν καὶ τὴν ἰσχύν, εἰ καὶ ἀνάξιοί ἐσμεν. Εἰ ὁ Μωϋσέως θρόνος οὕτως ἦν αἰδέσιμος, ὡς δι' ἐκεῖνον ἀκούεσθαι, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ θρόνος. Ἐκεῖνον ἡμεῖς διεδεξάμεθα· ἀπὸ τούτου φθεγγόμεθα, ἀφ' οὗ καὶ ὁ Χριστὸς ἔθετο ἐν ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. Οἱ πρέσβεις, οἱοίπερ ἂν ὦσι, διὰ τὸ τῆς πρεσβείας ἀξίωμα πολλῆς ἀπολαύουσι τῆς τιμῆς. Ὅρα γάρ· εἰς μέσην βαρβάρων ἔρχονται τὴν γῆν μόνοι, μεταξὺ τοσούτων πολεμίων· καὶ ἐπειδὴ μεγάλα ὁ τῆς πρεσβείας ἰσχύει νόμος, πάντες αὐτοὺς τιμῶσι, πάντες εἰς αὐτοὺς ἀποβλέπουσι, πάντες μετὰ ἀσφαλείας ἐκπέμπουσι. Καὶ ἡμεῖς τοίνυν πρεσβείας ἀνεδεξάμεθα λόγον, καὶ ἥκομεν παρὰ τοῦ Θεοῦ· τοῦτο γάρ ἐστι τὸ τῆς ἐπισκοπῆς ἀξίωμα. Ἥκομεν πρὸς ὑμᾶς πρεσβεύοντες, ἀξιοῦντες καταλῦσαι τὸν πόλεμον, καὶ λέγομεν ἐπὶ τίσιν· οὐ πόλεις ἐπαγγελλόμενοι δώσειν, οὐδὲ σίτου μέτρα τόσα καὶ τόσα, οὐδὲ ἀνδράποδα, οὐδὲ χρυσίον, ἀλλὰ βασιλείαν οὐρανῶν, ζωὴν αἰώνιον, συνουσίαν τὴν μετὰ Χριστοῦ, τὰ ἄλλα ἀγαθά, ἃ μήτε εἰπεῖν ἡμῖν δυνατόν, ἕως ἂν ἐν τῇ σαρκὶ ταύτῃ ὦμεν καὶ τῷ παρόντι βίῳ.

Πρεσβεύομεν τοίνυν· ἀπολαύειν δὲ βουλόμεθα τιμῆς· οὐ δι' ἡμᾶς, μὴ γένοιτο, ἴσμεν γὰρ αὐτῆς τὸ εὐτελές, ἀλλὰ δι' ὑμᾶς, ἵνα ὑμεῖς μετὰ σπουδῆς τὰ παρ' ἡμῶν ἀκούητε, ἵνα ὑμεῖς ὠφελῆσθε, ἵνα μὴ μετὰ ῥᾳθυμίας ἢ ἀπροσεξίας προσέχητε τοῖς λεγομένοις. Οὐχ ὁρᾶτε τοὺς πρέσβεις πῶς πάντες αὐτοὺς περιέπουσιν; Ἡμεῖς Θεοῦ πρέσβεις ἐσμὲν πρὸς ἀνθρώπους. Εἰ δὲ πρόσαντες ὑμῖν τοῦτο, οὐχ ἡμεῖς, ἀλλ' αὐτὴ ἡ ἐπισκοπή· οὐχὶ ὁ δεῖνα, ἀλλ' ὁ ἐπίσκοπος. Μηδείς ἐμοῦ ἀκουέτω, ἀλλὰ τοῦ ἀξιώματος.

Πάντα τοίνυν ποιῶμεν κατὰ τὸ τῷ Θεῷ δοκοῦν, ἵνα εἰς δόξαν Θεοῦ ζήσωμεν, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

προσταγές. Ἐν ὅσω ὅμως συμβαίνει νὰ καθώμασθε ἐπάνω στὸ θρόνο αὐτόν, ἐν ὅσω ἔχομε τὴν ἐξουσία, ἔχομε καὶ τὴν ἀξία καὶ τὴ δύναμι, ἔστω καὶ ἂν εἴμασθε ἀνάξιοι. Ἐὰν ὁ θρόνος τοῦ Μωϋσῆ ἦταν τόσο σεβαστός, ὥστε νὰ ἀκούεται ἐξ αἰτίας ἐκείνου, πολὺ περισσότερο θὰ εἶναι ὁ θρόνος τοῦ Χριστοῦ. Ἐμεῖς εἴμασθε διάδοχοι ἐκείνου. Ἀπὸ τότε ὁμιλοῦμε, ἀπὸ τότε ποὺ ὁ Χριστὸς μᾶς ἀνέθεσε τὴ διακονία τῆς συμφιλιώσεως. Οἱ πρέσβεις, ὁποιοιδήποτε καὶ ἂν εἶναι, ἀπολαμβάνουν μεγάλη τιμὴ ἐξ αἰτίας τοῦ ἀξιώματος ποὺ ἔχουν. Πρόσεχε λοιπόν· ἔρχονται μόνοι στὴ χώρα τῶν βαρβάρων, ἀνάμεσα σὲ τόσους ἀντιπάλους καὶ ἐπειδὴ ἔχει μεγάλο κύρος ὁ νόμος τῆς πρεσβείας, ὅλοι τοὺς τιμοῦν αὐτούς, ὅλοι σὲ αὐτοὺς ἀποβλέπουν, ὅλοι μὲ ἀσφάλεια τοὺς ἀποστέλλουν. Καὶ ἐμεῖς λοιπὸν ἔχομε ἀναλάβει τὸ ἀξίωμα τῆς πρεσβείας, καὶ εἴμασθε ἀπεσταλμένοι τοῦ Θεοῦ, γιατὶ αὐτὸ εἶναι τὸ ἐπισκοπικὸ ἀξίωμα. Ἔχομε ἔλθει πρὸς ἐσᾶς πρεσβεύοντας, ἀξιώνοντας νὰ σταματήσετε τὸν πόλεμο καὶ λέγοντας ἐνώπιον ὅλων· δὲν σᾶς ὑποσχόμασθε ὅτι θὰ σᾶς δώσωμε πόλεις, οὔτε μεγάλες ποσότητες σιταριοῦ, οὔτε δούλους, οὔτε χρυσό, ἀλλὰ τὴ βασιλεία τῶν οὐρανῶν, τὴ ζωὴ τὴν αἰώνιο, τὴ συναναστροφὴ μαζὶ μὲ τὸν Χριστό, τὰ ἄλλα ἀγαθά, τὰ ὁποῖα οὔτε εἶναι δυνατὸ νὰ ἀναφέρωμε, ἕως ὅτου θὰ εἴμασθε μὲ τὸ σῶμα αὐτὸ καὶ στὴν παροῦσα ζωή.

Εἴμασθε πρέσβεις λοιπόν. Καὶ θέλομε νὰ ἀπολαμβάνωμε τιμές, ὄχι γιά ἐμᾶς, μὴ γένοιτο, γιατὶ γνωρίζομε πόσο ἀσήμαντες εἶναι αὐτές, ἀλλὰ γιὰ σᾶς, ὥστε ἐσεῖς μὲ ἐνδιαφέρον νὰ ἀκούετε τὰ λόγια μας, ὥστε ἐσεῖς νὰ ὠφελῆσθε, ὥστε νὰ μὴ προσέχετε μὲ ἀδιαφορία καὶ ἀπροσεξία στὰ λεγόμενα. Δὲν βλέπετε τοὺς πρέσβεις πῶς ὅλοι τοὺς περιποιοῦνται; Ἐμεῖς εἴμασθε πρέσβεις τοῦ Θεοῦ στοὺς ἀνθρώπους. Καὶ ἐὰν σᾶς στενοχωρῆ αὐτό, ὄχι ἐμεῖς, ἀλλὰ αὐτὸ τὸ ἐπισκοπικὸ ἀξίωμα, ὄχι ὁ τάδε, ἀλλὰ ὁ ἐπίσκοπος. Κανεὶς ἂς μὴ ἀκούῃ ἐμένα, ἀλλὰ τὸ ἀξίωμα.

Ἂς κάμνωμε λοιπὸν τὰ πάντα σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, γιὰ νὰ ζήσωμε στὴ δόξα τοῦ Θεοῦ, καὶ νὰ ἀξιωθοῦμε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθῆ σ᾽ αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Δ΄
(Κολ. 1,21–25)

«Καὶ ὑμᾶς ποτε ἐχθροὺς ὄντας καὶ ἀπηλλοτριωμένους τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξε τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ.

1. Ἐνταῦθα λοιπὸν δείκνυσιν, ὅτι καὶ ἀναξίους ὄντας καταλλαγῆς κατήλλαξε. Τῷ μὲν γὰρ εἰπεῖν, ὅτι ὑπὸ τὴν ἐξουσίαν τοῦ σκότους ἦσαν, δείκνυσι τὴν συμφοράν, ἐν ᾗ ἦσαν. Ἀλλ' ἵνα μή, ἀκούσας ἐξουσίαν σκότους, ἀνάγκην νομίσῃς εἶναι, ἐπάγει· «Καὶ ὑμᾶς ὄντας ἀπηλλοτριωμένους»· ὥστε δοκεῖ μὲν τὸ αὐτὸ λέγειν, οὐκ ἔστι δὲ τὸ αὐτό· οὐ γάρ ἐστιν ἴσον ἀνάγκῃ κακῶς παθόντα, καὶ ἑκόντα τοῦτο ὑπομείναντα ἀπαλλάξαι τῶν δεινῶν. Ἐκεῖνος μὲν γὰρ ἐλεεῖσθαι ἄξιος, οὗτος δὲ μισεῖσθαι. Ἀλλ' ὅμως ὑμᾶς, φησίν, οὐχὶ ἄκοντας οὐδὲ ἀναγκαζομένους, ἀλλ' ἑκόντας καὶ μετὰ τοῦ βούλεσθαι ἀποπηδῶντας αὐτοῦ, καὶ ἀναξίους ὄντας ἀπήλλαξε. Καὶ ἐπειδὴ τῶν ἐν τοῖς οὐρανοῖς ἐμνήσθη, δείκνυσιν ὅτι ἡ ἔχθρα πᾶσα ἐντεῦθεν εἶχε τὴν ἀρχήν, οὐκ ἐκεῖθεν. Ἐκεῖνοι μὲν γὰρ πάλαι ἐβούλοντο, καὶ ὁ Θεός· ὑμεῖς δὲ οὐκ ἠθελήσατε. Καὶ διόλου δείκνυσι τοὺς ἀγγέλους μηδὲν ἰσχύσαντας ἐν τοῖς κάτω χρόνοις, εἴγε ἔμενον ἐχθροί· οὔτε πεῖσαι ἠδύναντο, οὔτε πεισθέντας ἀπαλλάξαι τοῦ διαβόλου. Οὐδὲ γὰρ τὸ πεῖσαι εἶχέ τι κέρδος, τοῦ κατέχοντος μὴ δεθέντος· οὐδὲ τὸ δεθῆναι εἶχέ τι κέρδος, τῶν κατεχομένων μὴ βουλομένων ἐπανελθεῖν· ἀλλ' ἀμφότερα ἔδει· ὧν ἐκεῖνοι μὲν οὐδέν, ὁ Χριστὸς δὲ ἀμφότερα πεποίηκεν. Ὥστε τοῦ τὸν θάνατον λῦσαι θαυμασιώτερον τὸ πεῖσαι. Ἐκεῖνο μὲν γὰρ ὅλον αὐτοῦ ἦν, καὶ αὐτὸς μόνος κύριος ἦν·

ΟΜΙΛΙΑ Δ΄
(Κολ. 1,21–25)

«Καὶ σᾶς, ποὺ κάποτε ἤσασθε ἐχθροὶ καὶ ἀποξενωμένοι μὲ τὴν προαίρεσί σας στὰ ἔργα τὰ πονηρά, τώρα ὅμως σᾶς ἐσυμφιλίωσε μὲ τὸ ἀνθρώπινο σῶμα του διὰ τοῦ θανάτου, γιὰ νὰ σᾶς παραστήση ἐνώπιον αὐτοῦ ἁγίους καὶ ἀμέμπτους καὶ ἀπαλλαγμένους ἀπὸ κάθε κατηγορία».

1. Ἐδῶ λοιπὸν ἀποδεικνύει, ὅτι, ἂν καὶ ἦταν ἀνάξιοι συμφιλιώσεως, τοὺς ἐσυμφιλίωσε. Διότι, μὲ τὸ νὰ εἰπῆ, ὅτι ἦσαν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ σκότους, ἀποδεικνύει τὴ συμφορά, μέσα στὴν ὁποία ἐζοῦσαν. Ἀλλὰ γιὰ νὰ μὴ νομίσης, ὅταν ἀκούσης ἐξουσία τοῦ σκότους, ὅτι ὑπάρχει κατ᾽ ἀνάγκη, προσθέτει· «Καὶ σᾶς ποὺ ἤσασθε ἀποξενωμένοι». Ὥστε φαίνεται βέβαια ὅτι τὸ ἴδιο λέγει, δὲν εἶναι ὅμως τὸ ἴδιο. Καθόσον δὲν εἶναι ἴσο τὸ νὰ ὑπέφερε κανεὶς ἀναγκαστικά, καὶ τὸ νὰ ὑπέμεινε αὐτὸ μὲ τὴ θέλησί του καὶ νὰ ἀπαλλάχθηκε ἀπὸ τὰ δεινά. Διότι ἐκεῖνος εἶναι ἄξιος εὐσπλαγχνίας, ἐνῶ αὐτὸς ἄξιος μίσους. Ἀλλὰ ὅμως ἐσᾶς, λέγει, ποὺ ὄχι ἄθελα οὔτε ἀναγκαστικά, ἀλλὰ μὲ τὴ θέλησι καὶ τὴν προαίρεσί σας ἐγκαταλείπατε αὐτὸν καὶ ἤσασθε ἀνάξιοι, σᾶς ἐσυμφιλίωσε. Καὶ ἐπειδὴ ἀνέφερε τοὺς εὑρισκομένους στοὺς οὐρανούς, δείχνει ὅτι ὅλη ἡ ἔχθρα ἀπὸ ἐδῶ ἄρχιζε, ὄχι ἀπὸ ἐκεῖ. Διότι ἐκεῖνοι ἤθελαν πρὸ πολλοῦ, ὅπως καὶ ὁ Θεός, ἐσεῖς ὅμως δὲν ἠθελήσατε. Καὶ ἀποδεικνύει καθαρὰ ὅτι οἱ ἄγγελοι δὲν ἐπέτυχαν τίποτε στὰ μεταγενέστερα χρόνια, ἀφοῦ παρέμεναν ἐχθροί, οὔτε ἠμποροῦσαν νὰ πείσουν, οὔτε ἀφοῦ πεισθοῦν νὰ ἀπομακρύνουν τὸ διάβολο. Διότι οὔτε τὸ νὰ πείσουν παρεῖχε κάποιο ὄφελος, ἂν δὲν ἐδένετο ὁ διάβολος, οὔτε τὸ νὰ δεθῆ παρεῖχε κάποιο κέρδος, ἂν αὐτοὶ ποὺ εἶχε ὑπὸ τὴν ἐξουσία του δὲν ἤθελαν νὰ ἐπιστρέψουν. Συνεπῶς ἐχρειάζοντο καὶ τὰ δύο, ἀπὸ τὰ ὁποῖα ἐκεῖνοι δὲν ἐπέτυχαν κανένα, ὁ Χριστὸς ὅμως ἔχει κάνει καὶ τὰ δύο. Ὥστε τὸ νὰ πείση ἦταν πιὸ θαυμαστὸ ἀπὸ τὸ νὰ καταργήση τὸ θάνατο. Διότι αὐτὸ ἐξηρτᾶτο ἐξ ὁλοκλήρου ἀπὸ αὐτόν, καὶ αὐτὸς μόνος ἦταν κυρίαρχος, ἐκεῖνο ὅμως δὲν ἐξηρτᾶτο μόνο ἀπὸ αὐτόν, ἀλλὰ καὶ ἀπὸ μᾶς· κατορθώ-

τούτου δὲ οὐχὶ αὐτὸς μόνος, ἀλλὰ καὶ ἡμεῖς· εὐκολώτερον δὲ ταῦτα ἀνύομεν, ὧν αὐτοὶ κύριοί ἐσμεν. Ἅτε οὖν καὶ μεῖζον ὄν, ὕστερον αὐτὸ τίθησι.

Καὶ οὐχ ἁπλῶς εἶπεν, ἐχθραίνοντας, ἀλλά, «ἀπηλλοτριωμένους», ὃ πολλῆς ἔχθρας ἐστίν· οὐδὲ «ἠλλοτριωμένους, ἀλλὰ μηδὲ προσδοκῶντας ἐπανελθεῖν. «Καὶ ἐχθρούς», φησί, «τῇ διανοίᾳ». Εἶτα οὐχὶ μέχρι τῆς προαιρέσεως μόνον ἡ ἀλλοτρίωσις, ἀλλὰ τί; «Καὶ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς». Καὶ ἐχθροὶ ἦτε, φησί, καὶ τὰ τῶν ἐχθρῶν ἐπράττετε. «Νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ». Πάλιν τίθησι καὶ τὸν τρόπον τῆς καταλλαγῆς, ὅτι ἐν τῷ σώματι, οὐχ ἁπλῶς πληγείς, οὐδὲ μαστιγωθείς, οὐδὲ πραθείς, ἀλλὰ καὶ ἀποθανὼν τῷ αἰσχίστῳ θανάτῳ. Πάλιν τοῦ σταυροῦ μέμνηται, καὶ πάλιν ἑτέραν τίθησιν εὐεργεσίαν. Οὐ γὰρ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ ὅ φησιν ἀνωτέρω, «τῷ ἱκανώσαντι ἡμᾶς», τοῦτο δὴ καὶ ἐνταῦθα αἰνίττεται. «Διὰ τοῦ θανάτου αὐτοῦ, φησί, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ». Οὐ γὰρ δὴ μόνον τῶν ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ ἐν τοῖς εὐδοκιμηκόσι κατέστησεν. Οὐ γὰρ ἵνα κακῶν ἀπαλλάξῃ μόνον τοσαῦτα ἔπαθεν, ἀλλ' ἵνα καὶ τῶν πρώτων ἐπιτύχωμεν· ὥσπερ ἂν εἴ τις κατάδικον μὴ μόνον τῆς τιμωρίας ἐλευθερώσοι, ἀλλὰ καὶ εἰς τιμὴν ἀναγάγοι.

Καὶ τοῖς οὐδὲν ἡμαρτηκόσιν ἐγκατέταξε· μᾶλλον δὲ οὐ τοῖς μὴ ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς κατωρθωκόσι τὰ μέγιστα· καὶ τὸ δὴ μέγα, ὅτι ἁγιωσύνην τὴν κατενώπιον αὐτοῦ ἔδωκε, καὶ τὸ ἀνέγκλητον. Ἐπίτασις τοῦ ἀμώμου τὸ ἀνέγκλητον, ὅταν μηδὲ μέχρι καταγνώσεως, μηδὲ μέχρι ἐγκλήματος ᾖ πεπραγμένον ἡμῖν. Ἀλλ' ἐπειδὴ τὸ ὅλον αὐτοῦ τέθεικεν, ὅτι διὰ τοῦ θανάτου ταῦτα κατώρθωσεν, τί οὖν, φησί, πρὸς ἡμᾶς; οὐδενός χρῄζομεν; Διὰ τοῦτο ἐπήγαγεν· «Εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου». Τὴν ῥᾳθυμίαν αὐτῶν ἐνταῦθα ἐπικόπτει. Καὶ οὐχ ἁπλῶς εἶπεν, «ἐπιμένετε»· ἔστι γὰρ ἐπιμένειν σαλευόμενον καὶ διχο-

νουμε δὲ εὐκολώτερα αὐτά, τὰ ὁποῖα ἔχομε ὑπὸ τὴν κυριότητά μας. Ἐπειδὴ λοιπὸν ἦταν καὶ μεγαλύτερο αὐτό, τὸ τοποθετεῖ τελευταῖο.

Καὶ δὲν εἶπε μόνο, ἐχθρούς, ἀλλὰ «ἀποξενωμένους», ποὺ εἶναι ἐνδεικτικὸ μεγάλης ἔχθρας· οὔτε ξένους, ἀλλὰ οὔτε νὰ περιμένουν νὰ ἐπιστρέψουν. «Καὶ ἐχθρούς», λέγει, «μὲ τὴν προαίρεσί σας». Ἔπειτα ἡ ἀποξένωσις αὐτῶν δὲν ἔφθανε μόνο μέχρι τὴν προαίρεσί τους, ἀλλὰ τί; «Καὶ μὲ τὰ ἔργα τὰ πονηρά». Καὶ ἐχθροὶ ἤσασθε, λέγει, καὶ ἐκάνατε τὰ ἔργα τῶν ἐχθρῶν. «Τώρα ὅμως σᾶς ἐσυμφιλίωσε μὲ τὸ ἀνθρώπινο σῶμα του διὰ τοῦ θανάτου, γιὰ νὰ σᾶς παραστήση ἐνώπιον αὐτοῦ ἁγίους καὶ ἀμέμπτους καὶ ἀπαλλαγμένους ἀπὸ κάθε κατηγορία». Ἀναφέρει πάλι καὶ τὸν τρόπο τῆς συμφιλιώσεως, ὅτι δηλαδὴ μὲ τὸ σῶμα του, ὄχι μόνο μὲ τὸ ὅτι ἐπληγώθηκε, οὔτε μὲ τὸ ὅτι ἐμαστιγώθηκε, οὔτε μὲ τὸ ὅτι ἐπροδόθηκε, ἀλλὰ καὶ τὸ νὰ πεθάνη μὲ τὸν πιὸ χειρότερο θάνατο. Πάλι ὑπενθυμίζει τὸ σταυρὸ καὶ πάλι ἀναφέρει ἄλλη εὐεργεσία. Διότι ὄχι μόνο μᾶς ἐσυμφιλίωσε, ἀλλὰ καὶ ἐκεῖνο ποὺ λέγει προηγουμένως, «ὁ ὁποῖος μᾶς κατέστησε ἱκανούς», αὐτὸ λοιπὸν ὑπαινίσσεται καὶ ἐδῶ. «Διὰ τοῦ θανάτου του», λέγει, «γιὰ νὰ σᾶς παραστήση ἐνώπιον αὐτοῦ ἁγίους καὶ ἀμέμπτους καὶ ἀπαλλαγμένους ἀπὸ κάθε κατηγορία». Δὲν μᾶς ἐσυγχώρησε μόνο τὰ ἁμαρτήματα, ἀλλὰ καὶ μᾶς ἔκανε ἐνδόξους. Διότι ὄχι μόνο γιὰ νὰ ἀπομακρύνη τὰ κακὰ ἔπαθε τόσα πολλά, ἀλλὰ καὶ γιὰ νὰ ἐπιτύχωμε τὰ πρωτεῖα, ὅπως ἂν κάποιος τὸν κατάδικο θελήση ὄχι μόνο νὰ τὸν ἀπαλλάξη ἀπὸ τὴν τιμωρία, ἀλλὰ καὶ νὰ τὸν τιμήση.

Καὶ κατέστησε κληρονόμους του ἐκείνους ποὺ δὲν ἔχουν ἁμαρτήσει καθόλου, ἢ καλύτερα ὄχι μόνο αὐτούς, ἀλλὰ καὶ ἐκείνους ποὺ ἔχουν ἐπιτύχει τὰ μέγιστα κατορθώματα. Καὶ τὸ μεγαλύτερο βέβαια, ὅτι ἐχάρισε τὴν ἁγιωσύνη του καὶ τὴν ἀπαλλαγὴ ἀπὸ κάθε κατηγορία. Ἡ ἀπαλλαγὴ αὐτὴ ἐπαυξάνει τὸ ἄμεμπτο, ὅταν δὲν ἔχωμε πράξει κάτι ποὺ νὰ εἶναι οὔτε ἄξιο καταδίκης, οὔτε κατηγορίας. Ἐπειδὴ ὅμως ἔχει ἀναθέσει τὰ πάντα σὲ αὐτὸν τὸ ὅτι δηλαδὴ μὲ τὸ θανατό του ἐπέτυχε αὐτά, τί λοιπόν, λέγει, πρός ἐμᾶς; δὲν χρειαζόμασθε τίποτε; Γι' αὐτὸ ἐπρόσθεσε· «Ἐφόσον βέβαια ἐμμένετε στὴν πίστι θεμελιωμένοι καὶ σταθεροὶ καὶ χωρὶς νὰ ἀπομακρύνεσθε ἀπὸ τὴν ἐλπίδα τοῦ εὐαγγελίου». Ἐδῶ ἐπικρίνει τὴν ἀδιαφορία τους. Καὶ δὲν εἶπε ἁπλῶς, «ἐμμένετε», γιατὶ εἶναι δυνατὸ νὰ ἐμμένη κανεὶς ὅταν κλονίζεται καὶ ἀμφιβάλλη, εἶναι

στατοῦντα· ἔστιν ἑστάναι περιφερόμενον καὶ μένειν. «Εἴγε ἐπιμένετε», φησί, «τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι». Βαβαί, ἡλίκῃ κέχρηται τροπῇ· οὐ μόνον μὴ σαλευόμενοι, φησίν, ἀλλὰ μηδὲ κινούμενοι.

Καὶ ὅρα· οὐδὲν φορτικὸν τέως τίθησιν, οὐδὲ ἐπίπονον, ἀλλὰ πίστιν καὶ ἐλπίδα. Τουτέστιν, ἐὰν μένητε πιστεύοντες, ὅτι ἀληθὴς ἡ ἐλπὶς τῶν μελλόντων. Ἐνταῦθα μὲν δυνατόν, ἐπὶ δὲ τῆς ἀρετῆς οὐκ ἔνι μὴ μετασαλευθῆναι, κἂν μικρόν· οὕτως οὐκ ἔστιν ἐπαχθές. «Ἀπὸ τῆς ἐλπίδος», φησί, «τοῦ εὐαγγελίου, οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν». Τίς δέ ἐστιν ἡ ἐλπὶς τοῦ εὐαγγελίου, ἀλλ' ἢ ὁ Χριστός; αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ πάντα ταῦτα ὁ ἐργασάμενος. Ὥστε ὁ ἑτέροις ἐπιγράφων, μετακεκίνηται· πάντα γὰρ ἀπώλεσεν, ἐὰν μὴ εἰς τὸν Χριστὸν πιστεύῃ. «Οὗ ἠκούσατε», φησί. Καὶ πάλιν αὐτοὺς φέρει μάρτυρας, εἶτα τὴν οἰκουμένην ἅπασαν. Οὐ λέγει, τοῦ κηρυττομένου, ἀλλ' ἤδη πιστευθέντος καὶ κηρυχθέντος· ὅπερ καὶ ἀρχόμενος ἐποίησεν, ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας καὶ τούτους στῆσαι βουλόμενος. «Οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος». Καὶ τοῦτο εἰς τὸ ἀξιόπιστον συντελεῖ. «Ἐγώ», φησί, «Παῦλος διάκονος». Μέγα γὰρ αὐτοῦ ἦν τὸ ἀξίωμα λοιπὸν πανταχοῦ ᾀδομένου, καὶ τῆς οἰκουμένης ὄντος διδασκάλου.

2. «Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία». Καὶ ποία αὕτη ἀκολουθία; Δοκεῖ μὲν ἀπηρτῆσθαι, πολλὴν δὲ ἔχει τὴν ἀκολουθίαν. Καί, «διάκονος», φησίν· ἀντὶ τοῦ, οὐδὲν παρ' ἐμαυτοῦ εἰσφέρων, ἀλλὰ τὰ ἑτέρου καταγγέλλων. Οὕτω πιστεύω, ὅτι καὶ πάσχω ὑπὲρ αὐτοῦ· καὶ οὐ πάσχω μόνον, ἀλλὰ καὶ χαίρω πάσχων, πρὸς τὴν ἐλπίδα τὴν μέλλουσαν ὁρῶν· καὶ πάσχω οὐχ ὑπὲρ ἐμαυτοῦ, ἀλλ' ὑπὲρ ὑμῶν. «Καὶ ἀνταναπληρῶ», φησί, «τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου». Δοκεῖ μὲν μέγα εἶναι ὅπερ ἐφθέγξατο, ἀλλ' οὐκ ἔστιν ἀπονοίας, μὴ γένοιτο, ἀλλὰ καὶ πολλῆς φιλοστοργίας τῆς περὶ τὸν Χριστόν· οὐ γὰρ βούλεται αὐτοῦ εἶναι, ἀλλ' ἐκείνου τὰ πάθη, τούτους οἰκειῶσαι αὐτῷ βουλόμενος. Καὶ ἃ ἐγὼ πάσχω, δι' ἐκεῖνον πάσχω,

δυνατὸ νὰ στέκεται καὶ νὰ μένη σταθερὸς ὅταν περιφέρεται. «Ἐὰν βέβαια ἐμμένετε», λέγει, «θεμελιωμένοι καὶ σταθεροὶ καὶ χωρὶς νὰ ἀπομακρύνεσθε». Πῶ, πῶ πόσο μεγάλη προτροπὴ χρησιμοποιεῖ! Ὄχι μόνο χωρὶς νὰ σαλεύωνται, λέγει ἀλλὰ οὔτε νὰ κινοῦνται.

Καὶ πρόσεχε· δὲν ἀναφέρει στὴν ἀρχὴ τίποτε τὸ βαρύ, οὔτε κουραστικό, ἀλλὰ τὴν πίστι καὶ τὴν ἐλπίδα. Δηλαδή, ἐὰν ἐξακολουθῆτε νὰ πιστεύετε, ὅτι εἶναι ἀληθινὴ ἡ ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν. Διότι ἐδῶ μὲν εἶναι δυνατό, στὴν περίπτωση ὅμως τῆς ἀρετῆς δὲν εἶναι δυνατὸ νὰ μὴ μετατοπισθῆ, ἔστω καὶ λίγο. Ἄρα δὲν εἶναι βαρὺ τὸ πρᾶγμα. «Ἀπὸ τὴν ἐλπίδα», λέγει, «τοῦ εὐαγγελίου, τὸ ὁποῖο ἔχετε ἀκούσει καὶ ἔχει κηρυχθῆ σὲ ὅλη τὴν οἰκουμένη ποὺ εὑρίσκεται κάτω ἀπὸ τὸν οὐρανό». Καὶ ποιὰ εἶναι ἡ ἐλπίδα τοῦ εὐαγγελίου, παρὰ ὁ Χριστός; διότι αὐτὸς εἶναι ἡ εἰρήνη μας καὶ ἐκεῖνος ποὺ ἔκανε ὅλα αὐτά. Ὥστε ἐκεῖνος ποὺ παραδέχεται ἄλλα, ἔχει μετακινηθῆ καὶ ἔχασε τὰ πάντα, ἐὰν δὲν πιστεύη στὸν Χριστό. «Τὸ ὁποῖο ἔχετε ἀκούσει», λέγει. Καὶ πάλι αὐτοὺς φέρει μάρτυρας, ἔπειτα δὲ ὅλη τὴν οἰκουμένη. Δὲν λέγει, τὸ ὁποῖο κηρύσσεται, ἀλλὰ τὸ ὁποῖο ἔχει ἤδη πιστευθῆ καὶ κηρυχθῆ, πρᾶγμα ποὺ καὶ στὴν ἀρχὴ ἔκαμε, θέλοντας ἀπὸ τὴ μαρτυρία τῶν πολλῶν καὶ αὐτοὺς νὰ καταστήση σταθεροὺς στὴν πίστι. «Τοῦ ὁποίου ἔγινα ἐγὼ ὁ Παῦλος διάκονος». Καὶ αὐτὸ συντελεῖ στὴν ἀξιοπιστία. «Ἐγώ», λέγει, «ὁ Παῦλος ὁ διάκονος». Διότι ἦταν μεγάλο τὸ ἀξίωμά του πλέον μὲ τὸ νὰ μεταβαίνη παντοῦ καὶ εἶναι διδάσκαλος τῆς οἰκουμένης.

2. «Τώρα χαίρω γιὰ τὰ παθήματά μου ποὺ ὑποφέρω γιὰ σᾶς, καὶ ἀναπληρώνω τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ στὴ σάρκα μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, τὸ ὁποῖο εἶναι ἡ ἐκκλησία». Καὶ ποιὰ εἶναι ἡ σχέση αὐτῶν μὲ τὰ προηγούμενα; Φαίνεται ὅτι ἔχει ἀπομακρυνθῆ, στὴν πραγματικότητα ὅμως ὑπάρχει μεγάλη σχέσις. Καὶ λέγει, «διάκονος», ἀντὶ νὰ εἰπῆ, τίποτε ἀπὸ τὸν ἑαυτό μου δὲν εἰσφέρω, ἀλλὰ κηρύσσω τὴ διδασκαλία ἄλλου. Τόσο πολὺ πιστεύω, γι' αὐτὸ καὶ πάσχω ὑπὲρ αὐτοῦ, καὶ ὄχι μόνο πάσχω, ἀλλὰ καὶ πάσχω μὲ χαρά, ἀποβλέποντας πρὸς τὴ μελλοντικὴ ἐλπίδα. Καὶ πάσχω, ὄχι γιὰ ἐμένα, ἀλλὰ γιὰ τὴ σωτηρία σας. «Καὶ ἀναπληρώνω», λέγει, «τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ στὸ σῶμα μου». Φαίνεται ὅτι εἶναι μεγάλο αὐτὸ ποὺ εἶπε, ἀλλὰ δὲν εἶναι δεῖγμα παραλογισμοῦ, μακριὰ γιὰ τέτοια σκέψις, ἀλλὰ δεῖγμα καὶ μεγάλης ἀγάπης γιὰ τὸν Χριστό· διότι δὲν θέλει νὰ εἶναι ἰδικά του τὰ παθήματα, ἀλλὰ τοῦ Χριστοῦ, ἐπιθυμώντας νὰ καταστήση αὐτοὺς ἰδικούς του. Καὶ αὐτὰ

φησίν· ὥστε μὴ ἐμοὶ χάριν ὁμολογεῖτε, ἀλλ' ἐκείνῳ· αὐτὸς γὰρ πάσχει ταῦτα. Ὥσπερ ἂν εἴ τις πεμφθεὶς πρός τινα, ἕτερον ἀξιώσειε λέγων, παρακαλῶ σε, ὑπὲρ ἐμοῦ ἄπελθε πρὸς τόνδε· εἶτα ἐκεῖνος λέγοι ὅτι διὰ τόνδε ταῦτα ποιῶ. Ὥστε οὐκ ἐπαισχύνεται καὶ ταῦτα αὐτοῦ παθήματα λέγειν. Οὐ γὰρ μόνον ἀπέθανεν ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ μετὰ τὸ ἀποθανεῖν ἕτοιμός ἐστιν θλιβῆναι δι' ὑμᾶς.

Ἐφιλονείκησε καὶ ἐβιάσατο δεῖξαι αὐτὸν καὶ νῦν κινδυνεύοντα ὑπὲρ τῆς ἐκκλησίας διὰ τοῦ ἰδίου σώματος, καὶ πρὸς ἐκεῖνο ἀποτείνεται, ὅτι οὐ δι' ἡμῶν προσάγεσθε, ἀλλὰ δι' αὐτοῦ, κἂν ἡμεῖς ταῦτα ποιῶμεν· οὐ γὰρ οἰκεῖον ἔργον ἀνεδεξάμεθα, ἀλλὰ τὸ ἐκείνου. Καὶ ταὐτόν ἐστιν, ὥσπερ ἂν εἴ τις τάξις λαχοῦσα στρατηγὸν τὸν ὑπερασπίζοντα αὐτῆς, καὶ ἐν τῷ πολέμῳ στήκοι, εἶτα ἀπελθόντος ἐκείνου, ὁ ὑποστράτηγος τὰ ἐκείνου τραύματα ἀναδέξοιτο μέχρι τοῦ λυθῆναι τὸν πόλεμον. Εἶτα ὅτι καὶ δι' αὐτὸν ταῦτα ποιεῖ, ἄκουσον. «Ὑπὲρ τοῦ σώματος αὐτοῦ», φησίν· ἢ τοῦτο θέλων εἰπεῖν, ὅτι οὐχ ὑμῖν χαρίζομαι, ἀλλὰ τῷ Χριστῷ· ἃ γὰρ ἐκεῖνον ἔδει παθεῖν, ἐγὼ πάσχω ἀντ' αὐτοῦ. Ὅρα πόσα κατασκευάζει. Δείκνυσι πολὺ τὸ φίλτρον· ὥσπερ ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγεν, «Ἐν ἡμῖν ἔθετο τὴν διακονίαν τῆς καταλλαγῆς»· καὶ πάλιν, «Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν», τοῦτο καὶ ἐνταῦθά φησιν, ὑπὲρ αὐτοῦ πάσχω, ἵνα μᾶλλον αὐτοὺς ἐπισπάσηται. Τουτέστιν, εἰ καὶ ὁ ὀφείλων ὑμῖν ἀπῆλθεν, ἀλλ' ἐγὼ ἀποδίδωμι. Διὰ γὰρ τοῦτο καὶ ὑστερήματα εἶπεν, ἵνα δείξῃ ὅτι οὐδὲ τὸ πᾶν ἡγεῖται οὐδέπω πεπονθέναι. Ὑπὲρ ὑμῶν, φησί, καὶ μετὰ θάνατον πάσχει, εἴγε ἔτι ἐλλείμματα ἔμεινε.

Τοῦτο ἐν τῇ πρὸς Ῥωμαίους ἑτέρως ποιεῖ λέγων· «Ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν»· δεικνὺς ὅτι οὐκ ἠρκέσθη τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα μυρία ποιεῖ. Οὐ τοίνυν ἑαυτὸν ἐπαίρων ταῦτα λέγει, ἀλλὰ τὸν Χριστὸν δεῖξαι βουλόμενος ἔτι καὶ νῦν ὑπὲρ αὐτῶν φροντίζοντα. Καὶ τὸν λόγον ἀξιόπιστον δείκνυσι τῷ ἐπαγαγεῖν, «ὑπὲρ τοῦ σώματος αὐτοῦ». Ὅτι γὰρ οὕτως ἔχει, καὶ οὐδὲν ἀπεικός, δῆλον ἐκ τοῦ ὑπὲρ τοῦ σώματος αὐτοῦ ταῦτα

---

1. Κολ. 1,12
2. Β' Κορ. 5,18.20
3. Ρωμ. 8,34

ποὺ ἐγὼ πάσχω, τὰ πάσχω γιὰ ἐκεῖνον, λέγει. Συνεπῶς μὴ εὐγνωμονῆτε ἐμένα, ἀλλὰ ἐκεῖνον, διότι αὐτὸς πάσχει αὐτά. Ὅπως ἀκριβῶς ἂν κάποιος, ποὺ ἐστάλθηκε σὲ κάποιον, ζητήση ἀπὸ ἄλλον νὰ κάνη αὐτό, λέγοντας, σὲ παρακαλῶ, πήγαινε γιὰ λογαριασμό μου στὸν τάδε, καὶ ἐκεῖνος ἔπειτα εἰπῆ, ὅτι γιὰ τὸν τάδε κάνω αὐτά. Ὥστε δὲν ἐντρέπεται νὰ ὀνομάζη καὶ αὐτὰ παθήματα αὐτοῦ. Διότι ὄχι μόνο ἐπέθανε γιὰ τὴ σωτηρία μας, ἀλλὰ καὶ μετὰ τὸ θάνατό του εἶναι ἕτοιμος νὰ ὑποφέρη γιὰ σᾶς.

Ἐφιλονείκησε καὶ ἀγωνίσθηκε νὰ ἀποδείξη ὅτι αὐτὸς καὶ τώρα κινδυνεύει ὑπὲρ τῆς ἐκκλησίας μὲ τὸ ἰδικό του σῶμα, καὶ πρὸς ἐκεῖνο ἀπευθύνεται, διότι δὲν σᾶς ὁδηγοῦμε ἐμεῖς, ἀλλὰ αὐτός, ἔστω καὶ ἂν ἐμεῖς κάνωμε αὐτά, καθότι δὲν ἔχομε ἀναλάβει ἰδικό μας ἔργο, ἀλλὰ τὸ ἰδικό του. Καὶ εἶναι τὸ ἴδιο, ὅπως ἂν κάποιο στρατιωτικὸ σῶμα ποὺ ἔχει στρατηγὸ νὰ τὸ ὑπερασπίζη καὶ εὑρίσκεται κατὰ τὴ διάρκεια τοῦ πολέμου στὴ θέσι του, ἔπειτα, ὅταν ἀποχωρήση ὁ στρατηγὸς θελήση νὰ ἀναλάβη ὁ ὑποστράτηγος τὰ τραύματα ἐκείνου μέχρι νὰ σταματήση ὁ πόλεμος. Ἔπειτα τὸ ὅτι καὶ ὑπὲρ τοῦ Χριστοῦ τὰ κάμνει αὐτά, ἄκουσε· «Ὑπὲρ τοῦ σώματος αὐτοῦ», λέγει. Μὲ αὐτὸ θέλει νὰ εἰπῆ, ὅτι δηλαδὴ δὲν κάνω χάρι σὲ σᾶς, ἀλλὰ στὸν Χριστό, διότι ἐκεῖνα ποὺ ἔπρεπε νὰ πάθη αὐτός, ἐγὼ τὰ πάσχω ἀντὶ αὐτοῦ. Πρόσεχε πόσα ἀποδεικνύει. Παρουσιάζει μεγάλη ἀγάπη. Ὅπως ἀκριβῶς ἔλεγε στὴ Β΄ πρὸς Κορινθίους ἐπιστολή, «Μᾶς ἀνέθεσε τὸ κήρυγμα τῆς συμφιλιώσεως», καὶ πάλι, «Ἐνεργοῦμε σὰν ἀπεσταλμένοι τοῦ Χριστοῦ, διότι ὁ Θεὸς παρακαλεῖ διὰ μέσου μας» [2], αὐτὸ καὶ ἐδῶ λέγει, ὑπὲρ τοῦ Χριστοῦ πάσχω, γιὰ νὰ προσελκήση περισσότερο αὐτούς. Δηλαδή, ἂν καὶ ὁ ὀφειλέτης σας ἀπῆλθε, ἐγὼ ὅμως ἀναπληρῶ αὐτόν. Γι' αὐτὸ μάλιστα καὶ ὑστερήματα εἶπε, γιὰ νὰ δείξη ὅτι μέχρι τώρα δὲν πιστεύει ὅτι ἔχει πάθει τὰ πάντα. Γιὰ σᾶς, λέγει, καὶ μετὰ τὸ θάνατο πάσχει, ἐφόσον δηλαδὴ ἔμειναν ἀκόμη ὑπολείμματα.

Αὐτὸ στὴν πρὸς Ρωμαίους τὸ παρουσιάζει διαφορετικά, λέγοντας· «Ὁ ὁποῖος καὶ μεσιτεύει γιὰ μᾶς» [3], γιὰ νὰ δείξη ὅτι δὲν ἐπεριορίσθηκε μόνο στὸ θάνατο, ἀλλὰ καὶ στὴν συνέχεια κάνει πάρα πολλά. Δὲν λέγει λοιπὸν αὐτὰ μὲ σκοπὸ νὰ ἐξυψώση τὸν ἑαυτό του, ἀλλὰ θέλοντας νὰ δείξη ὅτι ὁ Χριστὸς ἀκόμη καὶ τώρα φροντίζει γι' αὐτούς. Καὶ ἀποδεικνύει τὸ λόγο ἀξιόπιστο μὲ τὸ νὰ προσθέση, «ὑπὲρ τοῦ σώματος αὐτοῦ». Τὸ ὅτι πραγματικὰ ἔτσι συμβαίνει καὶ τίποτε δὲν εἶναι παράλογο, εἶναι φανερὸ ἀπὸ τὸ ὅτι

γενέσθαι. Ὅρα πῶς ἡμᾶς συνῆψεν ἑαυτῷ. Τί τοίνυν ἐπεισάγετε διὰ μέσου ἀγγέλους; «Ἧς ἐγὼ ἐγενόμην», φησί, «διάκονος». Τί ἑτέρους ἐπεισάγετε ἀγγέλους; ἐγώ εἰμι διάκονος. Εἶτα δείκνυσιν ὅτι οὐδὲν αὐτὸς ἐποίησεν, εἴγε διάκονός ἐστιν. «Ἧς ἐγενόμην ἐγώ», φησί, «διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ». «Οἰκονομίαν». Ἤτοι τοῦτό φησιν, ὅτι οὕτως ἠθέλησεν, αὐτοῦ ἀπελθόντος, ἡμᾶς διαδέξασθαι τὴν οἰκονομίαν, ἵνα μὴ ὡς ἐγκαταλελειμμένοι διάκεισθε· αὐτὸς γάρ ἐστιν ὁ παθών, αὐτὸς ὁ πρεσβεύων· ἢ τοῦτό φησιν, ὅτι ἐμὲ τὸν μάλιστα πάντων διώκτην διὰ τοῦτο εἴασε διῶξαι, ἵνα ἀξιόπιστος ὦ κηρύσσων, ἢ οἰκονομίαν φησίν, ὅτι οὐκ ἔργα ἐζήτησεν, οὐδὲ πράξεις, οὐδὲ κατορθώματα, ἀλλὰ πίστιν καὶ βάπτισμα· οὐ γὰρ ἂν ἑτέρως ἐδέξασθε τὸν λόγον.

«Εἰς ὑμᾶς», φησί, «πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ». Περὶ τῶν ἐθνῶν λέγει, δεικνὺς αὐτοὺς ἔτι σαλευομένους τῷ εἰπεῖν, «πληρῶσαι». Τὸ γὰρ ἔθνη ἀπερριμμένα δυνηθῆναι τοσοῦτον ὕψος δογμάτων δέξασθαι, οὐχὶ Παύλου ἦν, ἀλλ' οἰκονομίας τῆς τοῦ Θεοῦ· ἐπεὶ ἐγὼ οὐκ ἂν ἴσχυσα, φησί. Δείξας δὴ τὸ μεῖζον, τὰ αὐτοῦ παθήματα τοῦ Χριστοῦ ὄντα, τότε τὸ σαφέστερον ἐπάγει, ὅτι καὶ τοῦτο τοῦ Θεοῦ ἐστι, τὸ πληρῶσαι τὸν λόγον εἰς ὑμᾶς. Καὶ δείκνυσιν ἐνταῦθα οὐ φανερῶς, ὅτι καὶ τοῦτο οἰκονομίας, τὸ νῦν λεχθῆναι, ὅτε δύνασθε ἀκούειν, ἀλλ' οὐκ ἀμελείας, ἀλλ' ὥστε δεκτικοὺς γενέσθαι. Ὁ γὰρ Θεὸς οὐκ ἀθρόως πάντα ποιεῖ, ἀλλὰ κέχρηται συγκαταβάσει διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν. Καὶ τοῦτο αἴτιον τοῦ νῦν παραγενέσθαι τὸν Χριστόν, ἀλλὰ μὴ πάλαι. Καὶ δείκνυσιν ἐν τῷ εὐαγγελίῳ, ὅτι διὰ τοῦτο τοὺς δούλους ἀπέστειλε πρώτους, ἵνα μὴ ἐπὶ τὸν φόνον ἔλθωσι τοῦ υἱοῦ. Εἰ γὰρ οὐδὲ μετὰ τοὺς δούλους ἐλθόντα τὸν υἱὸν ᾐδέσθησαν, πολλῷ μᾶλλον πρὸ τούτου· εἰ τῶν ἐλαττόνων οὐκ ἤκουον προσταγμάτων, πῶς τῶν μειζόνων ἤκουσαν ἄν;

3. Τί οὖν, φησίν; οὐκ εἰσὶν Ἰουδαῖοι καὶ νῦν, καὶ Ἕλληνες ἀτελέστερον διακείμενοι; Τοῦτο λοιπὸν ὑπερβολὴ ῥᾳθυμίας. Τὸ

4. Δηλαδὴ τοὺς προφήτας.
5. Ἕλληνες· μὲ θρησκευτικὴ σημασία. Κατὰ τὸν Χρυσόστομο οἱ Ἕλληνες ἦσαν οἱ ἀσεβεῖς, οἱ εἰδωλολάτραι. Ἡ ἐθνικὴ ἀποκατάστασις τοῦ ὀνόματος τῶν Ἑλλήνων ἔγινε πολὺ ἀργότερα.

αὐτὰ ἔγιναν ὑπὲρ τοῦ σώματος αὐτοῦ. Πρόσεχε πῶς μᾶς ἥνωσε μὲ τὸν ἑαυτό του. Γιατί λοιπὸν εἰσάγετε ἀνάμεσά σας τοὺς ἀγγέλους; «Τῆς ὁποίας ἐγὼ ἔγινα», λέγει, «διάκονος». Γιατί εἰσάγετε ἄλλους ἀγγέλους; ἐγὼ εἶμαι διάκονος. Ἔπειτα ἀποδεικνύει ὅτι τίποτε δὲν ἔκαμε αὐτός, ἂν καὶ εἶναι διάκονος. «Τῆς ἐκκλησίας αὐτῆς», λέγει, «ἔγινα ἐγὼ διάκονος σύμφωνα μὲ τὴν οἰκονομία τοῦ Θεοῦ ποὺ μοῦ ἐδόθηκε, γιὰ νὰ κηρύξω πλήρως τὸ λόγο τοῦ Θεοῦ σὲ σᾶς». «Οἰκονομία». Ἢ λοιπὸν αὐτὸ ἐννοεῖ, ὅτι δηλαδὴ ἔτσι ἠθέλησε, ἐπειδὴ αὐτὸς ἔφυγε, ἐμεῖς πλέον νὰ διαδεχθοῦμε τὴν οἰκονομία, γιὰ νὰ μὴ ζῆτε σὰν ἐγκαταλελειμμένοι, διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔπαθε, αὐτὸς δὲ καὶ ποὺ πρεσβεύει, ἢ ἐννοεῖ αὐτό, ὅτι ἐμένα, ποὺ ἤμουν διώκτης του χειρότερος ἀπὸ ὅλους, γι' αὐτὸ μὲ ἄφησε νὰ τὸν διώξω, ὥστε νὰ εἶμαι ἀξιόπιστος ὅταν κηρύσσω, ἢ οἰκονομία ἐννοεῖ, ὅτι δὲν ἐζήτησε ἔργα, οὔτε πράξεις, οὔτε κατορθώματα, ἀλλὰ πίστι καὶ βάπτισμα· διότι διαφορετικὰ δὲν θὰ ἦταν δυνατὸ νὰ δεχθῆτε τὸ κήρυγμα.

«Σὲ σᾶς», λέγει, «νὰ κηρύξω πλήρως τὸ λόγο τοῦ Θεοῦ». Γιὰ τοὺς ἐθνικοὺς λέγει αὐτό, γιὰ νὰ δείξῃ ὅτι αὐτοὶ ἀκόμη δὲν ἦταν σταθεροὶ μὲ τὸ νὰ εἰπῆ, «νὰ κηρύξω πλήρως». Διότι τὸ νὰ μπορέσουν οἱ περιφρονημένοι ἐθνικοὶ νὰ δεχθοῦν τόσο ὑψηλὲς διδασκαλίες, δὲν ἦταν στὸ χέρι τοῦ Παύλου, ἀλλὰ τῆς οἰκονομίας τοῦ Θεοῦ· καθόσον ἐγὼ δὲν θὰ ἠμποροῦσα, λέγει. Ἀφοῦ ἔδειξε λοιπὸν τὸ μεγαλύτερο, ὅτι δηλαδὴ τὰ παθήματά του ἦταν τοῦ Χριστοῦ, τότε προσθέτει τὸ σαφέστερο, ὅτι καὶ αὐτὸ ἐξαρτᾶται ἀπὸ τὸν Θεό, τὸ νὰ κηρύξω δηλαδὴ πλήρως τὸ λόγο σὲ σᾶς. Καὶ παρουσιάζει ἐδῶ ὄχι φανερὰ ὅμως, ὅτι καὶ τοῦτο εἶναι ἔργο τῆς οἰκονομίας τοῦ Θεοῦ, τὸ νὰ κηρυχθῆ ὁ λόγος τώρα, ὁπότε μπορεῖτε νὰ ἀκούετε, ὄχι ὅμως μὲ ἀμέλεια, ἀλλ' ἔτσι, ὥστε νὰ ἀποδεχθῆτε αὐτόν. Διότι ὁ Θεὸς δὲν κάνει τὰ πάντα ἀμέσως, ἀλλὰ δείχνει συγκατάβασι, ἐξ αἰτίας τῆς μεγάλης του φιλανθρωπίας. Καὶ αὐτὴ εἶναι ἡ αἰτία τὸ ὅτι θέλησε νὰ ἔλθῃ τώρα ὁ Χριστός, καὶ ὄχι παλαιότερα. Καὶ φανερώνει στὸ εὐαγγέλιο, ὅτι γι' αὐτὸ ἀπέστειλε πρῶτα τοὺς δούλους,[4] γιὰ νὰ μὴ φθάσουν στὸ φόνο τοῦ υἱοῦ. Διότι ἀφοῦ δὲν ἐσεβάσθηκαν τὸν υἱό, ἂν καὶ ἦλθε ὕστερα ἀπὸ τοὺς δούλους, πολὺ περισσότερο δὲν θὰ τὸν ἐσέβοντο πρὶν ἀπὸ αὐτό. Ἀφοῦ δὲν ἤκουαν τὶς μικρότερες ἐντολές, πῶς θὰ ἦταν δυνατὸ ν' ἀκούσουν τὶς μεγαλύτερες;

3. Τί λοιπόν, λέγει; δὲν ὑπάρχουν Ἰουδαῖοι καὶ τώρα, καθὼς καὶ Ἕλληνες[5], ποὺ εἶναι πνευματικὰ πιὸ ἀτελεῖς; Τοῦτο εἶναι πλέον

γὰρ μετὰ τοσοῦτον χρόνον, μετὰ τοσαῦτα διδάγματα ἔτι μένειν ἀτελεῖς, πολλῆς νωθείας ἐστίν. Ὅταν οὖν λέγωσιν Ἕλληνες, διὰ τί νῦν ἦλθεν ὁ Χριστός; μὴ τοῦτο ἀφῶμεν λέγειν αὐτούς, ἀλλ', εἰ μὴ κατώρθωσεν, ἐρωτῶμεν. Ὥσπερ γὰρ εἰ καὶ παρὰ τὴν ἀρχὴν ἦλθε καὶ μὴ κατώρθωσεν, οὐκ ἤρκει ἡμῖν πρὸς ἀπολογίαν ὁ καιρός, οὕτως, ἐπειδὴ κατώρθωσεν, οὐκ ἂν εἴημεν δίκαιοι τοῦ καιροῦ τὰς εὐθύνας ὑπέχειν. Οὐδὲ γὰρ ἰατρόν τις τὴν νόσον λύσαντα καὶ ἐπὶ ὑγείαν ἀγαγόντα ἀπαιτεῖ τῆς ἰατρείας τὰς εὐθύνας, οὐδὲ στρατηγὸν νενικηκότα ἐξετάζει, διὰ τί τῷδε τῷ καιρῷ, καὶ διὰ τί ἐν τῷδε τῷ τόπῳ. Ταῦτα γάρ, μὴ κατορθώσαντος, ἦν ἐρωτᾶν· κατορθώσαντος δέ, καὶ ἀποδέχεσθαι. Τίς γάρ, εἰπέ μοι, ἀξιοπιστότερος, ὁ σὸς λογισμὸς καὶ ἡ συκοφαντία, ἢ ἡ τοῦ πράγματος τελειότης; Ἐνίκησεν, ἢ οὐκ ἐνίκησε; τοῦτο δεῖξον· ἐκράτησεν, ἢ οὐκ ἐκράτησεν; ἐξήγαγεν εἰς τέλος ἅπερ εἶπεν, ἢ οὔ; Αὗταί εἰσιν αἱ εὐθῦναι.

Εἰπὲ δή μοι· Θεὸν πάντως ὁμολογεῖς εἶναι, εἰ καὶ μὴ Χριστόν. Ἐρωτῶ δή σε· ἄναρχος ὁ Θεός; Πάντως ἐρεῖς. Εἰπὲ οὖν μοι, διὰ τί μὴ πρὸ μυρίων ἐτῶν τοὺς ἀνθρώπους ἐποίησε; πλείονα γὰρ ἔμελλον ζήσεσθαι χρόνον. Εἰ γὰρ καλὸν τὸ εἶναι, πολλῷ μᾶλλον τὸ ἐπιπλεῖον εἶναι· νῦν δὲ ἐζημιώθησαν ὃν οὐκ ἐγένοντο χρόνον. Ἀλλ' οὐκ ἐζημιώθησαν· τὸ δὲ πῶς, αὐτὸς οἶδεν ὁ πεποιηκώς. Πάλιν σε ἐρωτῶ, διὰ τί μὴ πάντας ἀθρόον ἐποίησεν; ἀλλ' ἡ μὲν τοῦ δεῖνος ψυχὴ τοῦ πρώτου γενομένου τοσαῦτα ἔτη ἔχει οὖσα, ἡ δὲ ἑτέρα ἠλάττωται ἡ μηδέπω γενομένη; διὰ τί τὸν μὲν πρῶτον, τὸν δὲ ὕστερον ἐποίησεν εἰς τόνδε παραχθῆναι τὸν κόσμον; Καίτοι ταῦτα ὄντως ζητήσεως ἄξια, ἀλλ' οὐ πολυπραγμοσύνης· τοῦτο γὰρ οὐδὲ ζητήσεως. Ἐγὼ γὰρ ἐρῶ τὴν αἰτίαν ἥνπερ εἶπον. Ὑπόθου γάρ μοι τὴν ἀνθρωπίνην φύσιν ὥσπερ μίαν τινὰ ἡλικίαν, καὶ τοὺς μὲν πρώτους χρόνους μειρακίου τάξιν ἔχειν τὸ γένος τὸ ἡμέτερον, τοὺς δὲ μετ' ἐκεῖνο νεανίσκου, τούτους δὲ τοὺς ἐγγὺς τοῦ γήρως πρεσβύτου. Λοιπὸν ὅταν ἡ

ὑπερβολικὴ ἀδιαφορία. Διότι τὸ νὰ παραμένουν ἀκόμη ἀτελεῖς ὕστερα ἀπὸ τόσα χρόνια καὶ ὕστερα ἀπὸ τόσες διδασκαλίες, εἶναι δεῖγμα μεγάλης ἀδιαφορίας. Ὅταν λοιπὸν λέγουν οἱ Ἕλληνες, γιατί ἦλθε τώρα ὁ Χριστός; ἂς μὴ τοὺς ἀφήνουμε νὰ τὸ λέγουν αὐτό, ἀλλὰ ἂς τοὺς ἐρωτοῦμε, ἐὰν δὲν ἐπραγματοποίησε τὸ ἔργο του. Διότι ὅπως δὲν θὰ μᾶς ἦταν ἱκανοποιητικὴ δικαιολογία τὸ ἐὰν ἐρχόταν ἀπὸ τὴν ἀρχὴ καὶ δὲν κατώρθωνε νὰ ἐπιτελέση τὸ ἔργο του, ἔτσι δὲν θὰ εἴμασθε δίκαιοι νὰ ἀποδώσωμε τὴν εὐθύνη στὸν καιρό, ἐπειδὴ ἐπέτυχε. Οὔτε βέβαια ἀπαιτεῖ κανεὶς εὐθύνες τῆς θεραπείας ἀπὸ τὸν ἰατρὸ ποὺ ἐθεράπευσε τὴν ἀσθένεια καὶ ἐπανέφερε τὴν ὑγεία, οὔτε ἐξετάζει τὸ νικητὴ στρατηγό, γιατί ἐνίκησε αὐτὴ τὴ χρονικὴ στιγμὴ καὶ γιατί σὲ αὐτὸν τὸν τόπο. Διότι ἦταν δυνατὸ νὰ τὰ ἐρωτοῦμε αὐτὰ ἐὰν δὲν ἐπραγματοποιοῦσε τὸ ἔργο του, ἀφοῦ ὅμως τὸ ἐπραγματοποίησε, πρέπει καὶ νὰ τὸ παραδεχώμασθε. Ποιὸ λοιπὸν εἶναι περισσότερο ἀξιόπιστο, εἰπέ μου, ἡ ἰδική σου σκέψις καὶ ἡ συκοφαντία, ἢ τὸ ἀποτέλεσμα τοῦ πράγματος; Ἐνίκησε ἢ δὲν ἐνίκησε; ἀπόδειξε αὐτό. Ἐκυριάρχησε ἢ δὲν ἐκυριάρχησε; ἐπραγματοποίησε αὐτὰ ποὺ εἶπε ἢ ὄχι; Αὐτὲς εἶναι οἱ εὐθύνες.

Εἰπέ μου λοιπόν· πιστεύεις ὁπωσδήποτε ὅτι ὑπάρχει Θεός, ἂν καὶ δὲν πιστεύεις στὸν Χριστό. Σὲ ἐρωτῶ λοιπόν· εἶναι ἄναρχος ὁ Θεός; Βεβαιότατα, θὰ ἀπαντήσης. Εἰπέ μου λοιπόν· γιατί δὲν ἐδημιούργησε τοὺς ἀνθρώπους πρὶν ἀπὸ πάρα πολλὰ χρόνια; διότι θὰ ἐζοῦσαν περισσότερα χρόνια. Διότι ἐὰν εἶναι καλὸ τὸ νὰ ὑπάρχουν, πολὺ περισσότερο εἶναι τὸ νὰ ὑπάρχουν ἀκόμη πιὸ πολύ. Τώρα ὅμως ἐζημιώθηκαν γιὰ τὰ χρόνια ποὺ δὲν ὑπῆρξαν. Ἀλλὰ δὲν ἐζημιώθηκαν καὶ τὸ πῶς, ὁ ἴδιος ὁ δημιουργὸς γνωρίζει. Πάλι σὲ ἐρωτῶ, γιατί δὲν ἐδημιούργησε ἀμέσως ὅλους τοὺς ἀνθρώπους; ἀλλὰ ἡ ψυχὴ τοῦ τάδε ποὺ ἐδημιουργήθηκε πρῶτος ἔχει τόσα πολλὰ χρόνια, ἡ ἄλλη ὅμως, ποὺ ἀκόμη δὲν ἔχει δημιουργηθῆ, θὰ ἔχει λιγώτερα; γιατί ἔκαμε νὰ δημιουργηθῆ σὲ αὐτὸν τὸν κόσμο ἄλλον πρῶτα καὶ ἄλλον ὕστερα; Ἂν καὶ αὐτὰ εἶναι πράγματι ἄξια ἐρεύνης, ὄχι ὅμως καὶ νὰ πολυεξετάζωμε τὶς λεπτομέρειες, γιατὶ αὐτὸ δὲν ἀξίζει οὔτε κἂν ἐρεύνης. Ἐγὼ λοιπὸν θὰ ἀναφέρω τὴν αἰτία ποὺ εἶπα. Ὑπόθεσε λοιπόν, σὲ παρακαλῶ, ὅτι ἡ ἀνθρώπινη φύσις ἔχει μία ἡλικία, καὶ τὰ πρῶτα χρόνια ὅλοι οἱ ἄνθρωποι εἶναι ἔφηβοι, ἀργότερα νέοι ἄνδρες, καὶ τώρα ποὺ πλησιάζουν τὰ γηρατειὰ γέροντες. Ἐνῶ λοιπὸν ἡ ψυχὴ εὑρίσκεται στὴν ἀκμὴ τῶν δυνάμεων

ψυχὴ ἀκμάζῃ, τῶν τοῦ σώματος μελῶν χαλασθέντων, καὶ τοῦ πολέμου λυθέντος, τότε ἤχθημεν ἐπὶ τὴν φιλοσοφίαν. Καὶ μὴν τοὐναντίον, φησί· μειράκια ὄντα διδάσκομεν. Ἀλλ' οὐ τὰ μεγάλα δόγματα, ἀλλὰ ῥητορείαν, ἀλλὰ δεινότητα λόγων· ταῦτα μὲν οὖν, ὅταν ἀκμάζων γένηται.

Ὅρα καὶ τὸν Θεὸν ταῦτα ποιοῦντα ἐπὶ τῶν Ἰουδαίων. Καθάπερ γὰρ παιδίοις τοῖς Ἰουδαίοις γραμματιστὴν τὸν Μωϋσέα οὕτως αὐτοῖς ἐπέστησε, καὶ καθάπερ ἡμεῖς τὰ στοιχεῖα. «Σκιάν», γάρ, φησίν, «ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων». Καθάπερ ἡμεῖς τοῖς παιδίοις καὶ πλακοῦντας ὠνούμεθα, καὶ ἀργύρια δίδομεν, ἓν μόνον παρ' αὐτῶν ἀπαιτοῦντες, τὸ τέως βαδίζειν ἐπὶ τὸ διδασκαλεῖον· οὕτω καὶ ὁ Θεὸς τότε καὶ πλοῦτον ἔδωκε καὶ τρυφήν, ἓν παρ' αὐτῶν ὠνούμενος μόνον διὰ τῆς πολλῆς συγχωρήσεως, τὸ ἀκούειν Μωϋσέως. Διὰ τοῦτο αὐτοὺς διδασκάλῳ παρέδωκεν, ἵνα μὴ αὐτοῦ καταφρονῶσι, καθάπερ πατρὸς φιλοστόργου. Ὅρα οὖν ὅτι ἐκεῖνον μόνον ἐδεδοίκεσαν. Οὐ γὰρ εἶπον, ποῦ ἐστιν ὁ Θεός; ἀλλά, ποῦ ἐστιν Μωϋσῆς; καὶ παρὼν μόνον φοβερὸς ἦν. Ὅτε γοῦν κακῶς ἔπραξαν, ὅρα πῶς αὐτοὺς ἐκόλασεν. Ὁ μὲν γὰρ Θεὸς αὐτοὺς ἀποκηρῦξαι ἐβούλετο, αὐτὸς δὲ οὐκ ἀφίησι· μᾶλλον δὲ τὸ ὅλον τοῦ Θεοῦ γέγονε, καθάπερ πατρὸς ἀπειλοῦντος, διδασκάλου δὲ παραιτουμένου, καὶ λέγοντος, ὅτι ἐμοὶ συγχώρησον, καὶ ἐκ τοῦ νῦν ἀναδέχομαι. Οὕτως ἐγένετο διδασκαλεῖον ἡ ἔρημος. Καὶ καθάπερ παιδία χρονίσαντα ἐπὶ τῆς διατριβῆς, ἀναχωρῆσαι βούλεται· οὕτω καὶ ἐκεῖνοι τότε συνεχῶς τὴν Αἴγυπτον ἐζήτουν, καὶ ἔκλαιον, λέγοντες, «Ἀπολώλαμεν, ἐξανηλώμεθα, παραπολώλαμεν».

Καὶ τὴν πινακίδα αὐτῶν συνέτριψεν ὁ Μωϋσῆς, γράψας αὐτοῖς καθάπερ ὀνόματά τινα· ὅπερ καὶ διδάσκαλος ποιήσειεν ἄν, τὴν δέλτον λαβών, καὶ ἰδὼν κακῶς γεγραμμένην, καὶ αὐτὴν ῥίπτει τὴν δέλτον, πολὺν θυμὸν ἐνδείξασθαι βουλόμενος· κἂν κατεάξῃ, ὁ πατὴρ οὐ χολᾷ. Αὐτὸς μὲν γὰρ ἐνέκειτο γράφων· ἐκεῖνοι δὲ οὐχ ὁρῶντες εἰς αὐτόν, ἀλλ' ἑτέρωθι ἐστραμμένοι ἠτάκτουν. Καὶ καθάπερ ἐν τῇ διατριβῇ ἀλλήλους τύπτουσιν,

6. Ἀναφέρεται στὸ νόμο τῆς Π.Δ.
7. Ἑβρ. 10,1
8. Ἀριθ. 17,12

της, καὶ ἐνῶ τὰ μέλη τοῦ σώματος κατεστράφηκαν καὶ ὁ πόλεμος ἔπαυσε, τότε ἀρχίζομε τὴ διδασκαλία. Καὶ ὅμως συμβαίνει τὸ ἀντίθετο, λέγει· ἐνῶ εἶναι μικρὰ τὰ παιδιὰ τὰ διδάσκομε. Ὄχι ὅμως τὶς μεγάλες διδασκαλίες, ἀλλὰ τὴ ρητορική, τὴν ἱκανότητα τοῦ λόγου, ἐνῶ αὐτὲς ὅταν πλέον θὰ ὡριμάσουν.

Πρόσεχε καὶ τὸν Θεό, ὁ ὁποῖος ἐφαρμόζει αὐτὰ στοὺς Ἰουδαίους. Διότι σὰν νὰ ἦταν παιδιὰ οἱ Ἰουδαῖοι ἔτσι ὥρισε σ' αὐτοὺς διδάσκαλο τὸν Μωϋσῆ, καὶ σὰν πρὸς παιδιὰ ἐνεργοῦσε αὐτά, ἐνῶ ἐκεῖνος περιέγραφε αὐτὰ σκιωδῶς ὅπως ἐμεῖς τὰ στοιχεῖα. «Διότι ὁ νόμος»[6], λέγει, «περιέχει τὴ σκιὰ τῶν μελλοντικῶν ἀγαθῶν καὶ ὄχι τὴν πραγματικὴ εἰκόνα τῶν πραγμάτων»[7]. Ὅπως ἐμεῖς στὰ παιδιὰ καὶ γλυκὰ ἀγοράζομε καὶ χρήματα δίνομε, ἀπαιτώντας ἀπὸ αὐτὰ ἕνα μόνο πρᾶγμα, τὸ νὰ πηγαίνουν δηλαδὴ γιὰ ἕνα χρονικὸ διάστημα στὸ σχολεῖο, ἔτσι καὶ ὁ Θεὸς ἔδωσε τότε καὶ πλούτη καὶ ἀπολαύσεις, ζητώντας ἔναντι τῆς μεγάλης του αὐτῆς παραχωρήσεως ἕνα μόνο ἀπὸ αὐτούς, τὸ νὰ ἀκούουν δηλαδὴ τὸν Μωϋσῆ. Γι' αὐτὸ τοὺς παρέδωσε σὲ διδάσκαλο, γιὰ νὰ μὴ περιφρονοῦν αὐτόν, σὰν φιλόστοργο πατέρα. Πρόσεχε λοιπὸν ὅτι ἐφοβοῦντο ἐκεῖνον μόνο. Διότι δὲν εἶπαν, ποῦ εἶναι ὁ Θεός; ἀλλά, ποῦ εἶναι ὁ Μωυσῆς; καὶ μόνο ὅτι ἦταν παρὼν τοὺς ἦταν φοβερός. Ὅταν λοιπὸν ἐνήργησαν κακῶς, πρόσεχε πῶς τοὺς ἐτιμώρησε. Διότι ὁ μὲν Θεὸς ἤθελε νὰ τοὺς ἀποκηρύξη, αὐτὸς ὅμως δὲν ἀφήνει· μᾶλλον δὲ ἔγινε ἐξ ὁλοκλήρου τὸ θέλημα τοῦ Θεοῦ, ἀφοῦ σὰν πατέρας ἐφοβέριζε, σὰν διδάσκαλος δὲ παρακαλοῦσε καὶ ἔλεγε, συγχώρεσε ἐμένα καὶ ἀπὸ τώρα ἀναλαμβάνω τὸ ἔργο. Ἔτσι ἔγινε σχολεῖο ἡ ἔρημος. Καὶ ὅπως τὰ παιδιά, ἀφοῦ παραμείνουν ἀρκετὸ χρόνο στὴ διδασκαλία, θέλουν νὰ φύγουν, ἔτσι καὶ ἐκεῖνοι τότε ἐζητοῦσαν συνέχεια τὴν Αἴγυπτο καὶ ἔκλαιαν, λέγοντας, «Ἔχομε καταστραφῆ, ἔχομε ἐξαντληθῆ, ἔχομε χαθῆ ἄδικα».[8]

Καὶ τὴν πινακίδα τους ἐκομμάτιασε ὁ Μωϋσῆς, ἀφοῦ ἔγραψε σὲ αὐτοὺς μερικὰ ὀνόματα, πρᾶγμα ποὺ κάμνει καὶ ὁ διδάσκαλος, ὁ ὁποῖος παίρνοντας τὸ δελτάριο καὶ βλέποντας ὅτι εἶναι κακογραμμένο, πετᾶ καὶ τὸ δελτάριο, θέλοντας νὰ δείξη, τὸ μεγάλο θυμὸ του, καὶ ἂν τὸν σπάση, ὁ πατέρας δὲν θυμώνει. Διότι αὐτὸς ἦταν ἀφοσιωμένος νὰ γράφη, ἐκεῖνοι ὅμως χωρὶς νὰ προσέχουν σ' αὐτόν, ἀλλ', ἔχοντας ἀλλοῦ στραμμένη τὴν προσοχή τους, ἀτακτοῦσαν. Καὶ ὅπως στὸ παιχνίδι κτυποῦνται μεταξὺ τους τὰ παιδιά, ἔτσι καὶ τότε διέταξε νὰ κτυποῦνται μεταξὺ τους καὶ νὰ τιμωροῦνται.

οὕτω καὶ τότε ἀλλήλους τύπτειν ἐκέλευσε καὶ ἀναιρεῖν. Καὶ πάλιν καθάπερ μαθήματα δούς, εἶτα ἀπαιτῶν, καὶ οὐχ εὑρίσκων, ἐκόλαζεν. Οἷον, ποῖα γράμματα τῆς δυνάμεως τοῦ Θεοῦ τὰ γνωριστικά; τὰ ἐν Αἰγύπτῳ; Ναί, φησίν. Ἀλλὰ ταῦτα τὰ γράμματα τὰς πληγὰς ἐδήλου, ὅτι τοὺς ἐχθροὺς κολάζει, καὶ διδασκαλεῖον αὐτοῖς ἦν. Τί γὰρ ἦν ἄλλο ἡ κόλασις τῶν ἐχθρῶν, ἀλλ' ἢ ὑμετέρα εὐεργεσία; Ἄλλως δὲ καὶ εὐηργέτει ὑμᾶς· καὶ ταὐτὸν γέγονεν, οἷον ἂν εἴ τις λέγοι μὲν εἰδέναι τὰ στοιχεῖα, σποράδην δὲ ἐρωτώμενος μὴ εὑρίσκοι, καὶ τύπτοιτο. Οὕτω κἀκεῖνοι ἔλεγον μὲν εἰδέναι τοῦ Θεοῦ τὴν δύναμιν, σποράδην δὲ ἀπαιτούμενοι τὴν γνῶσιν, αὐτὴν οὐ παρείχοντο· διὸ καὶ ἐτύπτοντο.

Εἶδες ὕδωρ; ὀφείλεις ἀναμνησθῆναι τοῦ ὕδατος τοῦ ἐν Αἰγύπτῳ. Ὁ γὰρ ἀπὸ ὕδατος αἷμα ποιήσας, δυνήσεται καὶ τοῦτο ποιῆσαι· ὥσπερ καὶ ἡμεῖς λέγομεν πολλάκις τοῖς παιδίοις, ὅταν ἴδῃς ἐν τῷ βιβλίῳ τὸ α στοιχεῖον, ἀναμνήσθητι ὅτι ἐν τῇ πινακίδι αὐτὸ εἶχες. Εἶδες λιμόν; ἀναμνήσθητι ὅτι αὐτὸς ἦν ὁ τὰ γεννήματα ἀπολέσας. Εἶδες πολέμους; ἀναμνήσθητι τοῦ καταποντισμοῦ. Εἶδες ὅτι μεγάλοι οἱ τὴν γῆν οἰκοῦντες; ἀλλ' οὐ τῶν Αἰγυπτίων μείζους· ὁ ἐκ μέσου αὐτῶν σε λαβών, οὐ πολλῷ μᾶλλον ἔξωθεν ὄντα σώσειεν ἄν; Ἀλλ' οὐκ ᾔδεσαν σκορπιστὰ ἐρωτᾶσθαι τὰ στοιχεῖα· διὰ τοῦτο ἐτύπτοντο. Ἔφαγον καὶ ἔπιον, καὶ ἀπελάκτισαν. Ἔδει ἐν τῷ μάννα μὴ ζητεῖν τρυφήν, τὸ ἀπὸ ταύτης μαθόντας κακόν. Καὶ ταὐτὸν ἐποίουν, οἷον εἰ ἐλεύθερος παῖς εἰς διδασκαλεῖον πεμπόμενος, ἐπιζητοίη τὸ μετὰ τῶν δούλων ἄγεσθαι, καὶ ὑπηρετεῖν αὐτοῖς· οὕτω καὶ οὗτοι Αἴγυπτον ζητοῦντες· καὶ τὴν ἀναγκαίαν καὶ ἐλευθέρῳ πρέπουσαν τροφὴν λαβών, καὶ ἐν τῇ τοῦ πατρὸς τραπέζῃ καθήμενος, τῆς τῶν οἰκετῶν ἀπολαύειν θέλοι τῆς δυσώδους, τῆς ταραχῆς ἐμπεπλησμένης. Καὶ ἔλεγον τῷ Μωϋσῇ, «Ναί, Κύριε, πάντα ὅσα ἂν εἴπῃς ποιήσομεν, καὶ ἀκουσόμεθα». Καὶ ὅπερ ἐπὶ τῶν σφόδρα ἀνελπίστων παίδων γίνεται, τοῦ πατρὸς αὐτοὺς ἀνελεῖν βουλομένου, ὁ διδάσκαλος παραιτεῖται συνεχῶς, τοῦτο καὶ τότε ἐγίνετο.

4. Τί δὴ ταῦτα ἡμῖν εἴρηται; Ὅτι παίδων οὐδὲν διαφέρομεν. Βούλει ἀκοῦσαι καὶ τὰ δόγματα αὐτῶν, ὅτι παίδων ἐστί;

9. Ἐξ. 24,7

Καὶ πάλι σὰν νὰ παρέδινε μαθήματα, ἀπαιτοῦσε ἐν συνεχείᾳ νὰ τὰ φυλλάσσουν, ἐπειδὴ ὅμως δὲν τὰ εὕρισκε, τοὺς ἐτιμωροῦσε. Γιὰ παράδειγμα, ποιὰ γράμματα ἦταν δηλωτικὰ τῆς δυνάμεως τοῦ Θεοῦ; αὐτὰ ποὺ ἐλάμβαναν στὴν Αἴγυπτο; Ναί, λέγει. Ἀλλὰ αὐτὰ τὰ γράμματα ἐφανέρωναν τὶς συμφορές, διότι τιμωρεῖ τοὺς ἐχθροὺς καὶ ἦταν μάθημα σ' αὐτούς. Διότι τί ἄλλο ἦταν ἡ τιμωρία τῶν ἐχθρῶν, παρὰ ἡ ἰδική σας εὐεργεσία; Ἐξ ἄλλου καὶ σᾶς εὐεργετοῦσε. Καὶ ἔχει γίνει τὸ ἴδιο, ὅπως ἂν κανεὶς συνέβαινε νὰ ἰσχυρισθῇ ὅτι γνωρίζει τὰ γράμματα, ὅταν ἐρωτᾶται ὅμως σποραδικὰ δὲν τὰ εὑρίσκει, καὶ ἔτσι τιμωρεῖται. Ἔτσι καὶ ἐκεῖνοι ἔλεγαν ὅτι γνωρίζουν τὴ δύναμι τοῦ Θεοῦ, ὅταν ὅμως τοὺς ἐζητοῦσαν τὴ γνῶσι, δὲν ἀπαντοῦσαν, γι' αὐτὸ καὶ ἐτιμωροῦνταν.

Εἶδες νερό; εἶσαι ὑποχρεωμένος νὰ θυμηθῇς τὸ νερὸ στὴν Αἴγυπτο. Διότι ἐκεῖνος ποὺ ἀπὸ τὸ νερὸ ἔκαμε αἷμα, θὰ μπορέση νὰ κάμη καὶ αὐτό, ὅπως ἀκριβῶς καὶ ἐμεῖς λέμε πολλὲς φορὲς στὰ παιδιά, ὅταν ἰδῇς στὸ βιβλίο τὸ γράμμα α, θυμήσου ὅτι εἶχες αὐτὸ στὴν πινακίδα σου. Εἶδες μεγάλη πεῖνα; θυμήσου ὅτι αὐτὸς ἦταν ποὺ κατέστρεψε τὰ σπαρτά. Εἶδες πολέμους; θυμήσου τὸν καταποντισμό. Εἶδες ὅτι εἶναι πολλοὶ οἱ κάτοικοι τῆς γῆς; δὲν εἶναι ὅμως περισσότεροι ἀπὸ τοὺς Αἰγυπτίους. Αὐτὸς ποὺ σὲ ἅρπαξε ἀνάμεσα ἀπὸ αὐτούς, πολὺ περισσότερο δὲν θὰ σὲ σώση ὅταν εἶσαι ἔξω ἀπ' αὐτούς; Ἀλλὰ δὲν ἐγνώριζαν νὰ τοὺς ἐρωτοῦν σποραδικὰ τὰ γράμματα, γι' αὐτὸ ἐτιμωροῦνταν. Ἔφαγαν καὶ ἤπιαν, καὶ τὸν ἀπέκρουσαν μὲ περιφρόνησι. Ἔπρεπε νὰ μὴ ζητοῦν στὸ μάννα τὴν τρυφή, ἀπὸ τὴν ὁποία ἔμαθαν τὸ κακό. Καὶ ἔκαμναν τὸ ἴδιο, ὅπως ἐὰν ἕνας ἐλεύθερος νέος συνέβαινε νὰ σταλῇ στὸ σχολεῖο, καὶ ἐπεζητοῦσε νὰ ὑπάγη μαζὶ μὲ τοὺς δούλους καὶ νὰ ὑπηρετῇ αὐτούς· καὶ ἐνῶ λαμβάνει τὴν ἀναγκαία καὶ ἁρμόζουσα σὲ ἐλεύθερο τροφὴ καὶ κάθεται στὸ τραπέζι τοῦ πατέρα του, θέλει ν' ἀπολαμβάνη τὸ βρώμικο τραπέζι τῶν δούλων, ποὺ εἶναι γεμᾶτο ἀπὸ ταραχή. Ἔτσι καὶ αὐτοὶ ἐπιζητοῦσαν τὴν Αἴγυπτο καὶ ἔλεγαν στὸν Μωϋσῆ, «Ναί, κύριε, ὅλα ὅσα θὰ μᾶς εἰπῇς θὰ τὰ πράξωμε καὶ θὰ ὑπακούσωμε»[9]. Καὶ αὐτὸ ποὺ συμβαίνει στὴν περίπτωσι τῶν παιδιῶν, ποὺ πάρα πολὺ δύσκολα διορθώνονται, καὶ ὁ πατέρας τους θέλει νὰ τὰ σκοτώση, ἐνῶ ὁ διδάσκαλος τὸν ἱκετεύει συνέχεια, τὸ ἴδιο συνέβαινε καὶ τότε.

4. Γιατί λοιπὸν ἔχουν λεχθῇ αὐτὰ σὲ μᾶς; Διότι δὲν διαφέρομε καθόλου ἀπὸ τὰ παιδιά. Θέλεις νὰ ἀκούσῃς καὶ τὰ δόγματα αὐτῶν,

«Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», φησί, «καὶ ὀδόντα ἀντὶ ὀδόντος». Οὐδὲν γὰρ οὕτω πρὸς ἄμυναν ὥρμηται, ὡς παιδικὴ διάνοια. Ἐπειδὴ γὰρ ἀλογίας ἐστὶ τὸ πάθος, πολλὴ δὲ ἡ ἀλογία, καὶ πολλὴ τοῦ λογισμοῦ ἡ ἐρημία ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, εἰκότως τυραννεῖται ὑπὸ θυμοῦ τὸ παιδίον· καὶ τοσαύτη ἡ τυραννίς, ὥστε πολλάκις προσπταίσαντας καὶ διαναστάντας, ἢ γόνυ τύπτειν ἀγανακτοῦντας, ἢ τὸ ὑποπόδιον καταστρέφεν, καὶ οὕτως ἀναπαύειν αὐτῶν τὴν ὀδύνην καὶ σβεννύναι τὴν ὀργήν. Τοιοῦτόν τι καὶ ὁ Θεὸς ἐποίησεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ διδοὺς ἐκκόπτειν, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ Αἰγυπτίους ἀναιρῶν καὶ Ἀμαληκίτας τοὺς λελυπηκότας αὐτούς. Καὶ τοιαῦτα ἐπαγγέλλεται· ὥσπερ ἂν εἴποι τις, πάτερ, ὁ δεῖνά με ἐτύπτησεν· εἶτ' ἐρεῖ ὁ πατήρ, κακὸς ἄνθρωπος ὁ δεῖνα, καὶ μισήσωμεν αὐτόν· οὕτω καὶ ὁ Θεός, «Τοῖς ἐχθραίνουσί σοι», φησίν, «ἐχθρεύσω, καὶ τοὺς μισοῦντάς σε μισήσω».

Καὶ πάλιν, ὅτε ὁ Βαλαὰμ ηὔχετο, παιδικὴ ἦν ἡ συγκατάβασις ἡ γεγονυῖα αὐτοῖς. Καθάπερ γὰρ ἐπὶ τῶν παίδων, ὅταν τι φοβηθέντες τῶν οὐ φοβερῶν, οἷον ἢ ἔριον, ἢ ἄλλο τι τοιοῦτον, ἐξαίφνης φοβοῦνται, ὥστε μὴ ἐναπομεῖναι αὐτοῖς τὸν φόβον, ἄγομεν ὑπὸ τὰς ἐκείνων χεῖρας αὐτό, καὶ τίτθας ποιοῦμεν ὑποδεικνύειν, οὕτω καὶ ὁ Θεὸς ἐποίησεν· ἐπειδὴ φοβερὸς ἦν ὁ μάντις, ἔτρεψεν αὐτοῦ τὸν φόβον εἰς θάρσος. Καὶ καθάπερ τὰ ἀπογαλακτιζόμενα τῶν παιδίων ἐν καλαθίσκοις πάντα ἔχουσιν· οὕτω κἀκείνοις πάντα ἐδίδου, καὶ πολλὴν τὴν τρυφήν. Ἀλλὰ τὸ παιδίον τὴν θηλὴν ἐπιζητεῖ· οὕτω καὶ οὗτοι τὴν Αἴγυπτον, καὶ τὰ ἐκεῖ κρέα. Ὥστε καὶ διδάσκαλον, καὶ τροφέα, καὶ παιδαγωγὸν οὐκ ἂν τις ἁμάρτοι τὸν Μωϋσέα προσειπών, καὶ πολλὴν τὴν σοφίαν τοῦ ἀνδρός. Οὐ γάρ ἐστιν ἴσον ἀνδρῶν ἤδη φιλοσόφων ἡγεῖσθαι, καὶ παίδων ἀλογίστων ἄρχειν.

Καί, εἰ βούλεσθε καὶ ἕτερον ἀκοῦσαι, καθάπερ ἡ τροφὸς τῷ παιδίῳ λέγει, ὅταν ἀποπατῇς, ἀνάστειλόν σου τὰ ἱμάτια, καὶ μέχρι τοσούτου, ὅταν καθιζάνῃς, οὕτω καὶ ὁ Μωϋσῆς ἐποίει. Πάντα γὰρ τὰ πάθη τυραννεῖ ἐν τοῖς παισίν· οὐδέπω γὰρ ἔχει τὸν ἡνί-

---

10. Λευιτ. 24,20
11. Ἐξ. 23,22
12. *Βαλαάμ·* μάντις τὸ ἐπάγγελμα («προφήτης»). Γιὰ τὴ δρᾶσι του βλ. Ἀριθ. 22,5 ἑ – 31,20· Ἰη. Ναυῆ 13,22 καὶ Β΄ Πέτρου 2,15· Ἀποκ. 2,14· Ἰούδα 11.

ὅτι εἶναι γιὰ παιδιά; «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», λέγει, «καὶ ὀδόντα ἀντὶ ὀδόντος».[10] Διότι τίποτε δὲν φέρεται τόσο ὁρμητικὰ γιὰ ἐκδίκησι, ὅσο τὸ παιδί. Ἐπειδὴ δηλαδὴ τὸ πάθος αὐτὸ εἶναι ἀποτέλεσμα ἐλλείψεως λογικῆς, ὑπάρχει δὲ μεγάλη ἀπερισκεψία καὶ μεγάλη ἔλλειψις λογικοῦ στὴν ἡλικία αὐτή, εἶναι φυσικὸ τὸ παιδὶ νὰ κατατυρρανῆται ἀπὸ τὴν ὀργή. Καὶ εἶναι τόσο μεγάλη ἡ τυρρανίδα αὐτή, ὥστε πολλὲς φορὲς νὰ ὑφίστανται δυστυχήματα, ἀναστατώσεις, ἢ νὰ κτυποῦν τὸ γόνατό τους ἀπὸ ἀγανάκτησι, ἢ νὰ καταστρέφουν τὸ ὑποπόδιο, καὶ ἔτσι νὰ καταπραΰνουν τὸν πόνο τους καὶ νὰ σβήνουν τὴν ὀργή τους. Κάτι τέτοιο ἔκαμε καὶ ὁ Θεός, καὶ ἐπιτρέπει νὰ βγάζουν τὸ μάτι ἔναντι ματιοῦ, καὶ τὸ δόντι ἔναντι δοντιοῦ καὶ καταστρέφει καὶ τοὺς Αἰγυπτίους καὶ τοὺς Ἀμαληκίτες ποὺ εἶχαν ἐνοχλήσει αὐτούς. Καὶ ἐπαγγέλλεται αὐτά. Ὅπως ἂν ἔλεγε κάποιος, πατέρα, ὁ τάδε μὲ ἐκτύπησε, ἔπειτα δὲ ἔλεγε ὁ πατέρας, εἶναι κακὸς ἄνθρωπος ὁ τάδε, καὶ θὰ μισήσωμε αὐτόν, ἔτσι καὶ ὁ Θεὸς λέγει, «Θὰ ἐχθρεύωμαι αὐτοὺς ποὺ θὰ σὲ ἐχθρεύωνται καὶ θὰ μισήσω αὐτοὺς ποὺ θὰ σὲ μισήσουν»[11].

Καὶ πάλι, ὅταν ὁ Βαλαὰμ[12] προσηύχετο, ἦταν παιδικὴ ἡ συγκατάβασις ποὺ εἶχε γίνει σ' αὐτούς. Διότι ὅπως στὴν περίπτωσι τῶν παιδιῶν, ὅταν ἰδοῦν κάτι ποὺ δὲν προκαλεῖ φόβο, ὅπως ἢ μαλλὶ ἢ κάτι ἄλλο τέτοιο, ξαφνικά φοβοῦνται, καὶ γιὰ νὰ μὴ παραμείνη σ' αὐτὰ ὁ φόβος, φέρομε στὰ χέρια τους αὐτὸ καὶ ὑποκρινόμασθε τὴν παραμάννα γιὰ νὰ κάνωμε ὑποδείξεις, ἔτσι ἀκριβῶς ἔκαμε καὶ ὁ Θεός. Ἐπειδὴ ἦταν δειλὸς ὁ μάντης, μετέτρεψε τὸ φόβο του σὲ θάρρος. Καὶ ὅπως τὰ παιδιά, τὰ ὁποῖα παύουν νὰ θηλάζουν, ἔχουν τὰ πάντα σὲ μικρὰ καλάθια, ἔτσι καὶ σὲ ἐκείνους ἔδινε τὰ πάντα καθὼς καὶ πολλὲς ἀπολαύσεις. Ἀλλὰ τὸ παιδὶ ἐπιζητεῖ τὴ θηλή· ἔτσι καὶ αὐτοὶ ἐπιζητοῦν τὴν Αἴγυπτο καὶ τὸ κρέατα ποὺ εἶχαν ἐκεῖ. Ὥστε δὲν θὰ σφάλη κανεὶς ἂν ὀνομάση τὸν Μωϋσῆ καὶ διδάσκαλο καὶ διατροφέα καὶ παιδαγωγὸ καὶ ὅτι εἶχε μεγάλη σοφία αὐτός. Διότι δὲν εἶναι τὸ ἴδιο νὰ ὁδηγῆ κανεὶς ἄνδρας ποὺ μποροῦν ἤδη νὰ σκέπτωνται, καὶ νὰ ἐξουσιάζη παιδιὰ ἀπερίσκεπτα.

Καί, ἐὰν θέλετε νὰ ἀκούσετε καὶ ἄλλο, ὅπως ἡ παραμάννα λέγει στὸ παιδί, ὅταν ἀποπατῆς, ἀνασήκωσε τὰ ροῦχα σου, καὶ μέχρι τόσο ὑψηλά, ὅταν κάθεσαι, ἔτσι καὶ ὁ Μωυσῆς ἔκαμνε. Διότι ὅλα τὰ πάθη ἀσκοῦν τυραννικὴ ἐξουσία στὰ παιδιά, ἐπειδὴ δὲν

οχον· κενοδοξία, ἐπιθυμία, ἀλογία, θυμός, βασκανία, καθάπερ ἐν παισὶν, οὕτως ἐκράτει· ἐνέπτυον, ἔτυπτον τὸν Μωϋσέα. Καὶ καθάπερ παιδίον λαμβάνει λίθον, καὶ πάντες βοῶμεν, ὢ μὴ ῥίψῃς, οὕτω κἀκεῖνοι λίθους ἐλάμβανον κατὰ τοῦ πατρός, ὁ δὲ ἔφευγε. Καὶ καθάπερ εἰ κόσμον τινὰ ἔχοι πατήρ, τὸ παιδίον αἰτεῖ παρ' αὐτοῦ φιλόκοσμον ὄν, οὕτω δὴ οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν πεποιήκασι τῇ ἱερωσύνῃ ἐπαναστάντες. Καὶ βάσκανοι δὲ μάλιστα πάντων ἦσαν, καὶ μικρόψυχοι, καὶ κατὰ πάντα ἀτελεῖς.

Τότε οὖν ἔδει φανῆναι τὸν Χριστόν, εἰπέ μοι; τότε τὰ διδάγματα ταῦτα δοῦναι τὰ φιλόσοφα, ὅτε ἐμαίνοντο ὑπὸ τῆς ἐπιθυμίας, ὅτε ἵπποι ἦσαν θηλυμανεῖς, ὅτε χρημάτων δοῦλοι, ὅτε γαστρός; Ἀλλ' ἐξέχεεν ἂν τὰ τῆς φιλοσοφίας διδάγματα ἀνοήτοις οὖσι διαλεγόμενος· καὶ οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔμαθον ἄν. Καὶ ὥσπερ ὁ πρὸ τῶν στοιχείων ἀναγινώσκειν διδάσκων, οὐδέποτε οὐδὲ τὰ στοιχεῖα διδάξει, οὕτω δὴ καὶ τότε. Ἀλλ' οὐ νῦν· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πολλὴ ἡ ἐπιείκεια, πολλὴ ἡ ἀρετὴ πανταχοῦ καταπεφύτευται. Εὐχαριστῶμεν οὖν ὑπὲρ πάντων, καὶ μὴ πολυπραγμονῶμεν. Τὸν γὰρ καιρὸν οὐχ ἡμεῖς ἴσμεν, ἀλλ' ὁ τοῦ καιροῦ ποιητής, καὶ τῶν αἰώνων δημιουργός. Πάντων τοίνυν αὐτῷ παραχωρῶμεν· τοῦτο γάρ ἐστι δοξάζειν τὸν Θεόν, τὸ μὴ ἀπαιτεῖν εὐθύνας ὧν ποιεῖ. Οὕτω καὶ Ἀβραὰμ δόξαν ἔδωκε τῷ Θεῷ· «Καὶ πληροφορηθείς», φησί, «ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι». Ἐκεῖνος οὐδὲ τὸ μέλλον ἠρώτησεν· ἡμεῖς δὲ καὶ τῶν παρελθόντων ἐξετάζομεν τὸν λόγον. Ὅρα πόση ἡ ἄνοια, πόση ἡ ἀγνωμοσύνη.

Ἀλλὰ παυσώμεθα λοιπόν· οὐδὲν γὰρ ἀπὸ τούτου κέρδος, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη· καὶ εὐγνωμόνως διατεθῶμεν περὶ τὸν ἡμέτερον δεσπότην, καὶ δόξαν ἀναπέμψωμεν τῷ Θεῷ, ἵνα ὑπὲρ ἁπάντων τὴν εὐχαριστίαν ἀναφέροντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

13. Γιὰ τὸ ἐπεισόδιο αὐτὸ βλ. Ἀριθ. κεφ. 16.
14. Ρωμ. 4,21

ἔχουν ἀκόμη τὸν ὁδηγό· ἡ ματαιοδοξία, ἡ ἐπιθυμία, ἡ ἀπερισκεψία, ἡ ὀργὴ καὶ ἡ βασκανία, ὅπως ἐξουσιάζουν τὰ παιδιά, ἔτσι ἐξουσίαζαν καὶ αὐτούς· ἔφτυναν καὶ ἐκτυποῦσαν τὸν Μωϋσῆ. Καὶ ὅπως ἀκριβῶς τὸ παιδὶ ἁρπάζει πέτρα καὶ ὅλοι φωνάζομε, μὴ τὴν πετάξης, ἔτσι καὶ ἐκεῖνοι ἔπαιρναν πέτρες ἐναντίον τοῦ πατέρα τους, ἐκεῖνος ὅμως τὶς ἀπέφευγε. Καὶ ὅπως ἂν συμβῆ νὰ ἔχη ὁ πατέρας κάποιο κόσμημα, τὸ παιδὶ τὸ ζητεῖ ἀπ' αὐτόν, ἐπειδὴ ἀγαπᾶ τὰ κοσμήματα, ἔτσι λοιπὸν εἶχαν κάνει καὶ οἱ ἄνδρες ποὺ ἦσαν μὲ τὸν Δαθὰν καὶ τὸν Ἀβειρών, οἱ ὁποῖοι ἐξηγέρθησαν ἐναντίον τοῦ ἱερατείου[13]. Καὶ ἦσαν περισσότερο ἀπὸ ὅλους φθονηροὶ καὶ μικρόψυχοι καὶ σὲ ὅλα ἀτελεῖς.

Εἰπέ μου, τότε λοιπὸν ἔπρεπε νὰ φανῆ ὁ Χριστός; Τότε ἔπρεπε νὰ δώση τὶς σοφὲς αὐτὲς ἐντολές, ὅταν τοὺς ἐκυρίευε ἡ ἐπιθυμία, ὅταν ἦσαν ἵπποι θηλυπρεπεῖς, ὅταν ἦσαν δοῦλοι τῶν χρημάτων καὶ τῆς κοιλίας; Ἀλλὰ θὰ ἀχρήστευε τὶς διδασκαλίες τῆς πίστεως ἀπευθυνόμενος σ' αὐτοὺς ποὺ ἦσαν ἀνόητοι, καὶ οὔτε αὐτές, οὔτε ἐκεῖνες θὰ ἐμάθαιναν. Καὶ ὅπως αὐτὸς ποὺ διδάσκει πρὶν ἀπὸ τὰ γράμματα νὰ διαβάζουν, οὔτε θὰ διδάξη ποτὲ τὰ γράμματα, ἔτσι ἀκριβῶς συνέβαινε καὶ τότε. Δὲν συμβαίνει ὅμως τώρα ἔτσι, ἀλλὰ μὲ τὴ χάρι τοῦ Θεοῦ ἔχει ἐπικρατήσει παντοῦ μεγάλη ἐπιείκεια, πολλὴ ἀρετή. Ἂς τὸν εὐχαριστοῦμε λοιπὸν γιὰ ὅλα καὶ ἂς μὴ τὰ πολυεξετάζωμε αὐτά. Διότι δὲν γνωρίζομε ἐμεῖς ποιὸς εἶναι ὁ κατάλληλος χρόνος, ἀλλὰ ὁ ποιητὴς τοῦ χρόνου καὶ δημιουργὸς τῶν αἰώνων. Ἂς παραχωρήσωμε λοιπὸν τὰ πάντα σὲ αὐτόν, διότι αὐτὸ σημαίνει νὰ δοξάζωμε τὸν Θεό, νὰ μὴ ζητοῦμε δηλαδὴ εὐθύνες γι' αὐτὰ ποὺ κάνει. Ἔτσι καὶ ὁ Ἀβραὰμ ἐδόξασε τὸν Θεό· «Καὶ ἐσχημάτισε τὴν πεποίθησι», λέγει, «ὅτι ἐκεῖνο ποὺ ὑπόσχεται ὁ Θεός, εἶναι δυνατὸς καὶ νὰ τὸ ἐκτελέση»[14]. Ἐκεῖνος δὲν ἀμφέβαλε οὔτε γιὰ τὸ μέλλον, ἐμεῖς ὅμως ζητοῦμε τὸ λόγο καὶ γιὰ τὰ παρελθόντα. Πρόσεχε πόση εἶναι ἡ ἀνοησία, πόση εἶναι ἡ ἀχαριστία.

Ἀλλὰ ἂς σταματήσωμε πλέον· διότι δὲν προέρχεται ἀπὸ αὐτὸ κανένα κέρδος, ἀπεναντίας δὲ καὶ μεγάλη ζημία. Καὶ ἂς συμπεριφερθοῦμε μὲ εὐγνωμοσύνη πρὸς τὸν ἰδικό μας Κύριο, καὶ ἂς ἀναπέμψωμε δόξα στὸν Θεό, ὥστε ἀφοῦ τὸν εὐχαριστήσουμε γιὰ ὅλα, νὰ ἀξιωθοῦμε τῆς φιλανθρωπίας του, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ε

(Κολ. 1,26 – 2,5)

«Τὸ μυστήριον τὸ ἀποκεκρυμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι, τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ ἵνα παραστήσομεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ».

1. Εἰπὼν ὧν ἐτύχομεν, καὶ δείξας τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν τιμὴν τῶν μεγέθει τῶν δοθέντων, πάλιν ἑτέραν ἐπίτασιν εἰσάγει, ὅτι οὐδὲ πρὸ ἡμῶν τις αὐτὸ ἔμαθεν· ὃ καὶ ἐν τῇ πρὸς Ἐφεσίους ποιεῖ λέγων, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἄλλη τις κτιστὴ δύναμις, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ Υἱὸς ᾔδει. Καὶ οὐχ ἁπλῶς κεκρυμμένον εἶπεν, ἀλλ', «ἀποκεκρυμμένον»· καὶ ὅτι εἰ καὶ νῦν γέγονεν, ἀλλὰ παλαιόν ἐστι, καὶ ἄνωθεν ταῦτα ὁ Θεὸς ἐβούλετο, καὶ οὕτω διατετύπωτο· διὰ τί δὲ, οὐκέτι λέγει. «Ἀπὸ τῶν αἰώνων», φησίν· ἐξ ἀρχῆς, ὥσπερ ἂν εἴποι τις. Καὶ μυστήριον εἰκότως καλεῖ, ὃ οὐδεὶς ᾔδει πλὴν ὁ Θεός. Καὶ ποῦ κεκρυμμένον; Ἐν τῷ Χριστῷ· ὥσπερ ἐν τῇ πρὸς Ἐφεσίους λέγει· ἢ ὥσπερ ὅταν λέγῃ ὁ προφήτης, «Ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ». «Νυνὶ δὲ ἐφανερώθη», φησί, «τοῖς ἁγίοις αὐτοῦ». Ὥστε τῆς οἰκονομίας ἐστὶ τῆς τοῦ Θεοῦ τὸ ὅλον. «Νυνὶ δέ», φησίν, «ἐφανερώθη». Οὐκ εἶπεν, ἐγένετο, ἀλλ', «ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ». Ὥστε καὶ ἔτι νῦν κρύπτεται, εἴγε τοῖς ἁγίοις ἐφανερώθη μόνοις. Μὴ τοίνυν ὑμᾶς ἀπατάτωσαν ἐκεῖνοι· οὐ γὰρ ἴσασι. Διὰ τί

1. Ἐφ. 3,5
2. Ἐφ. 3,9
3. Ψαλμ. 89,3

ΟΜΙΛΙΑ Ε΄
(Κολ. 1,26–2,5)

«Τὸ μυστήριο ποὺ ἦταν κρυμμένο ἀπὸ ὅλους τοὺς αἰῶνες καὶ τὶς γενεές, τώρα ὅμως ἐφανερώθηκε στοὺς ἁγίους του, στοὺς ὁποίους ὁ Θεὸς ἠθέλησε νὰ γνωστοποιήση, πόσο μεγάλος εἶναι ὁ πλοῦτος τῆς δόξας τοῦ μυστηρίου αὐτοῦ στοὺς ἐθνικούς, ὁ ὁποῖος εἶναι ὁ Χριστὸς ἀνάμεσά σας, ἡ ἐλπίδα τῆς αἰώνιας δόξας. Τὸν Χριστὸ αὐτὸν ἐμεῖς κηρύττομε, συμβουλεύοντας κάθε ἄνθρωπο καὶ διδάσκοντας κάθε ἄνθρωπο μὲ κάθε σοφία, γιὰ νὰ παρουσιάσωμε κάθε ἄνθρωπο τέλειο στὴν ἕνωσί του μὲ τὸν Ἰησοῦ Χριστό».

1. Ἀφοῦ εἶπε αὐτὰ ποὺ ἔχομε ἀξιωθῆ καὶ ἀφοῦ ἀπέδειξε τὴ φιλανθρωπία καὶ τὴν τιμὴ τοῦ Θεοῦ μὲ τὸ μέγεθος τῶν δωρεῶν του, ἐπαυξάνει αὐτὴν ἀκόμη περισσότερο, λέγοντας, ὅτι δὲν ἔμαθε αὐτὸ κανεὶς πρὶν ἀπὸ ἐμᾶς. Τὸ ἴδιο κάνει καὶ στὴν πρὸς Ἐφεσίους ἐπιστολή[1], λέγοντας, οὔτε οἱ ἄγγελοι, οὔτε οἱ ἀρχές, οὔτε ὁποιαδήποτε ἄλλη κτιστὴ δύναμις, ἀλλὰ μόνο ὁ Υἱὸς τοῦ Θεοῦ τὸ ἐγνώριζε. Καὶ δὲν εἶπε ἁπλῶς κρυμμένο, ἀλλά, «κρυμμένο ἐπιμελῶς», καὶ ὅτι ἂν καὶ τώρα ἔχει γίνει, εἶναι ὅμως παλαιὸ καὶ ἀπὸ τὴν ἀρχὴ ἤθελε ὁ Θεὸς αὐτὰ καὶ ἔτσι ἔχουν ρυθμισθῆ. Γιὰ ποιὸ λόγο ὅμως ἦταν κρυμμένο, δὲν τὸ λέγει ἀκόμη. «Ἀπὸ τοὺς αἰῶνες», λέγει. Ἀπὸ τὴν ἀρχή, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῆ κανείς. Καὶ σωστὰ ὀνομάζει μυστήριο ἐκεῖνο, ποὺ δὲν ἐγνώριζε κανεὶς πλὴν ὁ Θεός. Καὶ ποῦ ἦταν κρυμμένο; Μέσα στὸν Χριστό· ὅπως στὴν πρὸς Ἐφεσίους[2] λέγει, ἢ ὅπως ὅταν λέγη ὁ προφήτης, «Ἀπὸ τὴν ἀρχὴ τοῦ αἰῶνος καὶ μέχρι τὸ τέλος τοῦ αἰῶνος Ἐσὺ ὑπάρχεις»[3]. «Τώρα ὅμως ἐφανερώθηκε», λέγει, στοὺς ἁγίους αὐτοῦ». Ὥστε τὰ πάντα κατευθύνει ὁ Θεός. «Τώρα ὅμως», λέγει, «ἐφανερώθηκε». Δὲν εἶπε, ἔγινε, ἀλλά, «ἐφανερώθηκε στοὺς ἁγίους αὐτοῦ». Συνεπῶς καὶ τώρα ἀκόμη κρύπτεται, ἀφοῦ ἐφανερώθηκε μόνο στοὺς Χριστιανούς. Ἂς μὴ σᾶς ἐξαπατοῦν λοιπὸν ἐκεῖνοι, γιατὶ δὲν τὸ γνωρίζουν. Γιατί μόνο σ' αὐτούς; «Στοὺς ὁποίους ἠθέλησε», λέγει

μόνοις; «Οἷς ἠθέλησε», φησίν. Ὅρα πῶς πανταχοῦ ἐπιστομίζει τὰς ἐρωτήσεις αὐτῶν. «Οἷς ἠθέλησεν ὁ Θεός», φησί, «γνωρίσαι». Τὸ δὲ θέλειν αὐτοῦ, οὐκ ἄλογον. Χάριτος μᾶλλον ὑπευθύνους ποιῶν, ἢ ἀφιεὶς αὐτοὺς ἐπὶ κατορθώματι μέγα φρονεῖν, εἶπεν, «Οἷς ἠθέλησε γνωρίσαι».

«Τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι». Σεμνῶς εἶπε, καὶ ὄγκον ἐπέθηκεν, ἀπὸ πολλῆς διαθέσεως ἐπιτάσεις ζητῶν ἐπιτάσεων. Καὶ γὰρ καὶ τοῦτο ἐπιτάσεως, τὸ ἀορίστως εἰπεῖν, «ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι». Μάλιστα γὰρ τοῖς ἔθνεσι φαίνεται, καθὼς καὶ ἀλλαχοῦ φησι, «Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν». Φαίνεται μὲν γὰρ καὶ ἐν ἑτέροις, πολλῷ δὲ πλέον ἐν τούτοις ἡ πολλὴ τοῦ μυστηρίου δόξα. Τὸ γάρ ἀθρόον ἀνθρώπους λίθων ἀναισθητοτέρους εἰς ἀγγέλων ἀγαγεῖν ἀξίωμα ἁπλῶς διὰ ψιλῶν ῥημάτων καὶ πίστεως μόνης, χωρὶς ἐργωδίας πάσης, ὄντως δόξα καὶ πλοῦτος μυστηρίου· ὥσπερ ἂν εἴ τις κύνα λιμῷ καὶ ψώρᾳ διεφθαρμένον, αἰσχρόν τινα καὶ δυσειδῆ καὶ οὐδὲ κινεῖσθαι δυνάμενον, ἀλλ' ἐρριμμένον, ἐξαίφνης καὶ ἄνθρωπον ποιήσειε, καὶ ἐπὶ τοῦ θρόνου δείξειε τοῦ βασιλικοῦ. Τοὺς λίθους προσεκύνουν, καὶ τὴν γῆν· ἔμαθον ὅτι καὶ οὐρανοῦ καὶ ἡλίου ἀμείνους εἰσί, καὶ ὁ κόσμος ἅπας αὐτοῖς δουλεύει· αἰχμάλωτοι καὶ δεσμῶται ἦσαν τοῦ διαβόλου· ἀθρόον γεγόνασιν αὐτοῦ τῆς κεφαλῆς ἐπάνω, καὶ ἐπέταττον αὐτῷ, καὶ ἐμάστιζον αὐτόν· δαιμόνων ὄντες αἰχμάλωτοι καὶ δοῦλοι, τοῦ τῶν ἀγγέλων δεσπότου καὶ τῶν ἀρχαγγέλων γεγόνασι σῶμα· οὐδὲ τί ἐστι Θεὸς εἰδότες, γεγόνασιν ἐξαίφνης καὶ σύνθρονοι τοῦ Θεοῦ.

Βούλει μυρίους ἰδεῖν ἀναβαθμούς, οὓς ὑπερεπήδησαν; Ἔδει μαθεῖν πρῶτον, ὅτι οἱ λίθοι οὐ θεοί· δεύτερον, ὅτι καὶ ἀλόγων· τέταρτον, ὅτι καὶ φυτῶν· πέμπτον, ὅτι τὰ ἄκρα συνήγαγον εἰς ταὐτὸν, ὅτι οὐ μόνον λίθοι, ἀλλ' οὐδὲ γῆ, οὐδὲ ζῶα, οὐδὲ φυτά, οὐδὲ ἄνθρωπος, οὐδὲ οὐρανός· ἢ ἄνωθεν πάλιν, ὅτι οὐ λίθοι, οὐ ζῶα, οὐ φυτά, οὐ στοιχεῖα, οὐ τὰ ἄνω, οὐ τὰ κάτω, οὐκ

4. Ρωμ. 15,9

Πρόσεχε πῶς ἀποστομώνει παντοῦ τὶς ἐρωτήσεις τους. «Στοὺς ὁποίους ἠθέλησε ὁ Θεός», λέγει, «Νὰ τὸ γνωστοποιήση». Καὶ τὸ θέλημα αὐτοῦ, δὲν εἶναι παράλογο. Γιὰ νὰ τοὺς κάνη ὑποχρέους εὐγνωμοσύνης περισσότερο, παρὰ νὰ τοὺς ἐπιτρέπη νὰ ὑπερηφανεύωνται γιὰ κάποιο κατόρθωμα, εἶπε «Στοὺς ὁποίους ἠθέλησε νὰ γνωστοποιήση».

«Πόσο μεγάλος εἶναι ὁ πλοῦτος τῆς δόξας αὐτοῦ τοῦ μυστηρίου στοὺς ἐθνικούς». Ὡμίλησε μὲ σεμνότητα καὶ ἐπρόσθεσε μέγεθος, ἐπιδιώκοντας ἀπὸ μεγάλη διάθεσι νὰ τὸ αὐξήση πάρα πολύ. Διότι καὶ αὐτὸ εἶναι ποὺ τὸ ἐπαυξάνει, τὸ ὅτι λέγει ἀόριστα, «ὁ πλοῦτος τῆς δόξας τοῦ μυστηρίου αὐτοῦ στοὺς ἐθνικούς». Πρὸ πάντων λοιπὸν φαίνεται στοὺς ἐθνικούς, καθὼς καὶ ἀλλοῦ λέγει, «Οἱ δὲ ἐθνικοὶ νὰ δοξάσουν τὸν Θεὸ γιὰ τὸ ἔλεός του»[4]. Φαίνεται βέβαια καὶ σὲ ἄλλους ἡ μεγάλη δόξα τοῦ μυστηρίου, πολὺ περισσότερο ὅμως σ' αὐτούς. Διότι τὸ νὰ ὁδηγήση διὰ μιᾶς ἀνθρώπους, ποὺ ἦταν πιὸ ἀναίσθητοι ἀπὸ τὶς πέτρες, στὸ ἀξίωμα τῶν ἀγγέλων, μόνο μὲ τὰ λόγια καὶ τὴν πίστι, χωρὶς κανένα ἔργο, εἶναι πραγματικὰ δόξα καὶ πλοῦτος μυστηρίου· ὅπως ἀκριβῶς δηλαδὴ ἐὰν κανεὶς ἕνα σκυλὶ ἐξαντλημένο ἀπὸ πεῖνα καὶ ψώρα, ἐνοχλητικὸ καὶ ἄσχημο καὶ ποὺ δὲν μπορεῖ νὰ κινῆται, ἀλλ' εἶναι ἐγκαταλελειμμένο, θελήση νὰ τὸ κάμη ξαφνικὰ ἄνθρωπο καὶ νὰ τὸ παρουσιάση ἐπάνω στὸ βασιλικὸ θρόνο. Ἐπροσκυνοῦσαν τὶς πέτρες καὶ τὴ γῆ. Ἔμαθαν ὅτι εἶναι ἀνώτεροι ἀπὸ τὸν οὐρανὸ καὶ τὸν ἥλιο καὶ ὅλος ὁ κόσμος ὑπηρετεῖ αὐτούς. Ἦσαν αἰχμάλωτοι καὶ δέσμιοι τοῦ διαβόλου. Ἀμέσως ἔχουν γίνει κυρίαρχοι αὐτοῦ καὶ τὸν διέταζαν καὶ τὸν ἐκτυποῦσαν. Ἐνῶ ἦσαν αἰχμάλωτοι καὶ δοῦλοι τῶν δαιμόνων, ἔχουν γίνει σῶμα τοῦ Κυρίου τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων. Χωρὶς νὰ γνωρίζουν τί εἶναι ὁ Θεός, ἔχουν γίνει ξαφνικὰ καὶ σύνθρονοι τοῦ Θεοῦ.

Θέλεις νὰ ἰδῆς τὰ πολλὰ σκαλοπάτια ποὺ ἀνέβηκαν; Ἔπρεπε πρῶτα νὰ μάθουν, ὅτι οἱ πέτρες δὲν εἶναι θεοί· δεύτερο, ὅτι ὄχι μόνο δὲν εἶναι θεοί, ἀλλὰ καὶ κατώτερες ἀπὸ τοὺς ἀνθρώπους· τρίτο, ὅτι εἶναι κατώτερες ἀπὸ τὰ ζῶα, τέταρτο, καὶ ἀπὸ τὰ φυτά· πέμπτο, ὅτι τὰ ἄκρα συγκέντρωσαν στὸ ἴδιο ἀκριβῶς σημεῖο, ὅτι ὄχι μόνο οἱ πέτρες δὲν εἶναι θεοί, ἀλλὰ οὔτε ἡ γῆ, οὔτε τὰ ζῶα, οὔτε τὰ φυτά, οὔτε ὁ ἄνθρωπος, οὔτε ὁ οὐρανός. Ἢ ἀπὸ τὴν ἀρχὴ πάλι ἔπρεπε νὰ μάθουν, ὅτι οὔτε οἱ πέτρες, οὔτε τὰ ζῶα, οὔτε τὰ φυτά, οὔτε τά στοιχεῖα, οὔτε τὰ οὐράνια, οὔτε τὰ ἐπίγεια, οὔτε ὁ ἄνθρω-

ἄνθρωπος, οὐ δαίμονες, οὐκ ἄγγελοι, οὐκ ἀρχάγγελοι, οὐχ ἑτέρα τις τῶν ἄνω δυνάμεων ἐκείνων ὑπὸ τῆς ἀνθρωπίνης φύσεως θεραπεύεσθαι ὀφείλει· Καθάπερ ἀπό τινος βυθοῦ ἀνιμωμένους ἔδει μαθεῖν, ὅτι ὁ πάντων δεσπότης οὗτος Θεός ἐστιν, ὅτι θεραπεύειν αὐτὸν μόνον χρή, ὅτι καλὸν ἡ θαυμαστὴ πολιτεία, ὅτι ὁ παρὼν θάνατος οὐ θάνατος, ὅτι ἡ ζωὴ οὐ ζωή, ὅτι τὸ σῶμα ἀνίσταται, ὅτι ἄφθαρτον γίνεται, ὅτι εἰς οὐρανοὺς ἄνεισιν, ὅτι ἀθανασίας ἐπιτυγχάνει, ὅτι μετὰ ἀγγέλων ἕστηκεν, ὅτι μεθίσταται. Ἀλλὰ τοῦτον τὸν ἐκεῖ κάτω, ταῦτα πάντα ὑπερπηδήσαντα, ἄνω ἐκάθισεν ἐπὶ τοῦ θρόνου, τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων καὶ τῶν θρόνων καὶ τῶν κυριοτήτων ποιήσας κυριώτερον τὸν ὑποκάτω λίθων ὄντα. Ὄντως «τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου»; Ὥσπερ ἂν εἴ τις μωρόν τινα φιλόσοφον ἐξαίφνης δείξειε· μᾶλλον δὲ ὅσα ἂν εἴπῃ τις, οὐδὲν ἐρεῖ· καὶ γὰρ τὰ τοῦ Παύλου ἀόριστά ἐστι.

«Τίς ὁ πλοῦτος», φησί, «τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν». Πάλιν ἔδει μαθεῖν, ὅτι ὁ πάντων ἀνώτερος, καὶ ὁ ἀγγέλων καὶ ἀρχῶν καὶ τῶν ἄλλων ἁπασῶν δυνάμεων κρατῶν, κατέβη κάτω, καὶ ἄνθρωπος γέγονε, καὶ μυρία ἔπαθε, καὶ ἀνέστη, καὶ ἀνελήφθη. Ταῦτα πάντα μυστηρίου ἦν. Καὶ μετ' ἐγκωμίου τίθησι λέγων, «ὅς ἐστι Χριστὸς ἐν ὑμῖν». Εἰ δὲ ἐν ὑμῖν ἐστι, τί ἀγγέλους ζητεῖτε; «Τοῦ μυστηρίου τούτου». Ἔστι γὰρ καὶ ἄλλο μυστήριον. Ἀλλὰ τοῦτο ὄντως μυστήριον, ὃ οὐδεὶς οἶδεν, ὅ ἐστι θαυμαστόν, ὃ παρὰ τὴν κοινὴν προσδοκίαν, ὃ ἐκρύπτετο. «Ὅς ἐστι Χριστὸς ἐν ὑμῖν», φησίν, «ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν», ἄνωθεν αὐτὸν φέροντες· ὃν ἡμεῖς, οὐκ ἄγγελοι· «διδάσκοντες καὶ νουθετοῦντες», οὐκ ἐπιτακτικῶς οὐδὲ μετὰ ἀνάγκης· καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ μὴ τυραννικῶς προσάγεσθαι. Ἐπειδὴ τό, «διδάσκοντες», μέγα ἦν, ἐπήγαγε, «νουθετοῦντες», ὅπερ ἦν μᾶλ-

πος, οὔτε οἱ δαίμονες, οὔτε οἱ ἄγγελοι, οὔτε οἱ ἀρχάγγελοι, οὔτε κάποια ἄλλη ἀπὸ τὶς οὐράνιες ἐκεῖνες δυνάμεις πρέπει νὰ λατρεύωνται ἀπὸ τὸ ἀνθρώπινο γένος. Ὡσὰν ἀνασυρόμενοι ἀπὸ κάποιο βυθὸ ἔπρεπε νὰ μάθουν, ὅτι ὁ κυρίαρχος τῶν πάντων αὐτὸς εἶναι Θεός, ὅτι πρέπει νὰ λατρεύουν αὐτὸν μόνο, ὅτι εἶναι καλὸ πρᾶγμα ἡ θαυμαστὴ συμπεριφορά, ὅτι ὁ θάνατος αὐτὸς δὲν εἶναι θάνατος, ὅτι ἡ ζωὴ δὲν εἶναι ζωή, ὅτι τὸ σῶμα ἀνασταίνεται, ὅτι γίνεται ἄφθαρτο, ὅτι ἀνεβαίνει στοὺς οὐρανούς, ὅτι γίνεται ἀθάνατο, ὅτι εὑρίσκεται ἀνάμεσα στοὺς ἀγγέλους, ὅτι μεταμορφώνεται. Ἀλλὰ αὐτὸν ποὺ ἦταν ἐκεῖ κάτω, ἀφοῦ ὑπερπήδησε ὅλα αὐτά, τὸν ἐτοποθέτησε στοὺς οὐρανοὺς ἐπάνω στὸ θρόνο, ἀφοῦ ἔδωσε σ' αὐτὸν ποὺ ἦταν κατώτερος ἀπὸ τὶς πέτρες πιὸ μεγάλη ἐξουσία ἀπὸ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους καὶ τοὺς θρόνους καὶ τὶς κυριότητες. Ἀλήθεια «πόσο μεγάλος εἶναι ὁ πλοῦτος τοῦ μυστηρίου αὐτοῦ»; Ὅπως κανεὶς θὰ ἠμποροῦσε νὰ παρουσιάση ξαφνικὰ κάποιον ἀνόητο, σὰν φιλόσοφο, ἔτσι ἔγινε καὶ ἐδῶ· μᾶλλον δὲ ὅσα καὶ ἂν θὰ εἰπῆ κανείς, τίποτε δὲν θὰ εἰπῆ· καθόσον καὶ τὰ λόγια τοῦ Παύλου εἶναι ἀόριστα.

«Πόσο μεγάλος εἶναι ὁ πλοῦτος», λέγει, «τῆς δόξας τοῦ μυστηρίου αὐτοῦ στοὺς ἐθνικούς, ὁ ὁποῖος εἶναι ὁ Χριστὸς ἀνάμεσά σας». Πάλι ἔπρεπε νὰ μάθουν, ὅτι ὁ ἀνώτερος πάντων καὶ κυρίαρχος τῶν ἀγγέλων καὶ τῶν ἀρχῶν καὶ ὅλων τῶν ἄλλων δυνάμεων, κατέβηκε στὴ γῆ, καὶ ἔγινε ἄνθρωπος, καὶ ἔπαθε πάρα πολλά, καὶ ἀνεστήθηκε καὶ ἀνελήφθηκε. Ὅλα αὐτὰ ἦταν ἐκδηλώσεις τοῦ μυστηρίου. Καί, ἐγκωμιάζοντας, προσθέτει, «ὁ ὁποῖος εἶναι ὁ Χριστὸς ἀνάμεσά σας». Ἐὰν ὅμως εἶναι ἀνάμεσά σας, γιατί ζητεῖτε τοὺς ἀγγέλους; «Τοῦ μυστηρίου αὐτοῦ». Ὑπάρχει λοιπὸν καὶ ἄλλο μυστήριο. Ἀλλὰ αὐτὸ εἶναι πραγματικὰ μυστήριο, τὸ ὁποῖο κανεὶς δὲν γνωρίζει, τὸ ὁποῖο εἶναι θαυμαστό, τὸ ὁποῖο εἶναι ἀντίθετο στὴν προσδοκία ὅλων μας, τὸ ὁποῖο ἦταν κρυμμένο. «Ὁ ὁποῖος εἶναι ὁ Χριστὸς ἀνάμεσά σας», λέγει, «ἡ ἐλπίδα τῆς δόξας, τὸν ὁποῖο ἐμεῖς κηρύττομε», φέροντας αὐτὸν ἀπὸ τὸν οὐρανό, τὸν ὁποῖο ἐμεῖς φέρομε, ὄχι οἱ ἄγγελοι. «Διδάσκοντας καὶ συμβουλεύοντας», ὄχι ἐπιτακτικὰ οὔτε ἀναγκαστικά, διότι καὶ αὐτὸ εἶναι ἔργο τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τὸ νὰ μὴ ὁδηγῆσθε δηλαδὴ ἀναγκαστικὰ σ' αὐτόν. Ἐπειδὴ τό, «διδάσκοντας», ἦταν μεγάλο, ἐπρόσθεσε, «συμβουλεύοντας», ποὺ εἶναι περισσότερο ἔργο τοῦ πατέρα, παρὰ τοῦ διδασκάλου. «Τὸν ὁποῖο ἐμεῖς», λέγει, «κηρύττομε, συμβου-

λον πατρός, ἢ διδασκάλου. «Ὃν ἡμεῖς», φησί, «καταγγέλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ». Ὥστε σοφίας δεῖ πάσης. Τουτέστι, πάντα ἐν σοφίᾳ λέγοντες. Τὸ γὰρ τὰ τοιαῦτα δυνηθῆναι μαθεῖν, οὐ τῶν τυχόντων ἐστίν.

«Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ». Τί λέγεις; πάντα ἄνθρωπον; Ναί, φησί, τοῦτο σπουδάζομεν. Τί γὰρ εἰ μὴ γίνεται τοῦτο; ἔσπευδεν ὁ μακάριος Παῦλος. «Τέλειον». Ἄρα τοῦτο τελειότης, ἐκεῖνο δὲ ἀτελές· ὥστε κἂν μὴ πᾶσάν τις ἔχῃ τὴν σοφίαν, ἀτελής ἐστι. «Τέλειον ἐν Χριστῷ Ἰησοῦ», οὐκ ἐν νόμῳ οὐδὲ ἐν ἀγγέλοις· ἐκεῖνο γὰρ οὐ τέλειον. «Ἐν Χριστῷ», τουτέστιν, ἐν τῇ γνώσει τοῦ Χριστοῦ. Ὁ εἰδὼς τί ἐποίησεν ὁ Χριστός, μεῖζον φρονήσει ἀγγέλων. «Ἐν Χριστῷ Ἰησοῦ· εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος». Καὶ οὐχ ἁπλῶς σπουδάζω, φησίν, οὐδὲ ὡς ἔτυχεν, ἀλλά, «κοπιῶ ἀγωνιζόμενος», μετὰ πολλῆς τῆς σπουδῆς, μετὰ πολλῆς τῆς ἀγρυπνίας. Εἰ ἐγὼ ὑπὲρ τῶν ὑμετέρων ἀγαθῶν οὕτως ἀγρυπνῶ, πολλῷ μᾶλλον ὑμεῖς ὀφείλετε. Εἶτα πάλιν δεικνὺς θεῖον ὄν, «Κατὰ τὴν ἐνέργειαν αὐτοῦ», φησί, «τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει». Δείκνυσιν ὅτι τοῦ Θεοῦ τοῦτο ἔργον ἐστίν. Ὁ τοίνυν ἰσχυρόν με ποιῶν εἰς τοῦτο, δῆλον ὅτι τοῦτο βούλεται· διὸ καὶ ἀρχόμενός φησι, «διὰ θελήματος Θεοῦ». Ὥστε οὐ μόνον μετριάζων αὐτὸ τέθεικεν, ἀλλὰ καὶ ἐπαληθεύων τῷ λόγῳ, καὶ ἀγωνιζόμενος. Τοῦτο εἰπών, δείκνυσιν ὅτι πολλοὶ μάχονται πρὸς αὐτόν.

2. Εἶτα ἡ φιλοστοργία πολλή· «Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ». Εἶτα ἵνα μὴ δόξῃ τῆς αὐτῶν ἀσθενείας εἶναι τοῦτο, συνῆψε καὶ ἑτέρους, καὶ οὐδέπω κατέγνω. Ἀλλὰ διὰ τί, «Καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί», φησί; Θείως δείκνυσιν ἐνταῦθα, ὅτι ἑώρων συνεχῶς ἐν Πνεύματι. Μαρτυρεῖ δὲ αὐτοῖς ἀγάπην πολλήν. «Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Χριστοῦ· ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι». Ἤδη λοιπὸν σπεύδει καὶ ὠδίνει ἐμβαλεῖν εἰς τὸ δόγμα,

---

5. Ἐφ. 1,1
6. *Λαοδίκεια*· μητρόπολις τῆς ἐπαρχίας Α΄ Πακατιανῆς Φρυγίας. Ἐδέχθηκε ἐνωρὶς τὸ χριστιανισμό. Ὁ Παῦλος ἐνδιαφέρθηκε γιὰ τὴν κοινότητα, ἀλλὰ πιθανῶς δὲν τὴν ἐπισκέφθηκε.

λεύοντας κάθε ἄνθρωπο καὶ διδάσκοντας κάθε ἄνθρωπο μὲ κάθε σοφία». Ὥστε χρειάζεται πολλὴ σοφία. Δηλαδή, λέγοντας τὰ πάντα μὲ σοφία. Διότι τὸ νὰ μπορέσουν νὰ μάθουν αὐτά, δὲν εἶναι κάτι ποὺ ἠμποροῦν νὰ τὰ μάθουν τυχαῖοι ἄνθρωποι.

«Γιὰ νὰ παρουσιάσωμε κάθε ἄνθρωπο τέλειο στὴν ἕνωσί του μὲ τὸν Ἰησοῦ Χριστό». Τί λέγεις; κάθε ἄνθρωπο; Ναί, λέγει, αὐτὸ προσπαθοῦμε. Τί λοιπὸν ἐὰν δὲν γίνεται αὐτό; ἐπροσπαθοῦσε ὁ μακάριος Παῦλος. «Τέλειο». Συνεπῶς αὐτὸ εἶναι τέλειο καὶ ἐκεῖνο ἀτελές. Ὥστε ἂν δὲν ἔχη κανεὶς ὅλη τὴ σοφία, εἶναι ἀτελής. «Τέλειο στὴν ἕνωσί του μὲ τὸν Ἰησοῦ Χριστό», ὄχι στὸ νόμο, οὔτε στοὺς ἀγγέλους, διότι ἐκεῖνο δὲν εἶναι τέλειο. «Στὸν Χριστό», δηλαδή, στὴ γνῶσι τοῦ Χριστοῦ. Ἐκεῖνος ποὺ γνωρίζει τί ἔκαμε ὁ Χριστός, θὰ ἔχη ὑψηλότερο φρόνημα ἀπὸ τοὺς ἀγγέλους. «Στὴν ἕνωσί του μὲ τὸν Ἰησοῦ Χριστό. Γιὰ τὸ σκοπὸ αὐτὸ καὶ κοπιάζω ἀγωνιζόμενος». Καὶ ὄχι ἁπλῶς προσπαθῶ, λέγει, οὔτε τυχαῖα, ἀλλὰ «κοπιάζω ἀγωνιζόμενος», μὲ μεγάλη φροντίδα, μὲ μεγάλη ἑτοιμότητα. Ἐὰν ἐγὼ προσπαθῶ τόσο πολὺ γιὰ τὰ ἰδικά σας ἀγαθά, πολὺ περισσότερο ὀφείλετε ἐσεῖς. Ἔπειτα πάλι γιὰ νὰ δείξη ὅτι εἶναι θεῖο τὸ ἔργο, λέγει, «Σύμφωνα μὲ τὴν ἐνέργεια αὐτοῦ, ποὺ ἐνεργεῖ μὲ δύναμι σὲ μένα». Ἀποδεικνύει ὅτι τὸ ἔργο τοῦτο εἶναι τοῦ Θεοῦ. Εἶναι φανερὸ λοιπὸν ὅτι τοῦτο θέλει ἐκεῖνος, ποὺ μὲ κάνει ἰσχυρό σ' αὐτὸ τὸ ἔργο, γι' αὐτὸ καὶ στὴν ἀρχὴ λέγει, «μὲ τὸ θέλημα τοῦ Θεοῦ»[5]. Ὥστε ὄχι μόνο μετριάζοντας τὸ λόγο τὸ εἶπε αὐτό, ἀλλὰ καὶ ἐπαληθεύοντας μὲ τὸ λόγο καὶ ἀγωνιζόμενος. Λέγοντας αὐτό, δείχνει ὅτι πολλοὶ ἀγωνίζονται ἐναντίον του.

2. Ἔπειτα ἡ μεγάλη ἀγάπη. «Διότι θέλω νὰ γνωρίζετε πόσο μεγάλο ἀγῶνα κάνω γιὰ σᾶς καὶ γιὰ ἐκείνους ποὺ μένουν στὴν Λαοδίκεια»[6]. Ἔπειτα γιὰ νὰ μὴ φανῆ ὅτι αὐτὸ προέρχεται ἀπὸ τὴν ἀδυναμία τους ἐπρόσθεσε καὶ ἄλλους καὶ δὲν τοὺς κατηγόρησε ἀκόμη. Ἀλλὰ γιατί λέγει, «Καὶ ὅσοι δὲν ἔχουν ἰδῆ τὸ πρόσωπό μου σωματικά»; Ἔξοχα ἀποδεικνύει ἐδῶ, ὅτι τὸν ἔβλεπαν συνεχῶς πνευματικά. Καὶ κηρύττει σ' αὐτοὺς μεγάλη ἀγάπη. «Γιὰ νὰ παρηγορηθοῦν οἱ καρδιές τους, ἀφοῦ συνενωθοῦν ἀναμεταξύ τους μὲ ἀγάπη καὶ πληροφορηθοῦν ὅλα αὐτὰ μὲ τὴ σύνεσί τους, ὥστε νὰ γνωρίσουν καλὰ τὸ μυστήριο τοῦ Θεοῦ Πατέρα καὶ τοῦ Χριστοῦ, στὸν ὁποῖο ὑπάρχουν ὅλοι οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως κρυμμένοι». Ἤδη πλέον βιάζεται καὶ ἀγωνίζεται νὰ εἰσαγάγη αὐτοὺς στὸ δόγμα, χωρὶς νὰ τοὺς κατηγορῆ, οὔτε νὰ τοὺς ἀπαλ-

οὔτε κατηγορῶν, οὔτε ἀπαλλάττων αὐτοὺς τῆς κατηγορίας. «Ἀγῶνα ἔχω», φησίν· ἵνα τί; Ἵνα συμβιβασθῶσιν. Ὃ λέγει, τοιοῦτόν ἐστιν· ἵνα στῶσι βέβαιοι ἐν τῇ πίστει. Ἀλλ' οὐ τίθησιν οὕτως, ἀλλ' ὑποτέμνεται τὰ τῆς κατηγορίας. Τουτέστιν, ἵνα ἑνωθῶσι μετὰ ἀγάπης, οὐ μετὰ ἀνάγκης, οὐδὲ μετὰ βίας. Ὅπερ γὰρ εἶπον, ἀνεπαχθής ἐστιν ἀεὶ αὐτοῖς ἐπιτρέπων, καὶ διὰ τοῦτο ἀγωνιῶν, ἐπειδὴ μετὰ ἀγάπης, καὶ ἑκόντας βούλομαι. Οὐχ ἁπλῶς τῷ στόματι, οὐδὲ ἁπλῶς τὴν συναγωγὴν βούλομαι γίνεσθαι, ἀλλ' «ἵνα αἱ καρδίαι αὐτῶν παρακληθῶσι».

«Συμβιβασθέντων ἐν ἀγάπῃ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως». Τουτέστιν, ἵνα ὑπὲρ μηδενὸς ἀμφιβάλλωσιν, ἵνα ὑπὲρ πάντων πεπληροφορημένοι ὦσι. Πληροφορίαν δὲ εἶπον τὴν διὰ πίστεως· ἔστι γὰρ πληροφορία ἡ διὰ λογισμῶν, ἀλλ' οὐδενὸς λόγου ἐκείνη ἀξία. Οἶδα, φησίν, ὅτι πιστεύετε, ἀλλὰ πληροφορηθῆναι ὑμᾶς βούλομαι, οὐκ εἰς τὸν πλοῦτον μόνον, ἀλλ' εἰς πάντα τὸν πλοῦτον, ἵνα καὶ ἐν πᾶσι καὶ ἐπιτεταμένως πεπληροφορημένοι ἦτε. Καὶ θέα τὴν σύνεσιν τοῦ μακαρίου τούτου. Οὐκ εἶπεν, ὅτι κακῶς ποιεῖτε, ὅτι οὐ πεπληροφόρησθε, καὶ κατηγόρησεν, ἀλλ', οὐκ ἴστε πῶς σπουδάζω, ἵνα πληροφορηθῆτε μετὰ συνέσεως, οὐχ ἁπλῶς. Ἐπειδὴ γὰρ εἶπε πίστιν, μὴ νομίσητε, φησίν, ὅτι ἁπλῶς καὶ ἀνοήτως εἶπον, ἀλλὰ μετὰ συνέσεως, μετὰ ἀγάπης. «Εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ Πατρός, καὶ τοῦ Χριστοῦ». Ὥστε τοῦ Θεοῦ τοῦτό ἐστι τὸ μυστήριον, τὸ διὰ τοῦ Υἱοῦ προσάγεσθαι. «Καὶ τοῦ Χριστοῦ, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι». Εἰ δὲ ἐν αὐτῷ εἰσιν, ἄρα σοφῶς καὶ νῦν ἦλθε. Τίνος οὖν ἕνεκεν ἐγκαλοῦσί τινες τῶν ἀνοήτων;

Ὅρα πῶς τοῖς ἁπλουστέροις διαλέγεται· «Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροί». Αὐτὸς πάντα οἶδεν. «Ἀπόκρυφοι». Μὴ γὰρ δὴ νομίσητε ἤδη τὸ πᾶν ἔχειν· ἀπόκρυφοί εἰσι καὶ ἀπὸ ἀγγέλων, οὐκ ἀφ' ὑμῶν μόνον· ὥστε παρ' αὐτοῦ δεῖ πάντα αἰτεῖν· αὐτὸς δίδωσι σοφίαν καὶ γνῶσιν. Τῷ μὲν οὖν, «θησαυροί», εἰπεῖν, τὸ πολὺ δείκνυσι· τῷ δέ, «πάντες», τὸ μηδὲν ἀγνοεῖν· τῷ δέ, «ἀπόκρυφοι», τὸ μόνος εἰδέναι. «Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ». Ὁρᾷς ὅτι διὰ τοῦτο εἶπον, φησί, ταῦτα

λάσση ἀπὸ τὴν κατηγορία. «Ἔχω ἀγῶνα», λέγει. Γιατί; Γιὰ νὰ συμφιλιωθοῦν. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· γιὰ νὰ σταθοῦν σταθεροὶ στὴν πίστι. Ὅμως δὲν θέτει ἔτσι τὸ ζήτημα, ἀλλὰ ἀφαιρεῖ τὴν κατηγορία. Δηλαδή, γιὰ νὰ ἑνωθοῦν μὲ ἀγάπη, ὄχι ἀναγκαστικά, οὔτε βίαια. Ὅπως βέβαια προανέφερα, δὲν εἶναι βαρετὸς στὶς προτροπές του πρὸς αὐτούς, καὶ γι' αὐτὸ ἀγωνιῶ, λέγει, ἐπειδὴ μὲ ἀγάπη καὶ μὲ τὴ θέλησί τους θέλω νὰ πιστέψουν. Ὄχι ἁπλῶς μὲ τὸ στόμα, οὔτε ἁπλῶς θέλω νὰ γίνη ἡ ἕνωσις, ἀλλὰ «γιὰ νὰ παρηγορηθοῦν οἱ καρδιὲς αὐτῶν».

«Ἀφοῦ συμφιλιωθοῦν μὲ ἀγάπη καὶ πληροφορηθοῦν ὅλα αὐτὰ μὲ τὴ σύνεσι». Δηλαδή, γιὰ νὰ μὴ ἀμφιβάλλουν σὲ τίποτε, γιὰ νὰ ἔχουν τὴ βεβαιότητα σὲ ὅλα. Πληροφορία ὅμως ἐννοῶ αὐτὴν ποὺ προέρχεται διὰ τῆς πίστεως, γιατὶ ὑπάρχει πληροφορία καὶ διὰ τῆς σκέψεως, ἀλλὰ δὲν ἀξίζει ἐκείνη καθόλου. Γνωρίζω, λέγει, ὅτι πιστεύετε, ὅμως ἐπιθυμῶ νὰ βεβαιωθῆτε, ὄχι μόνο γιὰ τὸν πλοῦτο, ἀλλὰ γιὰ ὅλο τὸν πλοῦτο, ὥστε νὰ ἔχετε τὴν πλήρη βεβαιότητα γιὰ ὅλα καὶ τὴν πιὸ μεγάλη. Καὶ πρόσεχε τὴ σύνεσι τοῦ μακαρίου Παύλου. Δὲν εἶπε, ὅτι κακῶς ἐνεργεῖτε, ὅτι δὲν ἔχετε πληροφορηθῆ καλά, καὶ τοὺς ἐκατηγόρησε, ἀλλά, δὲν γνωρίζετε πῶς φροντίζω, γιὰ νὰ πληροφορηθῆτε αὐτὰ μὲ σύνεσι, καὶ ὄχι ἔτσι ἁπλῶς. Ἐπειδὴ λοιπὸν εἶπε πίστι, μὴ νομίσετε, λέγει, ὅτι τυχαῖα καὶ ἀνώφελα τὸ εἶπα, ἀλλὰ μὲ σύνεσι, μὲ ἀγάπη. «Γιὰ νὰ γνωρίσουν καλὰ τὸ μυστήριο τοῦ Θεοῦ Πατέρα καὶ τοῦ Χριστοῦ». Ὥστε τὸ μυστήριο τοῦτο εἶναι τοῦ Θεοῦ, τὸ νὰ ὁδηγηθῆσθε σ' αὐτὸν μὲ τὸν Υἱό. «Καὶ τοῦ Χριστοῦ, στὸν ὁποῖο ὑπάρχουν ὅλοι οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως κρυμμένοι». Ἐὰν ὅμως ὑπάρχουν σὲ αὐτόν, ἄρα ἔκανε καλὰ καὶ ἦλθε τώρα. Γιὰ ποιὸ λόγο λοιπὸν κατηγοροῦν μερικοὶ ἀνόητοι;

Πρόσεχε μὲ ποιὸ τρόπο ὁμιλεῖ στοὺς πιὸ ἁπλοϊκοὺς· «Στὸν ὁποῖο ὑπάρχουν ὅλοι οἱ θησαυροί». Αὐτὸς τὰ πάντα γνωρίζει. «Κρυμμένοι». Μὴ νομίσετε βέβαια ὅτι κατέχετε ἤδη τὰ πάντα. Οἱ θησαυροὶ εἶναι κρυμμένοι καὶ ἀπὸ τοὺς ἀγγέλους καὶ ἀπὸ σᾶς μόνο. Ἑπομένως πρέπει νὰ ζητῆτε τὰ πάντα ἀπὸ αὐτόν, γιατὶ δίνει σοφία καὶ γνῶσι. Μὲ τὸ νὰ εἰπῆ λοιπόν, θησαυροί, δείχνει τὸ πλῆθος· μὲ τὸ «πάντες», τὸ νὰ μὴ ἀγνοῆτε τίποτε· μὲ τὸ δέ, «κρυμμένοι», τὸ ὅτι γνωρίζει αὐτοὺς αὐτὸς μόνο. «Καὶ λέγω αὐτό, γιὰ νὰ μὴ σᾶς ἐξαπατᾶ κανεὶς μὲ λόγια, ποὺ φαίνονται πιστευτά». Βλέπεις ὅτι γι' αὐτὸ εἶπα, λέγει, αὐτά, γιὰ νὰ μὴ ζητῆτε νὰ τὰ μάθετε ἀπὸ

ἵνα μὴ παρὰ ἀνθρώπων ζητῆτε. «Παραλογίζηται», φησίν, «ἐν πιθανολογίᾳ». Τί γάρ, εἰ πιθανῶς λέγει; «Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι». Τὸ ἀκόλουθον τοῦτο ἦν εἰπεῖν, εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλ' ὅμως οἶδα τοὺς ἀπατεῶνας· νῦν δὲ εἰς ἐγκώμιον κατέληξε· «Χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν». «Τὴν τάξιν», τὴν εὐταξίαν φησί. «Καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως». Ταῦτα ἐγκωμίων μᾶλλόν ἐστι.

Καὶ οὐκ εἶπε, τὴν πίστιν, ἀλλά, «τό στερέωμα», καθάπερ πρὸς στρατιώτας εὐτάκτως ἑστῶτας καὶ βεβαίως. Τὸ στερρὸν οὐκ ἀπάτη, οὐ πειρασμὸς διασαλεύει. Οὐ μόνον, φησίν, οὐ πεπτώκατε, ἀλλ' οὐδὲ τὴν τάξιν ὑμῶν συνέχεέ τις. Ἐπέστησεν ἑαυτὸν αὐτοῖς, ἵνα ὡς παρόντα φοβῶνται· ἡ γὰρ τάξις οὕτω φυλάττεται. Ἀπὸ τοῦ στερεώματος τὸ πεπυκνωμένον· οὕτω γὰρ γίνεται στερέωμα, ὅταν πολλὰ συναγαγὼν συγκολλήσῃς πυκνῶς καὶ ἀδιασπάστως· οὕτω στερέωμα γίνεται, οἷον ἐπὶ τοίχου. Τοῦτο δὲ τῆς ἀγάπης ἔργον ἐστί· τοὺς γὰρ καθ' ἑαυτοὺς ὄντας, ὅταν ἀκριβῶς συγκολλήσῃ καὶ συνάψῃ, στερροὺς ἐργάζεται. Καὶ ἡ πίστις πάλιν τὸ αὐτὸ ποιεῖ, ὅταν μὴ ἀφῇ λογισμοὺς ἐπεισελθεῖν. Ὥσπερ γὰρ οἱ λογισμοὶ διαιροῦσι καὶ σαλεύουσιν, οὕτως ἡ πίστις στερεοῖ καὶ παγῆναι ποιεῖ.

3. Ἐπειδὴ γὰρ μείζονα ἢ κατὰ ἀνθρώπινον λογισμὸν εὐηργέτησεν ἡμᾶς ὁ Θεός, εἰκότως τὴν πίστιν ἐπεισήγαγεν. Οὐκ ἔστιν εἶναι στερρὸν λογισμοὺς ἀπαιτοῦντα. Ἰδοὺ γὰρ τὰ σεμνὰ ἡμῶν πάντα πῶς ἔρημα λογισμῶν, καὶ πίστεως ἔχεται μόνης. Οὐκ ἔστιν οὐδαμοῦ ὁ Θεός, καὶ πανταχοῦ ἐστι. Τί τούτου ἀλογώτερον; Ἕκαστον καθ' ἑαυτὸ ἀπορίας γέμει. Οὐ γὰρ δὴ ἐν τόπῳ ἐστίν, οὐδὲ τόπος ἐστί τις ἐν ᾧ ἐστιν. Οὐκ ἐγένετο, οὐχ ἑαυτὸν ἐποίησεν, οὐκ ἤρξατο τοῦ εἶναι. Ποῖος ταῦτα λογισμὸς καταδέξεται, ἂν μὴ πίστις ᾖ; ἢ οὐχὶ κατάγελως εἶναι δοκεῖ, καὶ αἰνίγματος μᾶλλον οὐκ ἔχει τέλος; Τὸ μὲν οὖν ἄναρχον αὐτοῦ καὶ ἀγένητον

ἀνθρώπους. «Γιὰ νὰ μὴ σᾶς ἐξαπατᾶ», λέγει, «μὲ πιστευτὰ λόγια». Τί λοιπὸν συμβαίνει, ἐὰν ὁμιλῆ μὲ πιστευτὰ λόγια; «Διότι ἂν καὶ ἀπουσιάζω σωματικά, μὲ τὸ πνεῦμα μου ὅμως εἶμαι μαζί σας». Σὰν ἐπακόλουθο ἔπρεπε νὰ εἰπῆ αὐτό, ὅτι δηλαδή, ἂν καὶ ἀπουσιάζω σωματικά, ὅμως γνωρίζω τοὺς ἀπατεῶνες· τώρα ὅμως κατέληξε σὲ ἔπαινο· «Χαίρω ποὺ βλέπω τὴν εὐταξία σας καὶ τὴ σταθερότητα τῆς πίστεώς σας στὸν Χριστό». Λέγοντας «τὴν τάξι» ἐννοεῖ τὴν εὐταξία. «Καὶ τὴ σταθερότητα τῆς πίστεως στὸν Χριστό». Τὰ λόγια αὐτὰ εἶναι περισσότερο ἀπὸ ἔπαινο.

Καὶ δὲν εἶπε, τὴν πίστι, ἀλλά, «τὴ σταθερότητα», σὰν νὰ ἀπευθύνεται σὲ στρατιῶτες ποὺ στέκονται μὲ τάξι καὶ σταθερὰ στὴ θέσι τους. Τὸ σταθερὸ δὲν τὸ κλονίζει οὔτε ἡ ἀπάτη, οὔτε ὁ πειρασμός. Ὄχι μόνο, λέγει, δὲν ἔχετε πέσει, ἀλλὰ οὔτε τὴν εὐταξία σας διετάραξε κανείς. Παρουσιάσθηκε σ' αὐτοὺς ἔτσι, γιὰ νὰ τὸν φοβοῦνται σὰν νὰ εἶναι παρών, διότι ἡ εὐταξία ἔτσι φυλάσσεται. Ἀπὸ τὴ σταθερότητα ποὺ εἶναι πυκνή, διότι ἔτσι γίνεται ἡ σταθερότητα, ὅταν συγκεντρώσῃς πολλὰ καὶ τὰ συγκολλήσῃς πυκνὰ καὶ ἀδιάσπαστα· ἔτσι γίνεται ἡ σταθερότητα, ὅπως στὴν περίπτωσι τοῦ τοίχου. Καὶ αὐτὸ εἶναι ἔργο τῆς ἀγάπης, διότι ἐκείνους ποὺ εἶναι μόνοι τους, ὅταν αὐτὴ τοὺς συγκολλήση καὶ τοὺς συνενώση μὲ προσοχή, τοὺς καθιστᾶ σταθερούς. Καὶ ἡ πίστις πάλι τὸ ἴδιο κάνει, ὅταν δὲν ἐπιτρέψη νὰ ἔλθουν στὸ νοῦ διάφορες σκέψεις. Διότι ὅπως οἱ σκέψεις διαιροῦν καὶ διασαλεύουν, ἔτσι καὶ ἡ πίστις στερεώνει καὶ προκαλεῖ τὴ σταθερότητα.

3. Ἐπειδὴ λοιπὸν μᾶς εὐηργέτησε ὁ Θεὸς περισσότερο ἀπὸ αὐτὰ ποὺ ἠμπορεῖ νὰ σκεφθῆ ἡ ἀνθρώπινη σκέψις, ὀρθῶς ἀνέφερε τὴν πίστι. Δὲν εἶναι δυνατὸ νὰ εἶναι σταθερὸς κανεὶς ὅταν ἀπαιτῆ λογικὲς ἐξηγήσεις. Διότι νά, ὅλα τὰ σπουδαῖα μας πράγματα πῶς γίνονται χωρὶς λογικὲς ἐξηγήσεις καὶ γίνονται παραδεκτὰ μόνο μὲ τὴν πίστι. Δὲν ὑπάρχει πουθενὰ ὁ Θεός, καὶ παντοῦ ὑπάρχει. Τί πιὸ ἀκατανόητο ὑπάρχει ἀπ' αὐτό; Τὸ καθένα ἀπὸ μόνο του εἶναι γεμᾶτο ἀπορία. Διότι δὲν ὑπάρχει βέβαια σὲ τόπο, οὔτε ὑπάρχει κάποιος τόπος στὸν ὁποῖο εὑρίσκεται. Δὲν ἔγινε, δὲν ἐδημιούργησε τὸν ἑαυτό του, δὲν ἄρχισε νὰ ὑπάρχῃ. Ποιὸς νοῦς θὰ ἀποδεχθῆ αὐτά, ἂν δὲν ὑπάρχῃ ἡ πίστις; ἢ δὲν φαίνεται ὅτι εἶναι ἄξιο γιὰ γέλια καὶ κάτι περισσότερο ἀπὸ αἴνιγμα ποὺ δὲν βρίσκει κανεὶς τέλος; Τὸ ὅτι λοιπὸν εἶναι ἄναρχος καὶ ἀγέννητος καὶ ἀπερίγραπτος καὶ ἄπειρος, εἶναι τόσο δύσκολο νὰ ἐξηγηθῆ, τὸ ὅτι ὅμως εἶναι

καὶ ἀπερίγραφον καὶ ἄπειρον, οὕτως ἄπορον· τὸ δὲ ἀσώματον ἴδωμεν, μήποτε λογισμῷ ἐξετάσαι δυνάμεθα. Ἀσώματός ἐστιν ὁ Θεός. Τί ἐστιν, ἀσώματος; Ῥῆμα ψιλὸν μόνον· ἡ γὰρ ἔννοια οὐδὲν ἐδέξατο, οὐδὲ ἐνετύπωσεν ἑαυτῇ· κἂν γὰρ ἀνατυπώσῃ, εἰς φύσιν ἔρχεται, καὶ τὰ τοῦ σώματος ποιητικά. Ὥστε λέγει μὲν τὸ στόμα, οὐκ οἶδε δὲ ἡ διάνοια τί λέγει, ἢ ἓν μόνον, ὅτι οὐκ ἔστι σῶμα· τοῦτο μόνον οἶδε.

Καὶ τί λέγω ἐπὶ Θεοῦ; ἐπὶ γὰρ ψυχῆς τί ἐστι τὸ ἀσώματον, τῆς γενομένης, τῆς ἐγκεκλεισμένης, τῆς περιγραφομένης; εἰπέ, δεῖξον. Ἀλλ' οὐκ ἂν ἔχοις. Ἀήρ ἐστιν; Ἀλλ' ὁ ἀὴρ σῶμα, εἰ καὶ μὴ ναστόν, καὶ πολλαχόθεν δῆλον ὅτι σῶμά ἐστι χαῦνον. Τὸ πῦρ σῶμά ἐστιν, ἀλλ' ἡ ἐνέργεια τῆς ψυχῆς ἀσώματον. Διὰ τί; Εἰ πανταχοῦ διήκει. Εἰ αὐτὴ σῶμά ἐστιν, ἐν τόπῳ τὸ ἀσώματον· οὐκοῦν περιγράφεται· τὸ δὲ περιγραφόμενον, ἐν σχήματί ἐστι· τὰ δὲ σχήματα ἀπὸ γραμμῆς· αἱ δὲ γραμμαὶ σωμάτων. Πάλιν τὸ ἀσχημάτιστον ποίαν ἔννοιαν ἔχει; Οὐ σχῆμα ἔχει, οὐκ εἶδος, οὐ τύπον. Ὁρᾷς πῶς ἰλιγγιᾷ ἡ διάνοια; Πάλιν ἄδεκτος ἡ φύσις τῶν κακῶν ἐκείνη; Ἀλλὰ καὶ ἑκὼν ἐστιν ἀγαθός· οὐκοῦν δεκτική. Ἀλλ' οὐκ ἔστιν εἰπεῖν· μὴ γένοιτο. Πάλιν θέλων εἰ τὸ εἶναι παρήχθη, ἢ μὴ θέλων; Ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. Πάλιν περιγράφει τὴν οἰκουμένην, ἢ οὔ; Εἰ μὴ περιγράφει, αὐτὸς περιγράφεται· εἰ δὲ περιγράφει, ἄπειρός ἐστι τῇ φύσει. Πάλιν ἑαυτὸν περιγράφει; Εἰ περιγράφει ἑαυτόν, ἄρα οὐκ ἄναρχος ἑαυτῷ, ἀλλ' ἡμῖν· οὐκοῦν οὐ φύσει ἄναρχος. Πανταχοῦ τὰ ἐναντία δεῖ δοῦναι. Ὁρᾷς τὸν ζόφον ὅσος, καὶ ὅτι πανταχοῦ πίστεως δεῖ; Αὕτη ἐστὶν ἡ στερρά.

Ἀλλ', εἰ βούλεσθε, ἐπὶ τὰ τούτων ἐλάττω ἔλθωμεν. Ἔχει ἐνέργειαν ἐκείνη ἡ οὐσία. Καὶ τί ἐστιν ἐνέργεια ἐπ' αὐτοῦ; ἆρα κίνησίς τις; Οὐκοῦν οὐκ ἄτρεπτος· τὸ γὰρ κινούμενον οὐκ ἄτρεπτον· ἐξ ἀκινησίας γὰρ κινεῖται. Ἀλλ' ὅμως κινεῖται, καὶ οὐδέποτε ἵσταται. Ποίαν δὲ κίνησιν, εἰπέ μοι; παρὰ γὰρ ἡμῖν ἑπτά τινές εἰσιν, ἡ κάτω, ἡ ἄνω, ἡ ἐντός, ἡ ἐκτός, ἡ δεξιά, ἡ ἀριστερά, ἡ

ἀσώματος ἄς ἰδοῦμε μήπως μποροῦμε νὰ τὸ ἐξετάσωμε μὲ τὸ λογικό. Εἶναι ἀσώματος ὁ Θεός. Τί σημαίνει, ἀσώματος; Ἁπλὴ λέξις μόνο, διότι ἡ ἔννοια δὲν ἐδέχθηκε τίποτε, οὔτε ἀπετύπωσε τὸ ἑαυτό της. Διότι ἂν τὸν ἀποτυπώση, ἔρχεται στὴ φυσικὴ κατατάσει καὶ σ' ἐκεῖνα ποὺ συνιστοῦν τὸ σῶμα. Ὥστε λέγει μὲν τὸ στόμα, δὲν γνωρίζει ὅμως ὁ νοῦς τί λέγει, ἢ ἕνα μόνο, ὅτι δὲν ὑπάρχει σῶμα· αὐτὸ μόνο γνωρίζει.

Καὶ γιατί λέγω γιὰ τὸ Θεό; διότι τί σημαίνει τὸ ἀσώματο γιὰ τὴν ψυχή, ἡ ὁποία ἔγινε καὶ εἶναι περιορισμένη καὶ περιγράφεται; εἰπέ μου, δεῖξε μου. Ὅμως δὲν θὰ μπορέσης. Ἀέρας εἶναι; Ἀλλὰ ὁ ἀέρας εἶναι σῶμα, ἂν καὶ δὲν εἶναι στερεό, καὶ ἀπὸ πολλὰ πράγματα εἶναι φανερὸ ὅτι εἶναι σῶμα χαλαρό. Τὸ πῦρ εἶναι σῶμα, ἀλλὰ ἡ ἐνέργεια τῆς ψυχῆς εἶναι ἀσώματη. Γιατί; Διότι διέρχεται ἀπὸ παντοῦ. Ἐὰν ἡ ψυχὴ εἶναι σῶμα, τότε τὸ ἀσώματο ὑπάρχει σὲ τόπο. Ἑπομένως περιγράφεται, καὶ τὸ περιγραφόμενο εὑρίσκεται μέσα σὲ σχῆμα· καὶ τὰ σχήματα γίνονται ἀπὸ γραμμές, καὶ οἱ γραμμὲς ἀνήκουν σὲ σώματα. Τὸ ἀσχημάτιστο πάλι ποιὰ ἔννοια ἔχει; Δὲν ἔχει σχῆμα, οὔτε ἐξωτερικὴ ὄψι, οὔτε μορφή. Βλέπεις πῶς τά χάνει ὁ νοῦς; Πάλι ἐκείνη ἡ φύσις εἶναι μὴ δεκτικὴ κακῶν; Ἀλλὰ καὶ μὲ τὴ θέλησί του ὁ Θεὸς εἶναι ἀγαθός· συνεπῶς εἶναι δεκτική. Ὅμως δὲν εἶναι δυνατὸ νὰ τὸ εἰποῦμε αὐτό· μακριὰ μιὰ τέτοια σκέψις. Πάλι ἔχει τὴν ὕπαρξί του μὲ τὴ θέλησὶ του ἢ χωρὶς αὐτήν; Ἀλλὰ οὔτε αὐτὸ μποροῦμε νὰ τὸ εἰποῦμε. Πάλι περικλείει τὴν οἰκουμένη, ἢ ὄχι; Ἐὰν δὲν τὴν περικλείῃ, περικλείεται αὐτὸς ὁ ἴδιος. Ἐὰν ὅμως τὴν περικλείῃ, εἶναι ἄπειρος κατὰ τὴ φύσι. Πάλι περικλείει τὸν ἑαυτό του; Ἐὰν περικλείῃ τὸν ἑαυτό του, ἄρα δὲν εἶναι ἄναρχος γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ μᾶς ἑπομένως δὲν εἶναι ἀπὸ τή φύσι του ἄναρχος. Παντοῦ πρέπει νὰ δώσωμε τὰ ἀντίθετα. Βλέπεις πόσο μεγάλο εἶναι τὸ σκοτάδι καὶ ὅτι παντοῦ χρειάζεται πίστις; Αὐτὴ εἶναι τὸ στήριγμα.

Ὅμως, ἐὰν θέλετε, ἄς ἔλθωμε στὰ μικρότερα ἀπὸ αὐτά. Ἐκείνη ἡ οὐσία ἔχει ἐνέργεια. Καὶ τί σημαίνει ἐνέργεια αὐτῆς; μήπως κάποια κίνησις; Ἑπομένως λοιπὸν δὲν εἶναι σταθερός, διότι ἐκεῖνο ποὺ κινεῖται δὲν εἶναι σταθερό· καθόσον ἀπὸ τὴν ἀκινησία κινεῖται. Ἀλλ' ὅμως κινεῖται καὶ ποτὲ δὲν σταματᾶ. Ποιὰ κίνησι ὅμως κάνει; εἰπέ μου, διότι σ' ἐμᾶς ὑπάρχουν ἑπτά κινήσεις, ἡ πρὸς τὰ κάτω, ἡ πρὸς τὰ ἐπάνω, ἡ πρὸς τὰ μέσα, ἡ πρὸς τὰ ἔξω, ἡ πρὸς τὰ δεξιά, ἡ πρὸς τὰ ἀριστερά, ἡ κυκλική· ἢ ἐὰν δὲν εἶναι αὐτό, αὔξησις,

κυκλοφορικῶς· ἢ εἰ μὴ τοῦτο, αὔξησις, μείωσις, γένεσις, φθορά, ἀλλοίωσις. Ἀλλ' οὐδεμίαν τούτων, ἀλλ' οἵαν ὁ νοῦς κίνησιν κινεῖται; Ἀλλ οὐδὲ τοῦτο· μὴ γένοιτο· πολλὰ γὰρ καὶ ἀτόπως ὁ νοῦς κινεῖται. Τὸ θέλειν ἐστὶ τὸ ἐνεργεῖν, ἢ οὐχί; Εἰ τὸ θέλειν ἐστὶ τὸ ἐνεργεῖν, πάντας δὲ ἀνθρώπους θέλει ἀγαθοὺς εἶναι καὶ σωθῆναι, πῶς οὐ γίνεται; Ἀλλ' ἕτερον τὸ θέλειν, ἄλλο δὲ τὸ ἐνεργεῖν; Οὐκοῦν οὐκ ἀρκεῖ πρὸς ἐνέργειαν τὸ θέλειν. Πῶς οὖν λέγει ἡ Γραφή, «Πάντα, ὅσα ἠθέλησεν, ἐποίησε»; καὶ πάλιν ὁ λεπρός φησι τῷ Χριστῷ, «Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι»; Εἰ γὰρ ἅμα τῷ θελήματι ἕπεται τοῦτο, τί ἔστιν εἰπεῖν; Βούλεσθε καὶ ἄλλο εἴπω; πῶς ἐξ οὐκ ὄντων τὰ ὄντα γέγονε; πῶς εἰς τὸ μηδὲν ἀναλύεται; τί ἀνώτερον τοῦ οὐρανοῦ; κἀκείνου δὲ πάλιν τί; κἀκείνου τί; καὶ μετ' ἐκεῖνον; καὶ τοῦτο ἐπ' ἄπειρον. Τί κατώτερον τῆς γῆς; Θάλαττα· καὶ μετὰ ταύτην τί; καὶ μετ' ἐκείνην πάλιν; Αλλ' εἰς τὰ δεξιά, εἰς τὰ ἀριστερά; οὐχ ἡ αὐτὴ ἀπορία;

4. Ἀλλὰ ταῦτα μὲν ἀόρατα. Βούλεσθε ἐπὶ τῶν ὁρωμένων ἀγάγω τὸν λόγον; ἐπὶ τῶν ἤδη συμβάντων; Εἰπέ μοι, πῶς τὸ θηρίον τὸν Ἰωνᾶν εἶχεν ἐν τῇ γαστρί, καὶ οὐκ ἀπώλλυτο; οὐχὶ ἄλογόν ἐστιν; οὐχὶ ἁπλῶς κινεῖται; πῶς ἐφείσατο τοῦ δικαίου; πῶς αὐτὸν οὐκ ἀπέπνιξεν ἡ θέρμη; πῶς οὐκ ἔσηψεν; Εἰ γὰρ τὸ ἐν βυθῷ εἶναι μόνο ἄπορον, τὸ καὶ ἐν σπλάχνοις καὶ τῇ θέρμῃ ἐκείνῃ, πολλῷ μᾶλλον ἀπορώτερον. Εἰ ἐκεῖθεν τὸν ἀέρα ἀναπνέομεν, πῶς ἤρκει δύο ζώοις ἡ ἀναπνοή; πῶς δὲ αὐτὸν καὶ ἤμεσεν ἀσινῆ; πῶς δὲ καὶ ἐφθέγγετο; πῶς δὲ καὶ ἐν ἑαυτῷ ἦν, καὶ προσηύχετο; ἆρα ταῦτα οὐκ ἄπιστα; Ἂν λογισμῷ ἐξετάζωμεν, ἄπιστα· ἂν δὲ πίστει, σφόδρα πιστά. Εἴπω τι τούτου πλέον; Ὁ σῖτος ἐν τῷ κόλπῳ τῆς γῆς φθείρεται, καὶ ἀνίσταται. Ὅρα τὰ θαύματα ἐναντία, καὶ ἄλληλα νικῶντα· θαυμαστὸν τὸ μὴ σαπῆναι, θαυμστὸν τὸ σαπέντα ἀναστῆναι. Ποῦ εἰσιν οἱ τὰ τοιαῦτα ληροῦντες, καὶ τῇ ἀναστάσει διαπιστοῦντες καὶ λέγοντες, τόδε τὸ ὀστοῦν πῶς τῷδε συγκολλᾶται; καὶ μυθώδη τοιαῦτα εἰσαγόντες; Εἰπέ μοι, πῶς ὁ Ἠλίας ἀνῆλθεν ἐν πυρὸς ἅρματι; Τὸ πῦρ καίειν εἴωθεν, οὐκ ἀνάγειν. Πῶς τοσοῦτον ζῇ χρόνον; ἐν τίνι τόπῳ ἐστί; διὰ τί τοῦτο γέγονε; Ποῦ δὲ Ἐνὼχ μετετέθη; Τροφῆς ἀπολαύει

---

7. Ψαλμ. 113,11
8. Ματθ. 8,2
9. Ἰωνᾶ 2,1
10. Δ' Βασ. 2,11
11. Γεν. 5,24. Βλ. Ἰω. Χρυσοστόμου, ΚΑ' ὁμιλία στὴν Γένεσι. ΕΠΕ τόμ. 2 σ. 621 ἑ.

μείωσις, γένεσις, φθορά, ἀλλοίωσις. Ὅμως δὲν κάνει καμμία ἀπὸ αὐτές· μήπως ὅμως ἐκείνη τὴν κίνησι ποὺ κάνει ὁ νοῦς; Ἀλλὰ οὔτε αὐτό, μὴ γένοιτο, διότι ὁ νοῦς πολλὲς φορὲς κινεῖται καὶ ἄτοπα. Ἡ θέλησις ἑπομένως εἶναι ἡ ἐνέργεια, ἢ ὄχι; Ἐὰν ἡ θέλησις εἶναι ἡ ἐνέργεια καὶ θέλει ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ἀγαθοὶ καὶ νὰ σωθοῦν, πῶς δὲν γίνεται αὐτό; Ἀλλὰ μήπως ἄλλο εἶναι ἡ θέλησις καὶ ἄλλο ἡ ἐνέργεια; Καὶ βέβαια δὲν ἀρκεῖ ἡ θέλησις γιὰ ἐνέργεια. Πῶς λοιπὸν λέγει ἡ Γραφή, «Ὅλα, ὅσα ἠθέλησε, τὰ ἔκαμε»[7]; καὶ πάλι ὁ λεπρὸς λέγει στὸν Χριστό, «Ἐὰν θέλῃς, μπορεῖς νὰ μὲ καθαρίσῃς»[8]; Ἐὰν λοιπὸν ἀκολουθῇ ἡ ἐνέργεια ἀμέσως στὸ θέλημα, τί μποροῦμε νὰ εἰποῦμε; Θέλετε καὶ ἄλλο νὰ εἰπῶ; πῶς τὰ ὄντα ἔγιναν ἀπὸ τὴν ἀνυπαρξία; πῶς διαλύονται στὸ μηδέν; τί ὑπάρχει πιὸ ἐπάνω ἀπὸ τὸν οὐρανό; καὶ ἐπάνω ἀπὸ ἐκεῖνο πάλι τί; καὶ ἀπὸ ἐκεῖνο τί; καὶ μετὰ ἀπὸ ἐκεῖνο; καὶ αὐτὸ ἐπ' ἄπειρο. Τί ὑπάρχει πιὸ κάτω ἀπὸ τὴ γῆ; ἡ θάλασσα. Καὶ ὕστερα ἀπ' αὐτὴ τί; καὶ τί ὕστερα ἀπ' ἐκεῖνο πάλι; Ἀλλὰ τί ὑπάρχει στὰ δεξιά, στὰ ἀριστερά; δὲν εἶναι ἡ ἴδια ἀπορία;

4. Ἀλλ' αὐτὰ μὲν εἶναι ἀόρατα. Θέλετε νὰ φέρω τὸ λόγο στὰ ὁρατά; Εἰπέ μου, πῶς εἶχε μέσα στὴν κοιλιά του τὸ κῆτος τὸν Ἰωνᾶ[9] καὶ δὲν κατεστρέφετο; δὲν εἶναι ζῶο; δὲν κινεῖται ἁπλῶς; πῶς δὲν ἔβλαψε τὸν δίκαιο; πῶς δὲν τὸν ἀπέπνιξε ἡ ζέστη; πῶς δὲν τὸν ἀποσύνθεσε; Ἐὰν βέβαια τὸ νὰ εὑρίσκεται στὸ βυθὸ εἶναι μόνο δύσκολο νὰ ἐξηγηθῇ, τὸ νὰ εὑρίσκεται στὰ σπλάγχνα καὶ στὴ ζέστη ἐκείνη εἶναι ἀκόμη πιὸ δύσκολο. Ἐὰν ἀπὸ ἐκεῖ ἀναπνέωμε τὸν ἀέρα, πῶς ἔφθανε ἡ ἀναπνοὴ στὰ δύο ζῶα; καὶ πῶς τὸν ἔκαμε ἐμετὸ ἀβλαβῆ; καὶ πῶς ὡμιλοῦσε; καὶ πῶς συνῆλθε καὶ προσηύχετο; ἄρα αὐτὰ δὲν εἶναι ἀπίστευτα; Ἂν τὰ ἐξετάζωμε μὲ τὸ λογικό, εἶναι ἀπίστευτα· ἂν ὅμως μὲ τὴν πίστι, εἶναι πολὺ πιστευτά. Νὰ εἰπῶ κάτι περισσότερο ἀπὸ αὐτό; Τὸ σιτάρι μέσα στὴ γῆ καταστρέφεται καὶ ἀνίσταται. Πρόσεχε ὅτι τὰ θαύματα εἶναι ἀντίθετα καὶ τὸ ἕνα νικᾶ τὸ ἄλλο. Εἶναι θαυμαστὸ τὸ ὅτι δὲν ἐσάπισε, θαυμαστὸ τὸ ὅτι ἐφύτρωσε ἐνῶ ἐσάπισε. Ποῦ εἶναι ἐκεῖνοι ποὺ λέγουν αὐτὲς τὶς ἀνοησίες καὶ δυσπιστοῦν γιὰ τὴν ἀνάστασι καὶ λέγουν, αὐτὸ ἐδῶ τὸ κόκκαλο πῶς συνδέεται μὲ αὐτό; καὶ διακηρύττουν τέτοια μυθώδη πράγματα; Εἰπέ μου, πῶς ὁ Ἠλίας ἀνῆλθε μὲ πύρινο ἅρμα[10]; Τὸ πῦρ συνήθως καίει, δὲν μεταφέρει. Πῶς ζῇ τόσο πολύ χρόνο; σὲ ποιὸ τόπο εἶναι; γιατί ἔγινε αὐτό; Ποῦ μετετέθηκε ὁ Ἐνώχ[11]; Λαμβάνει τροφὴ ποὺ λαμβάνομε καὶ ἐμεῖς; καὶ τί ἐμπόδιζε νὰ εἶναι καὶ αὐτὸς

οἵας καὶ ἡμεῖς; καὶ τί τὸ κωλύον ἐνταῦθα αὐτὸν εἶναι; Ἀλλ' οὐκ ἀπολαύει; καὶ διὰ τί μετετέθη;

Ὅρα τὸν Θεὸν κατὰ μικρὸν ἡμᾶς παιδαγωγοῦντα. Μετέθηκε τὸν Ἐνώχ· οὐ πάνυ μέγα τοῦτο· ἐπαίδευσεν ἡμᾶς τοῦτο εἰς τὴν ἀναγωγὴν τοῦ Ἠλία. Ἐναπέκλεισε τὸν Νῶε τῇ κιβωτῷ· οὐ πάνυ μέγα οὐδὲ τοῦτο· ἐπαίδευσεν ἡμᾶς τοῦτο εἰς τὴν ἀπόκλεισιν τοῦ προφήτου τὴν ἐν τῷ κήτει. Οὕτω καὶ τὰ παλαιὰ προδρόμων ἐδεήθη καὶ τύπων. Καθάπερ γὰρ ἐπὶ κλίμακος ὁ πρῶτος βαθμὸς παραπέμπει τῷ δευτέρῳ, ἀπὸ δὲ τοῦ πρώτου οὐκ ἔνι ἐπὶ τὸν τέταρτον ἐλθεῖν, καὶ οὗτος ἐκείνῳ, ἵνα ἐκεῖνος τούτῳ γένηται ὁδός· οὐδὲ πρὸ τοῦ πρώτου δυνατὸν ἐπὶ τὸν δεύτερον ἐλθεῖν· οὕτω καὶ ἐνταῦθα. Καὶ θέα σημεῖα σημείων· καὶ ὄψει τοῦτο ἐπὶ τῆς κλίμακος, ἣν εἶδεν Ἰακώβ· «Ἄνω, φησίν, ὁ Κύριος ἐπεστήρικτο, κάτω δὲ ἄγγελοι ἀνέβαινον καὶ κατέβαινον». Προεφητεύετο ὅτι Υἱὸν ἔχει ὁ Πατήρ· ἔδει τοῦτο πιστευθῆναι· πόθεν θέλεις αὐτοῦ τὰ σημεῖα δείξω; ἄνωθεν κάτω; κάτωθεν ἄνω; Ὅτι ἀπαθῶς γεννᾷ· διὰ τοῦτο ἐγέννησε πρῶτον στεῖρα. Μᾶλλον δὲ ἀνωτέρω, ἔδει πιστευθῆναι, ὅτι ἐξ αὐτοῦ. Τί οὖν; Τοῦτο γίνεται, ἀμυδρῶς μέν, ἅτε ἐν τύπῳ καὶ σκιᾷ, πλὴν γίνεται· καὶ προϊὸν σαφέστερόν πως γίνεται. Ἐξ ἀνθρώπου μόνου γυνή, καὶ μένει ἐκεῖνος ὁλόκληρος.

Πάλιν τῆς ἐκ παρθένου κυήσεως ἔδει γενέσθαι τι τεκμήριον. Τίκτει στεῖρα οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον καὶ πολλάκις. Τῆς μὲν οὐκ ἐκ παρθένου γενήσεως τύπος ἡ στεῖρα· καὶ αὕτη παραπέμπει τῇ πίστει τὴν διάνοιαν. Πάλιν τοῦτο τύπος ἐγένετο τοῦ μόνον δύνασθαι γεννῆσαι τὸν Θεόν. Εἰ γὰρ κυριώτερον ἄνθρωπος, καὶ χωρὶς τούτου τίκτεται, πολλῷ μᾶλλον ἐκ τοῦ κυριωτέρου γεννᾶται. Ἔστι καὶ ἄλλη γέννησις τῆς ἀληθείας τύπος, ἡ ἡμετέρα ἡ ἐκ Πνεύματος. Ταύτης πάλιν ἡ στεῖρα τύπος, τὸ οὐκ ἐξ αἱμάτων· αὕτη τῆς ἄνω γεννήσεως. Ἡ μὲν οὖν αὐτῆς τὸ ἀπαθὲς δείκνυσιν, ἡ δὲ τὸ ἐκ μόνου δύνασθαι γεννᾶσθαι. Ἔστι

---

12. Γεν. 6,13 ἑ.
13. Γεν. 28,12.13
14. Α' Βασ. 2,5

ἐδῶ στὴ γῆ; Ἀλλὰ δὲν λαμβάνει; καὶ γιατί μετετέθηκε;

Πρόσεχε πῶς ὁ Θεὸς μᾶς διδάσκει σιγὰ σιγά. Μετέθεσε τὸν Ἐνώχ. Δὲν εἶναι πολὺ μεγάλο αὐτό. Μᾶς ἐδίδαξε αὐτὸ μὲ τὴν μεταφορὰ τοῦ Ἠλία. Ἔκλεισε τὸν Νῶε μέσα στὴν κιβωτό[12]. Οὔτε αὐτὸ εἶναι πολὺ μεγάλο. Μᾶς ἐδίδαξε αὐτὸ στὸν ἀποκλεισμὸ τοῦ προφήτου μέσα στὴν κοιλιὰ τοῦ κήτους. Ἔτσι καὶ τὰ παλαιὰ ἐχρειάσθηκαν προδρόμους καὶ ὑποδείγματα. Διότι ὅπως ἀκριβῶς στὴ σκάλα τὸ πρῶτο σκαλὶ μεταφέρει στὸ δεύτερο, καὶ ἀπὸ τὸ πρῶτο δὲν εἶναι δυνατὸ νὰ ἀνεβοῦμε στὸ τέταρτο, ἀλλὰ πρέπει πρῶτα νὰ ἀνεβῆ κανεὶς στὸ τρίτο καὶ μετὰ στὸ τέταρτο, ὥστε αὐτὸ νὰ γίνη δρόμος γιὰ τὸ τέταρτο· οὔτε εἶναι δυνατὸ πρὶν ἀπὸ τὸ πρῶτο νὰ ἀνεβοῦμε στὸ δεύτερο, ἔτσι συμβαίνει καὶ ἐδῶ. Καὶ πρόσεχε σειρὰ θαυμάτων· καὶ θὰ τὸ ἰδῆς αὐτὸ στὴ σκάλα, τὴν ὁποία εἶδε ὁ Ἰακώβ. «Ἐπάνω», λέγει, «εἶχε καθίσει ὁ Κύριος καὶ κάτω ἀνέβαιναν καὶ κατέβαιναν οἱ ἄγγελοι»[13]. Ἐπροφητεύετο ὅτι ὁ Πατέρας ἔχει Υἱό. Ἔπρεπε νὰ πιστευθῆ τοῦτο. Ἀπὸ ποῦ θέλεις νὰ δείξω τὰ θαύματα τὰ σχετικὰ μὲ αὐτόν; ἀρχίζοντας ἀπὸ τὴν ἀρχὴ καὶ προχωρώντας πρὸς τὰ πίσω, ἢ αρχίζοντας ἀπὸ τὸ τέλος καὶ προχωρώντας πρὸς τὴν ἀρχή; Ἔπρεπε νὰ γίνη γνωστὸ ὅτι γεννᾶ ἀπαθῶς· γι' αὐτὸ ἐγέννησε πρῶτα ἡ στεῖρα. Μᾶλλον ἂς ἀρχίσουμε ἀπὸ πιὸ μπροστά· ἔπρεπε να πιστευθῆ, ὅτι ἀπὸ αὐτὸν προέρχεται. Τί λοιπόν; Αὐτὸ γίνεται, ἀμυδρὰ βέβαια, ὑπό μορφὴ τύπου καὶ σκιᾶς, πλὴν ὅμως γίνεται, καὶ μὲ τὸ πέρασμα τοῦ χρόνου γίνεται κάπως σαφέστερο. Ἀπὸ τὸ ἀνθρώπινο γένος μόνο προέρχεται ἡ γυναῖκα καὶ μένει ἐκεῖνος ὁλόκληρος.

Πάλι ἔπρεπε νὰ δοθῆ κάποια ἀπόδειξις τῆς κυήσεως ἀπὸ τὴν Παρθένο. Γεννᾶ ἡ στεῖρα ὄχι μία φορά, ἀλλὰ καὶ δύο καὶ τρεῖς καὶ πολλὲς φορές[14]. Εἶναι λοιπὸν ἡ στεῖρα τύπος τῆς γεννήσεώς του ἀπὸ τὴν Παρθένο καὶ παραπέμπει τὸ νοῦ στὴν πίστι. Πάλι αὐτὸ ἔγινε τύπος τοῦ μόνου ποὺ μπορεῖ νὰ γεννήση τὸν Θεό. Ἐὰν λοιπὸν τὸ πιὸ ἀνώτερο ὂν εἶναι ὁ ἄνθρωπος, καὶ χωρὶς αὐτὸν γεννᾶται, πολλῷ μᾶλλον γεννᾶται ἀπὸ τὸ ἀνώτερο ὄν. Ὑπάρχει καὶ ἄλλη γέννησις τύπος τῆς ἀληθείας, ἡ δική μας ἡ πνευματικὴ γέννησις. Καὶ τῆς γεννήσεως αὐτῆς πάλι ἡ στεῖρα εἶναι τύπος, τὸ ὅτι δὲν ἔχει σχέση μὲ ἄνθρωπο· αὐτὴ εἶναι τύπος τῆς πνευματικῆς γεννήσεως. Ἡ μία λοιπὸν ἀποδεικνύει τὸ ἀπαθὲς αὐτῆς, ἡ ἄλλη δὲ τὸ ὅτι ἀπὸ αὐτὸν μόνο μπορεῖ νὰ γεννηθῆ. Ὑπάρχει ὁ Χριστὸς στοὺς οὐρανοὺς κυρίαρχος τῶν πάντων. Ἔπρεπε νὰ πιστευθῆ αὐ-

Χριστὸς ἄνω πάντων κρατῶν· ἔδει πιστευθῆναι τοῦτο. Γίνεται τοῦτο ἐν τῇ γῇ ἐπὶ τοῦ ἀνθρώπου· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν», ἐπί τῆς ἀρχῆς τῶν ἀλόγων πάντων. Οὕτως οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ἡμᾶς ἐπαίδευσε. Τὸ ἀνακεχωρηκὸς τῆς φύσεως ὁ παράδεισος ἐδήλου, καὶ τὸ πάντων εἶναι βελτίω τὸν ἄνθρωπον.

Ἔμελλεν ἀνίστασθαι ὁ Χριστός· ὅρα λοιπὸν πόσα τεκμήρια· ὁ Ἐνώχ, ὁ Ἠλίας, ὁ Ἰωνᾶς, τὰ ἐν τῇ καμίνῳ, τὸ ἐπὶ τοῦ Νῶε, τὸ βάπτισμα, τὰ σπέρματα, τὰ φυτά, ἡ γέννησις ἡ ἡμετέρα, ἡ τῶν ζώων πάντων. Ἐπειδὴ γὰρ ἐν τούτῳ πάντα ἐκινδυνεύετο, τοῦτο μάλιστα πάντων πολλοὺς ἔσχε τοὺς τύπους. Ὅτι οὐκ ἀπρονόητα τὰ πάντα ἐστίν, ἀπὸ τῶν παρ' ἡμῖν δυνατὸν στοχάσασθαι· οὐδὲν γὰρ ἀπρονόητον μένει, ἀλλὰ καὶ ἀγέλαι καὶ τὰ ἄλλα πάντα ἀρχῆς δεῖται. Καὶ ὅτι οὐκ αὐτόματα γέγονε τὰ πάντα, δείκνυσιν ἡ γέεννα, ἔδειξε δὲ ὁ κατακλυσμὸς ὁ ἐπὶ Νῶε, τὸ πῦρ, ὁ καταποντισμὸς ὁ τῶν Αἰγυπτίων, τὰ ἐν τῇ ἐρήμῳ, Ἔδει καὶ τοῦ βαπτίσματος πολλὰ προηγήσασθαι, καὶ μυρία ὅσα· οἷον τὰ ἐν τῇ παλαιᾷ, τὰ ἐν τῇ κολυμβήθρᾳ, τὸ τὸν μὴ ὑγιαίνοντα καθαίρεσθαι, αὐτὸς ὁ κατακλυσμός, καὶ ὅσα ἐν ὕδατι γέγονε, τὸ βάπτισμα Ἰωάννου. Ἔδει πιστευθῆναι ὅτι τὸν Υἱὸν αὐτοῦ ἐκδίδωσιν ὁ Θεός· προλαβὼν ἐποίησε τοῦτο ἄνθρωπος, Ἀβραὰμ ὁ πατριάρχης. Πάντων οὖν τούτων τύπους, ἂν ἐθέλωμεν, εὑρήσομεν, ἂν ζητῶμεν ἐν τῇ Γραφῇ.

Ἀλλὰ μὴ ἀποκάμωμεν, ἀλλ' ἐν τούτοις ῥυθμίζωμεν ἑαυτούς· στερρὰν ἔχωμεν τὴν πίστιν, καὶ ἀκρίβειαν πολιτείας ἐπιδειξώμεθα, ἵνα διὰ πάντων εὐχαριστήσαντες τῷ Θεῷ, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

15. Γεν. 1,26.

τό. Αὐτὸ γίνεται στὴ γῆ στὴν περίπτωσι τοῦ ἀνθρώπου. «Ἂς κάμωμε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴν ἰδική μας εἰκόνα καὶ ὁμοίωσι»[15], ὥστε νὰ ἐξουσιάζῃ ὅλα τὰ ζῶα. Ἔτσι μᾶς ἐδίδαξε ὄχι μὲ λόγια, ἀλλὰ μὲ τὰ ἴδια τὰ πράγματα. Τὴν ἀναχώρηση τῆς ἀνθρώπινης ψυχῆς ἀπὸ τὴ ζωὴ αὐτὴ τὴν ἐφανέρωνε ὁ παράδεισος καθὼς καὶ τὸ ὅτι ἦταν ἀνώτερος ἀπὸ ὅλα τὰ ὄντα ὁ ἄνθρωπος.

Ἐπρόκειτο νὰ ἀναστηθῇ ὁ Χριστός. Πρόσεχε λοιπὸν πόσες ἀποδείξεις ὑπάρχουν. Ὁ Ἐνώχ, ὁ Ἠλίας, ὁ Ἰωνᾶς, τὰ συμβάντα στὴν κάμινο τοῦ πυρός, τὰ γενόμενα στὴν περίπτωσι τοῦ Νῶε, τὸ βάπτισμα, τὰ σπέρματα, τὰ φυτά, ἡ ἰδική μας γέννησις, ἡ γέννησις ὅλων τῶν ζώων. Ἐπειδὴ λοιπὸν τὰ πάντα ἐκινδύνευσαν σὲ σχέσι μὲ αὐτό, αὐτό πρὸ πάντων εἶχε τοὺς περισσότερους ἀπὸ ὅλα τύπους. Τὸ ὅτι δὲν εἶναι ἀπρονόητα τὰ πάντα, εἶναι δυνατὸ νὰ τὸ φαντασθοῦμε ἀπὸ τὰ ὅσα συμβαίνουν σ' ἐμᾶς· γιατὶ τίποτε δὲν μένει χωρὶς πρόνοια, ἀλλὰ καὶ οἱ ἀγέλες καὶ ὅλα τὰ ἄλλα χρειάζονται ἐξουσία. Καὶ τὸ ὅτι δὲν ἔγιναν τυχαῖα ὅλα τὸ ἀποδεικνύει ἡ γέεννα, τὸ ἀπέδειξε δὲ καὶ ὁ κατακλυσμὸς στὴν ἐποχὴ τοῦ Νῶε, τὸ πῦρ, ὁ καταποντισμὸς τῶν Αἰγυπτίων, τὰ συμβάντα στὴν ἔρημο. Ἔπρεπε καὶ τοῦ βαπτίσματος νὰ προηγηθοῦν πολλά· καὶ ἔγιναν πάρα πολλά, ὅπως τὰ γεγονότα τῆς Παλαιᾶς Διαθήκης, τὰ συμβάντα τῆς κολυμβήθρας, ἡ κάθαρσις τοῦ ἀσθενοῦς, ὁ ἴδιος ὁ κατακλυσμὸς καὶ ὅσα ἔχουν γίνει μέσα στὸ ὕδωρ, τὸ βάπτισμα τοῦ Ἰωάννου. Ἔπρεπε νὰ πιστευθῇ ὅτι ὁ Θεὸς θὰ παραδώσῃ τὸν Υἱό του· καὶ αὐτὸ ἀπὸ πολὺ πρὶν τὸ ἔκαμε ἄνθρωπος, ὁ πατριάρχης δηλαδὴ ὁ Ἀβραάμ. Γιὰ ὅλα λοιπὸν αὐτά, ἐὰν θέλωμε, θὰ εὕρουμε τύπους, ἐὰν ἐρευνοῦμε τὴν ἁγία Γραφή.

Ἂς μὴ ἀποκάμωμε ὅμως, ἀλλὰ ἂς ρυθμίζωμε τὸν ἑαυτό μας σύμφωνα μὲ αὐτούς. Ἂς ἔχωμε σταθερὴ πίστι καὶ ἂς ἐπιδείξωμε σωστὸ τρόπο ζωῆς, ὥστε, ἀφοῦ εὐχαριστήσωμε μὲ ὅλα τὸν Θεό, νὰ ἀξιωθοῦμε τὰ ἀγαθὰ τὰ ὁποῖα ἔχει ὑποσχεθῇ σὲ αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΣΤ

(Κολ. 2,6 – 15)

«Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ».

1. Πάλιν αὐτοὺς τῇ οἰκείᾳ προκαταλαμβάνει μαρτυρίᾳ, λέγων, «Ὡς οὖν παρελάβετε». Οὐδὲν ξένον, φησίν, ἐπεισάγομεν· μηδὲ ὑμεῖς. «Ἐν αὐτῷ περιπατεῖτε»· αὐτὸς γάρ ἐστιν ἡ ὁδὸς ἡ προσάγουσα εἰς τὸν Πατέρα· μὴ ἐν τοῖς ἀγγέλοις· οὐ φέρει αὕτη ἡ ὁδὸς ἐκεῖ. «Ἐρριζωμένοι»· τουτέστι, πεπηγόντες· μὴ ποτὲ μὲν ταύτην, ποτὲ δὲ ἐκείνην, ἀλλ' ἐρριζωμένοι· τὸ δὲ ἐρριζωμένον οὐκ ἄν ποτε μετασταίη. Ὅρα πῶς κυρίας τὰς λέξεις τίθησι. «Καὶ ἐποικοδομούμενοι»· τουτέστι, τῇ διανοίᾳ φθάνοντες εἰς αὐτόν. «Καὶ βεβαιούμενοι ἐν αὐτῷ»· τουτέστι, κατέχοντες αὐτόν, ὡς ἐπὶ θεμέλιον οἰκοδομούμενοι. Δείκνυσιν αὐτοὺς καταπεσόντας· τὸ γάρ, «οἰκοδομούμενοι», τοῦτό ἐστιν. Οἰκοδομὴ γάρ ἐστιν ὄντως ἡ πίστις, καὶ δεῖ καὶ τοῦ θεμελίου ἰσχυροῦ, καὶ τῆς οἰκοδομίας ἀσφαλοῦς. Ἄν τε γὰρ μὴ ἐπ' ἀσφαλείᾳ τις οἰκοδομήσῃ, σαλεύεται· ἄν τε ἐπ' ἀσφαλείας, καὶ μὴ ἑστήκῃ, οὐκέτι ἵσταται. «Καθὼς ἐδιδάχθητε». Πάλιν τό, «καθώς»· «Περισσεύοντες», φησίν, «ἐν αὐτῇ ἐν εὐχαριστίᾳ». Τοῦτο γὰρ εὐγνωμόνων· οὐ λέγω ἁπλῶς εὐχαριστεῖν, ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας, πλέον ἢ ἐμάθετε, εἰ οἷόν τε, μετὰ πολλῆς τῆς φιλοτιμίας.

«Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν». Ὁρᾷς πῶς ἔδειξε κλέπτην ὄντα, καὶ ἀλλότριον, καὶ ἠρέμα ἐπεισιόντα; ἤδη γὰρ παρέστησεν αὐτὸν εἰσιόντα. «Βλέπετε». Καὶ καλῶς εἶπε,

ΟΜΙΛΙΑ ΣΤ΄
(Κολ. 2,6 – 15)

«Όπως λοιπὸν παρελάβατε τὴν διδασκαλία ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ Κύριος, σύμφωνα μὲ αὐτὴν νὰ πολιτεύεσθε, νὰ εἶσθε ριζωμένοι σταθερὰ σ' αὐτὴν καὶ νὰ οἰκοδομῆσθε ἐπάνω σ' αὐτὴν καὶ ἀποκτώντας βεβαιότητα γιὰ τὴν πίστι, ὅπως ἀκριβῶς τὴν ἔχετε διδαχθῆ, νὰ προοδεύετε περισσότερο σὲ αὐτὴν καὶ νὰ εὐχαριστῆτε τὸν Θεό».

1. Πάλι προλαβαίνει αὐτοὺς μὲ τὴν ἰδική του μαρτυρία, λέγοντας, «Όπως λοιπὸν παρελάβατε». Τίποτε τὸ ἄγνωστο, λέγει, δὲν παρουσιάζομε, οὔτε καὶ ἐσεῖς. «Μέσα σ' αὐτὸν νὰ πολιτεύεσθε», διότι αὐτὸς εἶναι ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὸν Πατέρα. Μὴ πιστεύετε στοὺς ἀγγέλους· δὲν ὁδηγεῖ ἐκεῖ αὐτὴ ἡ ὁδός. «Ἐρριζωμένοι»· δηλαδή, στερεωμένοι σταθερά. Νὰ μὴ πολιτεύεσθε ἄλλοτε ἔτσι καὶ ἄλλοτε διαφορετικά, ἀλλὰ στηριζόμενοι σταθερά, διότι αὐτὸ ποὺ εἶναι σταθερὰ στηριγμένο δὲν θὰ μετακινηθῆ ποτέ. Βλέπεις πῶς ἀναφέρει τὶς λέξεις μὲ τὴν κύρια σημασία τους. «Καὶ ἐποικοδομούμενοι», δηλαδή, φθάνοντας μὲ τὸ λογικὸ σὲ αὐτόν. «Καὶ βεβαιούμενοι ἐν αὐτῷ»· δηλαδή, νὰ κατέχετε αὐτόν, σὰν νὰ οἰκοδομῆσθε ἐπάνω σὲ θεμέλιο. Παρουσιάζει αὐτοὺς νὰ ἔχουν πέσει, διότι τὸ «οἰκοδομούμενοι», αὐτὸ σημαίνει. Διότι ἡ πίστις εἶναι πραγματικὰ οἰκοδομή, καὶ χρειάζεται καὶ ἰσχυρὸ θεμέλιο καὶ σταθερὸ κτίσιμο. Διότι καὶ ἂν δὲν κτίση κανεὶς μὲ ἀσφάλεια κλονίζεται, καὶ ἂν μὲ ἀσφάλεια καὶ ὄχι σὲ σταθερὸ θεμέλιο, δὲν στέκεται πλέον. «Καθὼς ἔχετε διδαχθῆ». Πάλι τὸ «καθώς», ποὺ σημαίνει ὅτι τίποτε τὸ νέο δὲν λέγει. «Προοδεύοντας περισσότερο», λέγει, «στὴν πίστι καὶ εὐχαριστώντας τὸν Θεό». Αὐτὸ εἶναι πράγματι δεῖγμα εὐγνωμόνων ἀνθρώπων. Δὲν λέγω ἁπλῶς νὰ εὐχαριστῆτε, ἀλλὰ παρὰ πολύ, περισσότερο ἀπὸ ὅ,τι ἐμάθατε, καὶ ἐὰν εἶναι δυνατό, μὲ μεγάλη φιλοτιμία.

«Προσέχετε μήπως σᾶς ἐξαπατήση κανείς». Βλέπεις πῶς ἔδειξε ὅτι ὑπάρχει κλέπτης καὶ ξένος καὶ ἐπιτίθεται σιγὰ – σιγά; ἤδη

«συλαγωγῶν». Ὥσπερ ἄν τις χῶμα κάτωθεν διορύττων μὴ παρέχῃ αἴσθησιν, τὸ δὲ ὑπονοστῇ, οὕτω καὶ ὑμεῖς βλέπετε· τοῦτο γὰρ ἔργον ἐκείνῳ, τὸ μηδὲ αἴσθησιν παρέχειν. Ὥσπερ ἂν εἴ τις ἀπόλλοι καθ' ἑκάστην ἡμέραν, καὶ ἀκούοι, βλέπετε μή τίς ἐστι. Καὶ τὴν ὁδὸν δείκνυσι, διὰ τῆσδε τῆς ὁδοῦ· ὥσπερ ἂν εἰ ἐλέγομεν, διὰ τοῦδε τοῦ δωματίου· «διὰ τῆς φιλοσοφίας», φησίν. Εἶτα, ἐπειδὴ δοκεῖ σεμνὸν εἶναι τὸ τῆς φιλοσοφίας, προσέθηκε, «καὶ κενῆς ἀπάτης». Ἔστι γὰρ καὶ καλὴ ἀπάτη, οἵαν ἠπατήθησαν πολλοί, ἣν οὐδὲ ἀπάτην δεῖ καλεῖν· περὶ ἧς φησιν ὁ Ἱερεμίας· «Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην». Ἐγὼ δὲ οὐ πείθομαι· τὸ γὰρ τοιοῦτον οὐδὲ ἀπάτην δεῖ καλεῖν· ἐπεὶ καὶ τὸν πατέρα ἠπάτησεν ὁ Ἰακώβ, ἀλλ' οὐκ ἀπάτη, ἀλλ' οἰκονομία ἦν.

«Διὰ τῆς φιλοσοφίας», φησί, καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν». Τέως τοῦ ἐλέγχου ἅπτεται τῆς τῶν ἡμερῶν παρατηρήσεως, στοιχεῖα κόσμου ἥλιον καὶ σελήνην λέγων, καθάπερ καὶ ἐν τῇ πρὸς Γαλάτας ἔλεγε· «Πῶς πάλιν ἐπιστρέφετε, ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;». Καὶ οὐκ εἶπεν ἡμερῶν παρατηρήσεις, ἀλλὰ διόλου τοῦ κόσμου τοῦ παρόντος, ἵνα τὸ εὐτελὲς δείξῃ· εἰ γὰρ ὁ κόσμος ὁ παρὼν οὐδὲν, πολλῷ μᾶλλον καὶ τὰ στοιχεῖα. Δείξας πρῶτον ὅσα εὐεργετήθησαν, ὅσα εὖ ἔπαθον, τότε ἐπάγει τὴν κατηγορίαν, ἵνα μείζονα δείξῃ, καὶ ἕλῃ τοὺς ἀκούοντας. Τοῦτο καὶ οἱ προφῆται ποιοῦσιν ἀεί· πρότερον τὰς εὐεργεσίας δεικνύουσι, καὶ τότε τὴν κατηγορίαν αὔξουσι, καθάπερ ὁ Ἠσαΐας φησίν· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν». καὶ πάλιν, «Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε, ἢ τί παρηνώχλησά σοι;» καὶ ὁ Δαυΐδ, ὡς ὅταν λέγῃ· «Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος»· καὶ πάλιν, «Ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό»· καὶ πανταχοῦ οὕτως εὑρήσεις. Μάλιστα μὲν οὖν οὐδὲ εἴ τι ἔλεγον, πείθεσθαι ἔδει· νῦν δὲ καὶ χωρὶς τῶν εὐεργεσιῶν φεύγειν ἐκεῖνα ἔδει.

«Καὶ οὐ κατὰ Χριστόν», φησί. Μάλιστα μὲν γάρ, εἰ καὶ οὕτως ἦν ἐξ ἡμισείας, ὥστε δύνασθαι καὶ τούτῳ κἀκείνῳ δουλεύειν,

1. Ἱερ. 20,7
2. Γαλ. 4,9
3. Ἠσ. 1,2
4. Μιχ. 6,3
5. Ψαλμ. 80,8.11

λοιπὸν ἐπαρουσίασε αὐτὸν νὰ ἔχη ἐπιτεθῆ. «Προσέχετε». Καὶ σωστὰ εἶπε, «Νὰ μὴ σᾶς ἐξαπατήση». Ὅπως ἀκριβῶς ὅταν κανεὶς σκάπτη ἀπὸ κάτω τὸ ἔδαφος δὲν ἀντιλαμβάνεται τίποτε καὶ ἐκεῖνο ὑποχωρεῖ, ἔτσι καὶ ἐσεῖς προσέχετε, διότι αὐτὸ εἶναι τὸ ἔργο ἐκείνου, τὸ νὰ μὴ γίνεται δηλαδὴ καθόλου ἀντιληπτός. Ὅπως δηλαδὴ ἐνῶ κάποιος χάνει κάτι καθημερινὰ ἀκούει νὰ τοῦ λέγουν πρόσεχε μήπως ὑπάρχει κάποιος ποὺ σὲ κλέπτει. Καὶ φανερώνει καὶ τὴν ὁδό, ἀπὸ αὐτήν, λέγει τὴν ὁδό· σὰν νὰ ἐλέγαμε, ἀπὸ αὐτὸ ἐδῶ τὸ δωμάτιο· «Μὲ τὴ φιλοσοφία», λέγει. Ἔπειτα, ἐπειδὴ φαίνεται ὅτι εἶναι ἀξιόλογο τὸ μέσο τῆς φιλοσοφίας, ἐπρόσθεσε, «καὶ τὴν κενὴ ἀπάτη». Διότι ὑπάρχει καὶ καλὴ ἀπάτη, μὲ τὴν ὁποία ἔχουν ἐξαπατηθῆ πολλοὶ καὶ τὴν ὁποία οὔτε κἂν ἀπάτη πρέπει νὰ ὀνομάζωμε. Γιὰ τὴν ἀπάτη αὐτὴ ὁ Ἱερεμίας λέγει, «Μὲ ἐξηπάτησες, Κύριε, καὶ ἔχω ἐξαπατηθῆ»[1]. Ἐγὼ ὅμως δὲν πείθομαι, διότι αὐτὸ δὲν πρέπει νὰ τὸ ὀνομάζωμε οὔτε κἂν ἀπάτη, ἀφοῦ καὶ τὸν πατέρα του ἐξηπάτησε ὁ Ἰακώβ, ὅμως αὐτὸ δὲν ἦταν ἀπάτη, ἀλλὰ οἰκονομία.

«Μὲ τὴν φιλοσοφία», λέγει, «καὶ τὴν κενὴ ἀπάτη, σύμφωνα μὲ τὴν παράδοσι τῶν ἀνθρώπων, σύμφωνα μὲ τὰ στοιχεῖα τοῦ κόσμου καὶ ὄχι σύμφωνα μὲ τὴ διδασκαλία τοῦ Χριστοῦ». Ἐλέγχει πρῶτα ἀπὸ ὅλα τὴ διάκρισι τῶν ἡμερῶν, λέγοντας στοιχεῖα τοῦ κόσμου τὸν ἥλιο καὶ τὴ σελήνη, ὅπως καὶ στὴν πρὸς τοὺς Γαλάτας ἐπιστολή του ἔλεγε «Πῶς ἐπιστρέφετε πάλι στὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;»[2] Καὶ δὲν εἶπε διακρίσεις ἡμερῶν, ἀλλὰ ἐντελῶς τοῦ παρόντος κόσμου, γιὰ νὰ δείξη τὴ μηδαμινή του ἀξία. Ἐὰν λοιπὸν ὁ παρὼν κόσμος δὲν ἀξίζη τίποτε, πολὺ περισσότερο καὶ τὰ στοιχεῖα του. Ἀφοῦ ἔδειξε πρῶτα τὰ ὅσα ἔχουν εὐεργετηθῆ, τὰ ὅσα ἔχουν ἀπολαύσει, τότε προσθέτει τὴν κατηγορία, γιὰ νὰ τὴν παρουσιάση πιὸ μεγάλη καὶ νὰ κερδίση αὐτοὺς ποὺ τὸν ἀκοῦν. Τὸ ἴδιο κάνουν καὶ οἱ προφῆται πάντοτε· παρουσιάζουν προηγουμένως τὶς εὐεργεσίες καὶ ὕστερα μεγαλώνουν τὴν κατηγορία, ὅπως ἀκριβῶς ὁ Ἡσαΐας λέγει, «Υἱοὺς ἐγέννησα καὶ ἐμεγάλωσα, αὐτοὶ ὅμως ἐπαναστάτησαν ἐναντίον μου»[3]· καὶ πάλι, «Λαέ μου, τί σὲ ἔκαμα, ἢ σὲ τί σὲ ἐλύπησα ἢ σὲ τί σὲ ἔβλαψα;»[4]· καὶ ὁ Δαυΐδ, ὅπως ὅταν λέγη· «Σὲ ἤκουσα μέσα στὸ σκοτάδι τῆς καταιγίδας»· καὶ πάλι, «Ἄνοιξε τὸ στόμα σου καὶ θὰ γεμίσω αὐτό»[5]. Καὶ παντοῦ θὰ εὕρης νὰ συμβαίνη ἔτσι. Καὶ βέβαια ὁπωσδήποτε δὲν ἔπρεπε νὰ πείθεσθε καὶ ἂν ἀκόμη σᾶς ἔλεγαν κάτι, τώρα ὅμως πρέπει, ἀφοῦ δὲν δεχθήκατε εὐεργεσίες, νὰ ἀποφεύγετε ἐκεῖνα.

οὐδὲ οὕτως ἔδει· νῦν δὲ οὐκ ἀφίησιν ὑμᾶς εἶναι κατὰ Χριστόν. Ἐκεῖθεν αὐτὰ φέρουσι. Πρότερον διασαλεύσας τὰς Ἑλληνικὰς παρατηρήσεις, τότε καὶ τὰς Ἰουδαϊκὰς ἀναιρεῖ. Καὶ γὰρ Ἕλληνες καὶ Ἰουδαῖοι παρετήρουν πλείονα, ἀλλ' οἱ μὲν ἀπὸ φιλοσοφίας, οἱ δὲ ἀπὸ νόμου. Πρότερον τοίνυν πρόσεισι τούτοις, ἔνθα μείζων ἡ κατηγορία. Πῶς οὐ κατὰ Χριστόν; «Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καί ἐστε ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας». Ὅρα πῶς ἐν τῇ τούτων κατηγορίᾳ ἐκεῖνο διορύττει, πρότερον τιθεὶς τὴν λύσιν, καὶ τότε τὴν ἀντίθεσιν. Ἀνύποπτος γὰρ ἡ τοιαύτη λύσις, καὶ μᾶλλον δέχεται ὁ ἀκροατής, ὡς οὐ τοῦτο σπουδάζοντος τοῦ λέγοντος. Ἐκεῖ μὲν γὰρ καὶ φιλονεικεῖ μὴ ἡττηθῆναι, ἐνταῦθα δὲ οὔ. «Ὅτι ἐν αὐτῷ», φησί, «κατοικεῖ». Τουτέστιν, ὅτι ὁ Θεὸς ἐν αὐτῷ οἰκεῖ. Ἀλλ' ἵνα μὴ νομίσῃς αὐτὸν συγκεκλεῖσθαι, ὡς ἐν σώματι, φησί· «πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καί ἐστε ἐν αὐτῷ πεπληρωμένοι». Ἄλλοι φασὶν ὅτι τὴν ἐκκλησίαν λέγει πεπληρωμένην ὑπὸ τῆς θεότητος αὐτοῦ, καθὼς ἀλλαχοῦ φησι· «Τοῦ πάντα ἐν πᾶσι πληρουμένου»· τὸ δέ, «σωματικῶς», ἐνταῦθα, ὡς ἐν κεφαλῇ σῶμα.

Πῶς οὖν οὐκ ἐπήγαγεν, ἥτις ἐστὶν ἡ ἐκκλησία; Ἢ περὶ τοῦ Πατρός τινές φασι λέγειν, ὅτι τῆς θεότητος τὸ πλήρωμα ἐν αὐτῷ οἰκεῖ· πρῶτον μέν, ὅτι τὸ οἰκεῖν οὐ κυρίως λέγεται ἐπὶ Θεοῦ· δεύτερον, ὅτι τὸ πλήρωμα οὐ τὸ δεχόμενόν ἐστι· «Τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς»· καὶ πάλιν ὁ ἀπόστολος, «Ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ». Τὸ ὅλον λέγεται πλήρωμα. Ἔπειτα τό, σωματικῶς, τί ἐβούλετο; Ὡς ἐν κεφαλῇ. Τί δὲ πάλιν τὸ αὐτὸ λέγει, «Καί ἐστε ἐν αὐτῷ πεπληρωμένοι»; Τί οὖν ἐστιν; Ὅτι οὐδὲν ἔλαττον ἔχετε αὐτοῦ· ὥσπερ ἐν ἐκείνῳ ᾤκησεν, οὕτω καὶ ἐν ὑμῖν. Βιάζεται γὰρ ἀεὶ Παῦλος ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ Χριστοῦ, ὡς ὅταν λέγῃ· «Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς»· καί, «Εἰ ὑπομένομεν. καὶ συμβασιλεύσομεν». καί, «Πῶς οὐχὶ καὶ

---

6. Ἐφ. 1,23
7. Ψαλμ. 23,1
8. Ρωμ. 11,25

«Καὶ ὄχι σύμφωνα μὲ τὴ διδασκαλία τοῦ Χριστοῦ», λέγει. Καὶ ὁπωσδήποτε βέβαια, καὶ ἂν ἀκόμη ἔτσι εἶχε τὸ πρᾶγμα, ὥστε νὰ μπορῆτε νὰ εἶσθε ἐξ ἡμισείας δοῦλοι καὶ σ' αὐτὸν καὶ σ' ἐκεῖνον, οὔτε ἔτσι ἔπρεπε, τώρα ὅμως δὲν σᾶς ἀφήνει νὰ πολιτεύεσθε σύμφωνα μὲ τὴ διδασκαλία τοῦ Χριστοῦ. Ἐκεῖ ὁδηγοῦν αὐτά. Ἀφοῦ προηγουμένως ἐκλόνισε τὶς ἑλληνικὲς ἀντιλήψεις, στὴ συνέχεια ἀνατρέπει τὶς Ἰουδαϊκές. Διότι πραγματικὰ Ἕλληνες καὶ Ἰουδαῖοι διακήρυτταν πάρα πολλά, οἱ πρῶτοι ὁρμώμενοι ἀπὸ τὴ φιλοσοφία καὶ οἱ ἄλλοι ἀπὸ τὸ μωσαϊκὸ νόμο. Πρῶτα λοιπὸν ἐπιτίθεται σὲ αὐτούς, ὅπου εἶναι πιὸ μεγάλη ἡ κατηγορία. Πῶς ὄχι σύμφωνα μὲ τὴ διδασκαλία τοῦ Χριστοῦ; «Διότι μέσα σ' αὐτὸν κατοικεῖ ὅλη ἡ θεότητα σωματικῶς καὶ εἶσθε καὶ ἐσεῖς μὲ τὴν ἕνωσί σας μ' αὐτὸν πλήρεις, ὁ ὁποῖος εἶναι ἡ κεφαλὴ κάθε ἀρχῆς καὶ ἐξουσίας». Πρόσεξε πῶς στὴν κατηγορία αὐτῶν καταρρίπτει ἀκεῖνο, θέτοντας πρῶτα τὴ λύσι καὶ ὕστερα τὴν ἀντίθεσι. Πραγματικὰ δὲν ὑποπτεύεται κανεὶς αὐτὴν τὴ λύσι, καὶ περισσότερο τὴν δέχεται ὁ ἀκροατής, ἐπειδὴ δὲν ἐπιδιώκει τοῦτο ἐκεῖνος ποὺ τὰ λέγει αὐτά. Διότι ἐκεῖ φιλονεικεῖ νὰ μὴ ἡττηθῇ, ἐδῶ ὅμως ὄχι. «Διότι μέσα σὲ αὐτόν», λέγει, «κατοικεῖ». Δηλαδή, διότι μέσα σὲ αὐτὸν εὑρίσκεται ὁ Θεός. Ἀλλὰ γιὰ νὰ μὴ νομίσῃς ὅτι αὐτὸς ἔχει περιορισθῇ μέσα σὲ σῶμα, λέγει· «ὅλη ἡ θεότητα σωματικῶς καὶ εἶσθε μὲ τὴν ἕνωσί σας μὲ αὐτὸν πλήρεις». Ἄλλοι ἰσχυρίζονται ὅτι τὴν ἐκκλησία ἐννοεῖ ὅτι εἶναι πλήρης ἀπὸ τὴν θεότητα αὐτοῦ, καθὼς λέγει ἀλλοῦ· «Ὁ ὁποῖος γεμίζει τὰ πάντα σ' ὅλες τὶς ἀνάγκες τους»[6]· τὸ δὲ «σωματικῶς» ἐδῶ σημαίνει ὅπως στὴν κεφαλὴ τὸ σῶμα.

Πῶς λοιπὸν δὲν ἐπρόσθεσε, ἡ ὁποία εἶναι ἡ ἐκκλησία; Μερικοὶ λέγουν ὅτι γιὰ τὸν Πατέρα τὸ λέγει, ὅτι δηλαδὴ τὸ πλήρωμα τῆς Θεότητος κατοικεῖ μέσα σὲ αὐτόν. Πρῶτα, γιατὶ τὸ κατοικεῖν δὲν λέγεται κυριολεκτικὰ γιὰ τὸν Θεό, καὶ δεύτερο, γιατὶ τὸ πλήρωμα δὲν εἶναι αὐτὸ ποὺ δέχεται· «Διότι τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς»[7]· καὶ πάλι ὁ ἀπόστολος Παῦλος λέγει, «Ἕως ὅτου εἰσέλθῃ στὴ βασιλεία τοῦ Χριστοῦ τὸ πλήρωμα τῶν ἐθνικῶν»[8]. Τὸ σύνολο λοιπὸν λέγεται πλήρωμα. Ἔπειτα τὸ «σωματικῶς» τί ἤθελε νὰ δηλώσῃ; Ὅπως στὴν κεφαλὴ τὸ σῶμα. Γιατί ὅμως ἀπαναλαμβάνει τὸ ἴδιο, «Καὶ εἶσθε μὲ τὴν ἕνωσί σας μὲ αὐτὸν πλήρεις»; Τί λοιπὸν σημαίνει; Ὅτι δὲν ἔχετε τίποτε λιγώτερο ἀπὸ αὐτόν. Ὅπως ἐκατοίκησε σὲ ἐκεῖνον, ἔτσι καὶ σὲ σᾶς. Βιάζεται λοιπὸν πάντοτε ὁ Παῦλος νὰ μᾶς ὁδηγήσῃ πλησίον τοῦ Χριστοῦ, καθὼς ὅταν λέγῃ·

σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται»; καὶ συγκληρονόμους καλῶν. Εἶτα περὶ τοῦ ἀξιώματος· «Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας». Ὁ πάντων ἀνώτερος, ἡ αἰτία, οὐχὶ ὁμοούσιος; Εἶτα τὰ τῆς εὐεργεσίας θαυμαστῶς ἐπήγαγε, καὶ πολλῷ τῆς πρὸς Ῥωμαίους θαυμαστότερον. Ἐκεῖ μὲν γάρ φησι, «Περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι», ἐνταῦθα δέ, «ἐν τῷ Χριστῷ».

2. «Ἐν ᾧ» γάρ, φησί, «καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ». Ὅρα πῶς ἐγγὺς γίνεται τοῦ πράγματος. «Ἐν τῇ ἀπεκδύσει», φησίν· οὐκ εἶπεν, ἐκδύσει. «Τοῦ σώματος τῶν ἁμαρτιῶν»· τὸν παλαιόν φησι βίον. Συνεχῶς ταῦτα στρέφει καὶ διαφόρως, ὥσπερ ἄνω ἔλεγεν· «Ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ ἀποκατήλλαξεν ἀπηλλοτριωμένους εἰς τὸ εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους». Οὐκέτι, φησίν, ἐν μαχαίρι ἡ περιτομή, ἀλλα' ἐν αὐτῷ τῷ Χριστῷ· οὐ γὰρ χεὶρ ἐπάγει, καθὼς ἐκεῖ, τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ πνεῦμα· οὐ μέρος, ἀλλ' ὅλον ἄνθρωπον περιτέμνει. Σῶμα καὶ τοῦτο, σῶμα κἀκεῖνο· ἀλλὰ τὸ μὲν σαρκί, τὸ δὲ πνευματικῶς περιτέμνεται· ἀλλ' οὐχ ὡς Ἰουδαῖοι· οὐ γὰρ σάρκα, ἀλλὰ ἁμαρτήματα ἀπεξεδύσασθε. Πότε, καὶ ποῦ; Ἐν τῷ βαπτίσματι. Καὶ ὃ καλεῖ περιτομήν, πάλιν τάφον καλεῖ. Ὅρα πῶς πάλιν ἐπὶ τὰ δικαιώματα διαβαίνει. «Τῶν ἁμαρτιῶν», φησί, «τῶν τῆς σαρκός»· ἅπερ ἐν τῇ σαρκὶ ἔπραξαν. Μεῖζον τῆς περιτομῆς λέγει· οὐ γὰρ ἔρριψαν τὸ περιτμηθέν, ἀλλ' ἀπώλεσαν, ἀλλ' ἔφθειραν.

«Συνταφέντες αὐτῷ», φησίν, «ἐν τῷ βαπτισμῷ, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν». Ἀλλ' οὐ τάφος μόνον ἐστίν· ὅρα γὰρ τί φησιν. «Ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν». Καλῶς εἶπε, «πίστεως»· πίστεως γὰρ ὅλον ἐστίν. Ἐπιστεύσατε ὅτι δύναται ὁ Θεὸς ἐγεῖραι, καὶ οὕτως ἠγέρθητε. Εἶτα καὶ τὸ ἀξιόπιστον, «τοῦ ἐγείραντος αὐτόν», φησίν, «ἐκ νεκρῶν». Ἤδη δείκνυσι τὴν ἀνάστασιν. «Καὶ ὑμᾶς ποτε ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησε σὺν αὐτῷ». Ὑπὸ

9. Ἐφ. 2,6. Β' Τιμ. 2,12. Ρωμ. 8,32.17
10. Ρωμ. 2,29
11. Φιλιπ. 1,13.22

«Μᾶς ἀνέστησε μαζὶ μὲ τὸν Χριστὸ καὶ μᾶς ἔβαλε νὰ καθίσωμε μαζί του», καί, «Ἐὰν ὑπομένωμε, τότε καὶ θὰ βασιλεύσωμε μαζὶ μὲ τὸν Χριστό», καί, «Πῶς Δὲν θὰ μᾶς χαρίση μαζὶ μὲ αὐτὸν καὶ τὰ πάντα;» καὶ μᾶς ἀποκαλεῖ συγκληρονόμους τοῦ Χριστοῦ[9]. Στὴ συνέχεια ὁμιλεῖ περὶ τοῦ ἀξιώματός του. «Καὶ αὐτὸς εἶναι ἡ κεφαλὴ κάθε ἀρχῆς καὶ ἐξουσίας». Αὐτὸς ποὺ εἶναι ἀνώτερος ὅλων, ἡ αἰτία τῶν πάντων, δὲν εἶναι ὁμοούσιος; Ἔπειτα μὲ θαυμαστὸ τρόπο ἐπρόσθεσε τὶς εὐεργεσίες καὶ μάλιστα πολὺ θαυμαστότερα ἀπὸ τὴν πρὸς Ρωμαίους. Διότι ἐκεῖ λέγει, «Περιτομὴ τῆς καρδίας διὰ τοῦ ἁγίου Πναύματος, ὄχι διὰ τοῦ γράμματος τοῦ Μωσαϊκοῦ νόμου»[10], ἐδῶ ὅμως, «μὲ τὴν ἕνωσί σας μὲ τὸν Χριστό».

2. «Διὰ τῆς κοινωνίας σας μὲ αὐτόν», λέγει, «ἐπεριτμηθήκατε καὶ μὲ ἀχειροποίητο περιτομή, στὴν ἀποβολὴ τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σάρκας, στὴν περιτομὴ τοῦ Χριστοῦ». Πρόσεξε πῶς πλησιάζει τὸ θέμα. «Στὴν ἀποβολή», λέγει· δὲν εἶπε, στὴν ἀφαίρεσι. «Τοῦ σώματος τῶν ἁμαρτιῶν»· τὴν παλαιὰ ἐννοεῖ ζωή. Συνεχῶς περιστρέφεται στὰ ἴδια καὶ μὲ διαφορετικὸ τρόπο, ὅπως ἔλεγε πιὸ πρὶν στὴν ἐπιστολή του, «Ὁ ὁποῖος μᾶς ἔσωσε ἀπὸ τὴν ἐξουσία τοῦ σκότους, καὶ μᾶς ἐσυμφιλίωσε, ἐνῶ ἤμασθε ἀποξενωμένοι ἀπὸ αὐτόν, ὥστε νὰ γίνωμε ἅγιοι καὶ ἄμεμπτοι»[11]. Δὲν γίνεται πλέον, λέγει, ἡ περιτομὴ μὲ μαχαίρι, ἀλλὰ μὲ τὸν ἴδιο τὸν Χριστό. Διότι δὲν προκαλεῖ, ὅπως ἐκεῖ, τὴν περιτομὴ χέρι ἀνθρώπου, ἀλλὰ τὸ ἅγιο Πνεῦμα· δὲν περιτέμνει ἕνα μέρος, ἀλλὰ ὅλο τὸν ἄνθρωπο. Καὶ αὐτὸ εἶναι σῶμα, καὶ ἐκεῖνο σῶμα, ἀλλὰ τὸ ἕνα περιτέμνεται σαρκικὰ καὶ τὸ ἄλλο πνευματικά. Ὄχι ὅμως νὰ κάνετε ὅπως οἱ Ἰουδαῖοι, διότι δὲν ἀπεκόψατε σάρκα, ἀλλὰ τὰ ἁμαρτήματα. Πότε καὶ ποῦ; Στὸ βάπτισμα. Καὶ αὐτὸ τὸ ὁποῖο ὀνομάζει περιτομή, πάλι ὀνομάζει τάφο. Πρόσεξε πάλι πῶς περνᾶ στὰ δικαιώματα. «Τῶν ἁμαρτιῶν», λέγει, «τῆς σάρκας», δηλαδὴ ἐκεῖνα ποὺ ἔπραξαν μὲ τὴ σάρκα τους. Μεγαλύτερο τῆς περιτομῆς λέγει, διότι δὲν ἀπεμάκρυναν τὸ περιτμηθὲν μέρος τοῦ σώματος, ἀλλὰ τὸ ἐξαφάνισαν, τὸ κατέστρεψαν.

«Ὅταν ἐταφήκατε μαζί του», λέγει, «στὸ βάπτισμα, μὲ τὸ ὁποῖο καὶ ἀναστηθήκατε μαζί του διὰ τῆς πίστεως στὴν ἐνέργεια τοῦ Θεοῦ, ὁ ὁποῖος ἀνέστησε αὐτὸν ἐκ νεκρῶν». Καλῶς εἶπε, «διὰ τῆς πίστεως», διότι διὰ τῆς πίστεως γίνονται τὰ πάντα. Ἐπιστεύσατε ὅτι μπορεῖ ὁ Θεὸς νὰ σᾶς ἀναστήση, καὶ ἔτσι ἔχετε ἀναστηθῆ. Ἔπειτα καὶ ἡ ἀπόδειξις, «ὁ ὁποῖος ἀνέστησε αὐτὸν ἐκ νεκρῶν»,

γὰρ τὴν δίκην ἔκεισθε ἀποθανεῖν. Εἰ δὲ καὶ ἀπεθάνετε, θάνατον χρήσιμον. Ὅρα πῶς πάλιν δείκνυσι τίνων ἦσαν ἄξιοι, δι' ὧν ἐπήγαγε· «Χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα· ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ· ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ».

«Χαρισάμενος ἡμῖν», φησί, «πάντα τὰ παραπτώματα», ἃ τὴν νεκρότητα ἐποίει. Καὶ τί; ἆρα ἀφῆκε μεῖναι; Οὐχί, ἀλλὰ καὶ ἐξήλειψεν, οὐκ ἐχάραξε μόνον, ὥστε μὴ φαίνεσθαι. «Τοῖς δόγμασι», φησί. Ποίοις δόγμασι; Τῇ πίστει· ἀρκεῖ πιστεῦσαι. Οὐχὶ ἔργοις ἔργα, ἀλλὰ πίστει ἔργα παρέθηκε. Καὶ τί μετὰ ταῦτα; Ἐπίτασις τοῦ ἀφιέναι τὸ ἐξαλεῖψαι. Πάλιν, «καὶ αὐτὸ ἦρκε», φησίν, «ἐκ τοῦ μέσου». Καὶ οὐδὲ οὕτως ἐφύλαξεν, ἀλλὰ καὶ διέρρηξεν αὐτό, «προσηλώσας τῷ σταυρῷ». «Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ». Οὐδαμοῦ οὕτω μεγαλοφώνως ἐφθέγξατο. Ὁρᾷς σπουδὴν τοῦ ἀφανισθῆναι τὸ χειρόγραφον ὅσην ἐποιήσατο; Οἷον, πάντες ἦμεν ὑφ' ἁμαρτίαν καὶ κόλασιν· αὐτὸς κολασθεὶς ἔλυσε καὶ τὴν ἁμαρτίαν καὶ τὴν κόλασιν· ἐκολάσθη δὲ ἐν τῷ σταυρῷ. Ἐκεῖ οὖν αὐτὸ προσέπειρεν· ὡς ἐξουσίαν ἔχων, λοιπὸν διέρρηξε.

Ποῖον χειρόγραφον; Ἢ τοῦτό φησιν, ὃ ἔλεγον πρὸς τὸν Μωϋσέα, ὅτι «Πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιήσομεν, καὶ ἀκουσόμεθα»· ἢ εἰ μὴ τοῦτο, ὅτι ὀφείλομεν τῷ Θεῷ ὑπακοήν· ἢ εἰ μὴ τοῦτο, ὅτι κατεῖχεν αὐτὸ ὁ διάβολος, τὸ χειρόγραφον ὃ ἐποίησε πρὸς τὸν Ἀδὰμ ὁ Θεός, εἰπών· «Ἧ ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ξύλου, ἀποθανῇ». Κατεῖχεν οὖν τὸ χειρόγραφον τοῦτο ὁ διάβολος. Καὶ οὐκ ἔδωκεν ἡμῖν αὐτὸ ὁ Χριστός, ἀλλ' αὐτὸς αὐτὸ ἔσχισεν, ὅπερ τοῦ μετὰ χαρᾶς ἀφιέντος ἐστίν. «Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας». Τὰς διαβολικὰς δυνάμεις λέγει. Ἐπεὶ οὖν αὐτὰς ἡ ἀνθρώπινη φύσις ἐνδέδυτο, ἢ ἐπειδὴ αὐτὰς ὥσπερ λαβὴν εἶχον, ἄνθρωπος γενόμενος ἀπεδύσατο τὴν λαβήν. Τί

---

12. Ἐξ. 14,3
13. Γεν. 2,17

λέγει. Ἤδη παρουσιάζει τὴν ἀνάστασι. «Καὶ ἐσᾶς, ποὺ κάποτε ἤσασθε νεκροὶ ἐξ αἰτίας τῶν ἁμαρτημάτων καὶ τῆς σαρκικῆς ἀκροβυστίας σας, σᾶς ἐζωοποίησε μαζὶ μὲ τὸν Χριστό». Διότι ἤσασθε κάτω ἀπὸ τὴ φύσι τοῦ θανάτου. Καὶ ἐνῶ βέβαια ἐπεθάνατε, ὁ θάνατος ὅμως εἶναι χρήσιμος. Πρόσεξε πῶς παρουσιάζει πάλι ἐκεῖνα γιὰ τὰ ὁποῖα ἦσαν ἄξιοι, μὲ αὐτὰ ποὺ ἐπρόσθεσε· «Ἀφοῦ μᾶς ἐχάρισε ὅλα τὰ παραπτώματα καὶ ἔσβησε ἐντελῶς τὸ σὲ βάρος μας γραμμάτιο μὲ τὰ δόγματα, τὸ ὁποῖο ἦταν ἐναντίον μας, καὶ αὐτὸ τὸ ἔχει σηκώσει ἀπὸ ἀνάμεσά μας καὶ τὸ ἐκάρφωσε στὸ σταυρό· ἀφοῦ ἐγύμνωσε τὶς ἀρχὲς καὶ τὶς ἐξουσίες, τὶς διεπόμπευσε αὐτὲς φανερά, καὶ ἐνίκησε τοὺς δαίμονες μὲ τὸ σταυρό».

«Ἀφοῦ μᾶς ἐχάρισε», λέγει, «ὅλα τὰ παραπτώματα», τὰ ὁποῖα ἐπροκαλοῦσαν τὸ θάνατο. Καὶ τί σημαίνει αὐτό; ἄρα τὰ ἄφησε νὰ παραμείνουν; Ὄχι, ἀλλὰ καὶ τὰ ἔσβησε ὁλότελα, δὲν τὰ ἐκάλυψε μόνο γιὰ νὰ μὴ φαίνωνται. «Μὲ τὰ δόγματα», λέγει. Μὲ ποιά δόγματα; Μὲ τὴν πίστι· ἀρκεῖ μόνο νὰ πιστεύσωμε. Δὲν παρέθεσε ἔργα στὰ ἔργα, ἀλλὰ στὴν πίστι ἔργα. Καὶ τί γίνεται ὕστερα ἀπὸ αὐτά; Εἶναι πιὸ ἰσχυρὸ τὸ ἔσβησε ἐντελῶς, ἀπὸ τὸ ἐσυγχώρησε. Πάλι λέγει, «καὶ αὐτὸ ἔχει σηκώσει ἀπὸ ἀνάμεσά μας». Καὶ οὔτε ἔτσι τὸ ἐφύλαξε, ἀλλὰ καὶ ἔσχισε αὐτό, «ἀφοῦ τὸ ἐκάρφωσε στὸ σταυρό». «Ἀφοῦ ἐγύμνωσε τὶς ἀρχὲς καὶ τὶς ἐξουσίες, διεπόμπευσε αὐτὲς φανερά, καὶ ἐνίκησε τοὺς δαίμονες μὲ τὸ σταυρό». Πουθενὰ δὲν ὡμίλησε τόσο μεγαλόφωνα. Βλέπεις πόσο ἐφρόντισε γιὰ νὰ καταστραφῆ τὸ χρεωστικό μας γραμμάτιο; Γιὰ παράδειγμα, ὅλοι ἤμασθε ὑπὸ τὴν ἐξουσία τῆς ἁμαρτίας καὶ τῆς κολάσεως· αὐτός, ἀφοῦ ἐτιμωρήθηκε, διέλυσε καὶ τὴν τιμωρία καὶ τὴν κόλασι· καὶ ἐτιμωρήθηκε ἐπάνω στὸ σταυρό. Ἐκεῖ λοιπὸν αὐτὸ τὸ ἐκάρφωσε καὶ στὴ συνέχεια, ἐπειδὴ εἶχε ἐξουσία, τὸ ἔσχισε.

Ποιό χρεωστικὸ γραμμάτιο; Ἢ αὐτὸ ἐννοεῖ, τὸ ὁποῖο ἔλεγαν πρὸς τὸν Μωυσῆ, ὅτι «Ὅλα ὅσα εἶπε ὁ Θεὸς θὰ τὰ κάνωμε καὶ θὰ ὑπακούωμε»[12], ἢ ἐὰν δὲν εἶναι αὐτό, ὅτι ὀφείλομε νὰ ὑπακούωμε στὸν Θεό. Καὶ ἐὰν δὲν εἶναι αὐτό, τὸ ὅτι κατεῖχε ὁ διάβολος αὐτὸ τὸ χρεωστικὸ γραμμάτιο, τὸ ὁποῖο ἔκαμε μὲ τὸν Ἀδὰμ ὁ Θεός, λέγοντας· «Τὴν ἡμέρα κατὰ τὴν ὁποία θὰ φάγης ἀπὸ τὸν καρπὸ τοῦ δένδρου, θὰ πεθάνης»[13]. Εἶχε ὑπὸ τὴν ἐξουσία του λοιπὸν ὁ διάβολος τὸ γραμμάτιο αὐτό. Καὶ δὲν μᾶς τὸ ἔδωσε αὐτὸ ὁ Χριστός, ἀλλὰ ὁ ἴδιος τὸ ἔσχισε, τὸ ὁποῖο εἶναι ἔργο ἐκείνου ποὺ μὲ χαρὰ μᾶς τὸ ἐσυγχώρησε. «Ἀφοῦ ἐγύμνωσε τὶς ἀρχὲς καὶ τὶς ἐξουσίες». Τὶς

ἐστιν, «ἐδειγμάτισε»; Καὶ καλῶς εἶπεν· οὐδέποτε οὕτως ὁ διάβολος ἠσχημόνησε. Προσδοκῶν γὰρ αὐτὸν ἔχειν, καὶ ὅσους εἶχεν ἀπώλεσε· καὶ τοῦ σώματος προσηλουμένου, οἱ νεκροὶ ἀνίσταντο.

3. Ἐκεῖ τὴν πληγὴν ἔλαβεν ὁ θάνατος, ὑπὸ σώματος νεκροῦ τὴν καιρίαν λαβών. Καὶ καθάπερ ἀθλητὴς νομίζων τὸν ἀντίπαλον βεβληκέναι, καιρίαν κατέχεται λαβών, οὕτω δὴ καὶ οὗτος. Δείκνυσιν ὅτι τὸ μετὰ παρρησίας ἀποθανεῖν, ἀσχημοσύνη ἐστὶ τοῦ διαβόλου. Πάντα γὰρ ἂν ἐποίησεν ἐκεῖνος, εἴγε ἠδύνατο, ὥστε πεῖσαι τοὺς ἀνθρώπους, ὅτι οὐκ ἀπέθανεν. Ἐπειδὴ γὰρ τῆς μὲν ἀναστάσεως ὁ μετὰ ταῦτα πᾶς καιρὸς τεκμήριον ἦν, τοῦ δὲ θανάτου, εἰ μὴ ἐκεῖνος ἐγένετο, οὐκ ἂν ἐγένετο ἕτερος καιρός, διὰ τοῦτο ἀπέθανε μὲν δημοσίᾳ πάντων ὁρώντων, οὐκ ἀνέστη δὲ δημοσίᾳ, εἰδὼς τὸν μετὰ ταῦτα χρόνον μαρτυρήσοντα τῇ ἀληθείᾳ. Τὸ γὰρ τοῦ κόσμου ὁρῶντος ἄνω ἐν τῷ ξύλῳ τὸν ὄφιν σφαγιασθῆναι, τοῦτό ἐστι τὸ θαυμαστόν. Καὶ τί γὰρ ἐποίησεν ὁ διάβολος, ὥστε λαθόντα αὐτὸν ἀποθανεῖν; Ἄκουσε τοῦ Πιλάτου λέγοντος· «Ἄρατε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐδεμίαν αἰτίαν ἐν αὐτῷ εὑρίσκω»· καὶ μυρία ἀνθισταμένου. Καὶ πάλιν Ἰουδαῖοι ἔλεγον αὐτῷ, «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ».

Λοιπὸν οὖν ἐπειδὴ καιρίαν ἔλαβε, καὶ οὐ κατέβη, διὰ τοῦτο καὶ ταφῇ παρεδόθη· ἐπεὶ δυνατὸν ἦν εὐθέως ἀναστῆναι, ἀλλ' ἵνα πιστευθῇ τὸ πρᾶγμα. Καίτοι ἐν μὲν ταῖς ἰδιωτικαῖς τελευταῖς ἔνεστιν ὀλιγοψυχίαν αἰτιάσασθαι· ἐνταῦθα δὲ οὐδὲ τοῦτο. Καὶ γὰρ καὶ οἱ στρατιῶται οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, καθάπερ τῶν ἄλλων, ἵνα φανερωθῇ ὅτι τέθνηκε· καὶ φανεροί εἰσιν οἱ τὸ σῶμα θάψαντες. Διὰ τοῦτο καὶ αὐτοὶ σφραγίζονται οἱ Ἰουδαῖοι τὸν λίθον μετὰ τῶν στρατιωτῶν. Τὸ γὰρ μάλιστα πάντων σπουδαζόμενον τοῦτο ἦν, τὸ μὴ συσκιασθῆναι. Καὶ οἱ μάρτυρες, παρὰ τῶν ἐχθρῶν, παρὰ τῶν Ἰουδαίων. Ἄκουε αὐτῶν λεγόντων τῷ Πιλάτῳ· Εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· κέλευσον οὖν παρὰ τῶν στρατιωτῶν φυλαχθῆναι τὸν τάφον»·

---

14. Ἰω. 19,6
15. Ματθ. 27,40

δυνάμεις τοῦ διαβόλου ἐννοεῖ. Ἐπειδὴ λοιπὸν ἡ φύσις τοῦ ἀνθρώπου εἶχε ἐνδυθῆ αὐτές, ἢ ἐπειδὴ εἶχαν ὡς ἀφορμὴ αὐτές, ἀφοῦ ἔγινε ἄνθρωπος ἀπεμάκρυνε τὴν ἀφορμή. Τί σημαίνει, «ἐδειγμάτισε»; Πολὺ καλὰ τὸ εἶπε. Ποτὲ ὁ διάβολος δὲν συμπεριφέρθηκε τόσο ἄσεμνα. Διότι, ἐλπίζοντας νὰ κατακρατήση αὐτόν, ἔχασε καὶ ὅσους εἶχε· καὶ ἐνῶ τὸ σῶμα του ἦταν καρφωμένο στὸ σταυρό, οἱ νεκροὶ ἀνασταίνονταν.

3. Ἐκεῖ ἐπάνω στὸ σταυρὸ ἔλαβε τὸ κτύπημα ὁ θάνατος, ἀπὸ σῶμα νερκὸ ἐδέχθηκε τὸ θανάσιμο κτύπημα. Καὶ ὅπως ὁ ἀθλητὴς πού, ἐνῶ νομίζει ὅτι ἔχει καταβάλει τὸν ἀντίπαλο, δέχεται θανάσιμο κτύπημα, ἔτσι λοιπὸν καὶ αὐτός. Ἀποδεικνύει ὅτι τὸ νὰ πεθάνη μὲ παρρησία, εἶναι ἀσχημοσύνη τοῦ διαβόλου. Διότι τὰ πάντα θὰ ἔκανε ἐκεῖνος, ἐὰν βέβαια ἠμποροῦσε, ὥστε νὰ πείση τοὺς ἀνθρώπους, ὅτι δὲν ἐπέθανε. Ἐπειδὴ λοιπὸν ὅλος ὁ καιρὸς ὕστερα ἀπὸ αὐτὰ ἦταν ἀπόδειξις τῆς ἀναστάσεως, τοῦ θανάτου ὅμως, ἐὰν δὲν ἐγίνετο ἐκεῖνος, δὲν θὰ ὑπῆρχε ἄλλος καιρὸς γιὰ ἀπόδειξι, γι' αὐτὸ ἐπέθανε δημόσια καὶ ὅλοι ἔβλεπαν, δὲν ἀνεστήθηκε ὅμως φανερά, ἐπειδὴ ἐγνώριζε ὅτι θὰ μαρτυρήση τὴν ἀλήθεια ὁ χρόνος ὕστερα ἀπὸ αὐτά. Διότι τὸ νὰ σφαγισθῆ ὁ ὄφις ἐπάνω στὸ ξύλο, ἐνῶ ὁ κόσμος ἦταν θεατής, αὐτὸ εἶναι τὸ θαυμαστό. Καὶ τί δὲν ἔκαμε λοιπὸν ὁ διάβολος, ὥστε νὰ πεθάνη ἀπαρατήρητα ὁ Χριστός; Ἄκουε τὸν Πιλᾶτο, ὁ ὁποῖος λέγει· «Λάβετε αὐτὸν ἐσεῖς καὶ σταυρώσατέ τον, γιατὶ ἐγὼ δὲν εὑρίσκω καμμία ἐνοχὴ σὲ αὐτόν»[14], καὶ ἐπρόβαλε πολλὲς ἀντιρρήσεις. Καὶ πάλι οἱ Ἰουδαῖοι ἔλεγαν πρὸς αὐτόν· «Ἐὰν εἶσαι Υἱὸς τοῦ Θεοῦ, κατέβα ἀπὸ τὸ σταυρό»[15].

Στὴ συνέχεια λοιπὸν ἐπειδὴ ἔλαβε θανατηφόρο κτύπημα, καὶ δὲν ἐκατέβηκε, γι' αὐτὸ καὶ ἐθάφθηκε, ἀφοῦ ἦταν δυνατὸ νὰ ἀναστηθῆ ἀμέσως, ἀλλὰ γιὰ νὰ πιστευθῆ τὸ πρᾶγμα. Ἂν καὶ στὶς ἰδιωτικὲς ἐκτελέσεις εἶναι δυνατὸ νὰ κατηγορηθοῦν γιὰ λιποθυμία, ἐδῶ ὅμως οὔτε καὶ αὐτὸ συμβαίνει. Διότι πράγματι καὶ οἱ στρατιῶτες δὲν ἔσπασαν τὰ σκέλη του, ὅπως τῶν ἄλλων, γιὰ νὰ γίνη φανερὸ ὅτι εἶχε πεθάνει, καὶ στὰ φανερὰ ἔθαψαν τὸ σῶμα του. Γι' αὐτὸ καὶ οἱ Ἰουδαῖοι σφραγίζουν τὴν πέτρα καὶ τοποθέτησαν φρουρὰ τοὺς στρατιῶτες. Ἐκεῖνο λοιπὸν ποὺ πρὸ παντὸς ἐφρόντιζαν ἦταν αὐτό, δηλαδὴ τὸ νὰ μὴ κρυφθῆ τὸ γεγονός. Καὶ οἱ μάρτυρες ἦσαν ἀπὸ τοὺς ἐχθρούς, ἀπὸ τοὺς Ἰουδαίους. Ἄκουσε αὐτοὺς ποὺ λέγουν στὸν Πιλᾶτο· «Εἶπε ὁ λαοπλάνος ἐκεῖνος, ὅταν ἀκόμη ἐζοῦσε, ὅτι ὕστερα ἀπὸ τρεῖς ἡμέρες ἀνασταίνομαι. Πρόσταξε λοιπὸν νὰ φυ-

κἀκείνων σφραγιζομένων τοῦτο ἐγένετο. Ἄκουε δὲ αὐτῶν τοῦτο καὶ μετὰ ταῦτα λεγόντων τοῖς ἀποστόλοις, «Βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου». Τὸν τρόπον αὐτοῦ τοῦ σταυροῦ οὐκ ἀφῆκεν αἰσχύνεσθαι. Ἐπειδὴ γὰρ οἱ ἄγγελοι οὐδὲν τοιοῦτον πεπόνθασι, διὰ τοῦτο ὑπὲρ τούτου πάντα ποιεῖ, δεικνὺς ὅτι μέγα κατώρθωσεν ὁ θάνατος. Ὥσπερ μονομαχεῖν γέγονεν. Ἔπληξε τὸν Χριστὸν ὁ θάνατος, ἀλλ' ὁ Χριστὸς πληγείς, ὕστερον αὐτὸν ἀνεῖλε· νεκρῷ σώματι κατελύετο ὁ δοκῶν ἀθάνατος εἶναι· καὶ τοῦτο ἡ οἰκουμένη ἑώρα. Καὶ τὸ δὴ θαυμαστόν, οὐκ ἐπέτρεψεν ἑτέρῳ τοῦτο. Ἀλλὰ γέγονεν ἕτερον χειρόγραφον πάλιν, οὐ τοιοῦτον, οἷον τὸ πρότερον.

Ὁρᾶτε οὖν μὴ τούτῳ ἁλῶμεν μετὰ τὸ εἰπεῖν, ἀποτάσσομαι τῷ Σατανᾷ, καὶ συντάσσομαί σοί, Χριστέ. Μᾶλλον δὲ οὐκ ἂν κληθείη τοῦτο χειρόγραφον, ἀλλὰ συνθήκη. Χειρόγραφον γάρ ἐστιν, ὅταν τις ὀφλημάτων ὑπεύθυνος κατέχηται· τοῦτο δὲ συνθήκη ἐστίν· οὐκ ἔχει τιμωρίαν, οὐδὲ λέγει, ἐὰν τόδε, ἢ μὴ τόδε· ὃ τὸ αἷμα τῆς διαθήκης ῥαντίζων Μωϋσῆς εἶπε τούτῳ καὶ ὁ Θεὸς ζωὴν αἰώνιον ἐπηγγείλατο. Ταῦτα πάντα συνθήκη ἐστίν. Ἐκεῖ δοῦλος πρὸς δεσπότην, ἐνταῦθα φίλος πρὸς φίλον· ἐκεῖ, «Ἧι ἂν ἡμέρᾳ φάγῃ», φησίν, «ἀποθανῇ»· εὐθέως ἀπειλή· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. Παραγίνεται ὁ Θεός, καὶ ἐνταῦθα γυμνότης, κἀκεῖ γυμνότης· ἀλλ' ἐκεῖ μὲν ἁμαρτήσας ἐγυμνώθη, ἐπειδὴ ἥμαρτεν· ἐνταῦθα δέ, ἵνα ἀπαλλαγῇ, γυμνοῦται. Ἀπεδύσατο τότε τὴν δόξαν, ἣν εἶχεν, ἐκεῖνος· ἀποδύεται νῦν τὸν παλαιὸν ἄνθρωπον, καὶ πρὶν ἢ ἐπιβῆναι, οὕτως εὐκόλως ἀποδύεται, ὥσπερ τὰ ἱμάτια. Ἀλείφεται, ὥσπερ οἱ ἀθληταὶ εἰς στάδιον ἐμβησόμενοι. Ἅμα γὰρ τίκτεται, καὶ καθάπερ ἐκεῖνος ὁ πρῶτος, οὐ κατὰ μικρόν, ἀλλ' εὐθέως· οὐ καθάπερ οἱ ἱερεῖς τὸ παλαιὸν τὴν κεφαλὴν μόνον, μᾶλλον δὲ μειζόνως. Ἐκεῖνος μὲν γὰρ τὴν κεφαλήν, τὸ οὖς τὸ δεξιόν, τὴν χεῖρα, ἵνα καὶ πρὸς ὑπακοὴν καὶ ἔργα ἀγαθὰ αὐτὸν διεγείρῃ· οὗτος δέ τὸ πᾶν.

Οὐ γὰρ διδαχθησόμενος ἔρχεται μόνον, ἀλλὰ καὶ ἀθλήσων καὶ γυμνασθησόμενος. Εἰς ἑτέραν ἀνάγεται κτίσιν. Ὅταν γὰρ ὁμολογῇ εἰς ζωὴν αἰώνιον, ὡμολόγησεν ἑτέραν κτίσιν. Ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον· λοιπὸν δὲ οὐκέτι

16. Ματθ. 27,63.64
17. Πράξ. 5,28.

λαχθῆ ὁ τάφος ἀπὸ τοὺς στρατιῶτες»[16]. Καὶ ἔγινε αὐτὸ καθὼς οἱ στρατιῶτες ἐσφράγιζαν τὸν τάφο. Καὶ ἄκουσε αὐτοὺς νὰ λέγουν ἀργότερα τὸ ἴδιο στοὺς ἀποστόλους, «Θέλετε νὰ ἐπιρρίψετε ἐπάνω μας τὸ αἷμα τοῦ ἀνθρώπου αὐτοῦ»[17]. Δὲν ἄφησε νὰ αἰσχύνεται ὁ σταυρός του. Ἐπειδὴ λοιπὸν οἱ ἄγγελοι δὲν ἔχουν πάθει τίποτε τέτοιο, γι' αὐτὸ τὰ πάντα κάνει γιὰ τὸ σκοπὸ αὐτό, ἀποδεικνύοντας ὅτι ὁ θάνατος ἐπέτυχε μεγάλο ἔργο. Ἔχει γίνει σὰν μονομαχία. Ἐκτύπησε τὸν Χριστὸ ὁ θάνατος, ἀλλὰ ὁ Χριστός, ἀφοῦ ἐκτυπήθηκε, ὕστερα ἐφόνευσε αὐτόν. Μὲ νεκρὸ σῶμα ἐκαταργεῖτο ἐκεῖνος ποὺ ἐνόμιζε ὅτι εἶναι ἀθάνατος καὶ αὐτὸ τὸ ἔβλεπε ἡ οἰκουμένη. Καὶ τὸ πιὸ θαυμαστό, δὲν ἐπέτρεψε αὐτὸ σὲ ἄλλον. Ἀλλὰ ἔγινε ἄλλο γραμμάτιο, ὄχι τέτοιο, ὅπως τὸ προηγούμενο.

Προσέχετε λοιπὸν μήπως μᾶς κυριεύση αὐτὸς λύοντας τό, ἀποκηρύσσω τὸν Σατανᾶ καὶ τάσσομαι μαζί σου, Χριστέ. Καλύτερα ὅμως δὲν μπορεῖ νὰ ὀνομασθῇ αὐτὸ γραμμάτιο, ἀλλὰ συμφωνία. Διότι γραμμάτιο ὑπάρχει, ὅταν κάποιος ἔχει χρέη. Αὐτὸ ὅμως εἶναι συμφωνία, δὲν ἔχει τιμωρία, οὔτε λέγει, ἐὰν γίνη αὐτὸ ἐδῶ ἢ ἐὰν δὲν γίνη αὐτό. Αὐτὸ ποὺ εἶπε ὁ Μωϋσῆς ραντίζοντας τὸ αἷμα τῆς διαθήκης μὲ αὐτὸ καὶ ὁ Θεὸς ὑπεσχέθηκε τὴν αἰώνιο ζωή. Ὅλα αὐτὰ εἶναι συμφωνία. Ἐκεῖ δοῦλος μὲ κύριο, ἐδῶ φίλος μὲ φίλο. Ἐκεῖ, «Τὴν ἡμέρα κατὰ τὴν ὁποία θὰ φάγης», λέγει, «θὰ πεθάνης»· ἀμέσως ὑπάρχει ἡ ἀπειλή, ἐδῶ ὅμως τίποτε τὸ παρόμοιο. Ἔρχεται ὁ Θεός, καὶ ἐδῶ γυμνότητα, καὶ ἐκεῖ γυμνότητα. Ἀλλὰ ἐκεῖ πρῶτα ἡμάρτησε καὶ ὕστερα ἐγυμνώθηκε ὁ ἄνθρωπος, ἐπειδὴ ἡμάρτησε. Ἐδῶ ὅμως γυμνώνεται ὁ Θεός, γιὰ νὰ ἀπαλλάξη τὸν ἄνθρωπο ἀπὸ τὶς ἁμαρτίες. Ἀπέρριψε τότε ὁ ἄνθρωπος τὴ δόξα ποὺ εἶχε. Ἀπορρίπτει τώρα τὸν παλαιὸ ἄνθρωπο, καὶ προτοῦ νὰ προχωρήση, τόσο εὔκολα τὸν ἀπορρίπτει, ὅπως τὰ ἐνδύματα. Ἀλείφεται, ὅπως οἱ ἀθλητὲς ποὺ πρόκειται νὰ ἀγωνισθοῦν στὸ στάδιο. Ἀμέσως μόλις γεννᾶται, καὶ ὄχι ὅπως ἐκεῖνος ὁ πρῶτος σιγὰ σιγά, ἀλλὰ ἀμέσως· ὄχι ὅπως οἱ ἱερεῖς παλαιὰ ἄλειφαν μόνο τὸ κεφάλι, ἀλλὰ πολὺ περισσότερο. Διότι ἐκεῖνος μὲν ἄλειφε τὸ κεφάλι, τὸ δεξιὸ αὐτί, τὸ χέρι, γιὰ νὰ διεγείρη αὐτὸν πρὸς ὑπακοὴ καὶ ἀγαθὰ ἔργα, αὐτὸς ὅμως ὅλο τὸ σῶμα.

Δὲν ἔρχεται βέβαια μὲ σκοπὸ μόνο νὰ διδαχθῇ, ἀλλὰ καὶ νὰ ἀγωνισθῇ καὶ νὰ ἀσκηθῇ. Ὑψώνεται σὲ ἄλλη κτίσι. Διότι ὅταν ὁμολογῇ στὴν αἰώνιο ζωή, ὡμολόγησε ἄλλη κτίσι. Ἔλαβε χῶμα ἀπὸ τὴ γῆ καὶ ἐδημιούργησε τὸν ἄνθρωπο. Στὸ ἑξῆς ὅμως δὲν λαμβάνει

χοῦν, ἀλλὰ Πνεῦμα ἅγιον· τούτῳ πλάττεται, τούτῳ ῥυθμίζεται, καθάπερ καὶ αὐτὸς ἐν τῇ μήτρᾳ τῆς Παρθένου. Οὐκ εἶπεν, ἐν παραδείσῳ, ἀλλ' ἐν οὐρανῷ. Μὴ γάρ, ἐπειδὴ γῆ ὑπόκειται, νομίσῃς εἶναι ἐν γῇ· μετέστη ἐκεῖ πρὸς τὸν οὐρανόν· ἐκεῖ ταῦτα γίνεται μεταξὺ ἀγγέλων. Ἄνω σου λαμβάνει τὴν ψυχὴν ὁ Θεός, μεταρρυθμίζων ἄνω, παρὰ τὸν θρόνον ἱστᾷ σε τὸν βασιλικόν. Πλάττεται ἐν τῷ ὕδατι, λαμβάνει δὲ ἀντίψυχον Πνεῦμα. Μετὰ δὲ τὸ πλασθῆναι οὐκ ἄγει πρὸς αὐτὸν θηρία, ἀλλὰ δαίμονας καὶ τὸν ἀρχηγὸν αὐτῶν, καὶ λέγει, «Πατεῖται ἐπάνω ὄφεων καὶ σκορπίων».

Οὐ λέγει, «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν», ἀλλὰ τί; Δίδωσιν αὐτοῖς υἱοῖς Θεοῦ γενέσθαι· «Ἀλλ' ἐκ Θεοῦ», φησίν, ἐγεννήθησαν». Εἶτα ἵνα μὴ τοῦ ὄφεως ἀκούσῃς, εὐθέως διδάσκει λέγειν, ἀποτάσσομαί σοι· ἀντὶ τοῦ, ὅπερ ἂν εἴπῃς, οὐκ ἀκούσομαί σου. Εἶτα ἵνα μὴ δι' ἑτέρων σε ἕλῃ, φησί, καὶ τῇ πομπῇ σου, καὶ τῇ λατρείᾳ σου, καὶ τοῖς ἀγγέλοις σου. Ἔθετο αὐτὸν οὐκέτι φυλάσσειν τὸν παράδεισον, ἀλλὰ πολιτεύεσθαι ἐν οὐρανῷ. Εὐθέως γὰρ ἀνελθών, ταῦτα φθέγγεται τὰ ῥήματα· «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς». Οὐκ ἐπ' ὄψιν πίπτει τὸ παιδίον, οὐ ξύλον ὁρᾷς, οὐδὲ πηγήν, ἀλλ' αὐτὸν εὐθέως περιλαμβάνεις τὸν δεσπότην, ἀνακεράννυσαι τῷ σώματι, ἀναφύρῃ τῷ σώματι τῷ ἄνω κειμένῳ, ἔνθα προσελθεῖν οὐκ ἔνι τῷ διαβόλῳ. Οὐκ ἔστι γυνή, ἵνα προσέλθῃ, καὶ ὡς ἀσθενεστέραν ἀπατήσῃ· οὐκ ἔστι γάρ», φησί, «θῆλυ, οὐδὲ ἄρσεν». Ἂν μὴ σὺ κατέλθῃς πρὸς αὐτόν, οὐ δυνήσεται ἐπιβῆναι ἔνθα εἶ· ἐν γὰρ τῷ οὐρανῷ εἶ, ὁ δὲ οὐρανὸς ἄβατος τῷ διαβόλῳ. Οὐκ ἔχει ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, ἀλλὰ τὸ ξύλον τῆς ζωῆς μόνον. Οὐκέτι ἀπὸ τῆς πλευρᾶς σου γυνή, ἀλλὰ πάντες ἓν ἐσμεν ἀπὸ τῆς πλευρᾶς τοῦ Χριστοῦ.

Εἰ γὰρ οἱ ἠλειμμένοι ὑπὸ ἀνθρώπων, οὐδὲν πάσχουσιν ὑπὸ ὄφεων, οὐδὲ σὺ πείσῃ τι, ἕως ἂν ᾖς ἠλειμμένος, ἵνα δυνηθῇς κατέχειν τὸν ὄφιν καὶ ἀποπνίγειν, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Ἀλλ' ὥσπερ μεγάλα τὰ δῶρα, οὕτω μεγάλη καὶ ἡ τιμωρία. Οὐκ ἔνι ἐκπεσόντα τοῦ παραδείσου ἀπέναντι οἰκῆσαι τοῦ παραδείσου, οὐδὲ ἐπανελθεῖν ὅθεν ἐξεπέσομεν. Ἀλλὰ τί

18. Λουκᾶ 10,19. Τὰ φίδια καὶ οἱ σκορπιοὶ εἶναι ὄργανα τοῦ διαβόλου.
19. Γεν. 1,26.
20. Ἰω. 1,13

πλέον χῶμα, ἀλλὰ Πνεῦμα ἅγιο· μὲ αὐτὸ διαπλάσσεται, μὲ αὐτὸ διαμορφώνεται, ὅπως καὶ αὐτὸς μέσα στὴ μήτρα τῆς Παρθένου. Δὲν εἶπε, στὸν παράδεισο, ἀλλὰ στὸν οὐρανό. Μὴ νομίσης λοιπόν, ἐπειδὴ εὑρίσκεται στὴ γῆ, ὅτι εἶναι στὴ γῆ· μετεκινήθηκε ἐκεῖ πρὸς τὸν οὐρανό· ἐκεῖ αὐτὰ γίνονται μεταξὺ τῶν ἀγγέλων. Στὸν οὐρανὸ παίρνει τὴν ψυχή σου ὁ Θεός, στὸν οὐρανὸ τὴν διαμορφώνει, στέκεσαι πλησίον τοῦ θρόνου τοῦ Βασιλέως. Δημιουργεῖται μέσα στὸ νερὸ καὶ λαμβάνει ἀντὶ τῆς ψυχῆς τὸ ἅγιο Πνεῦμα. Μετὰ τὴν ἀναδημιουργία αὐτὴν δὲν ὁδηγεῖ πρὸς αὐτὸν θηρία, ἀλλὰ δαίμονες καὶ τὸν ἀρχηγό τους καὶ λέγει· «Πατεῖτε ἐπάνω στὰ φίδια καὶ τοὺς σκορπιούς»[18].

Δὲν λέγει, «Ἂς πλάσωμε ἄνθρωπο σύμφωνα μὲ τὴν ἰδική μας εἰκόνα καὶ ὁμοίωσι»[19], ἀλλὰ τί; Δίνει τὸ δικαίωμα στοὺς ἀνθρώπους νὰ γίνουν τέκνα τοῦ Θεοῦ, «Ἀλλὰ ἐγεννήθηκαν», λέγει, «ἀπό τὸν Θεό»[20]. Ἔπειτα γιὰ νὰ μὴ ἀκούσης τὸ φίδι, ἀμέσως διδάσκει νὰ λέγης, σὲ ἀποκηρύσσω, ἀντὶ τοῦ, δὲν θὰ σὲ ἀκούσω, πρᾶγμα ποὺ μπορεῖς νὰ εἰπῆς. Ἔπειτα γιὰ νὰ μὴ σὲ κυριεύση μὲ ἄλλα μέσα, λέγει, καὶ τὴν ἀκολουθία σου καὶ τὴ λατρεία σου καὶ τοὺς ἀγγέλους σου. Δὲν ἐτοποθέτησε τὸν ἄνθρωπο νὰ φυλάσση τὸν παράδεισο, ἀλλὰ νὰ πολιτεύεται στὸν οὐρανό. Διότι ἀμέσως μόλις ἀνεβῆ στὸν οὐρανό, λέγει αὐτὰ τὰ λόγια· «Πατέρα μας, ποὺ εἶσαι στοὺς οὐρανούς, εἴθε νὰ γίνη τὸ θέλημά σου καὶ ἐπάνω στὴ γῆ, ὅπως γίνεται στὸν οὐρανό»[21]. Δὲν πίπτει ἐνώπιόν του τὸ παιδί, δὲν βλέπεις δένδρο, οὔτε πηγή, ἀλλὰ ἀγκαλιάζεις ἀμέσως τὸν Θεό, ἑνώνεσαι μὲ τὸ σῶμα, ἀναμειγνύεσαι μὲ τὸ σῶμα ποὺ εὑρίσκεται στὸν οὐρανό, ὅπου δὲν μπορεῖ νὰ πλησιάση ὁ διάβολος. Δὲν ὑπάρχει γυναῖκα, γιὰ νὰ ἔλθη καὶ νὰ τὴν ἐξαπατήση, ἐπειδὴ εἶναι πιὸ ἀσθενής· «Διότι δὲν ὑπάρχει», λέγει, «διαφορὰ ἀνάμεσα στὴ γυναῖκα καὶ τὸν ἄνδρα»[22]. Ἂν δὲν κατεβῆς ἐσὺ πρὸς αὐτόν, δὲν θὰ μπορέση νὰ ἀνεβῆ ἐκεῖ ὅπου εἶσαι σύ, διότι εὑρίσκεσαι στὸν οὐρανὸ καὶ ὁ οὐρανὸς εἶναι ἄβατος στὸ διάβολο. Δὲν ὑπάρχει δένδρο τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἀλλὰ μόνο τὸ δένδρο τῆς ζωῆς. Δὲν δημιουργεῖται πιὰ ἀπὸ τὴν πλευρά σου γυναῖκα, ἀλλὰ ὅλοι εἴμασθε ἕνα ἀπὸ τὴν πλευρὰ τοῦ Χριστοῦ.

Ἐὰν λοιπὸν ὅσοι ἀλείφωνται ἀπὸ ἀνθρώπους, δὲν παθαίνουν τίποτε ἀπὸ τὰ φίδια, οὔτε καὶ ἐσύ θὰ πάθης κάτι, ἕως ὅτου θὰ εἶσαι χρισμένος, γιὰ νὰ μπορέσης νὰ νικᾶς τὸ φίδι καὶ νὰ τὸ ἐξοντώνης ἐντελῶς, νὰ πατῆς ἐπάνω στὰ φίδια καὶ στοὺς σκορπιούς. Ἀλλὰ

μετὰ ταῦτα; Γέεννα, καὶ σκώληξ ἀτελεύτητος. Ἀλλὰ μὴ γένοιτό τινα ἡμῶν ὑπεύθυνον γενέσθαι ταύτῃ τῇ τιμωρίᾳ· ἀλλ' ἐναρέτως ζῶντες σπουδάσωμεν τὰ αὐτῷ δοκοῦντα διαπράττεσθαι. Εὐαρεστήσωμεν τῷ Θεῷ, ἵνα δυνηθῶμεν καὶ τῆς κολάσεως ἀπαλλαγῆναι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν,

21. Ματθ. 6,9.10
22. Γαλ. 3,28

ὅπως εἶναι μεγάλα τὰ δῶρα, ἔτσι εἶναι μεγάλη καὶ ἡ τιμωρία. Δὲν εἶναι δυνατό, ἂν ἐκπέσης ἀπὸ τὸν παράδεισο, νὰ κατοικήσης ἀπέναντι τοῦ παραδείσου, οὔτε νὰ ἐπανέλθης ἐκεῖ, ἀπὸ ὅπου ἔχομε ἐκπέσει. 'Αλλὰ τί θὰ ἀκολουθήση ὕστερα ἀπὸ αὐτά; Κόλασις καὶ αἰώνια βασανιστήρια. Εἴθε ὅμως νὰ μὴ συμβῆ νὰ τιμωρηθῆ κανείς μας μὲ αὐτὴν τὴν τιμωρία, ἀλλά, ζώντας ἐνάρετα, ἂς φροντίσωμε νὰ πράττωμε ἐκεῖνα ποὺ ἀρέσουν σὲ αὐτόν. Ἂς γίνωμε ἀρεστοὶ στὸν Θεό, γιὰ νὰ μπορέσωμε νά ἐπιτύχωμε τὰ αἰώνια ἀγαθά. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ὅλοι μας νὰ τὰ ἀξιωθοῦμε, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας 'Ιησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πναῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. 'Αμήν.

ΟΜΙΛΙΑ Ζ΄

(Κολ. 2,16 – 3,4)

«Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας ἢ σαββάτων, ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα Χριστοῦ. Μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἀφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ».

1. Πρῶτον αἰνιγματωδῶς εἰπών, «Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων», καὶ πάλιν ἀνωτέρω, «Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ»· καὶ προκαταλαβὼν τὴν ψυχὴν καὶ μεμεριμνημένην ἐργασάμενος, εἶτα παρενθεὶς τὰς εὐεργεσίας, καὶ μειζόνως τοῦτο ποιήσας, τότε ἐπάγει τὸν ἔλεγχον ὕστερον, καί φησι· «Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νεομηνίας ἢ σαββάτων». Ὁρᾷς πῶς αὐτὰ καθαιρεῖ; Εἰ τοιούτων τετυχήκατε, φησί, τί τοῖς μικροῖς ὑπευθύνους ἑαυτοὺς ποιεῖτε; Καὶ ἐξευτελίζει λέγων, «ἢ ἐν μέρει ἑορτῆς»· οὐ γὰρ δὴ πάντα κατεῖχον τὰ πρότερα. «Ἢ νουμηνίας ἢ σαββάτων». Οὐκ εἶπε, μὴ τοίνυν φυλάττετε, ἀλλά, «μή τις ὑμᾶς κρινέτω». Ἔδειξεν αὐτοὺς παραβαίνοντας καὶ λύοντας, ἐφ' ἑτέρους δὲ τὸ ἔγκλημα ἤνεγκε. Μὴ ἀνέχεσθε τῶν κρινόντων, φησίν. Ἀλλ' οὐδὲ τοῦτο, ἀλλ' ἐκείνοις διαλέγεται, μονονουχὶ ἐπιστομίζων αὐτούς, ὅτι οὐκ ὀφείλετε ἀνακρίνειν. Ἀλλ' οὐκ ἂν τούτων καθήψατο. Οὐκ εἶπεν, ἐν καθαροῖς καὶ ἀκαθάρτοις, οὐδὲ εἶπεν, ἐν σκηνοπηγίαις καὶ ἀζύ-

1. Κολ. 2,8
2. Κολ. 2,4

ΟΜΙΛΙΑ Ζ΄
(Κολ. 2,16 – 3,4)

«Ἂς μὴ σᾶς κρίνη λοιπὸν κανεὶς γιὰ φαγητὸ ἢ ποτὸ ἢ σχετικὰ γιὰ ἑορτὴ ἢ πρωτομηνιὰ ἢ ἄλλη μέρα τῆς ἑβδομάδος, τὰ ὁποῖα εἶναι σκιὰ τῶν μελλοντικῶν πραγμάτων, τὸ σῶμα ὅμως εἶναι τοῦ Χριστοῦ. Κανεὶς ἂς μὴ σᾶς στερήση τὸ βραβεῖο, δοκιμάζοντας μὲ ταπεινοφροσύνη καὶ τὴ θρησκεία τῶν ἀγγέλων, εἰσερχόμενος σὲ πράγματα, τὰ ὁποῖα δὲν ἔχει ἰδῆ, ὑπερηφανευόμενος χωρὶς λόγο ἀπὸ τὸ σαρκικὸ νοῦ του καὶ δὲν κρατεῖ τὴν κεφαλή, ἀπὸ τὴν ὁποία ὁλόκληρο τὸ σῶμα μὲ τὶς ἀρθρώσεις καὶ τοὺς συνδέσμους διατρέφεται καὶ ἑνώνεται καὶ αὐξάνει τὴν αὔξησι τοῦ Θεοῦ».

1. Ἀφοῦ πρῶτα μίλησε μὲ ἀσάφεια, «Προσέχετε μήπως σᾶς ἐξαπατήση κανεὶς κατὰ τὴν παράδοσι τῶν ἀνθρώπων»[1], καὶ πάλι πιὸ ἐπάνω, «Καὶ λέγω αὐτὸ γιὰ νὰ μὴ σᾶς ἐξαπατᾶ κανεὶς μὲ πιστευτὰ λόγια»[2], καὶ ἀφοῦ κατέβαλε ἀπὸ πρὶν τὴν ψυχὴ καὶ τὴν ἔκαμε νὰ ἐξετάζη τὰ πράγματα, ἔπειτα ἀφοῦ παρενέβαλε τὶς εὐεργεσίες, καὶ ἀφοῦ ἔκαμε αὐτὸ μὲ τὸ παραπάνω, τότε προσθέτει τὸν ἔλεγχο τελευταῖο, καὶ λέγει· «Ἂς μὴ σᾶς κρίνη λοιπὸν κανεὶς γιὰ φαγητὸ ἢ ποτὸ ἢ σχετικὰ γιὰ ἑορτὴ ἢ πρωτομηνιὰ ἢ ἄλλη ἡμέρα τῆς ἑβδομάδος». Βλέπεις πῶς καταργεῖ αὐτά; Ἐὰν ἔχετε κατορθώσει τέτοια μεγάλα, λέγει, γιατί γίνεσθε ὑπόλογοι γιὰ τὰ ἀσήμαντα; Καὶ τοὺς ἐξευτελίζει λέγοντας, «ἢ σχετικὰ γιὰ ἑορτή», γιατὶ δὲν κατεῖχαν βέβαια ὅλα τὰ προηγούμενα. «Ἢ πρωτομηνιὰ ἢ ἄλλη ἡμέρα τῆς ἑβδομάδος». Δὲν εἶπε, μὴ τὴν φυλάσσετε πλέον, ἀλλά, «ἂς μὴ σᾶς κρίνη κανείς». Ἐπαρουσίασε αὐτοὺς νὰ παραβαίνουν καὶ νὰ παραβιάζουν, ἄλλους ὅμως ἐκατηγόρησε. Νὰ μὴ ἀνέχεσθε αὐτοὺς ποὺ σᾶς κρίνουν, λέγει. Ἀλλὰ οὔτε αὐτὸ μόνο. Ἀλλὰ ἀπευθύνεται σὲ ἐκείνους, καὶ εἶναι σὰν νὰ ἀποστομώνη αὐτούς, ὅτι δὲν ὀφείλετε νὰ ἀνακρίνετε. Ἀλλὰ δὲν θὰ μποροῦσε νὰ κατηγορήση αὐτούς. Δὲν εἶπε, γιὰ καθαρὰ καὶ ἀκάθαρτα φαγητά, οὔτε εἶπε, γιὰ τὴν ἑορτὴ τῆς σκηνοπηγίας καὶ τῶν ἀζύμων καὶ τῆς Πεντηκοστῆς, ἀλλά, «σχε-

μοις καὶ πεντηκοστῇ· ἀλλ', «ἐν μέρει ἑορτῆς»· οὐ γὰρ ἐτόλμων τὸ πᾶν φυλάττειν· καὶ εἰ ἐφύλαττον, οὐχ ὥστε ἑορτάζειν.

«Ἐν μέρει», φησί· δεικνὺς ὅτι τὸ πλέον λέλυται. Εἰ γὰρ καὶ ἐσαββάτιζον, ἀλλ' οὐκ ἀκριβῶς. «Ἅ ἐστι σκιὰ τῶν μελλόντων». Τῆς Καινῆς, φησί, διαθήκης. «Τὸ δὲ σῶμα Χριστοῦ». Οἱ μὲν οὖν οὕτω στίζουσι, «Τὸ δὲ σῶμα, Χριστοῦ»· ἡ δὲ ἀλήθεια ἐπὶ Χριστοῦ γέγονεν, οἱ δέ, «Τὸ σῶμα Χριστοῦ μηδεὶς ὑμᾶς καταβραβευέτω», τουτέστιν, ἐπηρεαζέτω. Καταβραβευθῆναί ἐστιν, ὅταν παρ' ἑτέρῳ μὲν ἡ νίκη ᾖ, παρ' ἑτέρῳ δὲ τὸ βραβεῖον, ὅταν ἐπηρεάζῃ νικήσας. Ἄνωθεν ἕστηκας τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας· τί πάλιν ὑπάγεις σαυτὸν τῇ ἁμαρτίᾳ; Διὰ τοῦτο ἔλεγεν, ὅτι «Ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι»· καὶ πάλιν, «Εὑρέθη Χριστὸς ἁμαρτίας διάκονος»· ὃ ἐν τῇ πρὸς Γαλάτας γράφων ἔλεγεν. Ὅτε αὐτοὺς ἐνέπλησε θυμοῦ διὰ τοῦ εἰπεῖν, «καταβραβευέτω», τότε ἄρχεται· «Θέλων», φησίν, «ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ». Πῶς, «ἐν ταπεινοφροσύνῃ»; ἢ πῶς, «φυσιούμενος»; Δείκνυσι κενοδοξίας ὂν τὸ πᾶν. Τί δὲ ὅλως ἐστὶ τὸ λεγόμενον; Εἰσί τινες οἱ λέγοντες, οὐ δεῖ διὰ τοῦ Χριστοῦ προσάγεσθαι, ἀλλὰ διὰ τῶν ἀγγέλων· ἐκεῖνο μεῖζόν ἐστιν, ἢ καθ' ἡμᾶς. Διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει τὰ ὑπὸ τοῦ Χριστοῦ πραχθέντα, διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ· διὰ τοῦτο λέγει ὅτι ὑπὲρ ἡμῶν ἔπαθεν, ὅτι ἠγάπησεν ἡμᾶς. Καὶ ἐν αὐτῷ δὲ τούτῳ ἐπῄροντο πάλιν. Καὶ οὐκ εἶπε προσαγωγήν, ἀλλὰ «θρησκείαν».

«Ἃ μὴ ἑώρακεν ἐμβατεύων». Οὐ γὰρ εἶδεν ἀγγέλους, καὶ οὕτω διάκειται ὡς ἰδών. Διὰ τοῦτό φησι, «Φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ εἰκῇ», οὐδὲ ἐπί τινι ἀληθεῖ πράγματι. Ἐπὶ τῷ δόγματι πεφύσηται, καὶ προβάλλεται ταπεινοφροσύνης σχῆμα. Ὑπὸ σαρκικῆς διανοίας, οὐ πνευματικῆς· ἀνθρώπινος ὁ λογισμός. «Καὶ οὐ κρατῶν τὴν κεφαλήν», φησίν, «ἐξ οὗ πᾶν τὸ σῶμα». Πᾶν τὸ σῶμα ἐκεῖθεν ἔχει τὸ εἶναι, καὶ τὸ καλῶς εἶναι. Τί

---

3. Γαλ. 5,3· 2,17
4. Δηλ. τὸν Χριστό.

τικὰ γιὰ ἑορτή», γιατὶ δὲν ἐτολμοῦσαν νὰ φυλάσσουν τὰ πάντα· καὶ ἐὰν τὰ ἐφύλασσαν, ὄχι ὅμως καὶ νὰ ἑορτάζουν.

«Ἐν μέρει», λέγει, γιὰ νὰ δείξη ὅτι τὸ πιὸ πολὺ ἔχει καταργηθῆ. Διότι ἂν καὶ ἐτηροῦσαν τὴν ἡμέρα τοῦ Σαββάτου, ὅμως δὲν τὴν ἐτηροῦσαν μὲ ἀκρίβεια. «Τὰ ὁποῖα εἶναι σκιὰ τῶν μελλοντικῶν πραγμάτων». Δηλαδή, τῆς Καινῆς Διαθήκης. «Τὸ σῶμα ὅμως εἶναι τοῦ Χριστοῦ». Αὐτοὶ λοιπὸν ἔτσι ἐπικρίνουν, «Τὸ σῶμα ὅμως εἶναι τοῦ Χριστοῦ». Ἡ ἀλήθεια ἔχει ἐμφανισθῆ στὸ πρόσωπο τοῦ Χριστοῦ, αὐτοὶ ὅμως, «Κανεὶς ἂς μὴ σᾶς στερήση τὸ βραβεῖο», δηλαδή, ἂς μὴ σᾶς προσβάλλη. Στέρησις βραβείου εἶναι, ὅταν ἄλλος νικᾶ καὶ ἄλλος λαμβάνη τὸ βραβεῖο, ὅταν προσβάλλεσαι ἐνῶ εἶσαι ὁ νικητής. Εἶσαι ὑπεράνω τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας. Γιατί ὑποτάσσεσαι στὴν ἁμαρτία; Γι' αὐτὸ ἔλεγε, ὅτι «Ὀφειλέτης εἶναι νὰ τηρήση ὅλο τὸ νόμο», καὶ πάλι «Εὑρέθηκε ὁ Χριστὸς ὑπηρέτης τῆς ἁμαρτίας»[3], ποὺ ἔλεγε ὅταν ἔγραφε τὴν πρὸς Γαλάτας ἐπιστολή. Ὅταν τοὺς ἐπροκάλεσε μεγάλο θυμὸ μὲ τὸ νὰ εἰπῆ, «ἂς μὴ σᾶς ἀποστερῆ τὸ βραβεῖο», τότε ἀρχίζει νὰ λέγη, «Προσποιούμενος ταπεινοφροσύνη καὶ λατρεύοντας τοὺς ἀγγέλους, εἰσερχόμενος δῆθεν σὲ πράγματα τὰ ὁποῖα δὲν ἔχει ἰδῆ, ὑπερηφανευόμενος χωρὶς λόγο ἀπὸ τὸ σαρκικὸ νοῦ του». Μὲ ποιὰ ἔννοια λέγει, «μὲ ταπεινοφροσύνη»; ἢ μὲ πιὰ «ὑπερηφανευόμενος»; Ἀποδεικνύει ὅτι τὰ πάντα εἶναι ἀποτέλεσμα τῆς ματαιοδοξίας. Καὶ τί σημαίνουν τέλος πάντων τὰ λόγια αὐτά; Ὑπάρχουν μερικοὶ ποὺ ἰσχυρίζονται, ὅτι δὲν πρέπει νὰ προσέρχεσθε διὰ τοῦ Χριστοῦ, ἀλλὰ διὰ τῶν ἀγγέλων. Ἐκεῖνο εἶναι ἀνώτερο ἀπὸ αὐτὸ ποὺ λέμε ἐμεῖς. Γι' αὐτὸ ἀναφέρεται συνέχεια σ' αὐτὰ ποὺ ἔπραξε ὁ Χριστός, καὶ λέγει μὲ τὸ αἷμα τοῦ σταυρικοῦ του θανάτου. Γι' αὐτὸ λέγει ὅτι ἔπαθε γιὰ χάρι μας, ὅτι μᾶς ἠγάπησε. Καὶ γι' αὐτὸ ἀκριβῶς ὑπερηφανεύονταν πάλι. Καὶ δὲν εἶπε προσαγωγή, ἀλλὰ «θρησκεία».

«Εἰσερχόμενος σὲ πράγματα ποὺ δὲν ἔχει ἰδῆ». Διότι δὲν εἶδε τοὺς ἀγγέλους καὶ ἔτσι συμπεριφέρεται σὰν νὰ τοὺς εἶδε. Γι' αὐτὸ λέγει, «Ὑπερηφανευόμενος χωρὶς λόγο ἀπὸ τὸ σαρκικό του νοῦ», καὶ δὲν ὑπερηφανεύεται γιὰ κάποιο ἀληθινὸ πρᾶγμα. Ἔχει ὑπερηφανευθῆ γιὰ τὸ δόγμα καὶ προσποιεῖται ταπεινοφροσύνη. Ἀπὸ τὸ σαρκικὸ νοῦ, ὄχι πνευματικό· ἀνθρώπινος ὁ στοχασμός. «Καὶ δὲν κρατεῖ τὴν κεφαλή»[4], λέγει, «ἀπὸ ὅπου ὁλόκληρο τὸ σῶμα». Ἀπὸ ἐκεῖ ἔχει ὁλόκληρο τὸ σῶμα τὸ εἶναι του, καὶ μάλιστα τὸ καλῶς εἶναι. Γιατὶ ἐγκαταλείπεις τὴν κεφαλὴ καὶ ἀκολουθεῖς τὰ μέλη; Ἐὰν

τὴν κεφαλὴν ἀφείς, ἔχῃ τῶν μελῶν; Ἐὰν ἐκεῖθεν ἐκπέσῃς, ἀπόλωλας. «Ἐξ οὗ πᾶν τὸ σῶμα». Ὅστις ἂν ᾖ, οὐ τὸ ζῆν, ἀλλὰ καὶ τὸ συντίθεσθαι ἐκεῖθεν αὐτῷ. Πᾶσα ἡ ἐκκλησία, ἕως ἂν ἔχῃ τὴν κεφαλήν, αὔξει· ἐπεὶ οὐκέτι ἀπονοίας καὶ κενοδοξίας τὸ πάθος, ἀνθρωπίνης ἐννοίας τὸ εὕρεμα. Ἰδοὺ τό, «ἐξ οὗ», ἐπὶ τοῦ Υἱοῦ. «Διὰ τῶν ἀφῶν καὶ συνδέσμων», φησίν, «ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ»· τὴν κατὰ Θεόν, φησί, τὴν τῆς πολιτείας τῆς ἀρίστης.

2. *«Εἰ ἀπεθάνετε σὺν Χριστῷ». Μέσον ἐκεῖνο τίθησι, καὶ τὸ σφοδρότερον ἑκατέρωθεν. «Εἰ ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν τοῦ κόσμου στοιχείων», φησί, «τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε;». Οὐκ ἔχει ἀκολουθίαν· ἔδει γὰρ εἰπεῖν, πῶς ὡς ζῶντες ὑπόκεισθε τοῖς στοιχείοις; Ἀλλὰ τοῦτο ἀφείς, τί φησι; «Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς· ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων». Οὐκ ἐστὲ ἐν τῷ κόσμῳ, φησί· πῶς τοῖς στοιχείοις ὑπόκεισθε; πῶς ταῖς τοῦ κόσμου παρατηρήσεσι; Καὶ ὅρα πῶς αὐτοὺς κωμῳδεῖ, «Μὴ θίγῃς, μὴ ἅψῃ, μὴ γεύσῃ», ὡς δειλοὺς καὶ μεγάλων τινῶν ἀπεχομένους. «Ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει». Καθεῖλε τῶν πολλῶν τὴν φυσίωσιν, καὶ ἐπήγαγε· «Κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων». Τί λέγεις; καὶ τὸν νόμον λέγεις; Λοιπὸν διδασκαλία ἐστὶν ἀνθρώπου μετὰ τὸν καιρόν. Ἢ ὅτι παρεποίουν αὐτόν, ἢ τὰ τῶν Ἑλλήνων αἰνίττεται. Ὅλον ἀνθρώπινον τὸ δόγμα ἐστί, φησίν.*

«Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός». Λόγον, φησίν, οὐ δύναμιν, οὐκ ἀλήθειαν. Ὥστε κἂν λόγον ἔχῃ σοφίας, ἀποστρεφώμεθα. Δοκεῖ γὰρ εὐλαβής τις εἶναι καὶ μέτριος, καὶ τοῦ σώματος καταφρονεῖν. «Οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός». Ὁ Θεὸς γὰρ τιμὴν ἔδωκεν, αὐτοὶ δὲ οὐκ ἐν τιμῇ κέχρηνται. Οὕτως, ὅταν

ἐκπέσης ἀπὸ ἐκεῖ, εἶσαι χαμένος. «Ἀπὸ τὸν ὁποῖο ὁλόκληρο τὸ σῶμα». Ὅποιος καὶ ἂν εἶσαι, ὄχι μόνο ἡ ζωή, ἀλλὰ καὶ ἡ σύνδεσί σου μὲ αὐτὸν ἀπὸ ἐκεῖ ἐξαρτᾶται. Ὅλη ἡ ἐκκλησία, ἐν ὅσω ἔχει τὴν κεφαλή, αὐξάνει, ἐπειδὴ δὲν εἶναι πιὰ τὸ πάθος ἀποτέλεσμα παραλογισμοῦ καὶ ματαιοδοξίας, δηλαδὴ ἡ ἐπινόησις τῆς σκέψεως τοῦ ἀνθρώπου. Ἰδοὺ τό, «ἀπὸ τὸν ὁποῖο», λέγεται γιὰ τὸν Υἱό. «Μὲ τὶς ἀρθρώσεις καὶ τοὺς συνδέσμους», λέγει, «διατρέφεται καὶ συνδέεται καὶ αὐξάνει τὴν αὔξησι τοῦ Θεοῦ». Τὴν αὔξησι ποὺ εἶναι σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, λέγει, τὴν αὔξησι τῆς ἀρίστης συμπεριφορᾶς.

2. «Ἐὰν ἐπεθάνατε μαζὶ μὲ τὸν Χριστό». Μέσο ἐκεῖνο θέτει, τὸ ὁποῖο εἶναι καὶ τὸ πιὸ ὑπερβολικὸ καὶ ἀπὸ τὰ δύο μέρη. «Ἐὰν ἐπεθάνατε μαζὶ μὲ τὸν Χριστὸ ἀπὸ τὰ στοιχεῖα τοῦ κόσμου», λέγει, «γιατὶ ὑποτάσσεσθε σὲ παραγγέλματα σὰν νὰ ζῆτε μέσα στὸν κόσμο;» Δὲν ἔχει εἱρμὸ αὐτὸ ποὺ λέγει· γιατὶ ἔπρεπε νὰ εἰπῆ, πῶς σὰν ζῶντες ὑποτάσσεσθε στὰ στοιχεῖα; Ἀλλὰ ἀφήνοντας αὐτό, τί λέγει; «Μὴ πιάσης, οὔτε νά γευθῆς, οὔτε νὰ ἐγγίσης. Ὅλα αὐτὰ καταστρέφονται μὲ τὴν ὑπερβολικὴ χρῆσι, σύμφωνα μὲ τὰ παραγγέλματα καὶ τὶς διδασκαλίες τῶν ἀνθρώπων». Δὲν εἶσθε μέσα στὸν κόσμο, λέγει· πῶς ὑποτάσσεσθε στὰ στοιχεῖα του; πῶς στὶς διακρίσεις τοῦ κόσμου; Καὶ πρόσεχε μὲ ποιὸ τρόπο τοὺς διασύρει, «Μὴ ἐγγίσης, μὴ πιάσης, μὴ γευθῆς», σὰν νὰ εἶναι δειλοὶ καὶ ποὺ ἀπέχουν ἀπὸ κάποια μεγάλα πράγματα. «Ὅλα αὐτὰ καταστρέφονται μὲ τὴν ὑπερβολικὴ χρῆσι». Ἐκμηδένισε τὴν ἀλαζονεία τῶν πολλῶν καὶ ἐπρόσθεσε· «Σύμφωνα μὲ τὰ παραγγέλματα καὶ τὶς διδασκαλίες τῶν ἀνθρώπων». Τί ἐννοεῖς; καὶ τὸν Μωσαϊκὸ Νόμο ἐννοεῖς; Μετὰ τὸ πέρασμα τοῦ χρόνου γίνεται πλέον διδασκαλία ἀνθρώπων. Ἢ ἐννοεῖ ὅτι ἐπαραποιοῦσαν τὸ Νόμο, ἢ ὑπαινίσσεται τὶς διδασκαλίες τῶν Ἑλλήνων. Ὅλη ἡ διδασκαλία αὐτὴ εἶναι τῶν ἀνθρώπων, λέγει.

«Τὰ ὁποῖα ἔχουν τὸ πρόσχημα τῆς σοφίας μὲ τὴ θρησκεία τῆς ἀρεσκείας τους καὶ ταπεινοφροσύνη καὶ σκληραγωγία τοῦ σώματος, στὴν πραγματικότητα ὅμως δὲν ἔχουν καμμία τιμὴ καὶ συντελοῦν στὴν ἱκανοποίησι τῆς σάρκας». Πρόσχημα σοφίας, λέγει, ὄχι δύναμι, ὄχι ἀλήθεια. Συνεπῶς καὶ ἂν ἀκόμη ἔχη πρόσχημα σοφίας, ἂς τὸν ἀποστρεφώμασθε. Γιατὶ φαίνεται κανεὶς ὅτι εἶναι εὐλαβὴς μὲ κάποια τιμή, ἀλλὰ πρὸς ἱκανοποίησι τῆς σάρκας». Ὁ Θεὸς ἔδωσε τιμή, αὐτοὶ ὅμως δὲν χρησιμοποιοῦν μὲ τιμὴ τὴ σάρκα. Ἔτσι, ὅταν ὑπάρχη δόγμα, γνωρίζει νὰ καλῆ αὐτὸ τιμή. Ἀτιμάζουν τὴ

δόγμα ᾖ, οἶδε τιμὴν αὐτὸ καλεῖν. Ἀτιμάζουσι τὴν σάρκα, φησίν, ἀποστεροῦντες αὐτήν, καὶ τὴν ἐξουσίαν ἀφαιρούμενοι, οὐχ ἑκόντος κρατεῖν συγχωροῦντες· ὁ δὲ Θεὸς τὴν σάρκα ἐτίμησεν. «Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ». Συνάγει αὐτούς, ἄνω κατασκευάσας ὅτι ἀπέθανε. Διὰ τοῦτό φησιν, «Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε». Οὐκ ἔστιν ἐκεῖ παρατήρησις. «Τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ Θεοῦ καθήμενος». Βαβαί, ποῦ τὸν νοῦν ἀνήγαγε τὸν ἡμέτερον; πῶς φρονήματος οὕτους ἐπλήρωσε μεγάλου; Οὐκ ἤρκει τὰ ἄνω εἰπεῖν, οὐδέ, οὗ ὁ Χριστός ἐστιν, ἀλλὰ τί; «Ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος». Ἐκεῖθεν λοιπὸν τὴν γῆν ὁρᾶν παρεσκεύαζε.

«Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ». Οὐκ ἔστιν αὕτη, φησίν, ἡ ζωὴ ἡ ὑμετέρα· ζωὴ ἑτέρα τίς ἐστιν. Ἤδη βιάζεται μεταστῆσαι αὐτούς, καὶ φιλονεικεῖ δεῖξαι καθημένους ἄνω, καὶ νεκροὺς ὄντας, ἐξ ἑκατέρων κατασκευάζων μὴ ζητεῖν τὰ ἐνταῦθα. Εἴτε γὰρ νεκροί ἐστε, οὐκ ὀφείλετε ζητεῖν· εἴτε ἄνω ἐστέ, οὐκ ὀφείλετε ζητεῖν. Μὴ φαίνεται ὁ Χριστός; οὐδὲ ἡ ζωὴ ὑμῶν. Ἐν τῷ Θεῷ ἄνω ἐστί. Τί οὖν; πότε ζησόμεθα; «Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν», τότε τὴν δόξαν ζητεῖτε, τότε τὴν ζωήν, τότε τὴν τρυφήν. Ταῦτα προκατασκευαστικὰ τοῦ τῆς τρυφῆς αὐτοὺς ἀπαγαγεῖν καὶ τῆς ἀνέσεως. Τοιοῦτον ἔθος αὐτῷ, ἄλλα κατασκευάζοντι εἰς ἄλλα μεταπηδᾶν· οἷον, ὥσπερ περὶ τῶν προλαμβανόντων εἰς τὰ δεῖπνα διαλεγόμενος, ἐνέπεσεν ἀθρόον εἰς τὴν τῶν μυστηρίων παρατήρησιν. Μέγα γὰρ ἔχει ἔλεγχος, ὅταν ἀνυπόπτως γένηται. «Κέκρυπται», φησίν, ἀφ' ὑμῶν. «Τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε». Ὥστε νῦν οὐ φαίνεσθε. Ὅρα πῶς αὐτοὺς εἰς αὐτὸν τὸν οὐρανὸν μετέστησεν. Ὅπερ γὰρ ἔφην, ἀεὶ φιλονεικεῖ δεῖξαι τὰ αὐτὰ ἔχοντας ἅπερ καὶ ὁ Χριστός· καὶ διὰ πασῶν αὐτοῦ τῶν ἐπιστολῶν οὗτος ὁ λόγος, ἐν πᾶσι κοινωνοῦντας αὐτῷ δεῖξαι. Διὰ τοῦτο καὶ κεφαλήν, καὶ σῶμα λέγει, καὶ πάντα ποιεῖ, ἵνα τοῦτο παραστήσῃ.

σάρκα, λέγει, καὶ ἀποστεροῦν αὐτὴν καὶ ἐξαλείφουν τὴν ἐξουσία, καὶ δὲν ἐπιτρέπουν νὰ τὴν ἐξουσιάζουν μὲ τὴ θέλησί τους. Ὁ Θεὸς ὅμως ἐτίμησε τὴ σάρκα. «Ἐὰν λοιπὸν ἀναστηθήκατε μαζὶ μὲ τὸν Χριστό». Περιορίζει αὐτούς, ἀφοῦ προηγουμένως ἀπέδειξε ὅτι ἐπέθανε. Γι' αὐτὸ λέγει, «Ἐὰν λοιπὸν ἀναστηθήκατε μαζὶ μὲ τὸν Χριστό, τότε νὰ ζητῆτε τὰ ἐπουράνια». Δὲν ὑπάρχει ἐκεῖ διάκρισις. «Ζητεῖτε τὰ ἐπουράνια, ὅπου εἶναι ὁ Χριστὸς καὶ κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ». Πώ, πώ, πόσο ὑψηλὰ ἀνέβασε τὸ νοῦ μας; Πῶς τοὺς ἐγέμισε μὲ ὑψηλὸ φρόνημα; Δὲν ἦταν ἀρκετὸ νὰ εἰπῆ τὰ ἐπουράνια, οὔτε, ὅπου εἶναι ὁ Χριστός, ἀλλὰ τί προσθέτει; «Καὶ κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ». Ἀπὸ ἐκεῖ πλέον ἐπροετοίμαζε νὰ βλέπη τὴ γῆ.

«Τὰ ἐπουράνια νὰ φρονῆτε, ὄχι τὰ γήϊνα. Διότι ἔχετε πεθάνει, καὶ ἡ ζωή σας εἶναι κρυμμένη μαζὶ μὲ τὸν Χριστὸ στὸν Θεό. Ὅταν φανερωθῆ ὁ Χριστός, ὁ ὁποῖος εἶναι ἡ ζωή σας, τότε καὶ σεῖς μαζὶ μὲ αὐτὸν θὰ φανερωθῆτε δοξασμένοι». Δὲν εἶναι αὐτή, λέγει, ἡ ἰδική σας ζωή· εἶναι κάποια ἄλλη ζωή. Ἤδη βιάζεται νά μεταθέση αὐτούς, καὶ ἀγωνίζεται ἐπίμονα νὰ παρουσιάση αὐτοὺς ὅτι κάθονται στοὺς οὐρανούς, ἂν καὶ εἶναι νεκροί, συνηθίζοντας καὶ ἀπὸ τὰ δύο αὐτοὺς νὰ μὴ ἐπιζητοῦν τὰ γήινα. Εἴτε λοιπὸν εἶσθε νεκροί, δὲν πρέπει νὰ ζητῆτε, εἴτε εἶσθε στοὺς οὐρανούς, δὲν πρέπει νὰ ζητῆτε. Μήπως φαίνεται ὁ Χριστός; οὔτε ἡ ζωή σας. Στὸν Θεὸ ὑπάρχει ἄνω στοὺς οὐρανούς. Τί λοιπὸν συμβαίνει; πότε θά ζήσωμε; «Ὅταν φανερωθῆ ὁ Χριστός, ὁ ὁποῖος εἶναι ἡ ζωή σας», τότε νὰ ζητῆτε τὴ δόξα, τότε τὴ ζωή, τότε τὴν ἀπόλαυσι. Αὐτὰ εἶναι προπαρασκευαστικὰ γιὰ νὰ ἀπομακρύνη αὐτοὺς ἀπὸ τὶς ἀπολαύσεις καὶ τὶς ἀνέσεις. Ἔτσι ἐσυνήθιζε αὐτός, ἐνῶ ὁμιλεῖ γιὰ ἄλλα, μεταπηδᾶ σὲ ἄλλα· γιὰ παράδειγμα, ὁμιλῶντας γιὰ ἐκείνους ποὺ τρέχουν ἔγκαιρα στὰ δεῖπνα, μετεπήδησε ἀμέσως στὴν παρατήρησι τῶν μυστηρίων. Διότι ἔχει μεγάλη δύναμι ὁ ἔλεγχος, ὅταν γίνη σὲ ἀνύποπτο χρόνο. «Εἶναι κρυμμένη», λέγει, ἀπὸ σᾶς. «Τότε καὶ σεῖς μαζὶ μὲ αὐτὸν θὰ φανερωθῆτε». Συνεπῶς τώρα δὲν φαίνεσθε. Πρόσεχε μὲ ποιὸ τρόπο μετέθεσε αὐτοὺς στὸν οὐρανό. Ὅπως δηλαδὴ προανέφερα, πάντοτε προσπαθεῖ νὰ δείξη ὅτι ἔχουν τὰ ἴδια ποὺ ἔχει καὶ ὁ Χριστός, καὶ σὲ ὅλες τὶς ἐπιστολές του τὸ ἴδιο θέμα ὑπάρχει, νὰ δείξη δηλαδὴ ὅτι σὲ ὅλα εἶναι μέτοχοι μὲ τὸν Χριστό. Γι' αὐτὸ καὶ κεφαλὴ καὶ σῶμα τὸν ὀνομάζει, καὶ τὰ πάντα κάνει γιὰ νὰ παρουσιάση αὐτὸ τὸ πρᾶγμα.

3. *Εἰ τοίνυν τότε φανερούμεθα, μὴ ἀσχάλλωμεν, ὅταν τιμῆς μὴ ἀπολαύωμεν. Εἰ μὴ ἔστιν αὕτη ἡ ζωὴ ζωή, ἀλλὰ κέκρυπται, ὡς νεκροὶ ζῆν ὀφείλομεν ταύτην τὴν ζωήν. «Τότε καὶ ὑμεῖς», φησί, «σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ». «Ἐν δόξῃ», εἶπεν, οὐχ ἁπλῶς· ἐπεὶ καὶ ὁ μαργαρίτης κέκρυπται, ἕως ἂν ᾖ ἐν τῷ ὀστρέῳ. Ἄν τε οὖν ὑβριζώμεθα, μὴ ἀλγῶμεν, ἄν τε ὁτιοῦν πάσχωμεν. Οὐ γάρ ἐστιν ἡμῶν ζωὴ αὕτη ἡ ζωή· ξένοι καὶ παρεπίδημοί ἐσμεν. «Ἀπεθάνετε γάρ», φησί. Τίς ἐστιν οὕτως ἀνόητος, ὡς τῷ νεκρῷ σώματι τῷ ταφέντι ἢ οἰκέτας ἀγοράζειν, ἢ οἰκίας οἰκοδομεῖν, ἢ ἱμάτια κατασκευάζειν πολυτελῆ; Οὐδείς. Μὴ τοίνυν μηδὲ ὑμεῖς· ἀλλ' ὥσπερ ἓν μόνον ζητοῦμεν, ὥστε μὴ γεγυμνῶσθαι, οὕτω καὶ ἐνταῦθα ἓν μόνον ζητῶμεν. Ἐτάφη ἡμῶν ὁ πρῶτος ἄνθρωπος· ἐτάφη οὐκ ἐν γῇ, ἀλλ' ἐν ὕδατι, οὐ τοῦ θανάτου αὐτὸν καταλύοντος, ἀλλὰ τοῦ τὸν θάνατον καταλύσαντος θάψαντος αὐτόν, οὐ φύσεως νόμῳ, ἀλλὰ τῷ τῆς φύσεως ἰσχυροτέρῳ προστάγματι τῆς δεσποτείας. Τὰ μὲν γὰρ ὑπὸ φύσεως γενόμενα κἂν ἀναλύσῃ τις, τὰ δὲ ὑπὸ τοῦ προστάγματος αὐτοῦ, οὐκέτι. Οὐδὲν ταύτης μακαριώτερον τῆς ταφῆς, ἐφ' ᾗ πάντες χαίρουσι, καὶ ἄγγελοι καὶ ἄνθρωποι καὶ ὁ τῶν ἀγγέλων δεσπότης. Ταύτῃ τῇ ταφῇ οὐχ ἱματίων, οὐ λάρνακος, οὐκ ἄλλου τῶν τοιούτων οὐδενὸς χρεία.*

Βούλει τὸ σύμβολον ἰδεῖν; Δείξω σοι κολυμβήθραν, ἐν ᾗ ὁ μὲν ἐτάφη, ὁ δὲ ἀνέστη. Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ κατεποντίσθησαν Αἰγύπτιοι, ἀνῆλθον δὲ Ἰσραηλῖται· εἰς τὸ αὐτὸ πρᾶγμα τὸν μὲν θάπτει, τὸν δὲ γεννᾷ. Μὴ θαυμάσῃς, εἰ γένεσις καὶ φθορὰ γίνεται ἐν τῷ βαπτίσματι. Ἐπεί, εἰπέ μοι, τὸ λύειν τῷ συγκολλᾶν οὐκ ἐναντίον; Παντὶ δῆλον. Τοῦτο τὸ πῦρ ποιεῖ· κηρὸν μὲν γὰρ διαλύει καὶ ἀπόλλυσι, γῆν δὲ μεταλλικὴν συγκολλᾷ καὶ χρυσὸν ἐργάζεται. Οὕτω δὴ καὶ ἐνταῦθα, τὸν πήλινον ἀνδριάντα ἀφανίσασα ἡ τοῦ πυρὸς δύναμις, ἔδειξε χρυσοῦν ἀντ' ἐκείνου. Πήλινοι γὰρ ὄντως ἦμεν πρὸ τοῦ λουτροῦ, χρυσοῖ δὲ μετὰ τοῦτο. Πόθεν δῆλον; Ἄκουσον αὐτοῦ λέγοντος· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ».

---

5. Ἐθάφθηκε ὁ πρῶτος, ὁ παλαιός μας ἄνθρωπος, ὁ ἄνθρωπος τῆς ἁμαρτίας καὶ ἀνεστήθηκε ὁ νέος, ὁ ἄνθρωπος τῆς χάριτος.

3. Ἐὰν λοιπὸν θὰ φανερωθοῦμε τότε, ἂς μὴ στενοχωρούμασθε, ὅταν δὲν ἀπολαμβάνωμε τὴν τιμή. Ἐὰν ἡ ζωὴ αὐτὴ δὲν εἶναι ζωή, ἀλλὰ εἶναι κρυμμένη, ὀφείλομε νὰ ζοῦμε αὐτὴ τὴ ζωὴ σὰν νεκροί. «Τότε καὶ σεῖς», λέγει, «μαζὶ μὲ αὐτὸν θὰ φανερωθῆτε δοξασμένοι». «Δοξασμένοι», εἶπε, ὄχι ἔτσι ἁπλῶς, ἀφοῦ καὶ τὸ μαργαριτὰρι εἶναι κρυμμένο, ἕως ὅτου εἶναι μέσα στὸ στρείδι. Καὶ ἂν λοιπὸν μᾶς ὑβρίζουν, ἂς μὴ θλιβώμασθε, καὶ ἂν ἀκόμη παθαίνωμε ὁ,τιδήποτε. Διότι δὲν εἶναι ἰδική μας ζωὴ αὐτὴ ἡ ζωή, εἴμασθε ξένοι καὶ προσωρινοί. «Διότι ἐπεθάνατε», λέγει. Ποιὸς εἶναι τόσο ἀνόητος, ὥστε στὸ νεκρὸ σῶμα ποὺ ἔχει ταφῆ ἢ δούλους νὰ ἀγοράζη ἢ σπίτια νὰ κτίζη ἢ νὰ κάνη πολυτελῆ ἐνδύματα; Κανείς. Ἂς μὴ εἴσθε λοιπὸν οὔτε καὶ σεῖς, ἀλλὰ ὅπως ἀκριβῶς ἕνα μόνο ζητοῦμε, νὰ μὴ γυμνωθοῦμε δηλαδή, ἔτσι καὶ ἐδῶ ἂς ζητοῦμε μόνο ἕνα. Ἐτάφηκε ὁ πρῶτος μας ἄνθρωπος. Ἐτάφηκε ὄχι μέσα στὴ γῆ, ἀλλὰ στὸ νερό, χωρὶς νὰ τὸν διαλύη ὁ θάνατος, ἀλλὰ ἀφοῦ διέλυσε τὸ θάνατο, ὁ ὁποῖος τὸν ἐθανάτωσε, ὄχι μὲ τὸ νόμο τῆς φύσεως, ἀλλὰ μὲ τὸ ἰσχυρότερο ἀπὸ τὴ φύσι πρόσταγμα τῆς ἐξουσίας τοῦ Κυρίου. Διότι αὐτὰ ποὺ ἀπὸ τὴ φύσι ἔγιναν θά μπορέση κάποιος καὶ νὰ τὰ διαλύση, αὐτὰ ὅμως ποὺ γίνονται μὲ τὸ πρόσταγμά του ὄχι πιά. Τίποτε δὲν εἶναι μακαριώτερο ἀπὸ τὴν ταφὴ αὐτή, γιὰ τὴν ὁποία ὅλοι χαίρονται, καὶ ἄγγελοι καὶ ἄνθρωποι, καὶ ὁ Κύριος τῶν ἀγγέλων. Γιὰ τὴν ταφὴ αὐτὴ δὲν χρειάζονται οὔτε ἐνδύματα, οὔτε λάρνακα, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια.

Θέλεις νὰ ἰδῆς τὸ σύμβολο; Θὰ σοῦ δείξω τὴν κολυμβήθρα, μέσα στὴν ὁποία ὁ ἕνας ἐτάφηκε καὶ ὁ ἄλλος ἀναστήθηκε[5]. Στὴν Ἐρυθρὰ Θάλασσα ἐβυθίσθηκαν οἱ Αἰγύπτιοι καὶ ἀνυψώθηκαν οἱ Ἰσραηλῖτες· στὸ ἴδιο πρᾶγμα ἀφ' ἑνὸς μὲν ὑπάρχει ταφή, ἀφ' ἑτέρου δὲ γέννησις. Μὴ ἀπορήσης, ἐὰν γίνεται στὸ βάπτισμα γένεσις καὶ φθορὰ συγχρόνως. Γιατί, εἰπέ μου, ἡ διάλυσις δὲν εἶναι ἀντίθετο ἀπὸ τὴ συγκόλλησι; Εἶναι ὁλοφάνερο. Αὐτὸ κάνει τὸ πῦρ, διότι διαλύει καὶ ἀφανίζει τὸ κερί, συγκολλᾶ ὅμως τὸ χῶμα ποὺ περιέχει μεταλλεύματα καὶ κάνει τὸ χρυσάφι. Ἔτσι λοιπὸν καὶ ἐδῶ, ἡ δύναμις τοῦ πυρός, ἀφοῦ ἐξηφάνισε τὸν πήλινο ἀνδριάντα, ἐπαρουσίασε στὴ θέσι ἐκείνου τὸν χρυσὸ ἀνδριάντα. Διότι πραγματικὰ πρὶν ἀπὸ τὸ βάπτισμα ἤμασθε χωματένιοι, ὕστερα ὅμως ἀπὸ αὐτὸ γινόμασθε χρυσοί. Ἀπὸ ποῦ ἀποδεικνύεται αὐτό; Ἄκουσε τὸν Παῦλο, ὁ ὁποῖος λέγει· «Ὁ πρῶτος ἄνθρωπος ἐπλάσθηκε ἀπὸ τὴ γῆ, χωματένιος· ὁ δεύτερος ἄνθρωπος εἶναι ὁ Κύριος, ὁ ὁποῖος κατέβηκε

Ἐγὼ μὲν ὅσον πηλίνου πρὸς χρυσὸν τὸ μέσον εἶπον, εὗρον δὲ μείζονα διαφορὰν οὐρανίου καὶ γηΐνου· οὐ τοσοῦτον δὲ πηλίνου καὶ χρυσοῦ τὸ μέσον, ὅσον τῶν γηΐνων καὶ τῶν οὐρανίων. Κήρινοι ἦμεν, καὶ πήλινοι· καὶ γὰρ ἡ τῆς ἐπιθυμίας ἡμᾶς ἔτηξε φλὸξ πολλῷ μᾶλλον ἢ τὸν κηρὸν τὸ πῦρ· καὶ ὁ τυχὼν ἡμᾶς συνέκλα πειρασμὸς πολλῷ μᾶλλον ἢ τοὺς πηλίνους ὁ λίθος. Καί, εἰ βούλεσθε, ὑπογράψωμεν τὸν πρότερον βίον, εἰ μὴ πάντα ἦν γῆ καὶ ὕδωρ, καὶ τὸ εὐρίπιστον ἔχων κατὰ τὸν κονιορτόν, τούτου δὲ τὸ ἄστατον καὶ διαρρέον.

Καί, εἰ βούλεσθε, μὴ τὰ πρότερα, ἀλλὰ τὰ παρόντα ἐξετάσωμεν, εἰ μὴ κονιορτὸν καὶ ὕδωρ εὑρήσομεν πάντα τὰ ὄντα. Τί γὰρ βούλει εἰπεῖν; τὰς ἀρχὰς καὶ τὰς δυναστείας; τούτου γὰρ δοκεῖ οὐδὲν ζηλωτότερον εἶναι ἐν τῷ παρόντι βίῳ. Ἀλλὰ τὸν κονιορτὸν εὕροι τις ἂν μᾶλλον ἐπὶ τοῦ ἀέρος ἱστάμενον, ἢ ταῦτα, μάλιστα νῦν. Τίνι γὰρ οὐχ ὑπόκειται; Τοῖς ἐρῶσιν αὐτῶν, τοῖς εὐνούχοις, τοῖς τῶν χρημάτων ἕνεκεν ἅπαντα πράττουσι, θυμῷ δήμου, ὀργαῖς τῶν δυνατωτέρων. Ὁ χθὲς ἐπὶ τοῦ βήματος ὑψηλός, ὁ κήρυκας ἔχων λαμπρᾷ τῇ φωνῇ βοῶντος, καὶ πολλοὺς τοὺς προτρέχοντας καὶ σοβοῦντας κατὰ τὴν ἀγοράν, σήμερον εὐτελὴς καὶ κονιορτὸς ἀναρριπισθείς, καθάπερ ῥεῦμα παρελθόν. Καθάπερ δὲ ἡ κόνις ἀπὸ τῶν ποδῶν ἐγείρεται τῶν ἡμετέρων, οὕτω δὴ καὶ αἱ ἀρχαὶ ἀπὸ τούτων τίκτονται τῶν περὶ τὰ χρήματα στρεφομένων, καὶ ποδῶν τάξιν ἐχόντων ἐν παντὶ τῷ βίῳ· καὶ καθάπερ ἡ κόνις, ὅταν μὲν αἴρηται, πολὺ μέρος κατέχει τοῦ ἀέρος, αὐτὴ δέ ἐστιν ὀλίγη, οὕτω καὶ ἡ ἀρχή· καὶ καθάπερ ἡ κόνις τυφλοῖ τοὺς ὀφθαλμούς, οὕτω καὶ τῆς ἀρχῆς ὁ τῦφος πηροῖ τοὺς ὀφθαλμοὺς τῆς διανοίας.

Ἀλλὰ τί; βούλει τὸ πολύευκτον πρᾶγμα ἐξετάσωμεν, τὸν πλοῦτον; Φέρε κατὰ μέρος αὐτὸν ἐξετάσωμεν. Ἔχει τρυφήν, ἔχει τιμάς, ἔχει τό δύνασθαι. Πρῶτον οὖν, εἰ βούλει, τὴν τρυφὴν ἐξετάσωμεν· οὐχὶ κονιορτός ἐστι; μᾶλλον δὲ τούτου ταχύτερον πάρεισι; μέχρι γὰρ τῆς γλώττης ἡ ἡδονὴ τῆς τρυφῆς· ὅταν δὲ

6. Α΄ Κορ. 15,47

ἀπὸ τὸν οὐρανό»[6]. Εἶπα λοιπὸν ὅτι ὑπάρχει μεγάλη διαφορὰ τοῦ χωματένιου πρὸς τὸ χρυσό, εὑρῆκα ὅμως πιὸ μεγάλη διαφορὰ ἀνάμεσα σὲ αὐτὸν ποὺ κατάγεται ἀπὸ τὸν οὐρανὸ καὶ σὲ αὐτὸν ποὺ προέρχεται ἀπὸ τὴ γῆ. Καὶ δὲν εἶναι τόση ἡ διαφορὰ χωματένιου καὶ χρυσοῦ, ὅση τῶν γηΐνων καὶ τῶν οὐρανίων. Ἤμασθε κέρινοι καὶ χωματένιοι, διότι ἡ φλόγα τῆς ἐπιθυμίας μᾶς ἔλειωσε πολὺ περισσότερο ἀπὸ ὅ,τι τὸ πῦρ λειώνει τὸ κερί· καὶ ὁ τυχαῖος πειρασμὸς μᾶς συνέθλιψε πολὺ περισσότερο ἀπὸ ὅ,τι ὁ λίθος τοὺς χωματένιους. Καί, ἐὰν θέλετε, ἂς περιγράψωμε γενικὰ τὸν προηγούμενο βίο μας, ἐὰν δὲν ἦσαν ὅλα χῶμα καὶ νερό, καὶ δὲν ἐφέροντο εὔκολα ἐδῶ καὶ ἐκεῖ, ὅπως καὶ ἡ σκόνη, καὶ δὲν εἶχαν τὸ ἄστατο καὶ τὸ ἐξαφανιζόμενο αὐτῆς.

Καί, ἐὰν θέλετε, ὄχι τὰ προηγούμενα, ἀλλὰ τὰ παρόντα ἂς ἐξετάσωμε, καὶ ὁπωσδήποτε θὰ εὕρουμε ὅλα τὰ πράγματα νὰ εἶναι σκόνη καὶ νερό. Τί λοιπὸν θέλεις νὰ ἀναφέρουμε; τὶς ἀρχὲς καὶ τὶς ἐξουσίες; διότι τίποτε δὲν φαίνεται νὰ εἶναι στὴν παροῦσα ζωὴ πιὸ φθονερὸ ἀπὸ αὐτό. Ἀλλὰ τὴ σκόνη, θὰ εὕρῃ κανεὶς νὰ στέκεται περισσότερο στὸν ἀέρα παρὰ αὐτά, πρὸ πάντων τώρα. Διότι στὴ διάθεσι τίνος δὲν εὑρίσκονται; Αὐτῶν ποὺ τὰ ἐπιθυμοῦν πολύ, τῶν εὐνούχων, ἐκείνων ποὺ τὰ πάντα πράττουν ἐξ αἰτίας τῶν χρημάτων, τῆς ἐπιθυμίας τοῦ λαοῦ, τοῦ θυμοῦ τῶν ἰσχυροτέρων. Ἐκεῖνος ποὺ χθὲς ἦταν σὲ ὑψηλὴ θέσι καὶ εἶχε κήρυκες μὲ δυνατὴ φωνὴ νὰ φωνάζουν καὶ πολλοὺς νὰ τρέχουν ἐμπρός του καὶ νὰ περπατοῦν ἐπιδεικτικὰ μέσα στὴν ἀγορά, σήμερα εἶναι ἀσήμαντος καὶ τιποτένιος καὶ στερημένος καὶ γυμνωμένος ἀπὸ ὅλα ἐκεῖνα, σὰν σκόνη ποὺ ἔχει ἀναρριπισθῆ, σὰν ρεῦμα ποὺ ἔχει παρέλθει. Καὶ ὅπως ἀκριβῶς ἡ σκόνη σηκώνεται ἀπὸ τὰ πόδια μας, ἔτσι λοιπὸν καὶ τὰ ἀξιώματα γεννῶνται ἀπὸ αὐτοὺς ποὺ προσκολῶνται στὰ χρήματα καὶ ἔχουν τὴ θέσι τῶν ποδιῶν σὲ ὅλη τους τὴ ζωή. Καὶ ὅπως ἡ σκόνη, ὅταν σηκώνεται, καταλαμβάνει πολὺ μέρος τοῦ ἀέρος, ἐνῶ αὐτὴ εἶναι λίγη, ἔτσι συμβαίνει καὶ μὲ τὴν ἐξουσία. Καὶ ὅπως ἡ σκόνη τυφλώνει τὰ μάτια, ἔτσι καὶ ἡ ἀλαζονεία τῆς ἐξουσίας τυφλώνει τὰ μάτια τοῦ νοῦ.

Ἀλλὰ τί θέλεις νὰ ἰδοῦμε; θέλεις νὰ ἐξετάσωμε τὸ πολυπόθητο πρᾶγμα, τόν πλοῦτο; Ἐμπρός, ἂς τὸν ἐξετάσωμε χωριστά. Ἔχει ἀπολαύσεις, ἔχει τιμές, ἔχει τὴ δύναμι. Πρῶτα λοιπόν, ἐὰν θέλῃς, ἂς ἐξετάσωμε τὴν ἀπόλαυσι. Δὲν εἶναι σκόνη; πολὺ πιὸ γρήγορα ἀπὸ αὐτὴν δὲν παρέρχεται; διότι ἡ ἡδονὴ τῆς ἀπολαύ-

ἐμπλησθῇ ἡ γαστήρ, οὐδὲ μέχρι τῆς γλώττης. Ἀλλ' αὐταὶ αἱ τιμαὶ πρᾶγμα ἡδύ, φησί. Καὶ τί τῆς τιμῆς ἐκείνης ἀηδέστερον, ὅταν διὰ χρείαν γίνηται χρημάτων; Ὅταν μὴ ἐκ προαιρέσεως, μηδὲ ἀπὸ προθυμίας τινός, οὐ σὺ καρποῦσαι τὴν τιμήν, ἀλλ' ὁ πλοῦτος. Ὥστε μάλιστα πάντων ἄτιμον ποιεῖ τὸν πλουτοῦντα τοῦτο αὐτό. Εἰπὲ γάρ μοι, εἴ σε φίλον ἔχοντα πάντες ἐτίμων, ὡμολόγουν δὲ σὲ μὲν οὐδενὸς ἄξιον εἶναι, ἀναγκάζεσθαι δὲ δι' ἐκεῖνον τιμᾶν, ἣν ὅπως ἄν σε ἑτέρως ἠτίμασαν; Ὥστε ἀτιμίας αἴτιος ὁ πλοῦτος ἡμῖν, αὐτῶν τῶν κεκτημένων τιμιώτερος ὤν, καὶ ἀσθενείας, ἢ δυναστείας τεκμήριον. Πῶς οὖν οὐκ ἄτοπον γῆς καὶ σποδοῦ (τοῦτο γὰρ ὁ χρυσὸς) μὴ νομίζεσθαι ἡμᾶς ἀξίους εἶναι, ἀλλ' ἡμᾶς δι' ἐκεῖνον τιμᾶσθαι; Εἰκότως· ἀλλ' οὐχ ὁ τοῦ πλούτου καταφρονῶν, οὕτω· κρεῖττον γὰρ μὴ τιμᾶσθαι ἢ οὕτω τιμᾶσθαι. Εἰπὲ γάρ μοι, εἴ τις εἰπέ σοι, ὅτι σὲ οὐδεμιᾶς ἡγοῦμαι ἄξιον τιμῆς, διὰ δὲ τοὺς οἰκέτας σου τιμῶ σε, ἆρα τί ταύτης τῆς ἀτιμίας γένοιτο ἂν χεῖρον; Εἰ δὲ τὸ δι' οἰκέτας τιμᾶσθαι αἰσχρὸν τοὺς τῆς ψυχῆς ἡμῖν κοινωνοῦντας καὶ φύσεως, πολλῷ μᾶλλον διὰ τούτων, ἅπερ ἐστὶν εὐτελέστερα, τοίχους λέγω οἰκιῶν, καὶ αὐλάς, καὶ σκεύη χρυσᾶ, καὶ ἱμάτια.

4. Γέλως ὄντως καὶ αἰσχύνη ταῦτα· βέλτιον ἀποθανεῖν, ἢ οὕτω τιμηθῆναι. Εἰπὲ γάρ μοι, εἴ τίς σε κινδυνεύοντα ἐν τῷ βίῳ τούτῳ εὐτελὴς καὶ κατάπτυστος ἐξελέσθαι ἠθέλησε τοῦ κινδύνου, τί τούτου χεῖρον ἦν; Ὅπερ δὲ περὶ τῆς πόλεως πρὸς ἀλλήλους λέγετε, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. Προσέκρουσε τῷ ποτε κρατοῦντι ἡ πόλις ἡ ἡμετέρα, καὶ πᾶσαν αὐτὴν ἐκέλευσεν ἄρδην ἀπολέσθαι μετὰ ἀνδρῶν καὶ παίδων καὶ οἰκημάτων. Τοιοῦτοι γὰρ οἱ θυμοὶ οἱ βασιλικοί· τῇ ἐξουσίᾳ ὅσον ἂν θέλωσι, χαρίζονται· τοσοῦτον ἡ ἐξουσία κακόν. Ἦν οὖν ἐν κινδύνοις τοῖς ἐσχάτοις. Ἡ δὲ γείτων πόλις, αὕτη ἡ ἐπιθαλάσσιος, ἐλθοῦσα παρεκάλεσε τὸν βασιλέα ὑπὲρ ἡμῶν· οἱ δὲ τὴν πόλιν οἰκοῦντες τὴν ἡμέραν

σεως φθάνει μέχρι τὴ γλῶσσα καὶ ὅταν γεμίση τελείως ἡ κοιλιά, οὔτε μέχρι τὴ γλῶσσα. Ἀλλὰ οἱ τιμὲς αὐτὲς εἶναι πρᾶγμα γλυκό, λέγει. Καὶ τί πιὸ ἀηδὲς ὑπάρχει ἀπὸ τὴν τιμὴ ἐκείνη, ὅταν γίνεται ἀπὸ τὴν ἀνάγκη τῶν χρημάτων; Ὅταν δὲν γίνεται ἀπὸ τὴν καλὴ διάθεσι, οὔτε ἀπὸ τὴν προθυμία κάποιου, δὲν ἀπολαμβάνεις ἐσὺ τὴν τιμή, ἀλλὰ ὁ πλοῦτος. Ὥστε περισσότερο ἀπὸ ὅλα αὐτὸ τὸ ἴδιο κάνει τὸν πλούσιο περιφρονημένο. Διότι εἰπέ μου, ἐὰν ἐσένα, ποὺ ἔχεις κάποιο φίλο, ἐτιμοῦσαν ὅλοι, καὶ ἐπαραδέχοντο ὅτι ἐσὺ δὲν ἀξίζεις τίποτε, ἀναγκάζονται ὅμως ἐξ αἰτίας ἐκείνου νὰ σὲ τιμοῦν, δὲν θὰ ἦταν σὰν νὰ σὲ περιφρονοῦσαν κατὰ κάποιο ἄλλο τρόπο; Ὥστε ὁ πλοῦτος εἶναι γιὰ μᾶς αἴτιος περιφρονήσεως, ἀφοῦ ἀξίζει περισσότερο ἀπὸ αὐτὰ ποὺ ἔχομε ἀποκτήσει, καὶ ἀπόδειξις ἀδυναμίας παρὰ ἐξουσίας. Πῶς λοιπὸν δὲν εἶναι παράδοξο νὰ μὴ θεωρούμασθε ὅτι ἀξίζομε οὔτε ὅσο τὸ χῶμα καὶ ἡ σκόνη (διότι αὐτὸ εἶναι ὁ χρυσός, ἀλλὰ νὰ τιμώμασθε ἐξ αἰτίας ἐκείνου; Εἶναι εὔλογο. Ἐκεῖνος ὅμως ποὺ περιφρονεῖ τὸν πλοῦτο δὲν ἀντιμετωπίζεται ἔτσι, διότι εἶναι καλύτερο νὰ μὴ τιμᾶται κανείς, παρὰ νὰ τιμᾶται μὲ αὐτὸ τὸν τρόπο. Διότι εἰπέ μου, ἐάν κάποιος σοῦ ἔλεγε, ὅτι δὲν σὲ θεωρῶ ἄξιο καμμίας τιμῆς, καὶ σὲ τιμῶ γιὰ τοὺς δούλους σου, ἆρα τί θὰ ἠμποροῦσε νὰ ὑπάρξη χειρότερο ἀπὸ τὴν περιφρόνησι αὐτή; Ἐὰν ὅμως εἶναι αἰσχρὸ νὰ τιμώμασθε γιὰ τοὺς δούλους, οἱ ὁποῖοι ἔχουν τὴν αὐτὴ ψυχὴ καὶ φύσι μὲ μᾶς, πολὺ περισσότερο εἶναι αἰσχρὸ ἐὰν τιμώμασθε ἐξ αἰτίας αὐτῶν ποὺ εἶναι πιὸ ἀσήμαντα, ἐννοῶ τοὺς τοίχους τῶν σπιτιῶν καὶ τὶς αὐλές, τὰ χρυσὰ σκεύη καὶ τὰ ἐνδύματα.

4. Προκαλοῦν πράγματι γέλιο καὶ ἐντροπὴ αὐτά. Εἶναι καλύτερος ὁ θάνατος, παρὰ μία τέτοια τιμή. Διότι εἰπέ μου, ἐὰν κινδυνεύῃς στὴ ζωὴ αὐτή, καὶ κάποιος ἀσήμαντος καὶ περιφρονημένος συμβῆ νὰ σὲ σώση ἀπὸ τὸν κίνδυνο, τί θὰ ἦταν χειρότερο ἀπὸ αὐτό; Ἐκεῖνο ὅμως ποὺ λέγετε γιὰ τὴν πόλι μεταξύ σας, θέλω νὰ σᾶς τὸ εἰπῶ. Ἦλθε σὲ σύγκρουσι πρὸς τὸν βασιλέα, ποὺ ἦταν κάποτε, ἡ πόλις ἡ ἰδική μας, καὶ διέταξε νά καταστραφῆ ἐκ θεμελίων ὅλη ἡ πόλις μαζὶ μὲ τοὺς ἄνδρες καὶ τὰ παιδιὰ καὶ τὰ κτίσματα. Διότι τέτοιες εἶναι οἱ διαθέσεις τῶν βασιλέων μὲ τὴν ἐξουσία, ὅ,τι καὶ ἂν θελήσουν, τὸ ἱκανοποιοῦν. Τέτοιο κακὸ εἶναι ἡ ἐξουσία. Εὑρίσκετο λοιπὸν ἡ πόλις στὸν ἔσχατο κίνδυνο. Ἡ γειτονικὴ ὅμως πόλις, αὐτὴ ἡ παραλιακή, ἦλθε καὶ παρεκάλεσε τὸ βασιλέα γιὰ χάρι μας. Ἀλλὰ οἱ κάτοικοι τῆς ἰδικῆς μας πόλεως ἔλεγαν ὅτι αὐτὸ εἶναι χειρότερο

ἔλεγον τοῦτο χεῖρον εἶναι τοῦ κατασκαφῆναι τὴν πόλιν. Οὕτω τοῦ ἀτιμασθῆναι τὸ οὕτω τιμᾶσθαι χεῖρόν ἐστιν. Ὅρα γὰρ πόθεν ἔχει τὴν ῥίζαν ἡ τιμή. Μαγείρων χεῖρες ποιοῦσιν ἡμᾶς τιμᾶσθαι, ὥστε ἐκείνοις ὀφείλομεν χάριν ἔχειν· καὶ συβῶται παρέχοντες πλουσίαν τὴν τράπεζαν, καὶ ὑφάνται, καὶ ἔριθοι, καὶ οἱ μέταλλα ἐργαζόμενοι, καὶ πλακουντοποιοί, καὶ τραπεζοποιοί. Τοῦ τοίνυν τούτοις εἰδέναι χάριν τῆς τιμῆς οὐ βέλτιον τὸ μὴ τιμᾶσθαι; Καὶ χωρὶς δὲ τούτου, ὅτι ἀτιμίας γέμει τὸ πλουτεῖν, ἐγὼ σαφῶς ἀποδεῖξαι πειράσομαι.

Τὴν ψυχὴν αἰσχρὰν ἐργάζεται· τί δὲ τούτου ἀτιμότερον; Εἰπὲ γάρ μοι, εἰ τὸ σῶμα ὡραῖον ἦν, καὶ πάντας νικῶν τῷ κάλλει, ὁ δὲ πλοῦτος προσελθὼν ἐπηγγέλλετο ποιήσειν αἰσχρόν, καὶ ἀντὶ μὲν ὑγιοῦς νοσῶδες, ἀντὶ δὲ κατεσταλμένου φλεγμαῖνον, καὶ πάντα τὰ μέλη ὑδέρου πληρώσας, ἐξώγκωσε μὲν τὴν ὄψιν, καὶ πάντοθεν ἐποίησεν οἰδαίνειν, ἐξώγκωσε δὲ πόδας, καὶ τῶν δοκῶν ἐποίησε βαρυτέρους, ἐξώγκωσε δὲ γαστέρα, καὶ παντὸς πίθου μείζονα εἰργάσατο, καὶ μετὰ τοῦτο οὐδὲ τοῖς βουλομένοις θεραπεύειν ἐπηγγέλλετο συγχωρήσειν (τοῦτο γὰρ ἡ ἐξουσία)· ἀλλὰ τοσαύτην δώσειν ἐλευθερίαν, ὥστε ἄν τις προσίῃ ἀπάγων τῶν βλαπτόντων κολάσειν αὐτόν· ἆρα, εἰπέ μοι, τὸ πλουτεῖν, ὅταν τὴν ψυχὴν ταῦτα ἐργάζηται, πῶς ἂν εἴη καλόν;

Ἀλλ' ἡ ἐξουσία αὐτῆς τῆς νόσου χαλεπωτέρα· τὸ γὰρ νοσοῦντα μηδὲ νόμοις ἰατρῶν πείθεσθαι, τοῦ νοσεῖν χαλεπώτερον· ὅπερ ὁ πλοῦτος ἔχει, πανταχόθεν φλεγμαίνειν ποιῶν τὴν ψυχήν, καὶ τοὺς ἰατροὺς προσιέναι κωλύων. Ὥστε διὰ τὴν ἐξουσίαν μὴ κατακείμενον, καὶ μηδένα κωλύοντα ἐμφορεῖσθαι ποτάμων, ὅσωνπερ ἤθελε, καὶ κρεῶν τῶν βλαπτόντων, ἐμακάρισα ἂν αὐτὸν διὰ τὴν ἐξουσίαν. Οὐ γὰρ πανταχοῦ ἡ ἐξουσία καλόν, ὥσπερ οὖν οὐδὲ αἱ τιμαί· καὶ γὰρ καὶ αὗται φρονήματος πληροῦσι πολλοῦ. Εἰ δὲ τὸ σῶμα οὐκ ἂν εἵλου μετὰ πλούτου ταύτην δέξασθαι τὴν νόσον, πῶς τὴν ψυχὴν περιορᾷς, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ

ἀπὸ τὸ νὰ καταστραφῆ ἐκ θεμελίων ἡ πόλις. Ἔτσι τὸ νὰ μᾶς τιμοῦν μὲ τὸν τρόπο αὐτὸν εἶναι χειρότερο ἀπὸ τὸ νὰ μᾶς περιφρονοῦν. Πρόσεχε λοιπὸν ἀπὸ ποῦ προέρχεται ἡ τιμή. Τὰ χέρια τῶν μαγείρων μᾶς κάνουν νὰ τιμώμασθε· ἄρα πρέπει νὰ τοὺς εὐγνωμονοῦμε ἐκείνους· καὶ οἱ χοιροβοσκοὶ ποὺ μᾶς παρέχουν πλούσιο τὸ τραπέζι, καὶ οἱ ὑφαντὲς καὶ οἱ θεριστὲς καὶ οἱ ἐπεξεργαζόμενοι τὰ μέταλλα καὶ οἱ ζαχαροπλάστες καὶ οἱ τραπεζοκόμοι. Δὲν εἶναι λοιπὸν καλύτερο τὸ νὰ μὴ τιμώμασθε ἀπὸ τὸ νὰ εὐγνωμονοῦμε ἐκείνους γιὰ τὴν τιμὴ ποὺ μᾶς προσφέρουν; Καὶ χωρὶς ὅμως αὐτό, τὸ ὅτι ὁ πλοῦτος εἶναι γεμᾶτος περιφρόνησι, ἐγὼ θὰ προσπαθήσω μὲ σαφήνεια νὰ ἀποδείξω.

Καθιστᾶ τὴν ψυχὴ αἰσχρή. Καὶ τί εἶναι πιὸ ἀτιμωτικὸ ἀπὸ αὐτό; Διότι εἰπέ μου, ἐὰν τὸ σῶμα ἦταν ὡραῖο καὶ ἐνῶ ὑπερτεροῦσε ὅλους στὴν ὀμορφιά, καί, ἀφοῦ ἐπαρουσιάζετο ὁ πλοῦτος, ἔδινε ὑποσχέσεις νὰ τὸ κάμη ἄσχημο καὶ ἀπὸ ὑγιὲς φιλάσθενο, ἀπὸ συγκρατημένο, φλογισμένο, καί, ἀφοῦ ἐγέμιζε ὅλα τὰ μέλη τοῦ σώματος ὑδρωπικία, ἐξώγκωνε τὸ πρόσωπο καὶ ἀπὸ παντοῦ τὸ ἔκαμε νὰ πρήζεται, διώγκωνε τὰ πόδια καὶ τὰ ἔκαμνε βαρύτερα ἀπὸ τὰ ξύλα, ἐφούσκωνε τὴν κοιλιὰ καὶ τὴν καταστοῦσε πιὸ μεγάλη ἀπὸ κάθε πιθάρι, καὶ ὕστερα ἀπὸ αὐτὸ δὲν ὑπέσχετο νὰ ἐπιτρέψη σὲ ἐκείνους ποὺ ἤθελαν νὰ τὸ θεραπεύσουν (διότι τέτοια εἶναι ἡ ἐξουσία), ἀλλὰ νὰ δώση τόσο μεγάλη ἐλευθερία, ὥστε ἂν κάποιος προσήρχετο νὰ ἀπομακρύνη αὐτὰ ποὺ ἐπροκαλοῦσαν τὴ βλάβη τοῦ σώματος νὰ τιμωρήσουν αὐτόν, ἄρα, εἰπέ μου, ὅταν ὁ πλοῦτος κάμνη αὐτὰ στὴν ψυχή, πῶς θὰ ἠμποροῦσε νὰ εἶναι καλὸ πρᾶγμα;

Ἀλλὰ ἡ ἐξουσία εἶναι πιὸ φοβερὴ ἀπὸ τὴν ἀσθένεια αὐτή. Διότι τὸ νὰ μὴ ὑπακούη ὁ ἀσθενὴς στὶς συμβουλὲς τῶν ἰατρῶν, εἶναι δυσκολώτερο ἀπὸ τὴν ἀσθένεια· αὐτὸ ἀκριβῶς ἔχει ὁ πλοῦτος· κάμνει τὴν ψυχὴ ἀπὸ παντοῦ νὰ φλογίζεται καὶ ἐμποδίζει τοὺς ἰατροὺς νὰ πλησιάζουν. Συνεπῶς ἂς μὴ μακαρίζωμε αὐτοὺς ἐξ αἰτίας τῆς ἐξουσίας, ἀλλὰ ἂς τοὺς συμπονοῦμε. Οὔτε βέβαια βλέποντας κάποιον κατάκοιτο ἀπὸ ὑδρωπικία, καὶ χωρὶς κανένας νὰ τὸν ἐμποδίζη νὰ πίνη πολλὰ ποτά, ὅσα ἀκριβῶς ἤθελε, καὶ νὰ τρώγη κρέατα βλαβερὰ γιὰ τὴν ὑγεία του, θὰ τὸν ἐμακάριζα ἐξ αἰτίας τῆς ἐξουσίας του. Διότι ἡ ἐξουσία δὲν εἶναι παντοῦ καλό, ὅπως βέβαια οὔτε καὶ οἱ τιμές, ἀφοῦ καὶ αὐτὲς προκαλοῦν μεγάλη ἀλαζονεία. Ἐὰν ὅμως δὲν θὰ ἐπροτιμοῦσες τὸ σῶμα νὰ δεχθῆ μαζὶ μὲ πλοῦτο τὴν ἀσθένεια αὐτή, πῶς περιφρονεῖς τὴν ψυχή, καὶ ὄχι μόνο αὐτό,

ἑτέραν κόλασιν δεχομένην; Καὶ γὰρ πυρετοῖς πάντοθεν φλέγεται καὶ φλεγμοναῖς, καὶ τὸν πυρετὸν ἐκεῖνον οὐδεὶς σβέσαι δύναται· οὐ γὰρ ἀφίησιν ὁ πλοῦτος, ἅπερ ἐστὶν ἐλαττώματα, ταῦτα πείσας εἶναι πλεονεκτήματα· οἷον, τὸ μηδενὸς ἀνέχεσθαι, καὶ ἐξουσίᾳ πάντα ποιεῖν. Οὐ γὰρ εὑρήσει τις ἄλλην ψυχὴν τοσούτων γέμουσαν ἐπιθυμιῶν καὶ οὕτως ἀτόπων, ὡς τὰς τῶν βουλομένων πλουτεῖν. Πόσας γὰρ ληρωδίας οὐχ ὑπογράφουσιν ἑαυτοῖς; Μᾶλλον τῶν τοὺς ἱπποκενταύρους ἀναπλαττόντων, καὶ τὰς χιμαίρας καὶ τοὺς δρακοντόποδας καὶ τὰς σκύλλας καὶ τὰ τέρατα, ἴδοι τις ἂν αὐτοὺς ἀναπλάττοντας. Κἂν θέλῃ τις αὐτῶν μίαν ἐπιθυμίαν ἀναπλάσαι, οὐδὲν οὔτε σκύλλα, οὔτε χίμαιρα, οὔτε ἱπποκένταυρος φανήσονται πρὸς τὴν τερατωδίαν ἐκείνην, ἀλλ' εὑρήσεις πάντα ὁμοῦ ἔχουσαν τὰ θηρία. Καὶ τάχα μέ τις οἰήσεται ἐν πλούτῳ γεγενῆσθαι πολλῷ οὕτως ἐπαληθεύοντα τοῖς γινομένοις.

Λέγεταί τις (πρότερον γὰρ ἀπὸ τῶν παρὰ τοῖς Ἕλλησιν ᾀδομένων τὸν λόγον πιστώσομαι)· λέγεταί τις παρ' αὐτοῖς βασιλεὺς τοσοῦτον ἐνυβρίσαι τῇ τρυφῇ, ὥστε πλάτανον ποιῆσαι χρυσῆν, καὶ οὐρανὸν ἄνωθεν, καὶ οὕτω καθίσαι, καὶ ταῦτα ἐπιστρατεύων ἀνθρώποις πολεμεῖν μεμαθηκόσιν. Ἆρα οὐχ ἱπποκενταύρων αὕτη ἡ ἐπιθυμία; ἆρα οὐ σκύλλης; Ἕτερος πάλιν εἰς βοῦν ξύλινον ἐνέβαλλε τοὺς ἀνθρώπους. Ἆρα οὐ σκύλλα τοῦτο; Τέως δὲ τὸν πρότερον ἐξ ἀνδρὸς γυναῖκα ἐποίησε τὸν βασιλέα· τὸν στρατιώτην ἀπὸ γυναικός, τί εἴπω; θηρίον ἄλογον, καὶ ἔτι τούτου χεῖρον. Τὰ γὰρ θηρία ἄν τε ὑπὸ δένδρον ᾖ, ἀνέχονται τῆς φύσεως, καὶ πλέον οὐδὲν ἐπιζητοῦσιν, οὗτος δὲ καὶ τῶν θηρίων τὴν φύσιν ὑπερηκόντισεν. Ἆρα τί γένοιτ' ἂν τῶν πλουτούντων ἀνοητότερον; Τοῦτο δὲ ἀπὸ τῆς πλεονεξίας τῶν ἐπιθυμιῶν γίνεται. Ἆρα οὐχὶ πολλοὶ θαυμάζουσιν αὐτόν; Τοιγάρτοι τοῦ γέλωτος κοινωνοῦσιν αὐτῷ. Τοῦτο οὐ τὸν πλοῦτον ἐδείκνυ, ἀλλὰ τὴν ἄνοιαν. Πόσῳ τῆς χρυσῆς ἐκείνης πλατάνου ἡ τῆς γῆς βελτίων; τὰ γὰρ κατὰ φύσιν τῶν παρὰ φύσιν ἡδίω. Τί δέ σοι ὁ χρυσοῦς οὐρανὸς ἐβούλετο, ἀνόητε; Ὁρᾷς πῶς μαινομένους ποιεῖ ὁ πλοῦτος ὁ πολύς; πῶς ἐφλέγμαινεν; Οἶμαι αὐτὸν καὶ τὴν θάλατ-

---

7. *Κένταυροι*· μυθικὰ ἀνθρωπόμορφα τέρατα κατὰ τὸ ἥμισυ ἄνθρωποι καὶ κατὰ τὸ ἄλλο ἥμισυ ἵπποι. *Χίμαιρα*· μυθικὸ τέρας ποὺ ἐφυσοῦσε φλόγες ἀπὸ τὸ στόμα του καὶ εἶχε κεφάλι λεονταριοῦ, οὐρὰ μεγάλου φιδιοῦ καὶ σῶμα κατσικιοῦ (χίμαιρας). Τὸ τέρας ἐφόνευσε ὁ Βελλεροφόντης. *Δράκοντες*· τεράστια μυθικὰ φίδια. *Σκύλλα*· μυθικὸ θαλάσσιο τέρας ποὺ εἶχε 12 πόδια καὶ 6 κεφάλια μὲ

ἀλλὰ νὰ δέχεται καὶ ἄλλη τιμωρία; Διότι ἀπὸ παντοῦ καίγεται στοὺς πυρετοὺς καὶ στὶς φλεγμονές, καὶ τὸν πυρετὸ ἐκεῖνο κανεὶς δὲν μπορεῖ νὰ σβήση. Καθόσον δὲν ἀφήνει ὁ πλοῦτος, ἐπειδὴ ἔπεισε ὅτι εἶναι πλεονεκτήματα ἐκεῖνα, τὰ ὁποῖα εἶναι πράγματι ἐλαττώματα· ὅπως γιὰ παράδειγμα, τὸ νὰ μὴ ἀνέχεται κανένα καὶ νὰ κάνη τὰ πάντα γιὰ τὴν ἐξουσία. Δὲν θὰ συναντήση κανεὶς ἄλλη ψυχὴ μὲ τόσες πολλὲς ἐπιθυμίες καὶ τόσο παράλογες, ὅπως τὶς ψυχὲς ἐκείνων ποὺ ἐπιθυμοῦν τὸν πλοῦτο. Διότι πόσες ἀνοησίες δὲν παραδέχονται; Θὰ ἰδῆ κανεὶς αὐτοὺς νὰ φαντάζωνται περισσότερα ἀπὸ ἐκείνους ποὺ φαντάζονται τοὺς κενταύρους καὶ τὶς χίμαιρες καὶ τοὺς δράκοντες καὶ τὶς σκύλλες καὶ τὰ τέρατα[7]. Καὶ ἐὰν θέλη κάποιος ἀπὸ αὐτοὺς νὰ φαντασθῆ μία ἐπιθυμία, δὲν θὰ φανῆ στὴν τερατωδία ἐκείνη τίποτε, οὔτε σκύλλα, οὔτε χίμαιρα, οὔτε κένταυρος, ἀλλὰ θὰ τὴν εὔρης νὰ ἔχη ὅλα μαζὶ τὰ θηρία. Καὶ ἴσως μὲ νομίση κανεὶς ὅτι εἶχα ἀποκτήσει μεγάλο πλοῦτο, ἐπειδὴ ἐπαληθεύω μὲ πειστικότητα τὰ γεγονότα.

Λέγεται ὅτι κάποιος (διότι θὰ ἐπιβεβαιώσω πρῶτα τὰ λόγια μου ἀπὸ τὰ διαδιδόμενα μεταξὺ τῶν Ἑλλήνων)· λέγεται λοιπὸν ὅτι κάποιος βασιλεὺς αὐτῶν ἔδειξε τόσο μεγάλη ὑβριστικὴ συμπεριφορὰ σχετικὰ μὲ τὶς ἀπολαύσεις του, ὥστε νὰ κάμη χρυσὸ πλατάνι καὶ ἀπὸ ἐπάνω θόλο, καὶ ἔτσι νὰ καθίση, καὶ ὅλα αὐτὰ ἐνῶ ἐξεστράτευε γιὰ νὰ πολεμήση ἐναντίον ἐκείνων ποὺ εἶχαν μάθει αὐτά. Ἆρα ἡ ἐπιθυμία αὐτὴ δὲν εἶναι ἴση μὲ τοὺς ἱπποταύρους; ἆρα δὲν εἶναι ἴση μὲ τὴ σκύλλα; Ἄλλος πάλι ἔβαλε μέσα σὲ ξύλινο βόδι τοὺς ἀνθρώπους. Ἆρα δὲν εἶναι σκύλλα αὐτό; Κατ' ἀρχὴ δὲ τὸν μέχρι τότε βασιλέα ἀπὸ ἄνδρα τὸν ἔκαμε γυναῖκα, τὸν στρατιώτη ἀπὸ γυναῖκα, τί νὰ εἰπῶ; θηρίο ἄγριο, καὶ ἀκόμη χειρότερο ἀπὸ αὐτό. Διότι τὰ θηρία ἐὰν εὑρίσκωνται κάτω ἀπὸ δένδρο, ὑπομένουν τὴ φύσι, καὶ δὲν ἐπιζητοῦν τίποτε περισσότερο, αὐτὸς ὅμως ἐξεπέρασε καὶ τὴ φύσι τῶν θηρίων. Ἆρα τί θὰ ἠμποροῦσε νὰ ὑπάρξη πιὸ ἀνόητο ἀπὸ τοὺς πλουσίους; Καὶ αὐτὸ προέρχεται ἀπὸ τὴν πλεονεξία τῶν ἐπιθυμιῶν. Ἆρα δὲν θαυμάζουν πολλοὶ αὐτόν; Γι' αὐτὸ βέβαια γελοῦν μαζί του. Αὐτὸ δὲν ἀπεδείκνυε τὸν πλοῦτο, ἀλλὰ τὴν ἀνοησία. Πόσο καλύτερο δὲν εἶναι τὸ φυσικὸ πλατάνι ἀπὸ ἐκεῖνο τὸ χρυσό; διότι τὰ γινόμενα σύμφωνα μὲ τὴ φύσι εἶναι πιὸ εὐχάριστα ἀπὸ τὰ παρὰ φύσι. Τί τὸν ἤθελες τὸ χρυσὸ οὐρανό, ἀνόητε; Βλέπεις πῶς κάνει τρελλοὺς τοὺς ἀνθρώπους ὁ μεγάλος πλοῦτος; πῶς τοὺς φλογίζει τὶς ἐπιθυμίες; Νομίζω ὅτι αὐτὸς ἀγνοεῖ

ταν ἀγνοεῖν, καὶ τάχα βαδίζειν βούλεσθαι ἐπ' αὐτῆς. Ἆρα οὐ χίμαιρα ταῦτα; ἆρα οὐχ ἱπποκένταυρος;

Ἀλλ' εἰσὶ καὶ νῦν τινες οἳ οὐδὲν ἐκείνου ἀποδέουσιν, ἀλλὰ πολλῷ ἀνοητότεροι τυγχάνουσιν ὄντες. Τί γάρ, εἰπέ μοι, τῆς χρυσῆς πλατάνου διαφέρουσι κατὰ ἄννοιαν οἱ κεράμια ποιοῦντες ἀργυρᾶ, καὶ χύτρας καὶ ἀλάβαστρα; Τί δὲ αἱ γυναῖκες (αἰσχύνομαι μὲν οὖν, πλὴν ἀναγκαῖον εἰπεῖν) ἀμίδας ἀργυρᾶς ποιοῦσαι; Ὑμᾶς αἰσχύνεσθαι τὰς ταῦτα ποιούσας ἔδει. Τοῦ Χριστοῦ λιμώττοντος, σὺ οὕτω τρυφᾷς; μᾶλλον δὲ ἀνοηταίνεις; Ποίαν αὗται κόλασιν οὐ τίσουσιν; Ἔτι οὖν ἐρωτᾷς, διὰ τί λῃσταί, διὰ τί ἀνδροφόνοι, διὰ τί τὰ κακά, οὕτως ὑμᾶς τοῦ διαβόλου περισύραντος; Τὸ μὲν γὰρ πινάκια ἔχειν ἀργυρᾶ, οὐδὲ τοῦτο μὲν κατὰ φιλόσοφον ψυχήν, ἀλλὰ τρυφῆς τὸ πᾶν· τὸ δὲ καὶ σκεύη ἀκάθαρτα ποιεῖν ἐξ ἀργύρου, ἆρα τρυφῆς; ἀλλ' οὐκ ἂν εἴποιμι τρυφῆς, ἀλλ' ἀνοίας· ἀλλ' οὐδὲ τοῦτο, ἀλλὰ μανίας, μᾶλλον δὲ καὶ μανίας χεῖρον.

5. Οἶδα ὅτι πολλοί με κωμῳδοῦσιν ἐπὶ τούτῳ, ἀλλ' οὐκ ἐπιστρέφομαι· μόνον γενέσθω τι πλέον. Ὄντως ἀνοήτους ποιεῖ τὸ πλουτεῖν καὶ μαινομένους. Εἰ τοσαύτη ἦν ἡ περιουσία, ἐβουλήθησαν ἂν καὶ τὴν γῆν εἶναι χρυσῆν, καὶ τοίχους χρυσοῦς, τάχα καὶ τὸν οὐρανὸν καὶ τὸν ἀέρα ἀπὸ χρυσοῦ. Τίς ἡ μανία, τίς ἡ παρανομία; τίς ὁ πυρετός; Ἕτερος τῷ κρυμῷ διαφθείρεται ὁ κατ' εἰκόνα Θεοῦ, σὺ δὲ τοιαῦτα κατασκευάζεις; Ὢ τοῦ τύφου· τί ἂν πλέον μαινόμενος ἐποίησε; Τὰ ἀποπατήματα οὕτω τιμᾷς, ὥστε ἀργύρῳ ὑποδέχεσθαι; Οἶδα ὅτι ναρκᾶτε ἀκούοντες, ἀλλ' αἱ ποιοῦσαι ναρκᾶν ὀφείλουσι, καὶ οἱ τοῖς τοιαύτοις νοσήμασιν ἄνδρες ὑπηρετούμενοι· ἀκολασία γάρ ἐστι καὶ ὠμότης καὶ ἀπανθρωπία καὶ θηριωδία καὶ ἀσέλγεια τοῦτο. Ποία σκύλλα, ποία χίμαιρα, ποῖος δράκων, μᾶλλον δὲ ποῖος δαίμων, ποῖος διάβολος ταῦτα ἂν ἐποίησε; Τί τοῦ Χριστοῦ ὄφελος; Τί δὲ τῆς πίστεως, ὅταν ἀνθρώπων ἀνέχηταί τις Ἑλλήνων, μᾶλλον δὲ οὐχ Ἑλλήνων, ἀλλὰ δαιμόνων; Εἰ χρυσῷ καὶ μαργαρίταις τὴν κεφαλὴν κοσμεῖν

τρεῖς σειρὲς δόντια στὸ καθένα. *Τέρατα*· τὰ πάρα πολὺ μεγάλα καὶ ἀσυνήθιστα ὄντα ποὺ ἐπροκαλοῦσαν φόβο καὶ τρόμο στοὺς ἀνθρώπους.

καὶ τὴ θάλασσα καὶ ἴσως καὶ νὰ θέλῃ νὰ βαδίζῃ ἐπάνω σ' αὐτήν. Ἄρα δὲν εἶναι χίμαιρα αὐτό; ἄρα δὲν εἶναι ἱπποκένταυρος;

Ἀλλὰ ὑπάρχουν καὶ τώρα μερικοί, οἱ ὁποῖοι δὲν ἀπέχουν καθόλου ἀπὸ ἐκεῖνον, ἀλλὰ εἶναι πολὺ πιὸ ἀνόητοι. Διότι εἰπέ μου, τί διαφέρουν σὲ ἀνοησία ἀπὸ τὸ χρυσὸ πλατάνι ἐκεῖνοι ποὺ κάνουν ἀργυρὰ ἀγγεῖα καὶ χύτρες καὶ ἀλάβαστρα; Καὶ τί οἱ γυναῖκες (ἐντρέπομαι βέβαια, ἀλλ' ὅμως εἶναι ἀνάγκη νὰ τὸ εἰπῶ) ποὺ κάνουν ἀργυρὰ οὐροδοχεῖα; Ἐσεῖς ἔπρεπε νὰ ἐντρέπεσθε ἐκεῖνες ποὺ κάνουν αὐτά. Ἐνῶ ὁ Χριστὸς ὑποφέρει ἀπὸ πεῖνα, ἐσὺ ζῇς μὲ τέτοιες ἀπολαύσεις; μᾶλλον δὲ κάνεις τέτοια ἀνόητα πράγματα; Ποιὰ τιμωρία δὲν θὰ ὑποστοῦν αὐτές; Ἀκόμη λοιπὸν ἐρωτᾶς, γιατί ὑπάρχουν ληστές, γιατί δολοφόνοι, γιατί τὰ κακά, ἀφοῦ ὁ διάβολος σᾶς σύρῃ ἔτσι ἐδῶ καὶ ἐκεῖ; Τὸ νὰ ἔχῃ λοιπὸν κανεὶς πιάτα ἀργυρά, οὔτε αὐτὸ γίνεται σύμφωνα μὲ εὐσεβὴ ψυχή, ἀλλ' ὅλη ἡ ἐνέργεια αὐτὴ εἶναι ἀποτέλεσμα τῆς χλιδῆς· τὸ νὰ κάνῃ ὅμως καὶ σκεύη ἀκάθαρτα ἀπὸ ἄργυρο, ἄραγε εἶναι δεῖγμα χλιδῆς; Ἀλλ' ὅμως δὲν θὰ μποροῦσα νὰ εἰπῶ ὅτι εἶναι δεῖγμα χλιδῆς, ἀλλὰ ἀνοησίας· ὅμως οὔτε αὐτὸ θὰ εἰπῶ, ἀλλ' εἶναι ἀποτέλεσμα τρέλλας, μᾶλλον δὲ χειρότερο καὶ ἀπὸ τρέλλα.

5. Γνωρίζω ὅτι πολλοὶ μὲ κοροιδεύουν γι' αὐτό, ἀλλὰ δὲν μετανοῶ· μόνο ἂς κατορθωθῇ κάτι περισσότερο. Πράγματι ὁ πλοῦτος κάνει τοὺς ἀνθρώπους ἀνοήτους καὶ τρελλούς. Ἐὰν ἦταν τόσο μεγάλη ἡ περιουσία τους, θὰ ἤθελαν καὶ ἡ γῆ νὰ εἶναι χρυσή, καὶ οἱ τοῖχοι χρυσοί, πιθανὸν καὶ ὁ οὐρανὸς καὶ ὁ ἀέρας νὰ εἶναι ἀπὸ χρυσάφι. Πόσο μεγάλη εἶναι ἡ τρέλλα, πόσο φοβερὴ ἡ παρανομία; Πόσο μεγάλη ἡ παραζάλη; Ἄλλος, ὁ ὁποῖος ἐδημιουργήθηκε σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ, πεθαίνει ἀπὸ τὸ κρύο, καὶ σὺ κατασκευάζεις αὐτά; Πόση ἀλαζονεία! τί θὰ ἔκαμνε περισσότερο ἂν ἦταν τρελλός; Τὰ περιττώματα τιμᾶς ἔτσι, ὥστε νὰ τὰ ὑποδέχεσαι μὲ ἄργυρο; Γνωρίζω ὅτι ἀκούοντας αὐτὰ ἐντρέπεσθε, ἀλλὰ πρέπει νὰ ἐντρέπωνται ἐκεῖνες ποὺ τὰ κάνουν αὐτά, καθὼς καὶ οἱ ἄνδρες ποὺ εἶναι ὑποταγμένοι σὲ τέτοιες ἀδυναμίες, διότι αὐτὸ εἶναι ἀκολασία καὶ σκληρότητα καὶ ἀπανθρωπιὰ καὶ θηριωδία καὶ ἀσέλγεια. Ποιὰ σκύλλα, ποιὰ χίμαιρα, ποιὸς δράκων, μᾶλλον δὲ ποιὸς δαίμων, ποιὸς διάβολος θὰ ἔκαμνε αὐτά; Ποιὸ τὸ κέρδος τοῦ Χριστοῦ; καὶ ποιὸ τὸ κέρδος τῆς πίστεως, ὅταν ἀνέχεται κανεὶς τοὺς Ἕλληνες, ἢ καλύτερα ὄχι τοὺς Ἕλληνες, ἀλλὰ τοὺς δαίμονες; Ἐὰν δὲν πρέπει νὰ στολίζῃ κανεὶς τὸ κεφάλι του μὲ χρυσὸ καὶ μαργαριτάρια, αὐτὸς

οὐ δεῖ, ὁ τῷ ἀργύρῳ εἰς οὕτως ἀκάθαρτον ὑπηρεσίαν κεχρημένος, ποίας συγγνώμης τεύξεται; Οὐκ ἀρκεῖ τά λοιπά, καίτοιγε οὐδὲ ἐκεῖνα ἀνεκτά, καθέδραι καὶ ὑποπόδια ἐξ ἀργύρου πάντα; καίτοι καὶ ταῦτα ἀνοίας.

Ἀλλὰ πανταχοῦ ὁ τῦφος ὁ περισσός, πανταχοῦ ἡ κενοδοξία· οὐδαμοῦ τῆς χρείας, ἀλλὰ πανταχοῦ τῶν περιττῶν. Ἐγὼ δέδοικα μὴ ὑπὸ τῆς μανίας ταύτης προβαῖνον τὸ γυναικεῖον γένος τεράτων ἀναλάβῃ μορφήν· εἰκὸς γὰρ αὐτὰς ἐπιθυμῆσαι καὶ τρίχας ἔχειν χρυσᾶς. Ἢ ὁμολογήσατε ὅτι ἐπαθετέ τι πρὸς τὸ λεχθέν, καὶ διανέστητε, καὶ εἰς ἐπιθυμίαν ἐνεπέσετε, καὶ εἰ μή γε ἡ αἰσχύνη κατεῖχεν, οὐκ ἂν παρῃτήσασθε. Εἰ γὰρ καὶ τὰ τούτων ἀτοπώτερα τολμᾶται, πολλῷ μᾶλλον ταῦτα οἶμαι αὐτὰς ἐπιθυμῆσαι, καὶ τὰ χείλη, καὶ τὰς ὀφρῦς, καὶ πάντα χρυσὸν κατατηκούσας οὕτω περιχρίειν. Εἰ δὲ ἀπιστεῖτε, καὶ νομίζετε γελῶντά με λέγειν, ἐγὼ διηγήσομαι ὅπερ ἤκουσα, μᾶλλον δὲ καὶ ἔστι νῦν. Ὁ τῶν Περσῶν βασιλεὺς χρυσοῦν ἔχει τὸ γένειον, τῶν περὶ ταῦτα δεινῶν, καθάπερ τῇ κρόκῃ, οὕτω καὶ ταῖς ἐκείνου θριξὶν ἐνελισσόντων τὰ πέταλα τοῦ χρυσοῦ· καὶ ἀνάκειται, καθάπερ τέρας. Δόξα σοι, Χριστέ, πόσων ἐνέπλησας ἀγαθῶν ἡμᾶς; πῶς ἡμᾶς ὑγιαίνειν παρεσκεύασας; πόσης τερατωδίας, πόσης ἀλογίας ἡμᾶς ἀπήλλαξας; Ἰδοὺ προλέγω· οὐκέτι παραινῶ, ἀλλ' ἐπιτάττω καὶ παραγγέλλω· ὁ βουλόμενος ἀκουέτω, ὁ δὲ μὴ βουλόμενος ἀπειθείτω· ὅτι ἂν ἐπιμένητε ταῦτα ποιοῦσαι, οὐκ ἀνέξομαι, οὐδὲ δέξομαι ὑμᾶς, οὐδὲ ἀφήσω τὸν οὐδὸν ὑπερβῆναι τοῦτον. Τί γάρ μοι δεῖ πλήθους νοσούντων; τί δὲ εἰ, παιδοτριβῶν ὑμᾶς, οὐ κωλύω τὰ περιττά; Καίτοιγε ὁ Παῦλος ἐκώλυσε καὶ χρυσὸν καὶ μαργαρίτας.

Γελώμεθα παρὰ τῶν Ἑλλήνων, μῦθος εἶναι δοκεῖ τὰ ἡμέτερα. Καὶ τοῖς ἀνδράσι παραινῶ ταῦτα· εἰς διδασκαλεῖον παραγίνῃ, παιδευόμενος φιλοσοφίαν πνευματικήν· περίελε τὸν τῦφον ἐκεῖνον. Τοῦτο καὶ ἀνδράσι παραινῶ καὶ γυναιξί· κἂν ἑτέρως τις ποιῇ, λοιπὸν οὐκ ἀνέχομαι. Δώδεκα ἦσαν οἱ μαθηταί, καὶ ἄκουσον τί φησιν ὁ Χριστὸς πρὸς αὐτούς· «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;». Ἂν γὰρ διόλου κολακεύωμεν, πότε ἀνακτησόμεθα;

---

8. Ἰω. 6,67

ποὺ χρησιμοποιεῖ τὸν ἄργυρο σὲ τόσο ἀκάθαρτη ὑπηρεσία, ποιὰ συγγνώμη θὰ ἐπιτύχη; Δὲν φθάνουν τὰ ὑπόλοιπα, ἂν καὶ βέβαια οὔτε ἐκεῖνα εἶναι παραδεκτά, τὰ καθίσματα καὶ τὰ ὑποπόδια ὅλα ἀπὸ ἄργυρο νὰ εἶναι; μολονότι καὶ αὐτὰ βέβαια εἶναι ἀποτέλεσμα ἀνοησίας.

Ἀλλὰ παντοῦ ἡ περιττὴ ἀλαζονεία, παντοῦ ἡ ματαιοδοξία· πουθενὰ τὰ ἀπαραίτητα, ἀλλὰ παντοῦ τὰ περιττά. Ἐγὼ φοβᾶμαι μήπως ὑπὸ τὴν πίεσι τῆς τρέλλας αὐτῆς τὸ γυναικεῖο γένος ἀποκτήση μορφὴ τεράτων, διότι εἶναι φυσικὸ νὰ ἐπιθυμήσουν οἱ γυναῖκες νὰ ἔχουν καὶ χρυσὲς τρίχες. Ἢ παραδεχθῆτε ὅτι ἐπάθατε κάτι ἀντίστοιχο πρὸς αὐτὰ ποὺ ἐλέχθησαν, καὶ εἴχατε ἐρεθισθῆ καὶ σᾶς εἶχε κυριεύσει ἡ ἐπιθυμία, καὶ ἐὰν δὲν σᾶς ἐκρατοῦσε ἡ ἐντροπή, δὲν θὰ εἴχατε παραιτηθῆ. Ἐὰν λοιπὸν τολμοῦν καὶ τὰ πιὸ παράδοξα ἀπὸ αὐτά, πολὺ περισσότερο νομίζω αὐτὲς θὰ ἐπιθυμήσουν αὐτά, καὶ λειώνοντας ὅλο τὸ χρυσὸ θὰ φθάσουν νὰ ἀλείφουν ὁλόγυρα καὶ τὰ χείλη καὶ τὰ φρύδια τους. Ἐὰν ὅμως δὲν πιστεύετε καὶ νομίζετε ὅτι ἀστειευόμενος τὰ λέγω, θὰ σᾶς διηγηθῶ αὐτὸ ποὺ ἔχω ἀκούσει, μᾶλλον δὲ ὑπάρχει καὶ τώρα. Ὁ βασιλεύς τῶν Περσῶν ἔχει χρυσὰ τὰ γένεια, ποὺ εἶναι ἀπὸ τὰ φοβερὰ σχετικὰ μὲ αὐτά, καὶ ὅπως στὸ ὑφάδι, ἔτσι καὶ στὶς τρίχες ἐκείνου περιτυλίγονται τὰ λεπτὰ φύλλα τοῦ χρυσοῦ, καὶ στέκεται ἀκριβῶς σὰν τέρας. Ἂς εἶσαι δοξασμένος, Χριστέ, πόσα ἀγαθὰ μᾶς ἐχορήγησες πλουσιοπάροχα; πῶς μᾶς ἐπροετοίμασες νὰ ἔχωμε ὀρθὰ φρονήματα, ἀπὸ πόση τερατωδία, ἀπὸ πόση ἀνοησία μᾶς ἀπήλλαξες; Ἰδοὺ προλέγω, δὲν συμβουλεύω πιά, ἀλλὰ διατάσσω καὶ παραγγέλλω· ἐκεῖνος ποὺ θέλει ἂς ἀκούη, καὶ ἐκεῖνος ποὺ δὲν θέλει ἂς μὴ ὑπακούη. Διότι ἐὰν ἐπιμένετε νὰ κάνετε αὐτά, δὲν θὰ ἀνεχθῶ, οὔτε θὰ σᾶς δεχθῶ, οὔτε θὰ ἀφήσω νά περάσετε τὸ κατώφλι αὐτό. Διότι τί μοῦ χρειάζεται τὸ πλῆθος τῶν ἀσθενῶν; καὶ τί ἐάν, διδάσκοντας ἐσᾶς, δὲν ἐπιτρέπω τὰ περιττὰ πράγματα; Ἂν καὶ βέβαια ὁ Παῦλος δὲν ἐπέτρεψε καὶ τὸ χρυσὸ καὶ τὰ μαργαριτάρια.

Μᾶς κοροϊδεύουν οἱ Ἕλληνες· θεωροῦν ὅτι εἶναι μῦθος τὰ ἰδικά μας. Καὶ στοὺς ἄνδρες συμβουλεύω τὰ ἑξῆς· νὰ πηγαίνης σὲ σχολεῖο γιὰ νὰ διδάσκεσαι τὴν πνευματικὴ φιλοσοφία· ἀπομάκρυνε ἐκείνη τὴν ἀλαζονεία. Αὐτὸ συμβουλεύω καὶ στοὺς ἄνδρες καὶ στὶς γυναῖκες· καὶ ἂν κάποιος ἐνεργῆ διαφορετικά, στὸ ἑξῆς δὲν τὸ ἀνέχομαι. Οἱ μαθητὲς ἦταν δώδεκα, καὶ ἄκουσε τί λέγει ὁ Χριστὸς πρὸς αὐτούς· «Μήπως θέλετε καὶ σεῖς νὰ φύγετε;»[8] Διότι ἐὰν

πότε ὠφελήσομεν; Ἀλλ' εἰσί, φησίν, αἱρέσεις ἕτεραι, καὶ μετατίθενται. Ψυχρὸς οὗτος ὁ λόγος· «Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι». Ἐπεὶ καὶ σὺ τί βούλει, εἰπέ μοι; μυρίους δραπέτας ἔχειν καὶ κλέπτας οἰκέτας, ἢ ἕνα εὔνουν; Ἰδοὺ παραινῶ καὶ παρεγγυῶ, καὶ τὸν καλλωπισμὸν τὸν περὶ τὴν ὄψιν, καὶ τὰ σκεύη τὰ τοιαῦτα συντρίβειν, καὶ πένησι διδόναι, καὶ μὴ οὕτω μεμηνέναι. Ὁ βουλόμενος ἀποπηδάτω, ὁ βουλόμενος ἐγκαλείτω· οὐκ ἀνέχομαι οὐδενός. Ὅταν μέλλω κρίνεσθαι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, μακρὰν ὑμεῖς ἑστήκατε, καὶ ἡ παρ' ὑμῶν χάρις, ἐμοῦ τὰς εὐθύνας παρέχοντος.

Ταῦτα τὰ ῥήματα τὰ πάντα διέφθειρεν· ἵνα μὴ ἀπέλθῃ, φησί, καὶ μετατεθῇ πρὸς ἑτέραν αἵρεσιν· ἀσθενής ἐστι, συγκατάβηθι. Μέχρι τίνος; μέχρι πότε; ἅπαξ, καὶ δίς, καὶ τρίς, μὴ διαπαντός. Ἰδοὺ παρεγγυῶ πάλιν, καὶ διαμαρτύρομαι κατὰ τὸν μακάριον Παῦλον, «Ὅτι ἂν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι». Ὅταν δὲ κατορθώσητε, τότε εἴσεσθε ὅσον τὸ κέρδος, ὅση ἡ ὠφέλεια. Ναί, παρακαλῶ καὶ ἀντιβολῶ, καὶ τῶν γονάτων οὐκ ἂν παραιτησαίμην ἅψασθαι, καὶ ἱκετηρίαν θεῖναι ὑπὲρ τούτου. Τίς ἡ βλακεία; τίς ἡ ἄνοια; τίς ἡ μανία; Πένητες τοσοῦτοι τὴν ἐκκλησίαν περιεστήκασι, καὶ τέκνα ἔχουσα τοσαῦτα ἡ ἐκκλησία, οὕτω πλουτοῦντα, οὐδὲ ἑνὶ πένητι ἐπαμῦναι δύναται· ἀλλ' ὁ μὲν πεινᾷ, ὁ δὲ μεθύει· ὁ μὲν καὶ ἐν ἀργύρῳ ἀποπατεῖ, ὁ δὲ οὔτε ἄρτου μετέχει. Τίς ἡ μανία; τίς ἡ θηριωδία ἡ τοσαύτη;

Γένοιτο μὴ ἐλθεῖν ἡμᾶς εἰς τὴν πεῖραν τοῦ ἐπεξελθεῖν τοῖς ἀπειθοῦσι, μηδὲ εἰς ἀγανάκτησιν τοῦ ταῦτα ἐπιτρέψαι, ἀλλ' ἑκόντας καὶ ἀνεχομένους ταῦτα πάντα περιστῆναι· ἵνα εἰς δόξαν τοῦ Θεοῦ ζήσωμεν, καὶ τῆς ἐκεῖ κολάσεως ἀπαλλαγῶμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

9. Σοφ. Σειρ. 16,3
10. Β' Κορ. 13,2
11. Τοῦτο εἶναι δεῖγμα ἱκεσίας.
12. Ἱκετηρία· κλαδὶ ἐλιᾶς, περιεστεμμένο μὲ μαλλί, σύμβολο τοῦ ἱκέτου.

συνέχεια σᾶς κολακεύωμε, πότε θὰ κερδίσωμε τὴν εὔνοιά σας; πότε θὰ σᾶς ὠφελήσομε; Ἀλλὰ ὑπάρχουν, λέγει, ἄλλες αἱρέσεις καὶ μεταπηδοῦν ἐκεῖ. Εἶναι ψυχρὸς αὐτὸς ὁ λόγος· «Εἶναι ἀνώτερος ἕνας ὑπηρέτης ποὺ κάνει τὸ θέλημα τοῦ κυρίου του, παρὰ ἀμέτρητοι ποὺ ἐνεργοῦν παράνομα»[9]. Διότι καὶ σύ, εἰπέ μου, τί θέλεις; νὰ ἔχῃς πολλοὺς ὑπηρέτες δραπέτες καὶ κλέπτες, ἢ ἕνα ποὺ νὰ διάκειται μὲ συμπάθεια; Ἐμπρὸς λοιπὸν σᾶς συμβουλεύω καὶ σᾶς προτρέπω, καὶ τὸν καλλωπισμὸ τοῦ προσώπου καὶ τὰ σκεύη αὐτὰ νὰ τὰ συντρίβετε, καὶ στοὺς πτωχοὺς νὰ δίνετε καὶ νὰ μὴ ἐξακολουθῆτε νὰ δείχνετε τόση μανία. Ἐκεῖνος ποὺ θέλει ἂς μεταπηδᾶ στὶς αἱρέσεις, ἐκεῖνος ποὺ θέλει ἂς μὲ κατηγορῇ· δὲν ἀνέχομαι κανένα. Ὅταν θὰ πρόκειται νὰ κριθῶ μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, σεῖς θὰ στέκεσθε μακριὰ καθὼς καὶ ἡ δική σας χάρις, ἀφοῦ σ' ἐμένα θὰ καταλογίζῃ τὶς εὐθύνες.

Αὐτὰ τὰ λόγια κατέστρεψαν τὰ πάντα· γιὰ νὰ μὴ φύγῃ, λέγει, καὶ προσέλθῃ σὲ ἄλλη αἵρεσι· εἶναι ἀσθενής, δεῖξε συγκατάβασι. Μέχρι ποιό σημεῖο; μέχρι πότε; μία φορά, καὶ δύο, καὶ τρεῖς, ὄχι γιὰ πάντα. Ἰδοὺ σᾶς προτρέπω καὶ πάλι καὶ σᾶς προειδοποιῶ κατὰ τὸν μακάριο Παῦλο, «Ὅτι ἐὰν ἔλθω καὶ πάλι, δὲν θὰ λυπηθῶ κανένα»[10]. Ὅταν ὅμως θὰ κατορθώσετε αὐτά, τότε θὰ γνωρίσετε πόσο εἶναι τὸ κέρδος, πόση εἶναι ἡ ὠφέλεια. Ναί, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, καὶ δὲν θὰ ἀπέφευγα νὰ ἐγγίσω τὰ γόνατά σας[11], καὶ νὰ καταθέσω τὴν ἱκετηρία[12] γιὰ τὸ σκοπὸ αὐτό. Τί εἴδους βλακεία εἶναι αὐτή, τί εἴδους τρυφή; τί εἴδους ὕβρις; δὲν εἶναι τρυφὴ αὐτό, ἀλλὰ ὕβρις· Τί εἴδους ἀνοησία εἶναι αὐτή; τί εἴδους τρέλλα; Πολλοὶ πτωχοὶ περιφέρονται τὴν ἐκκλησία, καὶ ἐνῶ ἡ ἐκκλησία ἔχει πολλὰ τέκνα, τόσο πλούσια, οὔτε ἕνα μπορεῖ νὰ βοηθήσῃ. Ἀλλὰ ὁ ἕνας πεινᾶ, ὁ ἄλλος μεθᾶ· ὁ ἄλλος ἀποπατεῖ σὲ ἄργυρο, καὶ ὁ ἄλλος οὔτε ψωμὶ τρώγει. Τί εἴδους τρέλλα εἶναι αὐτή; πόσο μεγάλη εἶναι ἡ θηριωδία αὐτή;

Εἴθε νὰ μὴ δοκιμάσωμε τὴ σκληρὴ τιμωρία ἐκείνων ποὺ δὲν ὑπακούουν, οὔτε νὰ φθάσωμε στὴν ἀγανάκτησι ὥστε νὰ μᾶς παραδώσῃ σ' αὐτά, ἀλλὰ μὲ τὴ θέλησί μας καὶ ἀνεχόμενοι ὅλα αὐτὰ νὰ σταθοῦμε κοντά του, γιὰ νὰ ζήσωμε στὴ δόξα τοῦ Θεοῦ καὶ νὰ ἀπαλλαγοῦμε ἀπὸ τὴν κόλασι, ποὺ εὑρίσκεται ἐκεῖ, καὶ νὰ ἐπιτύχωμε τὰ ἀγαθά, τὰ ὁποῖα ἔχει ὑποσχεθῆ σὲ ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμὴ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄

(Κολ. 3,5 – 15)

«Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς».

1. Οἶδα πολλοὺς ἀπεχθανομένους ἐν τῇ πρὸ ταύτης διαλέξει· ἀλλὰ τί πάθω; ἠκούσατε τί ἐπέταξεν ὁ δεσπότης; Μὴ γὰρ ἐγὼ αἴτιος; Τί ποιήσω; Οὐχ ὁρᾶτε τοὺς ἀπαιτοῦντας, ὅταν ἀγνωμονῶσιν οἱ ὑπεύθυνοι, πῶς κλοιὰ περίκεινται; Ἠκούσατε τί σήμερον ὁ Παῦλος ἐβόα; «Νεκρώσατε», φησί, «τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία». Τί τῆς τοιαύτης πλεονεξίας χεῖρον; πάσης ἐπιθυμίας αὕτη χείρων. Τοῦτο βαρύτερον οὗπερ ἔλεγον, ἡ μανία καὶ ἡ βλακεία ἡ περὶ τὸν ἄργυρον. «Καὶ τὴν πλεονεξίαν», φησίν, «ἥτις ἐστὶν εἰδωλολατρία». Ὁρᾶτε ποῦ τὸ κακὸν τελευτᾷ; Μὴ δὴ δυσχεράνητε· οὐ γὰρ ἑκὼν οὐδὲ ἁπλῶς ἐχθροὺς ἔχειν θέλω, ἀλλ' ἐβουλόμην ὑμᾶς εἰς τοῦτο ἀρετῆς ἥκειν, ὡς ἐμὲ παρ' ὑμῶν ἀκούειν τὰ δέοντα. Ὥστε οὐκ αὐθεντίας ἐστίν, οὐδὲ ἀξιώματος, ἀλλ' ὀδύνης καὶ ἀλγηδόνος. Σύγγνωτέ μοι, σύγγνωτε· οὐ θέλω ἀσχημονεῖν ὑπὲρ τοιούτων διαλεγόμενος, ἀλλ' ἀναγκάζομαι. Οὐχ ὑπὲρ τῆς τῶν πενήτων ὀδύνης ταῦτα λέγω, ἀλλ' ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. Ἀπολοῦνται γάρ, ἀπολοῦνται οἱ μὴ θρέψαντες τὸν Χριστόν. Τί γάρ, εἰ τρέφεις πένητα; ἀλλ' ἕως ἂν οὕτω τρυφᾷς, πάντα περιττά. Οὐ γὰρ τὸ δοῦναι ζητεῖται πολλά, ἀλλὰ τὸ μὴ ἔλαττον τῆς οἰκείας οὐσίας· τοῦτο γὰρ παίζοντός ἐστι.

---

1. Κλοιός· κυκλικὸς δεσμὸς ἀπὸ σίδερο ποὺ ἐτίθετο γύρω ἀπὸ τὸ λαιμὸ ἀνθρώπων καὶ ζώων. Ἡ φράσις σημαίνει ὅτι ἐλάμβαναν προστατευτικὰ μέτρα.

ΟΜΙΛΙΑ Η΄
(Κολ. 3,5 – 15)

«Νεκρώσατε λοιπὸν τὰ μέλη σας, ποὺ ἐπιθυμοῦν τὶς γήινες ἀπολαύσεις, τὴν πορνεία, τὴν ἀκαθαρσία, κάθε πάθος, κάθε κακὴ ἐπιθυμία, καὶ τὴν πλεονεξία, ἡ ὁποία εἶναι εἰδωλολατρία, γιὰ τὰ ὁποῖα ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ σὲ ἐκείνους ποὺ ἀπειθοῦν, στὰ ὁποῖα καὶ σεῖς ἐπεριπατήσατε κάποτε, ὅταν ἐζούσατε ἀνάμεσα σ' αὐτούς».

1. Γνωρίζω ὅτι πολλοὶ ἔνιωθαν ἀπέχθεια στὴν προηγουμένη ὁμιλία μου. Ἀλλὰ τί νὰ κάνω; ἠκούσατε τί διέταξε ὁ Κύριος; Μήπως λοιπὸν εἶμαι ἐγὼ ὁ ὑπαίτιος; Τί νὰ κάνω; Δὲν βλέπετε ἐκείνους ποὺ ζητοῦν πίσω τὰ ὀφειλόμενα, ὅταν εἶναι ἀχάριστοι οἱ χρεῶστες, πῶς φοροῦν κλοιούς;[1] Ἀκούσατε τί βροντοφώναξε σήμερα ὁ Παῦλος; «Νεκρώσατε», λέγει, «τὰ μέλη σας ποὺ ἐπιθυμοῦν τὶς γήϊνες ἀπολαύσεις, τὴν πορνεία, τὴν ἀκαθαρσία, τὰ πάθη, τὶς κακὲς ἐπιθυμίες, καὶ τὴν πλεονεξία, ἡ ὁποία εἶναι εἰδωλολατρία». Τί ὑπάρχει χειρότερο ἀπὸ μία τέτοια πλεονεξία; αὐτὴ εἶναι πιὸ κακὴ ἀπὸ κάθε ἐπιθυμία. Αὐτὸ εἶναι πιὸ βαρὺ ἀπὸ ἐκεῖνο ποὺ ἔλεγα, δηλαδὴ ἡ μανία καὶ ἡ βλακεία γιὰ τὰ χρήματα. «Καὶ τὴν πλεονεξία», λέγει, «ἡ ὁποία εἶναι εἰδωλολατρία». Βλέπετε ποῦ τελειώνει τὸ κακό; Μὴ λοιπὸν δυσανασχετῆτε· διότι δὲν τὸ κάνω ἐπειδὴ τὸ θέλω, οὔτε ἁπλῶς θέλω νὰ ἔχω ἐχθρούς, ἀλλὰ θὰ ἤθελα νὰ φθάσετε σὲ τέτοιο σημεῖο ἀρετῆς, ὥστε ἐγὼ νὰ ἀκούω ἀπὸ ἐσᾶς τὰ πρέποντα. Ὥστε δὲν εἶναι αὐτὸ ἀποτέλεσμα αὐθεντίας, οὔτε ἀξιώματος, ἀλλὰ ὀδύνης καὶ ὑπερβολικοῦ πόνου ψυχῆς. Συγχωρῆστε με, συγχωρῆστε-με· δὲν θέλω νὰ ἀσχημονῶ ὁμιλῶντας γιὰ τέτοιου εἴδους πράγματα, ἀλλὰ ἀναγκάζομαι. Δὲν λέγω αὐτὰ ὑπὲρ τῆς ὀδύνης τῶν πτωχῶν, ἀλλὰ γιὰ χάρι τῆς ἰδικῆς σας σωτηρίας. Καθόσον θὰ χαθοῦν, θὰ χαθοῦν ἐκεῖνοι ποὺ δὲν ἔθρεψαν τὸν Χριστό. Διότι τί καὶ ἂν τρέφης πτωχό; ἐν ὅσῳ κάνεις τέτοιες σπατάλες καὶ ζῇς ἔτσι μὲ ἀπολαύσεις, ὅλα εἶναι περιττά. Διότι ἐκεῖνο ποὺ ζητεῖται δὲν εἶναι νὰ δώσῃς πολλά, ὄχι ὅμως καὶ τὸ μικρότερο μέρος τῆς περιουσίας σου· διότι αὐτὸ εἶναι δεῖγμα ἀνθρώπου ποὺ ἀστειεύεται.

«Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν», φησί, «τὰ ἐπὶ τῆς γῆς». Τί λέγεις; οὐ σὺ εἶπας, ὅτι ἐτάφητε; ὅτι συνετάφητε; ὅτι περιετμήθητε; ὅτι ἀπεξεδυσάμεθα τὸ σῶμα τῶν ἁμαρτιῶν τῆς σαρκός; πῶς οὖν πάλιν λέγεις, «νεκρώσατε»; Μὴ παίζεις; ὡς ὄντων αὐτῶν ἐν ἡμῖν οὕτω διαλέγῃ; Οὐκ ἔστιν ἐναντιολογία· ἀλλ' ὥσπερ εἴ τις ἐρρυπωμένον ἀνδριάντα ἀποσμήξας, μᾶλλον δὲ ἀναχαλκεύσας, καὶ λαμπρὸν δείξας ἄνωθεν, λέγοι μὲν ὅτι κατεπόθη ὁ ἰός καὶ ἀπώλετο, παραινοῖ δὲ πάλιν σπουδάζειν ἀποτίθεσθαι τὸν ἰόν, οὐκ ἐναντιολογεῖ· οὐ γὰρ ὃν ἀπέσμηξεν ἰόν, ἀλλὰ τὸν ἐπιγινόμενον μετὰ ταῦτα παραινεῖ ἀποθέσθαι· οὕτως οὐ τὴν προτέραν νέκρωσιν λέγει, οὐδὲ τὰς πορνείας ἐκείνας, ἀλλὰ τὰς ἐπιγινομένας ὕστερον. Εἶπεν ὅτι οὐκ ἔστιν ἡμῶν ἡ ζωὴ αὕτη, ἀλλ' ἑτέρα ἡ ἐν οὐρανοῖς. Εἰπὲ δή μοι· ἐπειδὴ εἶπε, «Νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς», οὐκοῦν καὶ ἡ γῆ διαβέβληται; ἢ τὰ ἐπὶ γῆς αὐτὰ καλεῖ τὰ ἁμαρτήματα; «Πορνείαν, ἀκαθαρσίαν», φησί. Παρῆκε τὰ πράγματα, ἃ οὐδὲ εἰπεῖν καλόν, καὶ διὰ τῆς ἀκαθαρσίας ἅπαντα ἐνέφηνε. «Πάθος», φησίν, «ἐπιθυμίαν κακήν». Ἰδοὺ γενικῶς τὸ πᾶν εἶπε· πάντα γὰρ ἐπιθυμία κακή, βασκανία, ὀργή, λύπη. «Καὶ τὴν πλεονεξίαν», φησίν, «ἥτις ἐστὶν εἰδωλολατρία· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας».

Διὰ πολλῶν ἀπήγαγεν αὐτούς· διὰ τῶν εὐεργεσιῶν τῶν ὑπαρξασῶν, διὰ τῶν μελλόντων ἐξ ὧν ἀπηλλάγημεν κακῶν, τίνες ὄντες, καὶ διὰ τί. Καὶ ὅλα ἐκεῖνα, οἷον, τίνες ἦμεν καὶ ἐν τίσιν, καὶ ὅτι ἀπηλλάγημεν αὐτῶν, πῶς καὶ τίνι τρόπῳ, καὶ ἐπὶ τίσιν, ταῦτα ἱκανὰ ἀποστρέψαι· ἀλλὰ πάντων σφοδρότερον τοῦτο, ἀηδὲς μὲν εἰπεῖν, οὐ μὴν ἀνωφελές, ἀλλὰ καὶ ὠφέλιμον· «Δι' ἃ ἔρχεται», φησίν, «ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας». Οὐκ εἶπεν, ἐφ' ὑμᾶς, ἀλλ', «ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας». «Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς». Ἐντρεπτικῶς, «ὅτε ἐζῆτε», φησίν, «ἐν αὐτοῖς», καὶ μετ' ἐγκωμίων, ὡς νῦν οὐ ζώντων· τότε ἐζῆν.

«Νεκρώσατε λοιπὸν τὰ μέλη σας», λέγει, «τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ». Τί λέγεις; δὲν εἶπες ἐσύ, ὅτι ἐταφήκατε; ὅτι ἐταφήκατε μαζὶ μὲ τὸν Χριστό; ὅτι ἐπεριτμηθήκατε; ὅτι ἐγδυθήκαμε τὸ σῶμα, ποὺ ἐδούλευε στὶς ἁμαρτίες τῆς σάρκας; πῶς λοιπὸν λέγεις πάλι, «νεκρώσατε»; Μήπως ἀστειεύεσαι; σὰν νὰ εἶναι αὐτοὶ ἀνάμεσά μας ἔτσι ὁμιλεῖς; Δὲν ὑπάρχει ἀντίφασις. Ἀλλὰ ὅπως ἀκριβῶς, ἐὰν κάποιος, ἀφοῦ καθαρίση ἐντελῶς ἀκάθαρτο ἀνδριάντα, ἢ καλύτερα ἀφοῦ τὸν κατασκευάση ἀπὸ τὴν ἀρχή, καὶ τὸν παρουσιάση ἀστραφτερὸ πάλι, ἐὰν μὲν ἔλεγε ὅτι ἐξαφανίσθηκε ἡ σκουριὰ καὶ ἔχει χαθῆ, καὶ ἐσυμβούλευε πάλι νὰ φροντίζωμε νὰ ἀπομακρύνεται ἡ σκουριά, δὲν ἀντιφάσκει· διότι δὲν συμβουλεύει νὰ ἀπομακρυνθῆ ἡ σκουριὰ ἐκείνη, ποὺ ἐκαθάρισε, ἀλλὰ αὐτὴ ποὺ ἐμφανίζεται ὕστερα· ἔτσι ὁ Παῦλος δὲν ἐννοεῖ τὴν προηγουμένη νέκρωσι, οὔτε ἐκεῖνες τὶς πορνεῖες, ἀλλὰ ἐκεῖνες ποὺ ἐμφανίζονται ἀργότερα. Εἶπε ὅτι δὲν εἶναι ἰδική μας ἡ παροῦσα ζωή, ἀλλὰ ἄλλη ποὺ εὑρίσκεται στοὺς οὐρανούς. Εἰπέ μου λοιπόν· ἐπειδὴ εἶπε, «Νεκρώσατε τὰ μέλη σας τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ», μήπως λοιπὸν καὶ ἡ γῆ ἔχει διαφθαρῆ; ἢ μὲ τὸ «ἐπὶ τῆς γῆς» ἐννοεῖ αὐτὰ τὰ ἁμαρτήματα; «Τὴν πορνεία, τὴν ἀκαθαρσία», λέγει. Παρέβλεψε τὰ πράγματα, τὰ ὁποῖα οὔτε νὰ τὰ ἀναφέρῃ ἐθεώρησε καλό, καὶ μὲ τὴν ἀκαθαρσία ἔχει δηλώσει τὰ πάντα. «Τὸ πάθος», λέγει, «τὶς κακὲς ἐπιθυμίες». Νὰ λοιπὸν γενικὰ εἶπε τὸ καθετί· διότι ὅλα εἶναι ἐπιθυμία κακή, δηλαδὴ ἡ βασκανία, ἡ ὀργή, ἡ λύπη. «Καὶ τὴν πλεονεξία», λέγει, «ἡ ὁποία εἶναι εἰδωλολατρία. Διότι γι' αὐτὰ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ σὲ ἐκείνους ποὺ ἀπειθοῦν».

Μὲ πολλοὺς τρόπους ἀπεμάκρυνε ἀπὸ αὐτά· μὲ τὶς εὐεργεσίες ποὺ ἔγιναν στὸ παρελθόν, μὲ τὰ μελλοντικὰ κακὰ ἀπὸ τὰ ὁποῖα ἔχομε ἀπαλλαγῆ, ποιοὶ εἴμασθε καὶ γιατί. Καὶ ὅλα ἐκεῖνα, ὅπως, ποιοὶ καὶ σὲ ποιὰ κατάστασι ἤμασθε, καὶ ὅτι ἔχομε ἀπαλλαγῆ ἀπὸ αὐτήν, πῶς καὶ μὲ ποιὸ τρόπο καὶ γιατί, ὅλα αὐτὰ ἦταν ἀρκετὰ νὰ τοὺς ὁδηγήσουν μακριὰ ἀπὸ αὐτά, ἀλλὰ τὸ πιὸ φοβερὸ ἀπὸ ὅλα ἦταν αὐτό, δυσάρεστο μὲν νὰ τὸ εἰποῦμε, ὄχι ὅμως ἀνωφελές, ἀλλὰ καὶ ὠφέλιμο· «Γιὰ τὰ ὁποῖα ἔρχεται», λέγει, «ἡ ὀργὴ τοῦ Θεοῦ σὲ ἐκείνους ποὺ ἀπειθοῦν». Δὲν εἶπε, σὲ σᾶς, ἀλλά, «σὲ ἐκείνους ποὺ ἀπειθοῦν». «Στὰ ὁποῖα καὶ σεῖς ἐπερπατήσατε κάποτε, ὅταν ἐζούσατε ἀνάμεσα σὲ αὐτούς». Ἐλέγχοντας λέγει, «ὅταν ἐζούσατε ἀνάμεσα σὲ αὐτούς», καὶ ἐγκωμιάζοντας, διότι τώρα δὲν ζοῦν· τότε ἠμποροῦσαν νὰ ζοῦν ἀνάμεσά τους.

«Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα». Καὶ καθολικῶς ἀεὶ λέγει, καὶ ἰδικῶς· ταῦτα δέ ἐστι διαθέσεως. «Ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ἡμῶν. Μὴ ψεύδεσθε εἰς ἀλλήλους». «Αἰσχρολογίαν», φησίν, «ἐκ τοῦ στόματος ἡμῶν», ἐμφατικῶς, ὅτι αὐτὸ ῥυποῖ. «Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν». Ἄξιον ἐνταῦθα ζητῆσαι, τί δήποτε μέλη καὶ ἄνθρωπον καὶ σῶμα καλεῖ τὸν διεφθαρμένον βίον, καὶ τὸν ἐνάρετον πάλιν τὸ αὐτό. Καὶ εἰ ὁ ἄνθρωπός εἰσιν αἱ ἁμαρτίαι, πῶς φησι, «σὺν ταῖς πράξεσιν αὐτοῦ»; Ἅπαξ γὰρ εἶπε παλαιὸν ἄνθρωπον, δείξας ὅτι οὐ τοῦτό ἐστιν ἄνθρωπος, ἀλλ' ἐκεῖνο. Τῆς οὐσίας ἡ προαίρεσις κυριωτέρα, καὶ τοῦτο μᾶλλον ἄνθρωπος, ἢ ἐκεῖνο. Οὐ γὰρ ἡ οὐσία ἐμβάλλει εἰς γέενναν, οὐδὲ εἰς βασιλείαν εἰσάγει, ἀλλ' αὐτοὶ οἱ ἄνθρωποι· καὶ οὐδένα οὔτε φιλοῦμεν, οὔτε μισοῦμεν ᾗ ἄνθρωπος, ἀλλ' ᾗ τοιόσδε ἢ τοιόσδε ἄνθρωπος.

Εἰ τοίνυν ἡ μὲν οὐσία τὸ σῶμά ἐστιν, αὕτη δὲ ἀνυπεύθυνος ἐν ἑκατέροις, πῶς αὐτὸ κακόν εἶναί φησι; Τί δέ φησι, «σὺν ταῖς πράξεσι»; Τὴν προαίρεσιν μετὰ τῶν ἔργων. Παλαιὸν δὲ αὐτὸν καλεῖ, τὸ αἰσχρὸν αὐτοῦ βουλόμενος δεῖξαι καὶ τὸ δυσειδὲς καὶ τὸ ἠσθενηκός· καὶ νέον, ἀντὶ τοῦ μὴ προσδοκήσητε, φησίν, ὅτι καὶ οὗτος τὸ αὐτὸ πείσεται, ἀλλὰ τοὐναντίον· ὅσῳ γὰρ ἂν προΐῃ, οὐ πρὸς γῆρας ἐπείγεται, ἀλλὰ πρὸς νεότητα μείζονα τῆς προτέρας. Ὅταν γὰρ πλείονα λάβῃ τὴν γνῶσιν, καὶ μειζόνων ἀξιοῦται, καὶ μᾶλλον ἀκμάζει, μᾶλλον ἰσχύει, οὐκ ἀπὸ τῆς νεότητος μόνον, ἀλλὰ καὶ τοῦ εἴδους πρὸς ὅ ἐστιν. Ἰδοὺ κτίσις ἡ ἀρίστη πολιτεία λέγεται. Κατ' εἰκόνα Χριστοῦ· τοῦτο γάρ ἐστι, «κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν»· ἐπεὶ καὶ ὁ Χριστὸς οὐ πρὸς γῆρας ἐτελεύτησεν, ἀλλ' οὕτως ἦν καλός, ὡς μηδὲ ἔστιν εἰπεῖν. «Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι

---

2. *Περιτομή*· δηλ. ὁ Ἰσραηλίτης ποὺ ἔχει περιτμηθῆ. Ἀκροβυστία· δηλ. οἱ ἐθνικοί ποὺ δὲν ἔχουν περιτμηθῆ.

«Τώρα ὅμως ἀπομακρύνετε καὶ σεῖς τὰ πάντα». Πάντοτε λέγει καὶ γενικὰ καὶ εἰδικὰ γιὰ τὸν καθένα. Αὐτὰ εἶναι ἀποτέλεσμα τῆς διαθέσεως τοῦ καθενός. «Τὴν ὀργή, τὸ θυμό, τὴν κακία, τὴ βλασφημία, τὴν αἰσχρολογία ἀπὸ τὸ στόμα σας. Νὰ μὴ λέγετε ψέματα μεταξύ σας». «Τὴν αἰσχρολογία ἀπὸ τὸ στόμα σας», λέγει μὲ ἔμφασι, διότι τὸ λερώνει. «Ἀφοῦ ἀπεβάλατε τὸν παλαιὸ ἄνθρωπο μαζὶ μὲ τὶς πράξεις του, καὶ ἐνδυθήκατε τὸ νέο ἄνθρωπο, ποὺ συνεχῶς ἀνανεώνεται στὴ γνῶσι σύμφωνα μὲ τὴν εἰκόνα ἐκείνου ποὺ τὸν ἔκτισε». Ἀξίζει νὰ ἐξετάσωμε ἐδῶ, γιατί τέλος πάντων καλεῖ τὸν ἀνήθικο βίο μέλη καὶ ἄνθρωπο καὶ σῶμα, καὶ τὸν ἐνάρετο πάλι τὸ ἴδιο. Καὶ ἐὰν ὁ ἄνθρωπος εἶναι οἱ ἁμαρτίες, πῶς λέγει, «μαζὶ μὲ τὶς πράξεις του»; Μὲ τὸ νὰ εἰπῆ τὸν παλαιὸ ἄνθρωπο, ἀπέδειξε ὅτι δὲν εἶναι αὐτὸ ὁ ἄνθρωπος, ἀλλὰ ἐκεῖνο. Ἡ προαίρεσις εἶναι πιὸ σημαντικὴ ἀπὸ τὴν οὐσία, καὶ αὐτὸ εἶναι μᾶλλον ὁ ἄνθρωπος, παρὰ ἐκεῖνο. Διότι ἡ οὐσία δὲν ὠθεῖ στὴν κόλασι, οὔτε εἰσάγει στὴν Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ οἱ ἴδιοι οἱ ἄνθρωποι, καὶ κανένα οὔτε ἀγαπᾶμε, οὔτε μισοῦμε ὅταν εἶναι ἄνθρωπος, ἀλλ' ὅταν αὐτὸς εἶναι καλὸς ἢ κακὸς ἄνθρωπος.

Ἐὰν λοιπὸν ἡ μὲν οὐσία εἶναι τὸ σῶμα, αὐτὴ δὲ δὲν φέρει εὐθύνη γιὰ κανένα ἀπὸ τὰ δύο, πῶς λέγει ὅτι αὐτὸ εἶναι κακό; Καὶ γιατί λέγει, «μαζὶ μὲ τὶς πράξεις»; Ἐννοεῖ τὴν προαίρεσι μαζὶ μὲ τὰ ἔργα. Ἀποκαλεῖ αὐτὸν παλαιό, ἐπειδὴ θέλει νὰ δείξῃ τὴν ἀτιμία του καὶ τὴν ἀσχήμια του καὶ τὴν ἀδυναμία του. Καὶ τὸν ἀποκαλεῖ νέο, ἀντὶ νὰ λέγῃ, μὴ περιμένετε ὅτι καὶ αὐτὸς θὰ πάθῃ τὸ ἴδιο, ἀλλὰ τὸ ἀντίθετο· διότι ὅσο προχωρεῖ ἡ ἡλικία του, δὲν προχωρεῖ πρὸς τὰ γηρατειά, ἀλλὰ πρὸς νεότητα, ποὺ εἶναι σπουδαιότερη ἀπὸ τὴν πρώτη. Διότι ὅταν ἀποκτήσῃ περισσότερη γνῶσι, ἀξιώνεται καὶ μεγαλύτερα, καὶ περισσότερο προοδεύει, γίνεται πιὸ δυνατός, ὄχι ἀπὸ τὴ νεότητά του μόνο, ἀλλὰ καὶ ἀπὸ τὸ εἶδος στὸ ὁποῖο ἀνήκει. Νὰ κτίσις ὀνομάζεται ὁ ἄριστος τρόπος ζωῆς. Σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Χριστοῦ· διότι αὐτὸ σημαίνει, «σύμφωνα μὲ τὴν εἰκόνα ἐκείνου ποὺ τὸν ἔκτισε», ἐπειδὴ καὶ ὁ Χριστὸς δὲν ἐπέθανε στὰ γηρατειά, ἀλλὰ ἦταν τόσο καλός, ὥστε οὔτε νὰ μποροῦμε νὰ τὸν περιγράψωμε· «Ὅπου δὲν ὑπάρχει διαφορὰ ἀνάμεσα σὲ Ἕλληνα καὶ Ἰουδαῖο, σὲ περιτομὴ καὶ ἀκροβυστία[2], σὲ βάρβαρο Σκύθη, δοῦλο, ἐλεύθερο, ἀλλὰ τὰ πάντα καθὼς καὶ σὲ ὅλους εἶναι ὁ Χριστός». Νὰ τρίτο ἐγκώμιο τοῦ ἀνδρὸς αὐτοῦ, ὅταν δὲν ἰσχύῃ ἡ

Χριστός». Ἰδοὺ τρίτον ἐγκώμιον τοῦ ἀνδρὸς τούτου· τοιαῦτα γὰρ πάντα τὰ ἔξωθεν.

«Περιτομὴ καὶ ἀκροβυστία, δοῦλος, ἐλεύθερος, Ἕλλην», τουτέστι, προσήλυτος· «καὶ Ἰουδαῖος», ἐκ προγόνων. Ἂν τοῦτον ἔχῃς μόνον, τῶν αὐτῶν ἐπιτεύξῃ τοῖς ἄλλοις τοῖς ἔχουσιν. «Ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι», φησί, «Χριστός»· πάντα ἡμῖν ὁ Χριστὸς ἔσται, καὶ ἀξίωμα καὶ γένος, καὶ ἐν πᾶσιν ἡμῖν αὐτός. Ἢ ἕτερόν φησιν, ὅτι πάντες Χριστὸς εἷς ἐγένεσθε, σῶμα αὐτοῦ ὄντες. «Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι». Τὸ εὔκολον δείκνυσι τῆς ἀρετῆς, καὶ ὥστε καὶ διηνεκῶς αὐτὴν ἔχειν, καὶ ὥστε ὡς μεγίστῳ κόσμῳ κεχρῆσθαι. Καὶ μετ' ἐγκωμίου ἡ παραίνεσις· τότε γὰρ μάλιστα ἰσχύει. Ἐγένοντο γὰρ ἅγιοι, ἀλλ' οὐκ ἐκλεκτοί· νυνὶ δὲ καὶ ἐκλεκτοὶ καὶ ἅγιοι καὶ ἠγαπημένοι. «Σπλάγχνα οἰκτιρμοῦ». Οὐκ εἶπεν ἔλεον, ἀλλ' ἐμφαντικώτερον διὰ τῶν δύο. Καὶ οὐκ εἶπεν, ὅτι ὡς ἀδελφοῖς, ἀλλ' ὡς παισὶ πατέρες. Μὴ γάρ μοι εἴπῃς, ὅτι ἥμαρτε· διὰ τοῦτο εἶπε σπλάχνα. Καὶ οὐκ εἶπεν, οἰκτιρμόν, ἵνα μὴ ἐκείνους ἐξευτελίσῃ, ἀλλά, «σπλάγχνα οἰκτιρμοῦ». «Χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς». Πάλιν κατ' εἶδος λέγει, καὶ ἀεὶ αὐτὸ ποιεῖ· ἀπὸ χρηστότητος γὰρ ταπεινοφροσύνη, καὶ ἀπὸ ταύτης μακροθυμία.

«Ἀνεχόμενοι», φησίν, «ἀλλήλων», τουτέστι, παραπεμπόμενοι. Καὶ ὅρα πῶς αὐτὸ οὐδὲν ἔδειξε, μομφὴν καλέσας, καὶ εἰπών, «καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν». Μέγα τὸ ὑπόδειγμα· ὅπερ ἀεὶ ποιεῖ, ἀπὸ τοῦ Χριστοῦ προτρέπων αὐτούς. Μομφήν φησι. Ἐκεῖ μὲν μικρὸν αὐτὸ ἔδειξεν, ὅτε δὲ τὸ ὑπόδειγμα παρήγαγεν, ἔπεισεν ὅτι κἂν μεγάλα ἔχωμεν ἐγκαλεῖν, δεῖ χαρίζεσθαι. Τὸ γάρ, «καθὼς ὁ Χριστός», τοῦτο σημαίνει· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἐξ ὅλης καρδίας· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ φιλεῖν δεῖ. Ὁ γὰρ Χριστὸς εἰσαχθεὶς εἰς τὸ μέσον, πάντα εἰσάγει

---

3. Δηλ. τὸ νέο ἄνθρωπο.

διαφορὰ οὔτε τῆς ἐθνικότητος, οὔτε τοῦ ἀξιώματος, οὔτε τῆς καταγωγῆς, ὅταν δὲν ἔχῃ τίποτε ἀπὸ τὰ ἐκτὸς τῆς πίστεως, οὔτε ἔχῃ ἀνάγκη ἀπὸ αὐτά· διότι τέτοια εἶναι ὅλα αὐτά.

«Περιτομὴ καὶ ἀκροβυστία, δοῦλος, ἐλεύθερος, Ἕλλην», δηλαδή, προσήλυτος· «καὶ Ἰουδαῖος», ἀπὸ καταγωγή. Ἂν ἔχῃς αὐτὸν μόνο,[3] θὰ κατορθώσῃς τὰ ἴδια μὲ τοὺς ἄλλους ποὺ τὰ ἔχουν αὐτά. «Ἀλλὰ τὰ πάντα καὶ σὲ ὅλους», λέγει, «εἶναι ὁ Χριστός». Ὅλα σὲ σᾶς θὰ εἶναι ὁ Χριστός, καὶ τὸ ἀξίωμα καὶ τὸ γένος, καὶ σὲ ὅλους θὰ εἶναι αὐτὸς ὁ ἴδιος. Ἢ κάτι ἄλλο ἐννοεῖ, ὅτι ὅλοι ἔχετε γίνει Χριστὸς ἕνας καὶ εἶσθε σῶμα αὐτοῦ. «Ἐνδυθῆτε λοιπόν, σὰν ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἀγαπημένοι». Ἀποδεικνύει πόσο εὔκολα κατορθώνεται ἡ ἀρετή, καὶ γιὰ νὰ τὴν ἔχωμε αὐτὴν πάντοτε καὶ γιὰ νὰ τὴν μεταχειριζώμασθε σὰν τὸ πιὸ μεγάλο στολίδι μας. Καὶ μαζὶ μὲ τὸν ἔπαινο γίνεται καὶ ἡ παραίνεσις· διότι τότε ἔχει τὴν πιὸ μεγάλη δύναμι. Διότι ἔγιναν ἅγιοι, ἀλλὰ ὄχι ἐκλεκτοί. Τώρα ὅμως ἔγιναν καὶ ἐκλεκτοὶ καὶ ἅγιοι καὶ ἀγαπημένοι. «Σπλάχνα συμπαθείας». Δὲν εἶπε εὐσπλαγχνία, ἀλλὰ ἐντονώτερα μὲ τὶς δύο λέξεις. Καὶ δὲν εἶπε, ὅπως συμβαίνει στὰ ἀδέλφια, ἀλλὰ ὅπως φέρονται οἱ πατέρες στὰ παιδιά. Μὴ λοιπὸν μοῦ εἰπῇς, ὅτι ἔκανε λάθος· γι' αὐτὸ εἶπε σπλάγχνα. Καὶ δὲν εἶπε, συμπάθεια, γιὰ νὰ μὴ ἐξευτελίσῃ ἐκείνους, ἀλλά, «σπλάγχνα συμπαθείας». «Ἀγαθότητα, ταπεινοφροσύνη, πραότητα, μακροθυμία. Νὰ ἀνέχεσθε ὁ ἕνας τὸν ἄλλο καὶ νὰ χαρίζεσθε μεταξύ σας, ἐὰν κάποιος ἔχῃ παράπονο ἐναντίον τοῦ ἄλλου· ὅπως καὶ ὁ Χριστὸς σᾶς ἐσυγχώρησε, ἔτσι καὶ σεῖς νὰ συγχωρῆτε ὁ ἕνας τὸν ἄλλο». Πάλι ξεχωριστὰ τὰ ἀναφέρει καὶ αὐτὸ κάνει πάντοτε, διότι ἀπὸ τὴν ἀγαθότητα προέρχεται ἡ ταπεινοφροσύνη, καὶ ἀπὸ αὐτὴν ἡ μακροθυμία.

«Νὰ ἀνέχεσθε», λέγει, «ὁ ἕνας τὸν ἄλλο», δηλαδή, νὰ παραδέχεσθε ὁ ἕνας τὸν ἄλλο. Καὶ πρόσεχε πῶς αὐτὸ τίποτε δὲν ἐφανέρωσε, ἀφοῦ τὸ ὀνόμασε παράπονο καὶ εἶπε, «καθὼς καὶ ὁ Χριστὸς σᾶς ἐσυγχώρησε». Εἶναι μεγάλο τὸ πρότυπο, πρᾶγμα ποὺ πάντοτε κάνει, ἀπὸ τὸν Χριστὸ προτρέποντας αὐτούς. Παράπονο λέγει. Ἐκεῖ μὲν τὸ παρουσίασε αὐτὸ ἀσήμαντο, ὅταν ὅμως ἀνέφερε τὸ πρότυπο, ἔπεισε ὅτι καὶ ἂν ἀκόμη ἔχωμε μεγάλα παράπονα, πρέπει νὰ συγχωροῦμε. Διότι τό, «καθὼς ὁ Χριστός», αὐτὸ σημαίνει· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ ὅτι πρέπει καὶ μὲ ὅλη μας τὴν καρδιά· καὶ δὲν φθάνει αὐτὸ μόνο, ἀλλὰ ὅτι πρέπει καὶ νὰ ἀγαπᾶμε. Διότι, ἀφοῦ ὁ Χριστὸς παρουσιάσθηκε γιὰ παράδειγμα, παρουσιάζει στὴ συν-

ταῦτα· καὶ ὅτι κἂν μεγάλα ᾖ, κἂν μὴ προηδικηκότες τύχωμεν, κἂν ἡμεῖς μὲν μεγάλοι, ἐκεῖνοι δὲ μικροί, κἂν μέλλωσιν ὑβρίζειν ἡμᾶς καὶ μετὰ ταῦτα, καὶ ὅτι τὴν ψυχὴν δεῖ ὑπὲρ αὐτῶν θεῖναι· τὸ γάρ, καθώς, ταῦτα ἀπαιτεῖ· καὶ ὅτι οὐδὲ μέχρι θανάτου μόνον στῆναι δεῖ, ἀλλ', εἰ δυνατόν, καὶ μετὰ ταῦτα.

«Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος». Ὁρᾷς ὅτι τοῦτο λέγει; Ἐπειδὴ γὰρ ἔνι χαριζόμενον μὴ φιλεῖν, ναί, φησί, καὶ φιλεῖν, καὶ ὁδὸν δείκνυσι, δι' ἧς δυνατὸν χαρίζεσθαι. Ἔστι γὰρ καὶ χριστὸν εἶναί τινα, καὶ πρᾶον καὶ ταπεινόφρονα καὶ μακρόθυμον, καὶ μὴ ποθεῖν. Διὸ ἀρχόμενος εἶπε, «σπλάγχνα οἰκτιρμοῦ», καὶ ἀγάπην, καὶ ἔλεον. «Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος». Ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστιν· ὅτι οὐδὲν ἐκείνων ὄφελος· διαλύεται γὰρ πάντα ἐκεῖνα, ἂν μὴ μετὰ ἀγάπης γίνηται. Πάντα ἐκεῖνα αὕτη συσφίγγει· ὅπερ ἂν εἴπῃς ἀγαθόν, ταύτης ἀπούσης, οὐδέν ἐστιν, ἀλλὰ διαρρεῖ. Καὶ ὃν τρόπον ἐπὶ πλοίου, κἂν ἐπὶ οἰκίας, ἐὰν μὴ ὦσιν αἱ ἱμαντώσεις· καὶ ἐπὶ σώματος, κἂν μεγάλα ᾖ τὰ ὀστᾶ, οἱ σύνδεσμοι ἐὰν μὴ ὦσιν, οὐδὲν ὄφελος. Οἷα γὰρ ἐάν τις ἔχῃ κατορθώματα, πάντα φροῦδα, ἀγάπης μὴ οὔσης. Οὐκ εἶπεν, ὅτι κορυφή ἐστιν, ἀλλ' ὃ μεῖζόν ἐστι, σύνδεσμος· ἀναγκαιότερον τοῦτο, ἢ ἐκεῖνο. Κορυφὴ μὲν γὰρ ἐπίτασις τελειότητος, σύνδεσμος δὲ συγκράτησις τῶν τὴν τελειότητα ποιούντων, ὡσανεὶ ἡ ῥίζα.

2. «Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν σώματι ἑνί· καὶ εὐχάριστοι γίνεσθε». Ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ πεπηγυῖα καὶ βεβαία αὕτη ἐστίν. Ἂν μὲν δι' ἄνθρωπον ἔχῃς εἰρήνην, ταχέως διαλύεται, ἐὰν δὲ διὰ τὸν Θεόν, οὐκέτι. Καίτοι τὸ καθολικὸν εἶπε, τὴν ἀγάπην, ἀλλὰ πάλιν ἐπὶ τὸ ἰδικὸν ἔρχεται. Ἔστι γὰρ καὶ ἄμετρος ἀγάπη, οἷον, ὅταν ἀπὸ πολλῆς τις ἀγάπης ἐγκαλῇ εἰκῇ, καὶ μάχας ἔχῃ καὶ ἀποστρέφηται. Οὔ, φησίν, οὐ τοῦτο βούλομαι· μὴ ὑπερσυντελι-

έχεια ὅλα αὐτά· καὶ ὅτι πρέπει νὰ θυσιάζωμε τὴ ζωή μας γι' αὐτούς, εἴτε εἶναι μεγάλα τὰ ἀδικήματα εἴτε δὲν ἔχομε ἀδικήσει ἐμεῖς πρῶτοι, εἴτε ἐμεῖς μὲν εἴμασθε μεγάλοι, ἐκεῖνοι δὲ μικροί, εἴτε πρόκειται νὰ μᾶς ὑβρίζουν καὶ ὕστερα ἀπὸ αὐτά, διότι τό, καθώς, αὐτὰ ἀπαιτεῖ· καὶ ὅτι δὲν πρέπει νὰ σταματήσωμε μέχρι τὸ θάνατο, ἀλλά, ἐὰν εἶναι δυνατό, νὰ συνεχίσωμε καὶ ὕστερα.

«Καὶ ἐπάνω ἀπὸ ὅλα αὐτὰ νὰ ἐνδυθῆτε τὴν ἀγάπη, ἡ ὁποία εἶναι ὁ σύνδεσμος τῆς τελειότητος». Βλέπεις ὅτι αὐτὸ ἐννοεῖ; Ἐπειδὴ δηλαδὴ εἶναι δυνατὸ νὰ μὴ ἀγαπᾶ κανεὶς ἂν καὶ συγχωρεῖται, ναί, λέγει, καὶ νὰ ἀγαπᾶ, καὶ δείχνει τὸν τρόπο, μὲ τὸν ὁποῖο εἶναι δυνατὸ νὰ συγχωρῆ κανείς. Διότι μπορεῖ κανεὶς καὶ ἀγαθὸς νὰ εἶναι καὶ πρᾶος καὶ ταπεινόφρων καὶ μακρόθυμος καὶ νὰ μὴ ἐπιθυμῆ τὰ πάντα. Γι' αὐτὸ ἀρχίζοντας εἶπε, «σπλάγχνα συμπαθείας», καὶ ἀγάπη καὶ εὐσπλαγχνία. «Καὶ ἐπάνω ἀπὸ ὅλα αὐτὰ νὰ ἐνδυθῆτε τὴν ἀγάπη, ἡ ὁποία εἶναι ὁ σύνδεσμος τῆς τελειότητος». Αὐτὸ ποὺ θέλει νὰ εἰπῆ, εἶναι τὸ ἑξῆς· ὅτι δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ ἐκεῖνα, διότι ὅλα ἐκεῖνα διαλύονται, ἂν δὲν γίνωνται μὲ ἀγάπη. Αὐτὴ περισφίγγει ὅλα ἐκεῖνα· ὁποιοδήποτε ἀγαθὸ καὶ ἂν ἀναφέρῃς, ἂν δὲν ὑπάρχη αὐτή, δὲν εἶναι τίποτε, ἀλλὰ ἐξαφανίζεται. Καὶ ὅπως στὸ πλοῖο, ἂν οἱ ἀποσκευὲς εἶναι μεγάλες, οἱ δὲ ταινίες γιὰ τὸ δέσιμό τους εἶναι μικρές, δὲν ὑπάρχει κανένα ὄφελος· ὅμοια καὶ στὸ σπίτι, ἐὰν δὲν ὑπάρχουν οἱ συνδέσεις ξύλων· ἀλλὰ καὶ στὸ σῶμα, καὶ ἂν ἀκόμη εἶναι μεγάλα τὰ ὀστᾶ, ἂν οἱ σύνδεσμοι δὲν ὑπάρχουν, δὲν ὑπάρχει κανένα ὄφελος. Διότι ὁποιαδήποτε κατορθώματα καὶ ἂν ἔχη κανείς, ὅλα εἶναι μάταια, ἂν δὲν ὑπάρχη ἡ ἀγάπη. Δὲν εἶπε, ὅτι εἶναι ἡ κορυφὴ τῶν ἀρετῶν, ἀλλ' ἐκεῖνο ποὺ εἶναι σπουδαιότερο, σύνδεσμος· αὐτὸ εἶναι πιὸ ἀναγκαῖο, παρὰ ἐκεῖνο. Διότι ἡ μὲν κορυφὴ εἶναι αὔξησις τῆς τελειότητος, ἐνῶ ὁ σύνδεσμος εἶναι ἡ συνοχὴ ἐκείνων ποὺ συνιστοῦν τὴν τελειότητα, σὰν νὰ εἶναι δηλαδὴ ἡ ρίζα.

2. «Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἂς κυριαρχῆ μέσα στὶς καρδιές σας, στὴν ὁποία καὶ ἔχετε προσκληθῆ σὲ ἕνα σῶμα· καὶ νὰ γίνεσθε εὐχάριστοι μεταξύ σας». Ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ σταθερὴ καὶ ἀσφαλὴς αὐτὴ εἶναι. Ἂν ἐξ αἰτίας ἀνθρώπου ἔχῃς εἰρήνη, γρήγορα διαλύεται, ἂν ὅμως ἐξ αἰτίας τοῦ Θεοῦ, δὲν διαλύεται. Ἂν καὶ ἀνέφερε τὸ γενικό, δηλαδὴ τὴν ἀγάπη, ὅμως ἔρχεται πάλι στὸ ἰδιαίτερο. Διότι ὑπάρχει καὶ ἀγάπη χωρὶς μέτρο, ὅπως, ὅταν ἀπὸ πολλὴ ἀγάπη κατηγορῆ κανεὶς χωρὶς λόγο καὶ φιλονεικῆ καὶ δείχνει

κῶς, ἀλλ' ὡς ἐποίησεν εἰρήνην πρὸς ὑμᾶς ὁ Θεός, οὕτω καὶ ὑμεῖς ποιεῖτε. Τί ἐστιν, «Ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ἡμῶν»; Ἐὰν μάχωνται λογισμοὶ δύο, μὴ στήσῃς τὸν θυμόν, μὴ στήσῃς τὴν ἐπήρειαν κατέχουσαν τὸ βραβεῖον, ἀλλὰ τὴν εἰρήνην. Οἷον, ἔστω τις ὑβρισθείς ἀδίκως· ἀπὸ τῆς ὕβρεως ἐτέχθησαν δύο λογισμοί, ὁ μέν κελεύων ἀμύνασθαι, ὁ δὲ ἐνεγκεῖν, καὶ παλαίουσιν ἀλλήλοις. Ἐὰν ἡ εἰρήνη τοῦ Θεοῦ ἑστήκῃ μέση βραβεύουσα, τῷ κελεύοντι φέρειν δίδωσι τὸ βραβεῖον, καὶ καταισχύνει ἐκεῖνον. Πῶς; Πείθουσα ὅτι ὁ Θεὸς εἰρήνη ἐστίν, ὅτι εἰρήνευσεν ἡμῖν. Οὐχ ἁπλῶς δείκνυσι πολὺν τὸν ἀγῶνα τοῦ πράγματος. Μὴ θυμός, φησί, βραβευέτω, μὴ φιλονεικία, μὴ ἀνθρωπίνη εἰρήνη· ἡ γὰρ ἀνθρωπίνη εἰρήνη ἐκ τοῦ ἀμύνεσθαι γίνεται, ἐκ τοῦ μηδὲν πάσχειν δεινόν. Ἀλλ' οὐ ταύτην βούλομαι, φησίν, ἀλλ' ἐκείνην, ἣν καὶ ἀφῆκεν αὐτός. Στάδιον ἔνδον ἐποίησεν ἐν τοῖς λογισμοῖς, καὶ ἀγῶνα καὶ ἄθλησιν καὶ βραβευτήν.

Εἶτα πάλιν προτροπή· «εἰς ἣν ἐκλήθητε», φησί· τουτέστιν, ἐφ' ᾗ ἐκλήθητε. Ἀνέμνησεν ὅσων ἀγαθῶν αἰτία ἡ εἰρήνη. Διὰ ταύτην σε ἐκάλεσεν, ἐπὶ ταύτῃ ἐκάλεσεν, ὥστε ἀξιόπιστον ἀναδέξασθαι τὸ βραβεῖον. Διὰ τί γὰρ ἓν σῶμα ἐποίησεν; οὐχ ἵνα αὕτη κρατῇ; οὐχ ἵνα ἀφορμὴν ἔχωμεν τοῦ εἰρηνεύειν; Διὰ τί πάντες ἓν σῶμά ἐσμεν; πῶς δὲ ἓν σῶμά ἐσμεν; Διὰ τὴν εἰρήνην σῶμα ἓν ἐσμεν, καὶ διὰ τὸ σῶμα ἓν εἶναι, εἰρηνεύομεν. Διὰ τί δὲ οὐκ εἶπεν, ἡ εἰρήνη τοῦ Θεοῦ νικάτω, ἀλλά, «βραβευέτω»; Ἀξιοπιστοτέραν αὐτὴν ἐποίησε. Τὸν πονηρὸν λογισμὸν οὐκ ἀφῆκεν αὐτῇ προσπαλαίειν, ἀλλὰ κατώτερον ἑστάναι. Καὶ τὸ τοῦ βραβείου ὄνομα ἐπῆρε τὸν ἀκροατήν· ἂν γὰρ δῷ βραβεῖον τῷ ἀγαθῷ λογισμῷ, ὅσα ἂν ἀναισχυντῇ ἐκεῖνος, οὐδὲν ὄφελος λοιπόν. Ἄλλως δὲ ἐκεῖνος εἰδώς, ὅ,τι ὅσα ἂν ἐργάσηται, οὐ λήψεται τό βραβεῖον, ὅσα ἂν πνεύσῃ, καὶ ἐπιχειρήσῃ σφοδρότερον προσβαλεῖν, ἅτε ἀνόνητα πονῶν ἀποστήσεται. Καὶ καλῶς προσέθηκε, «καὶ εὐχάριστοι γίνεσθε». Τοῦτο γάρ ἐστιν εὐχάριστον εἶναι, καὶ σφόδρα ἐντρεπτικῶς, τὸ ὁμοίως κεχρῆσθαι τοῖς ὁμοδούλοις, ὥσπερ αὐτῷ ὁ Θεός, τὸ εἴκειν τῷ δεσπότῃ, τὸ πείθεσθαι, τὸ ὑπὲρ

ἀποστροφή. Ὄχι, λέγει, δὲν θέλω αὐτό. Ὄχι ὅπως στὸ παρελθόν, ἀλλὰ ὅπως ὁ Θεὸς ἔκαμε εἰρήνη πρὸς ἐσᾶς, ἔτσι καὶ σεῖς νὰ κάμνετε. Πῶς ἔκαμε; Ἐπειδὴ αὐτὸς ἠθέλησε, χωρὶς νὰ λάβη κάτι ἀπὸ ἐμᾶς. Τί σημαίνει, «Ἡ εἰρήνη τοῦ Θεοῦ ἂς βραβεύη μέσα στὶς καρδιές σας»; Ἐὰν ἀντιμάχωνται δύο σκέψεις, μὴ ἐπιτρέψης τὸ θυμό, μὴ ἐπιτρέψης τὴν ὕβρι νὰ κατέχη τὸ βραβεῖο, ἀλλὰ τὴν εἰρήνη. Γιὰ παράδειγμα, ἔστω ὅτι κάποιος ὑβρίσθηκε ἄδικα. Ἀπὸ τὴν ὕβρι ἐγεννήθηκαν δύο σκέψεις, ἡ μία ποὺ προτρέπει νὰ ἀμυνθῆ καὶ ἡ ἄλλη νὰ ὑπομείνη τὴν ὕβρι, καὶ παλεύουν μεταξύ τους. Ἐὰν ἡ εἰρήνη τοῦ Θεοῦ εὑρίσκεται στὸ μέσο γιὰ νὰ κρίνη, δίνει τὸ βραβεῖο στὴ σκέψι ποὺ προτρέπει τὴν ὑπομονή, καὶ κατεντροπιάζει τὴν ἄλλη. Μὲ ποιὸ τρόπο; Πείθοντας ὅτι ὁ Θεὸς εἶναι εἰρήνη, ὅτι ἔκαμε εἰρήνη μὲ ἐμᾶς. Δὲν δείχνει μόνο μεγάλο τὸν ἀγῶνα τοῦ πράγματος. Ἂς μὴ βραβεύη, λέγει, ὁ θυμός, οὔτε ἡ φιλονεικία, οὔτε ἡ εἰρήνη τῶν ἀνθρώπων, διότι αὐτὴ προέρχεται ἀπὸ τὴν προσπάθεια νὰ ἀμύνωνται οἱ ἄνθρωποι, ἀπὸ τὸ νὰ μὴ παθαίνουν κανένα κακό. Ἀλλὰ δὲν θέλω αὐτὴ τὴν εἰρήνη, λέγει, ἀλλὰ ἐκείνη, τὴν ὁποία καὶ ἄφησε αὐτός. Ἔκαμε στάδιο μέσα στὶς σκέψεις μας καὶ ἀγῶνα καὶ ἄθλησι καὶ κριτή.

Ἔπειτα πάλι προτροπή· «Στὴν ὁποία», λέγει, «ἐπροσκληθήκατε», δηλαδή, γιὰ τὴν ὁποία ἐπροσκληθήκατε. Ὑπενθύμισε πόσων ἀγαθῶν αἰτία εἶναι ἡ εἰρήνη. Γι' αὐτὴν σὲ ἐκάλεσε, σὲ αὐτὴν σὲ ἐκάλεσε, ὥστε νὰ δεχθῆς ἀξιόπιστα τὸ βραβεῖο. Γιατί λοιπὸν ἔκαμε ἕνα σῶμα; ὄχι γιὰ νὰ ἐξουσιάζη αὐτή; ὄχι γιὰ νὰ ἔχωμε ἀφορμὴ γιὰ εἰρήνη; Γιατί ὅλοι εἴμασθε ἕνα σῶμα; καὶ πῶς εἴμασθε ἕνα σῶμα; Γιὰ τὴν εἰρήνη εἴμασθε ἕνα σῶμα, καὶ ἐπειδὴ τὸ σῶμά εἶναι ἕνα, ἔχομε εἰρήνη. Γιατί ὅμως δὲν εἶπε, ἡ εἰρήνη τοῦ Θεοῦ ἂς νικᾶ, ἀλλά, «ἂς βραβεύη»; Ἔκαμε αὐτὴν περισσότερο ἀξιόπιστη. Δὲν ἄφησε τὴν πονηρὴ σκέψι νὰ ἀγωνίζεται ἐναντίον της, ἀλλὰ νὰ στέκεται πιὸ κάτω. Καὶ τὸ ὄνομα τοῦ βραβείου ἐξύψωσε τὸν ἀκροατή, διότι ἂν δώση τὸ βραβεῖο στὴν ἀγαθὴ σκέψι, ὅσες ἀναισχυντίες καὶ ἂν κάμη ἐκείνη, δὲν θὰ προκύψη κανένα ὄφελος στὸ μέλλον. Ἄλλωστε καὶ ἐκείνη ἀντιλαμβανόμενη, ὅτι ὅσα καὶ ἂν κάμη, δὲν θὰ λάβη τὸ βραβεῖο, ὅσο καὶ ἂν ἐξαγριωθῆ καὶ ἐπιχειρήση νὰ προσβάλη πιὸ δυνατά, ἐπειδὴ ματαιοπονεῖ, θὰ ἀπομακρυνθῆ. Καὶ καλῶς ἐπρόσθεσε, «καὶ νὰ γίνεσθε εὐχάριστοι». Διότι αὐτὸ σημαίνει νὰ εἶναι κανεὶς εὐχάριστος, καὶ πάρα πολὺ ὑποχωρητικός, τὸ νὰ μεταχειρίζεται τοὺς συνανθρώπους του μὲ ὅμοιο τρόπο, ὅπως αὐτὸν ὁ Θεός,

πάντων χάριν ὁμολογεῖν, κἂν ὑβρίσῃ τις, κἂν πλήξῃ. Οὐ γὰρ δὴ ὁ τῷ Θεῷ χάριν ὁμολογῶν, ὑπὲρ ὧν ἔπαθε, τὸν ποιήσαντα ἀμυνεῖται· ὡς ὅ γε ἀμυνόμενος οὐχ ὁμολογεῖ χάριν. Ἀλλὰ μὴ κατ' ἐκεῖνον τὸν τὰ ἑκατὸν δηνάρια γενώμεθα, ἵνα μὴ ἀκούσωμεν, «Πονηρὲ δοῦλε»· οὐδὲν γὰρ τῆς ἀχαριστίας ταύτης χεῖρον. Ὥστε ἀχάριστοι οἱ ἀμυνόμενοι.

3. Διὰ τί δὲ ἐπὶ τὴν πορνείαν πρώτην ἦλθεν; εἰπὼν γάρ, «Νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς», εὐθύς φησι, «πορνείαν», καὶ τοῦτο σχεδὸν πανταχοῦ ποιεῖ. Ὅτι μάλιστα τοῦτο κρατεῖ τὸ πάθος· καὶ γὰρ καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς γράφων, τοῦτο ἐποίησε. Καὶ τί θαυμαστόν; ὅπου γε καὶ Τιμοθέῳ φησί, «Σεαυτὸν ἁγνὸν τήρει»· καὶ πάλιν ἀλλαχοῦ, «Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». «Νεκρώσατε», φησί, «τὰ μέλη ὑμῶν». Τὸ νεκρὸν ἴστε οἷόν ἐστι, μισητόν, βδελυκτόν, διαρρέον. Ἂν νεκρώσῃς, οὐ μένει νεκρόν, ἀλλὰ φθείρεται εὐθέως, καθάπερ τὸ σῶμα. Σβέσον οὖν τὴν θερμότητα, καὶ οὐδὲν νεκρὸν μένει. Δείκνυσιν αὐτὸν τοῦτο ἐργαζόμενον, ὅπερ ὁ Χριστὸς ἐπὶ τοῦ λουτροῦ. Διὰ τοῦτο καὶ μέλη καλεῖ· καθάπερ ἀριστέα τινὰ εἰσάγων, καὶ εἰς μείζονα ἄγων ἔμφασιν. Καὶ καλῶς εἶπε, «τὰ ἐπὶ τῆς γῆς»· ἐνταῦθα γὰρ μένει, καὶ ἐνταῦθα φθείρεται, πολλῷ μᾶλλον τῶν μελῶν τούτων. Ὥστε οὐχ οὕτω τὸ σῶμά ἐστιν ἀπὸ γῆς, ὡς ἡ ἁμαρτία γηΐνη· τοῦτο μὲν γὰρ καὶ καλὸν φαίνεταί ποτε, ἐκεῖνα δὲ οὐδέποτε. Καὶ πάντων τῶν ἐπὶ γῆς ἐπιθυμεῖ ταῦτα τὰ μέλη. Ἂν ὀφθαλμὸς ᾖ τοιοῦτος, οὐχ ὁρᾷ τὰ ἐν οὐρανοῖς· ἂν ἀκοή, ἂν χείρ, ἂν ὁτιοῦν εἴπῃς μέλος. Ὀφθαλμὸς σώματα ὁρᾷ καὶ κάλλη καὶ χρήματα, ταῦτα τὰ ἀπὸ γῆς, τούτοις τέρπεται· ἡ ἀκοὴ μέλει μαλθακῷ, κιθάρᾳ καὶ σύριγγι καὶ αἰσχρολογίᾳ· ταῦτα δὲ περὶ γῆν.

Ἐπειδὴ οὖν ἔστησεν αὐτοὺς ἄνω παρὰ τὸν θρόνον, τότε φησί, «Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς». Οὐ γὰρ ἔνι στῆναι ἄνω μετὰ τούτων τῶν μελῶν· οὐκ ἔνι γὰρ ἐκεῖ, εἰς ὃ

---

4. Ματθ. 18,32
5. Α' Θεσ. 4,3
6. Α' Τιμ. 5,22
7. Ἑβρ. 12,14

τὸ νὰ ὑποχωρῆ στὸν κύριό του, τὸ νὰ ὑπακούῃ, τὸ νὰ αἰσθάνεται εὐγνωμοσύνη γι' ὅλα, εἴτε τὸν ὑβρίση κανείς, εἴτε τὸν κτυπήση. Διότι ἐκεῖνος ποὺ ἐκφράζει εὐγνωμοσύνη στὸν Θεό, γιὰ τὰ ὅσα ἔπαθε, θὰ ὑπερασπισθῆ τὸν δημιουργό του, καθόσον ἐκεῖνος ποὺ ὑπερασπίζεται τὸν ἑαυτό του δὲν αἰσθάνεται εὐγνωμοσύνη. Ἀλλὰ ἃς μὴ γίνωμε ὅπως ἐκεῖνος ὁ δοῦλος ποὺ ἐχρεωστοῦσε τὰ ἑκατὸ δηνάρια, γιὰ νὰ μὴ ἀκούσωμε, «Πονηρὲ δοῦλε»,[4] διότι τίποτε δὲν εἶναι χειρότερο ἀπὸ τὴν ἀχαριστία αὐτή. Ὥστε αὐτοὶ ποὺ δικαιολογοῦν τὸν ἑαυτό τους εἶναι ἀχάριστοι.

3. Γιατί ὅμως ἀνέφερε πρῶτα τὴν πορνεία; διότι ἀφοῦ εἶπε, «Νεκρώσατε τὰ μέλη σας τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ», ἀμέσως λέγει, «τὴν πορνεία», καὶ αὐτὸ σχεδὸν κάνει παντοῦ. Ἐπειδὴ αὐτὸ τὸ πάθος πρὸ πάντων ἐξουσιάζει, ἀφοῦ καὶ στὴν ἐπιστολή του ποὺ ἔγραφε πρὸς τοὺς Θεσσαλονικεῖς, αὐτὸ ἔκαμε.[5] Καὶ τί τὸ παράδοξο; γράφοντας καὶ στὸν Τιμόθεο λέγει, «Νὰ διατηρῆς τὸν ἑαυτό σου ἁγνό»[6]· καὶ πάλι ἀλλοῦ λέγει, «Ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους, καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο κανεὶς δὲν θὰ ἰδῆ τὸν Κύριο»[7]. «Νεκρώσατε», λέγει, «τὰ μέλη σας». Γνωρίζετε πῶς εἶναι τὸ νεκρό, μισητό, ἀποτρόπαιο, ἀποσυντεθειμένο. Ἂν τὸ νεκρώσης, δὲν μένει νεκρό, ἀλλὰ φθείρεται ἀμέσως, ὅπως ἀκριβῶς τὸ σῶμα. Σβῆσε λοιπὸν τὴ θερμότητα καὶ τίποτε δὲν μένει νεκρό. Δείχνει αὐτὸν νὰ κάμνη αὐτό, πρᾶγμα ποὺ ὁ Χριστὸς ἔκαμε στὴν περίπτωσι τοῦ βαπτίσματος. Γι' αὐτὸ καὶ τὰ ὀνομάζει μέλη, σὰν νὰ παρουσιάζη κάποιον ἄριστο καὶ νὰ μεταχειρίζεται πιὸ μεγάλη ἔμφασι. Καὶ καλῶς εἶπε, «τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ», διότι ἐδῶ μένουν καὶ ἐδῶ φθείρονται, πολὺ περισσότερο ἀπὸ τὰ μέλη αὐτά. Ὥστε δὲν εἶναι τόσο τὸ σῶμα γήινο, ὅσο γήινη εἶναι ἡ ἁμαρτία. Διότι αὐτὸ φαίνεται κάποτε καὶ καλό, ἐκεῖνα ὅμως ποτέ. Καὶ τὰ μέλη αὐτὰ ἐπιθυμοῦν ὅλες τὶς γήινες ἀπολαύσεις. Ἂν τὸ μάτι εἶναι τέτοιο, δὲν βλέπει τὰ εὑρισκόμενα στοὺς οὐρανοὺς ἀγαθά, ἂν τὸ αὐτὶ εἶναι τέτοιο, ἂν τὸ χέρι ἢ ὁποιοδήποτε ἄλλο μέλος ἀναφέρεις. Τὸ μάτι βλέπει τὰ σώματα, τὰ κάλλη καὶ τὰ χρήματα, αὐτὰ ποὺ εἶναι ἀπὸ τὴ γῆ, μὲ αὐτὰ εὐχαριστεῖται· τὸ αὐτὶ εὐχαριστεῖται μὲ τὸ ἡδυπαθὲς μέλος, τὴν κιθάρα καὶ τὸν αὐλὸ καὶ τὴν αἰσχρολογία. Αὐτὰ δὲ ἔχουν σχέση μὲ τὴ γῆ.

Ἀφοῦ λοιπὸν ἐτοποθέτησε αὐτοὺς στὸν οὐρανὸ πλησίον τοῦ θρόνου, τότε λέγει· «Νεκρώσατε τὰ μέλη σας τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ». Διότι δὲν εἶναι δυνατὸ νὰ σταθῆτε στὸν οὐρανὸ μὲ

ἐνεργεῖν δεῖ. Καὶ οὗτος ὁ πηλὸς χείρων ἐκείνου. Ἐκεῖνος μὲν γὰρ ὁ πηλὸς γίνεται χρυσός· «Δεῖ» γάρ, φησί, «τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν»· οὗτος δὲ ὁ πηλὸς οὐκέτι ἀναχωνευθῆναι δύναται. Ὥστε ταῦτα μᾶλλον ἐπὶ τῆς γῆς, ἢ ἐκεῖνα. Διὰ τοῦτο οὐκ εἶπεν, ἀπὸ γῆς, ἀλλά, «τὰ ἐπὶ τῆς γῆς»· ἔνι γὰρ ταῦτα μὴ εἶναι ἐπὶ γῆς. Ταῦτα μὲν γὰρ ἀνάγκη ἐπὶ γῆς εἶναι, ἐκεῖνα δὲ οὐκέτι ἀνάγκη. Ὅταν γὰρ ἀκοὴ μηδὲν ἀκούῃ τῶν ἐνταῦθα, ἀλλὰ τῶν ἐν τοῖς οὐρανοῖς λαλουμένων, ὅταν ὀφθαλμὸς μηδὲν ὁρᾷ τῶν ἐνταῦθα, ἀλλὰ τῶν ἄνω, οὐκ ἐπὶ γῆς ἐστιν· ὅταν τὸ στόμα μηδὲν φθέγγηται τῶν ἐνταῦθα, οὐκ ἐπὶ γῆς ἐστιν· ὅταν ἡ χεὶρ μηδὲν πράττῃ τῶν πονηρῶν, οὐκ ἔστι τῶν ἐπὶ γῆς ταῦτα, ἀλλὰ τῶν ἐν τοῖς οὐρανοῖς. Τοῦτο καὶ ὁ Χριστός φησιν, «Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε», τουτέστιν, ἐὰν ἀκολάστως ὁρᾷς, «ἔκκοψον αὐτόν»· τουτέστι, τὸν λογισμὸν τὸν πονηρόν. Ἐμοὶ δὲ δοκεῖ πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν ταὐτὸ λέγειν, τὴν πορνείαν, διὰ πάντων τούτων ἀπάγων ἡμᾶς τοῦ πράγματος. Πάθος γὰρ ὄντως τοῦτό ἐστι· καὶ καθάπερ τὸ σῶμα πάσχει, ἢ πυρέττει ἢ τραυματίζεται, οὕτω καὶ τοῦτο.

Καὶ οὐκ εἶπεν, ἐπίσχετε, ἀλλά, «νεκρώσατε», ὥστε μηδὲ ἀναστῆναι λοιπόν· καί, «ἀπόθεσθε». Τὸ νεκρούμενον ἀποτιθέμεθα· οἷον, τύλοι ἂν ὦσιν ἐν τῷ σώματι, τὸ σῶμα νεκρόν ἐστι, καὶ ἀποτιθέμεθα αὐτό. Ἀλλ' ἐὰν μὲν ζῶν κόψῃς, ἀλγηδόνα παρέχει, ἂν δὲ νενεκρωμένον, οὐδὲ αἰσθανόμεθα. Οὕτω δὴ καὶ ἐπὶ τῶν παθῶν· ἀκάθαρτον ποιεῖ τὴν ψυχήν, παθητὴν ποιεῖ τὴν ψυχὴν τὴν ἀθάνατον. Πῶς εἰδωλολατρία εἴρηται ἡ πλεονεξία, πολλάκις εἰρήκαμεν. Τὰ τυραννοῦντα γὰρ μάλιστα τὸ τῶν ἀνθρώπων γένος, ταῦτά ἐστι, πλεονεξία, καὶ ἀκολασία, καὶ ἐπιθυμία κακή. «Δι' ἃ ἔρχεται», φησίν, «ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας». Υἱοὺς ἀπειθείας λέγει, ἀποστερῶν αὐτοὺς συγγνώμης, καὶ δεικνὺς ὅτι παρὰ τὸ μὴ πεισθῆναι ἐν τούτοις εἰσίν. «Ἐν οἷς καὶ ὑμεῖς», φησί, «περιεπατήσατέ ποτε», καὶ ἐπείσθητε. Δείκνυσιν αὐτοὺς ἔτι ἐν αὐτοῖς, καὶ ἐγκωμιάζει λέγων· «Νυνὶ δὲ καὶ ὑμεῖς

8. Α' Κορ. 15,53
9. Ματθ. 5,29

τὰ μέλη αὐτά· δὲν εἶναι δυνατὸ ἐκεῖ, ὅπου πρέπει νὰ ἐνεργοῦν. Καὶ τὸ χῶμα αὐτὸ εἶναι χειρότερο ἀπὸ ἐκεῖνο. Διότι ἐκεῖνο τὸ χῶμα γίνεται χρυσός· «Διότι πρέπει», λέγει, «τὸ φθαρτὸ αὐτὸ σῶμα νὰ ἐνδυθῆ ἀφθαρσία»[8], αὐτὸ ὅμως τὸ χῶμα δὲν μπορεῖ πιὰ νὰ ἀναχωνευθῆ. Ὥστε αὐτὰ τὰ μέλη ἀνήκουν περισσότερο στὴ γῆ, παρὰ ἐκεῖνα. Γι' αὐτὸ δὲν εἶπε, ἀπὸ τὴ γῆ, ἀλλά, «τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ», διότι μπορεῖ αὐτὰ νὰ μὴ εἶναι ἐπάνω στὴ γῆ. Αὐτὰ λοιπὸν εἶναι ἀνάγκη νὰ εἶναι ἐπάνω στὴ γῆ, ἐκεῖνα ὅμως δὲν εἶναι ἀνάγκη πιά. Διότι ὅταν τὸ αὐτὶ δὲν ἀκούη τίποτε ἀπὸ τὰ λεγόμενα στὴ γῆ, ἀλλὰ τὰ λεγόμενα στοὺς οὐρανούς, ὅταν τὸ μάτι δὲν βλέπη τίποτε ἀπὸ τὰ ἐδῶ, ἀλλὰ ἀπὸ τοὺς οὐρανούς, δὲν εὑρίσκεται ἐπάνω στὴ γῆ· ὅταν τὸ στόμα δὲν λέγη τίποτε ἀπὸ τὰ ἐδῶ, δὲν εὑρίσκεται ἐπάνω στὴ γῆ· ὅταν τὸ χέρι δὲν πράττη τίποτε ἀπὸ τὰ πονηρά, δὲν εἶναι ἀπὸ τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ αὐτά, ἀλλὰ ἀπὸ τὰ εὑρισκόμενα στοὺς οὐρανούς. Αὐτὸ καὶ ὁ Χριστὸς λέγει, «Ἐὰν σὲ σκανδαλίζη τὸ δεξιό σου μάτι», δηλαδή, ἐὰν βλέπης μὲ ἀκόλαστο τρόπο, «νὰ τὸ βγάλης»[9], δηλαδὴ τὴν πονηρὴ σκέψι. Ἐγὼ ὅμως νομίζω ὅτι λέγοντας πορνεία, ἀκαθαρσία, πάθος, ἐπιθυμία, ἐννοεῖ τὸ ἴδιο πρᾶγμα, δηλαδὴ τὴν πορνεία, ἀπομακρύνοντάς μας μὲ ὅλα αὐτὰ ἀπὸ αὐτήν. Διότι στὴν πραγματικότητα τὸ πάθος αὐτὸ εἶναι· καὶ ὅπως ἀκριβῶς πάσχει τὸ σῶμα ἢ ἔχει πυρετὸ ἢ τραυματίζεται, ἔτσι καὶ αὐτό.

Καὶ δὲν εἶπε, ἐμποδίσατε, ἀλλά, «νεκρώσατε», ὥστε νὰ μὴ ἀναστηθοῦν στὸ μέλλον, καὶ «ἀπομακρύνατε». Ἐκεῖνο ποὺ γίνεται νεκρὸ τὸ ἀπομακρύνομε, ὅπως παραδείγματος χάρι, ἂν ὑπάρχουν ἐξογκώματα στὸ σῶμα, τὸ σῶμα εἶναι νεκρό, καὶ ἀπομακρύνωμε αὐτό. Ἀλλ' ἐὰν μὲν τὸ κόψης ἐνῶ εἶναι ζωντανό, προκαλεῖ φοβερὸ πόνο, ἐὰν δὲ ὅταν εἶναι νεκρωμένο, οὔτε κἂν τὸ αἰσθανόμασθε. Ἔτσι λοιπὸν συμβαίνει καὶ μὲ τὰ πάθη· κάμνουν ἀκάθαρτη τὴν ψυχή, κάμνουν τὴν ἀθάνατη ψυχὴ νὰ ὑπόκειται σὲ πάθη. Πῶς ἔχει ὀνομασθῆ εἰδωλολατρία ἡ πλεονεξία, πολλὲς φορὲς τὸ ἔχομε εἰπεῖ. Διότι ἐκεῖνα ποὺ ὑπερβολικὰ τυραννοῦν τὸ ἀνθρώπινο γένος εἶναι αὐτά, ἡ πλεονεξία, ἡ ἀκολασία καὶ ἡ κακὴ ἐπιθυμία. «Γιὰ τὰ ὁποῖα», λέγει, «ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ στοὺς ἀνθρώπους τῆς ἀπειθείας». Ἀνθρώπους ἀπειθείας τοὺς ὀνομάζει, ἀποστερώντας αὐτοὺς τῆς συγγνώμης καὶ γιὰ νὰ δείξη ὅτι ἐπειδὴ δὲν ἔχουν πεισθῆ, εἶναι ἀνάμεσα σὲ αὐτούς. «Στὰ ὁποῖα καὶ σεῖς», λέγει, «ἐπεριπατήσατε κάποτε», καὶ ἐπεισθήκατε. Παρουσιάζει αὐτοὺς

ἀπόθεσθε τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν».

Ἀλλ' ἐφ' ἑτέρους προάγει τὸν λόγον. Πάθους καὶ βλασφημίας τὰς λοιδορίας λέγει, καθάπερ ἀπὸ τοῦ θυμοῦ τὴν πονηρίαν λέγει. Ἀλλαχοῦ δὲ ἐντρεπτικῶς, «Ὅτι ἀλλήλων ἐσμὲν μέλη». Ὥσπερ δημιουργοὺς αὐτοὺς κατασκευάζει τῶν ἀνθρώπων, τὸν μὲν ῥιπτούντων, τὸν δὲ δεχομένων. Εἶπεν αὐτοῦ τὰ μέλη, ἐνταῦθα ὅλον φησίν. Εἶπεν αὐτοῦ τὴν καρδίαν, τὸν θυμόν, τὸ στόμα, τὴν βλασφημίαν, τοὺς ὀφθαλμούς, τὴν πορνείαν, τὴν πλεονεξίαν, χεῖρας καὶ πόδας, ψεῦδος, τὴν διάνοιαν αὐτήν, καὶ τὸν νοῦν τὸν παλαιόν. Μίαν ἔχει μορφὴν βασιλικὴν τὴν τοῦ Χριστοῦ. Ἐδόκουν μοι ἐξ ἐθνῶν εἶναι μᾶλλον οὗτοι. Καθάπερ γὰρ ἡ γῆ ψάμμος οὖσα, κἂν ἡ μὲν μείζων, ἡ δὲ ἐλάττων ᾖ, τὴν οἰκείαν ἀπώλεσε πρότερον μορφήν, ὕστερον δὲ χρυσῆ γίνεται· καὶ καθάπερ τὰ ἔρια, οἷα ἂν ᾖ, ἑτέραν δέχεται ὄψιν, καὶ τὴν προτέραν ἔκρυψεν· οὕτω δὴ καὶ ὁ πιστός. «Ἀνεχόμενοι», φησίν, «ἀλλήλων». Ἔδειξε τὸ δίκαιον· ἀνέχῃ ἐκείνου, καὶ ἐκεῖνός σου· ὅπερ ἐν τῇ πρὸς Γαλάτας φησίν, «Ἀλλήλων τὰ βάρη βαστάζετε». «Καὶ εὐχάριστοι», φησί, «γίνεσθε». Μάλιστα γὰρ τοῦτο πανταχοῦ ζητεῖ, τὸ κεφάλαιον τῶν ἀγαθῶν.

4. Εὐχαριστῶμεν τοίνυν ἐν πᾶσιν, ὅπερ ἂν γένηται· τοῦτο γὰρ εὐχαριστία. Τὸ μὲν γὰρ ἐν τῇ εὐπραγίᾳ τοῦτο ποιεῖν, οὐ μέγα· αὐτὴ γὰρ τῶν πραγμάτων ἡ φύσις ἐπὶ τοῦτο ὠθεῖ· ὅταν δὲ ἐν τοῖς ἐσχάτοις ὄντες εὐχαριστῶμεν, τότε ἐστὶ θαυμαστόν. Ὅταν γὰρ ἐφ' οἷς ἕτεροι βλασφημοῦσι καὶ ἀποδυσπετοῦσιν, ἡμεῖς εὐχαριστῶμεν, ὅρα πόση ἡ φιλοσοφία. Πρῶτον, τὸν Θεὸν ηὔφρανας· δεύτερον, τὸν διάβολον κατῄσχυνας· τρίτον, καὶ τὸ γενόμενον οὐδὲν ἀπέφηνας· ὁμοῦ γὰρ σύ τε εὐχαριστεῖς, καὶ ὁ Θεὸς τὴν ὀδύνην ὑποτέμνεται, καὶ ὁ διάβολος ἀφίσταται. Ἂν μὲν γὰρ ἀποδυσπετήσῃς, ἅτε ἀνύσας ὅπερ ἤθελεν, ἐφέστηκε, καὶ ὁ Θεὸς ἅτε βλασφημηθείς, ἐγκαταλιμπάνει, καὶ ἐπιτείνεται τὸ δεινόν· ἐὰν δὲ εὐχαριστήσῃς, ἅτε μηδὲν ὠφελῶν, ἀφίσταται, καὶ ὁ Θεὸς ἅτε τιμηθείς, ἀντιτιμᾷ μειζόνως· καὶ οὐκ ἔστιν ἄνθρωπον εὐχαριστοῦντα ἐπὶ τοῖς κακοῖς αἰσθέσθαι τῶν κακῶν. Χαίρει γὰρ

10. Ἐφ. 4,25
11. Γαλ. 6,2

ἀκόμη νὰ εὑρίσκωνται ἀνάμεσα σὲ αὐτοὺς καὶ τοὺς ἐπαινεῖ λέγοντας· «Τώρα ὅμως καὶ σεῖς ἀπομακρύνατε τὰ πάντα, τὴν ὀργή, τὸ θυμό, τὴν κακία, τὴ βλασφημία, τὴν αἰσχρολογία».

Ἀλλὰ σὲ ἄλλους μεταφέρει τὸ λόγο. Τὶς ὕβρεις ὀνομάζει πάθη καὶ βλασφημίες, ὅπως ἀκριβῶς ἀπὸ τὸ θυμὸ λέγει τὴν πονηρία. Καὶ ἀλλοῦ λέγει ἐλέγχοντας, «Διότι εἴμασθε μεταξύ μας μέλη»[10]. Παρουσιάζει αὐτοὺς σὰν δημιουργοὺς τῶν ἀνθρώπων, ποὺ ἄλλον τὸν ἀπομακρύνουν, ἄλλον δὲ τὸν ἀποδέχονται. Εἶπε ἐκεῖ τὰ μέλη, ἐδῶ λέγει τὰ πάντα. Ἀνέφερε τὴν καρδιά αὐτοῦ, τὸ θυμό, τὸ στόμα, τὴ βλασφημία, τὰ μάτια, τὴν πορνεία, τὴν πλεονεξία, τὰ χέρια καὶ τὰ πόδια, τὸ ψέμα, αὐτὴν τὴ διάνοια καὶ τὸν παλαιὸ νοῦ. Ἔχει μία βασιλικὴ μορφή, τὴ μορφὴ τοῦ Χριστοῦ. Ἐνόμιζα ὅτι αὐτοὶ προέρχονται μᾶλλον ἀπὸ τοὺς ἐθνικούς. Διότι ὅπως ἀκριβῶς τὸ χῶμα ποὺ εἶναι ἄμμος, ἂν ἄλλη εἶναι πιὸ μεγάλη σὲ μέγεθος καὶ ἄλλη πιὸ μικρή, ἔχασε πρῶτα τὴν ἰδική της μορφὴ καὶ ὕστερα γίνεται χρυσή, καὶ ὅπως τὰ μαλλιά, ὅποια καὶ ἂν εἶναι, δέχονται ἄλλη ὄψι καὶ ἔκρυψαν τὴν πρώτη, ἔτσι λοιπὸν καὶ ὁ πιστός. «Νὰ ἀνέχεσθε ὁ ἕνας τὸν ἄλλο», λέγει. Ἔδειξε τὸ δίκαιο, νὰ ἀνέχεσαι τὸν ἄλλο καὶ ὁ ἄλλος ἐσένα, πρᾶγμα ποὺ λέγει στὴν πρὸς Γαλάτας ἐπιστολή του, «Νὰ ὑπομένετε τὰ βάρη ὁ ἕνας τοῦ ἄλλου».[11] «Καὶ νὰ γίνεσθε εὐχάριστοι», λέγει. Διότι αὐτὸ πρὸ πάντων ἐπιζητεῖ παντοῦ, τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν.

4. Ἂς τὸν εὐχαριστοῦμε λοιπὸν γιὰ ὅλα, ὅπως καὶ ἂν γίνωνται, διότι αὐτὸ εἶναι εὐχαριστία. Διότι τὸ νὰ κάνωμε αὐτὸ ὅταν εὐημεροῦμε, δὲν εἶναι σπουδαῖο πρᾶγμα, διότι ἡ ἴδια ἡ φύσις τῶν πραγμάτων μᾶς ὠθεῖ σ' αὐτό· ὅταν ὅμως τὸν εὐχαριστοῦμε εὑρισκόμενοι σὲ κατάστασι ἀπογνώσεως, τότε εἶναι ἀξιοθαύμαστο. Ὅταν λοιπὸν γιὰ ἐκεῖνα, ποὺ ἄλλοι βλασφημοῦν καὶ ἀποθαρρύνονται, ἐμεῖς εὐχαριστοῦμε αὐτόν, βλέπε πόση εἶναι ἡ εὐσέβεια. Πρῶτο, εὐχαρίστησες τὸν Θεό· δεύτερο, κατεντρόπιασες τὸ διάβολο· τρίτο, καὶ αὐτὸ ποὺ ἔγινε δὲν τὸ ἐφανέρωσες. Διότι συγχρόνως καὶ σὺ εὐχαριστεῖς, καὶ ὁ Θεὸς τὴ στενοχώρια ἀφαιρεῖ, καὶ ὁ διάβολος ὑποχωρεῖ. Ἂν λοιπὸν ἀποθαρρυνθῇς, ἐπειδὴ ἐπραγματοποίησε ἐκεῖνο ποὺ ἤθελε, παραμένει αὐτός, καὶ ὁ Θεὸς ἐπειδὴ ἐβλασφημήθηκε, σὲ ἐγκαταλείπει, καὶ τὸ κακὸ αὐξάνει. Ἐὰν ὅμως εὐχαριστήσῃς, ἐπειδὴ ἀποχωρεῖς χωρὶς κανένα ὄφελος, ἀποχωρεῖ καὶ ὁ διάβολος, καὶ ὁ Θεός, ἐπειδὴ ἐτιμήθηκε, ἀνταποδίδει τὴν τιμὴ πλουσιότερα. Καὶ δὲν ὑπάρχει ἄνθρωπος, ποὺ εὐχαριστεῖ γιὰ τὰ

ἡ ψυχὴ ἅτε κατορθοῦσα, εὐθέως φαιδρὸν τὸ συνειδός, γάννυται τοῖς ἐγκωμίοις τοῖς ἑαυτῆς· τὴν δὲ φαιδρὰν οὐκ ἔνι σκυθρωπὴν εἶναι. Ἐκεῖ δὲ μετὰ τῆς συμφορᾶς καὶ τὸ συνειδὸς ἐπίκειται μαστίζον, ἐνταῦθα δὲ στεφανοῖ καὶ ἀνακηρύττει.

Οὐδὲν τῆς γλώττης ἐκείνης ἁγιώτερον τῆς ἐν τοῖς κακοῖς εὐχαριστούσης τῷ Θεῷ· ὄντως τῆς τῶν μαρτύρων οὐδὲν ἀποδεῖ· ὁμοίως καὶ αὕτη κἀκεῖνος στεφανοῦται. Καὶ γὰρ καὶ ταύτῃ ἐφέστηκε δήμιος ἀναγκάζων ἀρνήσασθαι τὸν Θεὸν διὰ τῆς βλασφημίας, ἐφέστηκεν ὁ διάβολος δημίοις λογισμοῖς καταξαίνων, ἀθυμίαις σκοτῶν. Ἂν τοίνυν ἐνέγκῃ τὰς ἀλγηδόνας, καὶ εὐχαριστήσῃ, μαρτυρίου στέφανον ἔλαχεν. Οἷον, τὸ παιδίον νοσεῖ, καὶ εὐχαριστεῖ τῷ Θεῷ; Τοῦτο αὐτῇ στέφανος. Πόσης βασάνου οὐ χείρων ἡ ἀθυμία; ἀλλ' οὐκ ἀναγκάζει ῥῆμα ἐκβαλεῖν πικρόν. Ἀποθνήσκει· πάλιν ηὐχαρίστησε; Γέγονε θυγάτηρ τοῦ Ἀβραάμ. Εἰ γὰρ μὴ τῇ ἰδίᾳ ἔσφαξε χειρί, ἀλλ' ἐπὶ τῇ θυσίᾳ ἥσθη, ὅπερ ἴσον ἐστίν· οὐκ ἠγανάκτησε λαμβανομένου τοῦ δώρου. Πάλιν ἐνόσησεν· οὐκ ἐποίησε περίαπτα; Μαρτύριον αὐτῇ λογίζεται· κατέθυσε γὰρ τὸν υἱὸν τῇ γνώμῃ. Τί γάρ, εἰ καὶ μηδὲν ὠφελεῖ ἐκεῖνα, ἀλλ' ἀπάτης ἐστὶ καὶ χλεύης; ἀλλ' ὅμως ἦσαν οἱ πείθοντες ὅτι ὠφελεῖ· καὶ εἵλετο μᾶλλον νεκρὸν τὸ παιδίον ἰδεῖν, ἢ εἰδωλολατρίας ἀνασχέσθαι. Ὥσπερ οὖν αὕτη μάρτυς, ἄν τε ἐφ' ἑαυτῆς, ἄν τε ἐπὶ τοῦ παιδὸς ἐργάζηται τοῦτο, ἄν τε ἐπὶ τοῦ ἀνδρός, ἢ ἑτέρου τινὸς τῶν φιλτάτων, οὕτως ἡ ἑτέρα εἰδωλολάτρις. Δῆλον γὰρ ὅτι ἔθυσεν ἄν, εἰ ἦν θῦσαι· μᾶλλον δὲ ἤδη ἐποίησε τὸ τῆς θυσίας. Τὰ γὰρ περίαπτα, κἂν μυρία φιλοσοφῶσι οἱ ἐκ τούτων χρηματιζόμενοι, λέγοντες ὅτι τὸν Θεὸν καλοῦμεν, καὶ οὐδὲν πλέον ποιοῦμεν, καὶ ὅσα τοιαῦτα, καὶ Χριστιανή ἐστι, φησίν, ἡ γραῦς καὶ πιστή, εἰδωλολατρία τὸ πρᾶγμά ἐστι. Πιστὴ εἶ; σφράγισον· εἰπέ, τοῦτο ἔχω τὸ ὅπλον μόνον, τοῦτο τὸ φάρμακον· ἄλλο δὲ οὐκ οἶδα. Εἰπέ μοι, ἐὰν προσελθὼν ἰατρός, καὶ τὰ τῆς ἰατρικῆς φάρμακα ἀφείς, ἐπᾴδῃ, τοῦτον ἰατρὸν ἐροῦμεν; Οὐδαμῶς· τὰ γὰρ τῆς ἰατρικῆς οὐχ ὁρῶμεν φάρμακα. Οὕτως οὐδὲ ἐνταῦθα τὰ

κακά, νὰ αἰσθάνεται τὰ κακά. Διότι χαίρεται ἡ ψυχὴ ἐπειδὴ ἐπέτυχε, ἀμέσως καθίσταται γελαστὴ ἡ συνείδησις, λάμπει ἀπὸ χαρὰ μὲ τοὺς ἐπαίνους της ἡ ψυχή, ἡ γελαστὴ ψυχὴ δὲν εἶναι δυνατὸ νὰ εἶναι σκυθρωπή. Καὶ ἐκεῖ μαζὶ μὲ τὴ συμφορὰ ἔρχεται καὶ ἡ συνείδησις σὰν τιμωρός, ἐδῶ ὅμως στεφανώνει καὶ ἀναγνωρίζει τὸ νικητή.

Τίποτε δὲν εἶναι ἁγιώτερο ἀπὸ τὴ γλῶσσα ἐκείνη ποὺ στὰ κακὰ εὐχαριστεῖ τὸν Θεό. Πράγματι, δέν ὑπολείπεται καθόλου τῆς γλώσσας τῶν μαρτύρων, ὁμοίως καὶ αὐτὴ καὶ ἐκεῖνος στεφανώνονται. Καθόσον καὶ σ' αὐτὴν ἐστάθηκε ὁ δήμιος ἀναγκάζοντάς την νὰ ἀρνηθῆ τὸν Θεὸ μὲ βλασφημίες, ἐστάθηκε ὁ διάβολος ἐνοχλώντας μὲ βασανιστικὲς σκέψεις, προκαλώντας σύγχυσι μὲ στενοχώριες. Ἂν λοιπὸν ὑποφέρη τὶς θλίψεις καὶ εὐχαριστήση τὸν Θεό, ἔλαβε τὸν στέφανο τοῦ μαρτυρίου. Παραδείγματος χάρι, εἶναι ἄρρωστο τὸ παιδί, καὶ εὐχαριστεῖ τὸν Θεό; Τοῦτο ἀποτελεῖ γι' αὐτὴν στεφάνι. Ἀπὸ πόσες δοκιμασίες δὲν εἶναι χειρότερο κακὸ ἡ στενοχώρια; ἀλλὰ δὲν τὴν ἀναγκάζει νὰ βγάλη λέξι κακή. Πεθαίνει· πάλι εὐχαρίστησε; Ἔχει γίνει ἡ θυγατέρα τοῦ Ἀβραάμ. Ἐὰν λοιπὸν δὲν ἔσφαξε μὲ τὸ χέρι του, ἀλλὰ εὐχαριστήθηκε γιὰ τὴ θυσία, πρᾶγμα ποὺ εἶναι τὸ ἴδιο, δὲν ἀγανάκτησε ὅταν ἔπαιρνε τὸ δῶρο. Πάλι ἠσθένησε· δὲν ἐκρέμασε στὸ σῶμα φυλακτά; Λογαριάζεται γι' αὐτὴν σὰν μαρτύριο, διότι ἐθυσίασε τὸν υἱὸ μέσα στὴ σκέψη της. Διότι τί καὶ ἂν δὲν ὠφελοῦν καθόλου τὰ φυλακτά, ἀλλὰ εἶναι δείγματα ἀπάτης καὶ ἐμπαιγμοῦ; ἀλλ' ὅμως ὑπῆρχαν ἐκεῖνοι ποὺ ἔπειθαν ὅτι ὠφελοῦν· αὐτὴ ὅμως ἐπροτίμησε νὰ ἰδῆ τὸ παιδί της νεκρὸ μᾶλλον, παρὰ νὰ ἀνεχθῆ τὴν εἰδωλολατρία. Ὅπως λοιπὸν αὐτὴ εἶναι μάρτυς, εἴτε τὸ κάνει αὐτὸ γιὰ τὸν ἑαυτό της, εἴτε γιὰ τὸ παιδί της, εἴτε γιὰ τὸν ἄνδρα της ἢ γιὰ κάποιο ἄλλο ἀγαπημένο πρόσωπό της, ἔτσι ἡ ἄλλη εἶναι εἰδωλολάτρις. Διότι εἶναι φανερὸ ὅτι θὰ ἐθυσίαζε, ἂν ἠμποροῦσε νὰ θυσιάση· μᾶλλον δὲ ἔκαμε ἤδη τὴ θυσία. Διότι τὰ φυλακτά, καὶ ἂν ἀκόμη πάρα πολλὰ φιλοσοφοῦν αὐτοὶ ποὺ κερδίζουν χρήματα ἀπὸ αὐτά, λέγοντας ὅτι τὸν Θεὸ καλοῦμε καὶ τίποτε περισσότερο δὲν κάνομε, καὶ πολλὰ παρόμοια, καὶ Χριστιανὴ εἶναι, λέγει, ἡ γριὰ καὶ πιστή, εἰδωλολατρία εἶναι τὸ πρᾶγμα. Πιστὴ εἶναι; κλεῖσε τὸ στόμα σου· εἰπέ, αὐτὸ τὸ ὅπλο ἔχω μόνο, αὐτὸ τὸ φάρμακο, καὶ ἄλλο δὲν γνωρίζω. Εἰπέ μου, ἐὰν προσέλθη ἰατρὸς καί, ἀφοῦ ἀφήση τὰ φάρμακα τῆς ἰατρικῆς, μεταχειρίζεται ξόρκια, θὰ τὸν εἰποῦμε αὐτὸν ἰατρό; Καθόλου, διότι δὲν βλέπομε τὰ φάρμακα τῆς

τοῦ Χριστιανισμοῦ.

Ἕτεραι δὲ πάλιν ποταμῶν ὀνόματα περιάπτουσι, καὶ μυρία τοιαῦτα τολμῶσιν. Ἰδοὺ λέγω, καὶ προλέγω πᾶσιν ὑμῖν, ὅτι ἐάν τις ἀλῷ, οὐ φείσομαι πάλιν, ἄν τε περίαπτον, ἄν τε ἐπῳδήν, ἄν τε ἄλλο τι τῆς τέχνης τῆς τοιαύτης ποιῇ. Τί οὖν, ἀποθάνῃ φησί, τὸ παιδίον; Ἂν οὕτω ζήσῃ, τότε ἀπέθανεν· ἂν δὲ ἄνευ ἐκείνων ἀποθάνῃ, τότε ἔζησε. Νῦν δὲ ἂν μὲν πόρναις ἴδῃς προσέχοντα, εὔχῃ κατορυγῆναι, καὶ λέγεις, τί γὰρ ὄφελος τοῦ ζῆν; ὑπὲρ δὲ σωτηρίας ὁρῶσα κινδυνεύοντα, βούλει ζῶντα ὁρᾶν; Οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, ὅτι «Ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ, εὑρήσει αὐτήν· ὁ δὲ εὑρών, ἀπολέσει αὐτήν»; πιστεύεις τοῖς εἰρημένοις, ἢ μῦθοί σοι δοκοῦσιν εἶναι; Εἰπὲ δή μοι, ἐὰν εἴπῃ τις, ὅτι ἀπάγαγε εἰς εἰδωλεῖον, καὶ ζήσεται, ἀνέξῃ; Οὔ, φησί. Διὰ τί; Ὅτι εἰδωλολατρεῖν ἀναγκάζει· ἐνταῦθα δὲ οὐκ ἔστιν εἰδωλολατρία, ἀλλ' ἁπλῶς ἐπῳδή, φησίν. Αὕτη γὰρ ἡ σατανικὴ ἔννοια, αὕτη ἡ μεθοδεία ἡ διαβολική, συγκαλύπτειν τὴν πλάνην, καὶ ἐν μέλιτι τὸ δηλητήριον διδόναι φάρμακον. Ἐπειδὴ οἶδεν ἐκεῖσε οὐ πείθων, ταύτην ἐβάδισε τὴν ὁδόν, εἰς ῥάμματα καὶ γραώδεις μύθους· καὶ ὁ μὲν σταυρὸς ἠτίμωται, τὰ δὲ ῥάμματα προτετίμηται· ὁ Χριστὸς ἐκβέβληται, καὶ εἰσάγεται μεθύουσα γραῦς καὶ ληροῦσα· τὸ μυστήριον πεπάτηται τὸ ἡμέτερον, καὶ ἡ πλάνη χορεύει τοῦ διαβόλου.

Τίνος οὖν ἕνεκεν οὐ ἐλέγχει, φησίν, ὁ Θεὸς τὴν ἀπὸ τῶν τοιούτων βοήθειαν; Πολλαχοῦ ἤλεγξε, καὶ οὐκ ἔπεισέ σε· λοιπὸν ἀφίησι τῇ πλάνῃ. «Παρέδωκε γὰρ αὐτούς», φησίν, «ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν». Ταῦτα δὲ οὐδ' ἂν Ἕλλην νοῦν ἔχων ἀνέχοιτο. Λέγεταί τις δημαγωγός ποτε ἐν Ἀθήναις ταῦτα περιτεθῆναι· εἶτα φιλόσοφός τις ἐκείνου διδάσκαλος ἰδών, ἐπετίμησεν, ἐμέμψατο, ἔδακεν, ἐκωμῴδησεν. Οὕτω γὰρ ἀθλίως διακείμεθα, ὡς καὶ τούτοις πιστεύειν. Διὰ τί μὴ εἰσι νῦν οἱ ἀνιστῶντες, φησί, νεκροὺς καὶ ἰάσεις ἐπιτελοῦντες; Διὰ τί γὰρ οὖν λέγω, διὰ τί μὴ εἰσι νῦν οἱ τῆς παρούσης καταφρονοῦντες ζωῆς; ἐπὶ μισθῷ δουλεύομεν τῷ Θεῷ; Ὅτε ἀσθενέστερον διέκειτο ἡ φύσις ἡ ἀνθρωπίνη, ὅτε φυτευθῆναι τὴν πίστιν ἔδει, ἦσαν καὶ τοιοῦτοι πολλοί· νῦν δὲ οὐ

---

12. Ματθ. 16,25
13. Ρωμ. 1,28

ἰατρικῆς. Ἔτσι οὔτε ἐδῶ βλέπομε τὰ φάρμακα τοῦ Χριστιανισμοῦ.

Καὶ ἄλλες πάλι κρεμοῦν ὡς φυλακτὰ ὀνόματα ποταμῶν καὶ πάρα πολλὰ τέτοια ἐπιχειροῦν. Ἰδοὺ λέγω καὶ προειδοποιῶ ὅλους σας, ὅτι ἐὰν κάποιος συλληφθῇ, δὲν θὰ τὸν λυπηθῶ πάλι, ἂν κάνῃ φυλακτὸ ἢ ξόρκια ἢ κάτι ἄλλο αὐτῆς τῆς τέχνης. Τί λοιπόν, λέγει, νὰ πεθάνῃ τὸ παιδί; Ἂν ἔτσι ζήσῃ, τότε ἐπέθανε· ἂν ὅμως πεθάνῃ χωρὶς ἐκεῖνα, τότε ἔζησε. Καὶ τώρα ἂν τὰ ἰδῇς νὰ προσέχουν τὶς πόρνες, εὔχεσαι νὰ τὰ καταπιῇ ἡ γῆ, καὶ λέγεις, ποιὸ λοιπὸν τὸ ὄφελος τῆς ζωῆς; βλέποντας δὲ νὰ διακινδυνεύουν γιὰ τὴ σωτηρία τους, θέλεις νὰ τὰ βλέπῃς ζωντανά; Δὲν ἤκουσες τὸν Χριστὸ ποὺ λέγει, ὅτι «Ἐκεῖνος ποὺ θὰ χάσῃ τὴ ζωή του, θὰ τὴν εὕρῃ στὸ μέλλον, καὶ ἐκεῖνος ποὺ θὰ τὴν εὕρῃ, θὰ χάσῃ αὐτήν»[12]; πιστεύεις στὰ λόγια αὐτὰ ἢ σοῦ φαίνεται ὅτι εἶναι μῦθοι; Εἰπέ μου λοιπόν, ἐὰν σοῦ εἰπῇ κάποιος, ὁδήγησέ το στὸν εἰδωλολατρικὸ ναὸ καὶ θὰ ζήσῃ, θὰ τὸ ἀνεχθῇς; Ὄχι, λέγει. Γιατί; Διότι μὲ ἀναγκάζει νὰ λατρεύω τὰ εἴδωλα· ἐδῶ ὅμως δὲν ὑπάρχει εἰδωλολατρία, ἀλλὰ ἁπλῶς μαγγανεία, λέγει. Πράγματι αὐτὴ εἶναι ἡ φροντίδα τοῦ σατανᾶ, αὐτὴ εἶναι ἡ πανουργία τοῦ διαβόλου , νὰ συγκαλύπτῃ τὴν πλάνη καὶ μέσα στὸ μέλι νὰ δίνῃ τὸ δηλητήριο. Ἐπειδὴ γνωρίζει ὅτι μὲ τὸν τρόπο ἐκεῖνο δὲν πείθει, ἀκολούθησε αὐτὸν τὸν τρόπο, καταφεύγοντας σὲ φυλακτὰ καὶ μύθους ποὺ ταιριάζουν σὲ γριές. Καὶ ὁ σταυρὸς ἔχει ἀτιμασθῇ, τὰ φυλακτὰ ὅμως ἔχουν τιμηθῇ περισσότερο. Ὁ Χριστὸς ἔχει ἐκδιωχθῇ καὶ ἐμφανίζεται ἡ μεθυσμένη καὶ ἀνόητη γριά· τὸ ἰδικό μας μυστήριο ἔχει καταπατηθῇ καὶ ἡ πλάνη τοῦ διαβόλου θριαμβεύει.

Γιὰ ποιὸ λοιπὸν λόγο, λέγει δὲν ἐλέγχει ὁ Θεὸς τὴ βοήθεια ἀπὸ αὐτά; Πολλὲς φορὲς τὴν ἤλεγξε καὶ δὲν σὲ ἔπεισε, στὸ ἑξῆς σὲ ἀφήνει στὴν πλάνη. «Διότι παρέδωσε αὐτοὺς ὁ Θεός», λέγει, «σὲ ἀνίκανο νοῦ»[13]. Αὐτὰ ὅμως δὲν θὰ ἠμποροῦσε νὰ ἀνεχθῇ οὔτε ἕνας λογικὸς Ἕλληνας. Λέγεται ὅτι κάποιος δημαγωγὸς κάποτε στὴν Ἀθήνα ἐφόρεσε αὐτά· ἔπειτα κάποιος φιλόσοφος, διδάσκαλος ἐκείνου, ἀφοῦ τὸν εἶδε, ἐπετίμησε αὐτόν, τὸν κατέκρινε, τούς ἐπρόσβαλε, τὸν ἐγελοιοποίησε. Τόσο ἄθλια λοιπὸν συμπεριφερόμασθε, ὥστε νὰ πιστεύωμε καὶ σὲ αὐτά. Γιατί δὲν ὑπάρχουν τώρα, λέγει, ἐκεῖνοι ποὺ ἀνασταίνουν νεκροὺς καὶ κάνουν θεραπεῖες; Γιατί λοιπόν, λέγω, γιατί δὲν ὑπάρχουν τώρα ἐκεῖνοι ποὺ περιφρονοῦν τὴν παροῦσα ζωή; ὑπηρετοῦμε τὸν Θεὸ μὲ μισθό; Ὅταν ἦταν ἀσθενέστερη ἡ φύσις τοῦ ἀνθρώπου, ὅταν ἔπρεπε νὰ φυτευθῇ ἡ

βούλεται ἡμᾶς τούτων ἠρτῆσθαι τῶν σημείων, ἀλλ' ἑτοίμους εἶναι πρὸς θάνατον. Τί τοίνυν τῆς παρούσης ἔχῃ ζωῆς; τί τὰ μέλλοντα οὐχ ὁρᾷς; καὶ ὑπὲρ μὲν ταύτης καὶ εἰδωλολατρεῖν ἀνέχῃ, ὑπέρ δὲ ἐκείνης οὔτε ἀθυμίας κατασχεῖν; Διὰ ταῦτα οὐκ εἰσὶ νῦν τοιοῦτοι, ὅτι ἄτιμος ἡμῖν ἐφάνη ἐκείνη ἡ ζωή, εἴγε ὑπὲρ μὲν ἐκείνης οὐδὲν πράττομεν, ὑπὲρ δὲ ταύτης οὐδὲν παραιτούμεθα ὑπομένειν. Τί δὲ καί ὁ ἄλλος γέλως, σποδὸς καὶ ἀσβόλη καὶ ἅλες; καὶ πάλιν τὸ γραΐδιον εἰς τὸ μέσον. Γέλως ὄντως, καὶ αἰσχύνη.

Καὶ ὀφθαλμός, φησίν, ἥρπασε τὸ παιδίον. Μέχρι τίνος ταῦτα τὰ σατανικά; πῶς οὐ γελάσονται Ἕλληνες; πῶς οὐ χλευάσουσιν, ὅταν αὐτοῖς λέγωμεν, μεγάλη ἡ δύναμις τοῦ σταυροῦ; πῶς πεισθήσονται, ὅταν ὁρῶσι τούτων δεομένους, ὧν αὐτοὶ καταγελῶσι; Διὰ ταῦτα ὁ Θεὸς ἰατροὺς ἔδωκε καὶ φάρμακα; Τί οὖν, ἂν μὴ θεραπεύωσιν ἐκεῖνοι, ἀλλὰ ἀπέρχηται τὸ παιδίον; Ποῦ ἄπεισιν, εἰπέ μοι, ἄθλιε καὶ ταλαίπωρε; πρὸς τοὺς δαίμονας ἄπεισι; πρός τινα τύραννον ἄπεισιν; οὐχὶ πρὸς τὸν οὐρανὸν ἄπεισιν; οὐχὶ πρὸς τὸν οἰκεῖον ἄπεισι δεσπότην; Τί οὖν ἀλγεῖς; τί κλαίεις; τί πενθεῖς; τί τοῦ δεσπότου σου πλέον τὸ παιδίον φιλεῖς; οὐχὶ δ' ἐκεῖνον ἔχεις καὶ τοῦτο; διὰ τί ἀχάριστος εἶ; τὸ δῶρο τοῦ δωρησαμένου πλέον ἀγαπᾷς; Ἀλλ' ἀσθενής εἰμι, φησί, καὶ οὐ φέρω, καὶ τὰ σπλάγχνα ταράττεται. Ἀλλ' ἀντίστησον τοῦ Θεοῦ τὸν φόβον. Εἰ γὰρ ἐν τοῖς σωματικοῖς κακοῖς τὸ μεῖζον τὸ ἔλαττον κρύπτει, πολλῷ μᾶλλον ἐν τῇ ψυχῇ φόβος φόβον ἔλυσε, καὶ λύπη λύπην. Καλὸν ἦν τὸ παιδίον; Ἀλλ' οἷον ἂν ᾖ, οὐκ ἔστιν ὡραιότερον τοῦ Ἰσαάκ. Μονογενὴς ἦν; Κἀκεῖνος. Ἐν γήρᾳ σοι γέγονε; Κἀκεῖνος. Ἀλλ' ἀστεῖόν ἐστιν; Ἀλλ' οἷον ἂν ᾖ ἀστεῖον, οὐκ ἔστιν ὡραιότερον τοῦ Μωϋσέως, ὃ καὶ βαρβαρικὴν ὄψιν ἐπεσπάσατο πρὸς πόθον, καὶ ταῦτα ἐν ἐκείνῳ τῆς ἡλικίας τῷ καιρῷ, ἔνθα οὐδέπω φαίνεται ἡ ὥρα· ἀλλ' ὅμως τὸ φιληθὲν τοῦτο ἔρριπτον εἰς ποταμὸν οἱ γονεῖς.

Σὺ μὲν καὶ ὁρᾷς κείμενον, καὶ ταφῇ παραδίδως, καὶ εἰς τό σῆμα ἄπει, ἐκεῖνοι δὲ οὐδὲ ᾔδεσαν πότερον ἰχθύσιν ἔσται βορά, πότερον κυσί, πότερον ἑτέρῳ θηρίῳ τῶν κατὰ τὴν θάλατταν βοσκομένων· καὶ ταῦτα ἐποίουν, οὐδέπω περὶ βασιλείας οὐδὲν εἰδότες, οὐδὲ ἀναστάσεως. Ἀλλ' οὐκ ἔστι μονογενές, ἀλλὰ μετὰ

πίστις, ὑπῆρχαν καὶ τέτοιοι πολλοί. Τώρα ὅμως δὲν θέλει νὰ ἐξαρτώμεθα ἀπὸ τέτοια θαύματα, ἀλλὰ νὰ εἴμασθε ἕτοιμοι γιὰ θάνατο. Γιατί λοιπὸν προσκολλᾶσαι στὴν παροῦσα ζωή; γιατί δὲν βλέπεις τὰ μελλοντικὰ ἀγαθά; καὶ γι' αὐτὴν ἀνέχεσαι καὶ τὰ εἴδωλα νὰ λατρεύης, καὶ γιὰ ἐκείνη τὴ ζωὴ οὔτε τὴ στενοχώρια νὰ συγκρατήσης; Γι' αὐτὸ δὲν ὑπάρχουν τώρα τέτοιοι ἄνθρωποι, διότι μᾶς ἐφάνηκε περιφρονημένη ἐκείνη ἡ ζωή, ἀφοῦ βέβαια τίποτε δὲν κάνομε γιὰ ἐκείνη, γι' αὐτὴν ὅμως συνεχῶς ὑποφέρομε τὰ πάντα. Καὶ τί εἶναι καὶ τὰ ἄλλα τὰ γελοῖα, ἡ στάχτη καὶ ἡ καπνιὰ καὶ τὸ ἁλάτι; καὶ πάλι ἡ γριὰ στὴ μέση. Πράγματι προκαλοῦν γέλιο καὶ ἐντροπὴ αὐτά.

Καὶ τὸ μάτι, λέγει, ἅρπαξε τὸ παιδί. Μέχρι ποιὸ σημεῖο φθάνουν αὐτὰ τὰ σατανικά; πῶς δὲν θὰ γελάσουν οἱ Ἕλληνες; πῶς δὲν θὰ μᾶς χλευάσουν, ὅταν τοὺς λέμε, εἶναι μεγάλη ἡ δύναμις τοῦ σταυροῦ; πῶς θὰ πεισθοῦν, ὅταν βλέπουν νὰ παρακαλοῦμε ἐκεῖνα, τὰ ὁποῖα αὐτοὶ περιφρονοῦν; Γι' αὐτὸ ἔδωσε ὁ Θεὸς ἰατροὺς καὶ φάρμακα; Τί λοιπὸν ἂν δὲν τὸ θεραπεύουν ἐκεῖνοι, ἀλλὰ πεθαίνει τὸ παιδί; Ποῦ θὰ πάη, εἰπέ μου, ἄθλιε καὶ ταλαίπωρε; στοὺς δαίμονες θὰ πάη; σὲ κάποιο τύραννο; δὲν θὰ πάη στὸν οὐρανό; δὲν θὰ πάη στὸν ἰδικό του Κύριο; Γιατί λοιπὸν θλίβεσαι; γιατί κλαίεις; γιατί πενθεῖς; γιατί ἀγαπᾶς τὸ παιδὶ περισσότερο ἀπὸ τὸν Κύριό σου; δὲν ἔχεις ἐξ αἰτίας ἐκείνου καὶ αὐτό; γιατί εἶσαι ἀχάριστος; ἀγαπᾶς τὸ δῶρο περισσότερο ἀπὸ ἐκεῖνον ποὺ σοῦ τὸ ἐδώρησε; Ἀλλὰ εἶμαι ἀδύναμος, λέγει, καὶ δὲν ἀντέχω, καὶ τὰ σπλάγχνα μου ταράσσονται. Ἀλλὰ νὰ ἀντιτάξης τὸ φόβο τοῦ Θεοῦ. Διότι, ἐὰν στὰ σωματικὰ κακὰ τὸ μεγαλύτερο κρύβει τὸ μικρότερο, πολὺ περισσότερο στὴν ψυχὴ ὁ φόβος διέλυσε τὸ φόβο καὶ ἡ λύπη τὴ λύπη. Ἦταν ὄμορφο τὸ παιδί; Ἀλλ' ὅ,τι καὶ ἂν ἦταν, δὲν μπορεῖ νὰ εἶναι ὡραιότερο ἀπὸ τὸν Ἰσαάκ. Ἦταν μοναχογυιός; Καὶ ἐκεῖνος. Τὸν εἶχες ἀποκτήσει στὰ γηρατειά; Καὶ ἐκεῖνος. Μήπως εἶναι χαριτωμένος; Ἀλλ' ὅσο καὶ ἂν εἶναι χαριτωμένος, δὲν εἶναι ὡραιότερος ἀπὸ τὸν Μωυσῆ, ὁ ὁποῖος καὶ βαρβαρικὰ μάτια ἐπαρακίνησε νὰ τὸν ἐπιθυμήσουν, καὶ αὐτὸ ἔγινε σὲ ἐκεῖνο τὸν καιρὸ τῆς ἡλικίας, ὅπου ἀκόμη δὲν φαίνεται ἡ ὀμορφιά. Ἀλλ' ὅμως τὸ συμπαθητικὸ αὐτὸ παιδὶ ἔρριψαν οἱ γονεῖς του στὸν ποταμό.

Καὶ σὺ μὲν τὸ βλέπεις νεκρὸ καὶ τὸ ἐνταφιάζεις καὶ πηγαίνεις στὸν τάφο, ἐκεῖνοι ὅμως δὲν ἐγνώριζαν ποιοῦ ψαριοῦ θὰ γίνη τροφή, ποιοῦ σκυλιοῦ ἢ ποιοῦ ἄλλου θηρίου ποὺ τρέφεται μέσα στὴ θάλασσα· καὶ ἔκαναν αὐτά, ἐνῶ δὲν ἐγνώριζαν τίποτε ἀκόμη γιὰ

πολλοὺς καὶ αὐτὸ ἀπῆλθεν; Ἀλλ' οὐχ οὕτως ὡς ἐπὶ τοῦ Ἰὼβ ἀθρόως ἡ συμφορά, καὶ σκυθροποτέρα· οὐ στέγης κατενεχθείσης, οὐκ ἀριστώντων μεταξύ, οὐ τῶν συμφορῶν προαγγελθεισῶν. Ἀλλ' ἐφιλεῖτο παρὰ σοῦ; Ἀλλ' οὐχὶ μᾶλλον τοῦ Ἰωσὴφ τοῦ θηριοβρώτου γενομένου· ἀλλ' ὅμως ἤνεγκε τὴν συμφοράν, καὶ τὴν μετ' ἐκείνην, καὶ τὴν μετὰ ταύτην ὁ πατήρ. Ἔκλαυσεν, ἀλλ' οὐκ ἠσέβησεν· ἐπένθησεν, ἀλλ' οὐκ ἀπεδυσπέτησεν, ἀλλὰ μέχρι τούτων ἔστη τῶν ῥημάτων, λέγων, «Ἰωσὴφ οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα». Ὁρᾷς πῶς ἐκεῖνον λιμοῦ τυραννὶς ἔπεισε καταφρονῆσαι τῶν παίδων; παρὰ δὲ σοὶ οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόβος ὅσον ὁ λιμός; Κλαῦσον, οὐ κωλύω, ἀλλὰ μηδὲν βλάσφημον μήτε εἴπῃς, μήτε πράξῃς. Οἷος ἐὰν ᾖ ὁ παῖς, οὐκ ἔστι κατὰ τὸν Ἄβελ· ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν ὁ Ἀδάμ· καίτοι χαλεπὴ ἐκείνη ἡ συμφορά, τὸ τὸν ἀδελφὸν ἀνῃρηκέναι.

Ἀλλὰ γὰρ καὶ ἀδελφοκτόνων ἄλλων ἀνεμνήσθην· οἷον ὅτε Ἀβεσσαλὼμ τὸν Ἀμνὼν ἀνεῖλε τὸν πρωτότοκον, καὶ Δαυῒδ ὁ βασιλεὺς ἠγάπα τὸ παιδίον, καὶ ἐν σάκκῳ μὲν ἐκάθητο καὶ σποδῷ, οὔτε δὲ μάντεις ἤγαγεν, οὔτε ἐπαοιδούς, καίτοι ἦσαν τότε (καὶ δηλοῖ ὁ Σαούλ), ἀλλὰ τὸν Θεὸν ἱκέτευε. Τοῦτο καὶ σὺ ποίει· ὅπερ ὁ δίκαιος ἐποίησε, ποίησον καὶ σύ· τὰ αὐτά εἰπὲ ῥήματα, ὅταν ἀποθάνῃ τὸ παιδίον· «Ἐγὼ μὲν ἀπελεύσομαι πρὸς αὐτό, αὐτὸ δὲ οὐχ ἥξει πρός με». Τοῦτο φιλοσοφίας, τοῦτο φιλοστοργίας. Ὡς ἂν φιλῇς τὸ παιδίον, οὐ φιλήσεις τοσοῦτον ὅσον ἐκεῖνος τότε. Τῷ μακαρίῳ ἐκείνῳ ἤκμαζεν ὁ περὶ τὴν μητέρα πόθος, εἰ καὶ ἐκ μοιχειῶν ἦν· ἴστε δὲ ὅτι κοινωνεῖ τὰ τικτόμενα τοῦ φίλτρου τῶν τικτόντων· καὶ τοσοῦτος ὁ ἔρως ἦν, ὡς καὶ κατήγορον αὐτῷ ὂν βούλεσθαι ζῆν· ἀλλ' ὅμως ηὐχαρίστησε τῷ Θεῷ. Τί οἴει πάσχειν τὴν Ρεβέκκαν, ὅτε ὁ ἀδελφὸς ἠπείλει τῷ Ἰακώβ; καὶ οὐκ ἐλύπησε τὸν ἄνδρα, ἀλλ' ἐκέλευσεν ἀποπέμψαι.

Ἐννόησον τὰ τούτων χείρω, ὅταν τι δεινὸν πάθῃς, καὶ ἱκανὴν ἕξεις παραμυθίαν· καὶ λογίζου, τί δέ, εἰ ἐν πολέμῳ τεθνήκει; τί δέ, εἰ ἐν πυρί; Καὶ ὧν ἐὰν πάθωμεν, τὰ δεινότερα ἐννοῶμεν, καὶ ἕξομεν ἀρκοῦσαν παραμυθίαν· καὶ τοὺς τὰ δεινότερα πεπονθό-

---

14. Γεν. 42,36
15. Β' Βασ. 12,23

τὴ Βασιλεία τῶν Οὐρανῶν, οὔτε γιὰ τὴν ἀνάσταση. Ἀλλὰ δὲν εἶναι μοναχογυιός, ἀλλὰ ὕστερα ἀπὸ πολλοὺς καὶ αὐτὸς ἐπέθανε; Ὅμως δὲν εἶναι τόσο μεγάλη καὶ γενικὴ ἡ συμφορὰ ὅπως στὴν περίπτωσι τοῦ Ἰώβ, οὔτε περισσότερο σκυθρωπή· δὲν ἔπεσε τὸ σπίτι, δὲν ἔπαθε ἀνάμεσα σὲ ἐκείνους ποὺ ἐγευμάτιζαν, δὲν εἶχαν προαγγελθῆ οἱ συμφορές. Ἀλλὰ τὸν ἀγαποῦσες; Ὅμως ὄχι περισσότερο ἀπὸ τὸν Ἰωσήφ, ποὺ ἔγινε τροφὴ στὰ θηρία· πλὴν ὅμως ὑπέφερε τὴ συμφορά, καὶ τὴν κατοπινή, καὶ τὴν ἄλλη ὕστερα ἀπὸ αὐτὴν ὁ πατέρας. Ἔκλαψε, ἀλλὰ δὲν ἔγινε ἀσεβής· ἐπένθησε, ὅμως δὲν ἔχασε τὸ θάρρος του, ἀλλὰ ἐσταμάτησε μέχρι σ' αὐτὰ τὰ λόγια, λέγοντας· «Ὁ Ἰωσὴφ δὲν ὑπάρχει, ὁ Συμεὼν δὲν ὑπάρχει, καὶ τὸν Βενιαμὶν θὰ πάρετε; σὲ μένα ἔγιναν ὅλα αὐτά»[14]. Βλέπεις πῶς ἡ τυραννίδα τῆς πείνας ἔπεισε ἐκεῖνον νὰ περιφρονήσῃ τὰ παιδιά του; καὶ σὲ σένα δὲν ἰσχύει ὁ φόβος τοῦ Θεοῦ, ὅσο ἡ πεῖνα; Κλάψε, δὲν σὲ ἐμποδίζω, ἀλλὰ καμμία βλασφημία οὔτε νὰ εἰπῆς, οὔτε νὰ κάνῃς. Ὅποιο καὶ ἂν εἶναι τὸ παιδί σου, δὲν εἶναι ἰσοδύναμο μὲ τὸν Ἄβελ. Ἀλλὰ τίποτε τέτοιο δὲν εἶπε ὁ Ἀδάμ, ἂν καὶ ἦταν φοβερὴ ἐκείνη ἡ συμφορά, τὸ νὰ ἔχῃ φονεύσει δηλαδὴ τὸν ἀδελφό του.

Ἀλλὰ ἐθυμήθηκα καὶ ἄλλους ἀδελφοκτόνους· ὅπως ὅταν ὁ Ἀβεσσαλὼμ ἐφόνευσε τὸν Ἀμνών, ποὺ ἦταν ὁ πρωτότοκος, καὶ ὁ Δαυῒδ ὁ βασιλεὺς ἀγαποῦσε τὸ παιδί του, καὶ ἐκάθετο ἐπάνω σὲ τρίχινο ὕφασμα καὶ στὴ σκόνη, οὔτε ὅμως μάντεις ἔφερε, οὔτε μάγους, ἂν καὶ ὑπῆρχαν τότε (καὶ τὸ φανερώνει ὁ Σαούλ), ἀλλὰ τὸν Θεὸ ἱκέτευε. Αὐτὸ καὶ σὺ νὰ κάνῃς· αὐτὸ ποὺ ἔκαμε ὁ δίκαιος, κάμε καὶ σύ, εἰπὲ τὰ ἴδια λόγια, ὅταν πεθάνῃ τὸ παιδί σου· «Ἐγὼ θὰ πάω πρὸς αὐτό, αὐτὸ ὅμως δὲν θὰ ἔλθῃ πρὸς ἐμέ»[15]. Αὐτὸ εἶναι δεῖγμα φιλοσοφίας, αὐτὸ εἶναι δεῖγμα φιλοστοργίας. Ὅσο καὶ ἂν ἀγαπᾶς τὸ παιδί σου, δὲν θὰ τὸ ἀγαπήσῃς τόσο ὅσο ἐκεῖνος τότε. Στὸ μακάριο ἐκεῖνο ἦταν ἀκμαῖος ὁ πόθος γιὰ τὴ μητέρα, ἂν καὶ ἦταν ἀπὸ μοιχεία· καὶ γνωρίζετε ὅτι τὰ παιδιὰ συμμερίζονται τὸν ἔρωτα τῶν γονέων τους· καὶ ἦταν τόσο μεγάλος ὁ ἔρωτας, ὥστε ἂν καὶ ἦταν τὸ παιδί του κατήγορος γι' αὐτὸν ἤθελε νὰ ζῇ· ἀλλὰ ὅμως εὐχαρίστησε τὸν Θεό. Τί νομίζεις ὅτι ἔπασχε ἡ Ρεβέκκα, ὅταν ὁ ἀδελφὸς ἀπειλοῦσε τὸν Ἰακώβ; καὶ δὲν ἐστενοχώρησε τὸν ἄνδρα, ἀλλὰ τὸν διέταξε νὰ φύγῃ μακριά.

Σκέψου τὰ χειρότερα ἀπὸ αὐτά, ὅταν πάθῃς κάτι κακό, καὶ θὰ ἔχῃς ἀρκετὴ παρηγοριά· καὶ νὰ σκέπτεσαι, τί θὰ συνέβαινε ἂν εἶχε πεθάνει στὸν πόλεμο; καὶ τί ἂν εἶχε πεθάνει στὸ πῦρ; Καὶ ἀπὸ

τας ἀεὶ περισκοπῶμεν, καὶ εἰ αὐτοὶ βαρύτερα ἐπάθομέν ποτε. Οὕτω καὶ Παῦλος προτρέπει, ὡς ὅταν λέγῃ· «Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι»· καὶ πάλιν, «Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος». Ὧν οὖν ἂν πάθωμεν, τὰ χείρω περισκοπῶμεν, εὑρήσομεν γάρ, καὶ οὕτως ἐσόμεθα εὐχάριστοι. Πρὸ δὲ πάντων εὐχαριστῶμεν ἐπὶ πᾶσι διηνεκῶς· οὕτω γὰρ καὶ ταῦτα παύσεται, καὶ ἡμεῖς εἰς δόξαν Θεοῦ ζήσομεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

16. Ἑβρ. 12,4
17. Α' Κορ. 10,13

ἐκεῖνα ποὺ θὰ συμβῇ νὰ πάθωμε, ἂς σκεπτώμασθε τὰ πιὸ φοβερά, καὶ θὰ ἔχωμε ἱκανοποιητικὴ παρηγοριά· καὶ ἂς σκεπτώμασθε μὲ προσοχὴ ἐκείνους ποὺ ἔχουν πάθει τὰ πιὸ φοβερὰ κακὰ καὶ ἐὰν ἐμεῖς οἱ ἴδιοι ἐπάθαμε ποτὲ βαρύτερα. Ἔτσι καὶ ὁ Παῦλος προτρέπει, καθὼς ὅταν λέγῃ· «Δὲν ἀντισταθήκατε ἀκόμη μέχρι σημείου νὰ χύσετε αἷμα ἀγωνιζόμενοι ἐναντίον τῆς ἁμαρτίας»[16]· καὶ πάλι, «Δὲν σᾶς ἔχει καταλάβει πειρασμός, παρὰ μόνο ἀνθρώπινος»[17]. Ἀπὸ ἐκεῖνα λοιπὸν ποὺ ἐὰν συμβῇ νὰ πάθωμε, ἂς σκεπτώμασθε τὰ χειρότερα, διότι θὰ τὰ συναντήσωμε, καὶ ἔτσι θὰ αἰσθανθοῦμε χαρά. Πρὶν ἀπὸ ὅλα ὅμως ἂς εὐχαριστοῦμε τὸν Θεὸ παντοτινὰ γιὰ ὅλα. Διότι ἔτσι καὶ αὐτὰ θὰ σταματήσουν καὶ ἐμεῖς στὴ δόξα τοῦ Θεοῦ θὰ ζήσωμε, καὶ τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ θὰ ἐπιτύχωμε. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ὅλοι ἐμεῖς νὰ ἐπιτύχωμε, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ΄

(Κολ. 3,16–17)

«Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ. Καὶ πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ, ἢ ἐν ἔργῳ πάντα ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ δι' αὐτοῦ».

1. Παραινέσας εὐχαρίστους εἶναι, καὶ τὴν ὁδὸν δείκνυσι, ταύτην ἣν πρῴην ἡμεῖς διελέχθημεν πρὸς ὑμᾶς. Τί λέγων; «Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως». Μᾶλλον δὲ οὐ ταύτην μόνον, ἀλλὰ καὶ ἑτέραν. Ἐγὼ μὲν γὰρ εἶπον, ὅτι δεῖ τοὺς τὰ δεινότερα πεπονθότας ἀναλέγειν, καὶ τοὺς τὰ χαλεπώτερα ὧν ἐπάθομεν ὑπομείναντας ἀναλογίζεσθαι, καὶ εὐχαριστεῖν ὑπὲρ τοῦ μὴ συμβῆναι ἐκεῖνα· αὐτὸς δὲ τί φησιν; «Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν»· τουτέστιν, ἡ διδασκαλία, τὰ δόγματα, ἡ παραίνεσις, ἐν αἷς οὐδὲν τὴν παροῦσαν ζωὴν εἶναί φησιν, οὐδὲ τὰ ταύτης ἀγαθά. Ἐὰν ταῦτα εἰδῶμεν, οὐδενὶ τῶν δυσχερῶν εἴξομεν. «Ἐνοικείτω», φησίν, «ἐν ὑμῖν πλουσίως», μὴ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας. Ἀκούσατε ὅσοι ἐστὲ κοσμικοί, καὶ γυναικὸς καὶ παίδων προΐστασθε, πῶς καὶ ὑμῖν ἐπιτρέπει μάλιστα τὰς Γραφὰς ἀναγινώσκειν· καὶ οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. Ὥσπερ γὰρ ὁ πλούσιος ἐν χρήμασι ζημίαν καὶ καταδίκην ἐνεγκεῖν δύναται, οὕτως ὁ πλουτῶν ἐν δόγμασι φιλοσοφίας, οὐχὶ πενίαν μόνον, ἀλλὰ καὶ πάσας τὰς συμφορὰς εὐκόλως οἴσει, καὶ ἐκείνου εὐκολώτερον. Ἐκεῖ μὲν γὰρ ἐν τῇ διαλύσει τῆς ζημίας ἀνάγκη τὸν ὄντα πλούσιον ἐλαττοῦσθαι καὶ ἐλέγχεσθαι· κἂν πολλάκις τοῦτο πάθῃ, οὐκέτι δυνήσεται ἐνεγκεῖν, ἐνταῦθα δὲ οὐχ οὕτως· οὐδὲ γὰρ δαπανῶ-

---

1. Ἡ ἀληθινὴ φιλοσοφία βέβαια εἶναι ἡ χριστιανικὴ πίστις.

ΟΜΙΛΙΑ Θ΄
(Κολ. 3,16 – 17)

«Ὁ λόγος τοῦ Χριστοῦ ἂς μένη μέσα σας πλούσια, μὲ κάθε σοφία διδάσκοντας καὶ συμβουλεύοντας ὁ ἕνας τὸν ἄλλο μὲ ψαλμοὺς καὶ ὕμνους καὶ πνευματικὲς ᾠδές, μὲ εὐγνωμοσύνη ψάλλοντας στὸν Θεὸ μέσα στὶς καρδιές σας. Καὶ καθετὶ ἂν κάνετε μὲ λόγο ἢ μὲ ἔργο, ὅλα νὰ τὰ κάνετε στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, εὐχαριστώντας δι' αὐτοῦ τὸν Θεὸ καὶ Πατέρα».

1. Ἀφοῦ τοὺς ἐσυμβούλευσε νὰ εἶναι εὐχάριστοι, καὶ τὸν τρόπο παρουσιάζει, αὐτὸν ποὺ προηγουμένως ἐδιαβάσαμε σὲ σᾶς. Τί λέγοντας; «Ὁ λόγος τοῦ Χριστοῦ ἂς κατοικῆ μέσα σας πλούσια». Καλύτερα ὅμως ὄχι μόνο αὐτόν, ἀλλὰ καὶ ἄλλο. Διότι ἐγὼ εἶπα, ὅτι πρέπει νὰ ἀναλογιζώμασθε ἐκείνους ποὺ ἔχουν πάθει τὶς μεγαλύτερες συμφορὲς καὶ νὰ σκεπτώμασθε ἐκείνους ποὺ ὑπέφεραν πιὸ φοβερὲς ἀπὸ αὐτὲς ποὺ ἐπάθαμε ἐμεῖς, καὶ νὰ εὐχαριστοῦμε αὐτὸν γιὰ τὸ ὅτι δὲν μᾶς συνέβηκαν ἐκεῖνες. Αὐτὸς ὅμως τί λέγει; «Ὁ λόγος τοῦ Χριστοῦ ἂς κατοικῆ μέσα σας»· δηλαδή, ἡ διδασκαλία τοῦ Χριστοῦ, οἱ παραινέσεις, στὶς ὁποῖες λέγει ὅτι ἡ παροῦσα ζωὴ δὲν ἀξίζει τίποτε, οὔτε τὰ ἀγαθά της. Ἐὰν γνωρίζωμε αὐτά, δὲν θὰ ὑποχωρήσωμε σὲ καμμία δυσκολία. «Ἂς κατοικῆ», λέγει, «μέσα σας πλούσια», ὄχι ἁπλά, ἀλλὰ μὲ μεγάλη ἀφθονία. Ἀκούσατε ὅσοι εἶσθε κοσμικοὶ καὶ ἔχετε ὑπὸ τὴν προστασία σας γυναῖκα καὶ παιδιά, πῶς προτρέπει καὶ σᾶς πρὸ πάντων νὰ διαβάζετε τὶς Γραφές· καὶ ὄχι ἔτσι ἁπλὰ καὶ τυχαῖα, ἀλλὰ μὲ μεγάλη προσοχή. Διότι ὅπως ὁ πλούσιος σὲ χρήματα μπορεῖ νὰ ὑπομείνη χρηματικὴ ποινὴ καὶ καταδίκη, ἔτσι καὶ ὁ πλούσιος στὰ δόγματα τῆς φιλοσοφίας[1], ὄχι μόνο τὴ φτώχεια, ἀλλὰ καὶ ὅλες τὶς συμφορὲς εὔκολα θὰ ὑπομένη, καὶ εὐκολώτερα ἀπὸ ἐκεῖνον. Διότι ἐκεῖ στὴν ἐξόφλησι τῆς ποινῆς εἶναι ἀνάγκη ὁ πλούσιος νὰ ταπεινώνεται καὶ νὰ ἐπικρίνεται, καὶ ἂν πάθη αὐτὸ πολλὲς φορές, δὲν θὰ μπορέση πιὰ νὰ τὸ ὑπομείνη, ἐδῶ ὅμως δὲν συμβαίνει ἔτσι. Διότι οὔτε δαπανοῦμε τὶς ὀρθὲς σκέψεις

μεν τοὺς ὑγιεῖς λογισμούς, ὅταν ἐνεγκεῖν τι δέῃ τῶν ἀβουλήτων, ἀλλὰ μένουσι διαπαντός.

Καὶ ὅρα τὴν σύνεσιν τοῦ μακαρίου τούτου. Οὐκ εἶπεν, ὁ λόγος τοῦ Χριστοῦ ἐν ὑμῖν ἔστω, ἁπλῶς, ἀλλὰ τί; «ἐνοικείτω», καί, «πλουσίως». «Ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς». «Ἐν πάσῃ», φησί. Τὴν ἀρετήν φησι σοφίαν· καὶ ἡ ταπεινοφροσύνη σοφία ἐστί, καὶ ἡ ἐλεημοσύνη, καὶ ὅσα τοιαῦτα, σοφία ἐστίν· ὥσπερ οὖν τἀναντία, ἄνοια· καὶ γὰρ ὠμότης ἐξ ἀνοίας. Ὅθεν πολλαχοῦ τὴν πᾶσαν ἁμαρτίαν ἀφροσύνην καλεῖ. «Εἶπε», φησίν, «ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός»· καὶ πάλιν, «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου». Τί γὰρ ἀνοητότερον, εἰπέ μοι, τοῦ τὰ μὲν ἱμάτια τὰ ἑαυτοῦ περιβαλλομένου, τοὺς δὲ ἀδελφοὺς τοὺς αὐτοῦ γυμνοὺς περιορῶντος; τοῦ κύνας μὲν τρέφοντος, τὴν δὲ εἰκόνα τοῦ Θεοῦ περιορῶντος ἐν λιμῷ; τοῦ πεπεισμένου ἁπλῶς, ὅτι οὐδὲν τὰ ἀνθρώπινα πράγματα, καὶ ὥσπερ ἀθανάτοις αὐτοῖς προστετηκότος; Ὥσπερ οὖν οὐδὲν τοῦ τοιούτου ἀνοητότερον, οὕτως οὐδὲν σοφώτερον τοῦ τὴν ἀρετὴν κατορθοῦντος.

Ὅρα γάρ, πάσσοφός ἐστι, φησί· μεταδίδωσι τῶν ὄντων, ἐλεήμων, φιλάνθρωπος· ἐπέγνω τὴν φύσιν, ὅτι κοινή· ἐπέγνω τῶν χρημάτων τὴν χρῆσιν, ὅτι οὐδενὸς ἀξία λόγου· ὅτι τῶν σωμάτων τῶν οἰκείων φείδεσθαι μᾶλλον, ἢ χρημάτων δεῖ. Ὁ δόξης καταφρονῶν πάσσοφός ἐστιν· οἶδε γὰρ τὰ ἀνθρώπινα πράγματα· τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων γνῶσις ἡ φιλοσοφία. Οὐκοῦν οἶδε μὲν ποῖα θεῖα, ποῖα δὲ ἀνθρώπινα, καὶ τῶν μὲν ἀπέχεται, ταῦτα δὲ ἐργάζεται· οἶδε δὲ καὶ εὐχαριστεῖν τῷ Θεῷ ἐν πᾶσιν· οὐδὲν εἶναι νομίζει τὸν παρόντα βίον· διὰ τοῦτο οὐδὲ ἥδεται τοῖς χρηστοῖς, οὔτε λυπεῖται τοῖς ἐναντίοις. Μὴ δὴ περιμείνῃς ἕτερον διδάσκαλον· ἔχεις τὰ λόγια τοῦ Θεοῦ· οὐδείς σε οὕτω διδάσκει ὡς ἐκεῖνα. Οὗτος μὲν γὰρ πολλὰ καὶ διὰ κενοδοξίαν καὶ διὰ βασκανίαν διαφθονεῖται πολλάκις.

Ἀκούσατε, παρακαλῶ, πάντες οἱ βιωτικοί, καὶ κτᾶσθε βιβλία φάρμακα τῆς ψυχῆς. Εἰ μηδὲν ἕτερον βούλεσθε, τὴν γοῦν Καινὴν κτήσασθε, τὸν Ἀπόστολον, τὰς Πράξεις, τὰ εὐαγγέλια, διδασκάλους διηνεκεῖς. Ἂν λύπη συμβῇ, ὥσπερ εἰς ἀποθήκην

2. Ψαλμ. 13,1 καὶ 37,6

μας, ὅταν εἶναι ἀνάγκη νὰ ὑπομείνωμε κάτι τὸ ἀνεπιθύμητο, ἀλλὰ μένουν παντοτινά.

Καὶ πρόσεχε τὴν σύνεσι τοῦ μακαρίου Παύλου. Δὲν εἶπε, ὁ λόγος τοῦ Χριστοῦ ἂς εἶναι μέσα σας, ἁπλά, ἀλλὰ τί εἶπε; «ἂς κατοικῇ» καὶ «πλούσια». «Μὲ κάθε σοφία διδάσκοντας καὶ συμβουλεύοντας ὁ ἕνας τὸν ἄλλο». «Μὲ κάθε», λέγει. Τὴν ἀρετὴ ἀποκαλεῖ σοφία. Καὶ ἡ ταπεινοφροσύνη εἶναι σοφία, καὶ ἡ ἐλεημοσύνη, καὶ ὅλα τὰ παρόμοια εἶναι σοφία, ὅπως ἀκριβῶς βέβαια τὰ ἀντίθετα εἶναι ἀνοησία, διότι καὶ ἡ σκληρότητα ἀπὸ τὴν ἀνοησία προέρχεται. Γι' αὐτὸ σὲ πολλὰ σημεῖα κάθε ἁμαρτία τὴν ἀποκαλεῖ μωρία. «Εἶπε», λέγει, «ὁ ἄφρων μέσα στὴν καρδιά του, δὲν ὑπάρχει Θεός»· καὶ πάλι· «Ἐμύρισαν καὶ ἐσάπησαν τὰ τραύματά μου ἀπὸ τὴ μωρία μου»[2]. Διότι εἰπέ μου, τί πιὸ ἀνόητο ὑπάρχει ἀπὸ τὸ νὰ φορῇ κανεὶς τὰ ροῦχα του, καὶ τοὺς ἀδελφούς του ὅμως νὰ βλέπῃ γυμνούς; ἀπὸ τὸ νὰ τρέφῃ τὰ σκυλιὰ καὶ νὰ ἀνέχεται τὴν εἰκόνα τοῦ Θεοῦ νὰ πεινᾶ; ἀπὸ τὸ νὰ ἔχῃ πεισθῆ ἁπλῶς, ὅτι τὰ ἀνθρώπινα πράγματα δὲν ἀξίζουν τίποτε καὶ νὰ εἶναι ἀφωσιωμένος σὲ αὐτὰ σὰν νὰ εἶναι ἀθάνατα; Ὅπως ἀκριβῶς λοιπὸν τίποτε δὲν εἶναι πιὸ ἀνόητο ἀπὸ αὐτόν, ἔτσι τίποτε δὲν εἶναι πιὸ σοφὸ ἀπὸ ἐκεῖνον ποὺ κατορθώνει τὴν ἀρετή.

Πρόσεχε, λοιπόν, εἶναι πάνσοφος, λέγει· δίνει ἀπὸ τὰ ὑπάρχοντά του, εἶναι ἐλεήμων, φιλάνθρωπος· ἐγνώρισε καλὰ τὴ φύσι, ὅτι εἶναι κοινή· ἐγνώρισε καλὰ τὴ χρῆσι τῶν χρημάτων, ὅτι δὲν ἀξίζει τίποτε· ὅτι πρέπει νὰ λυπούμασθε περισσότερο τὰ σώματὰ μας, παρὰ τὰ χρήματα. Ἐκεῖνος ποὺ περιφρονεῖ τὴ δόξα εἶναι πάνσοφος, διότι γνωρίζει τὰ ἀνθρώπινα πράγματα. Ἡ φιλοσοφία εἶναι ἡ γνῶσις τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων. Γνωρίζει βεβαίως ποιὰ εἶναι θεῖα καὶ ποιὰ εἶναι ἀνθρώπινα, καὶ ἀπὸ αὐτὰ δὲν ἀπομακρύνεται, ἐκεῖνα δὲ τὰ ἐκτελεῖ· ἀκόμη γνωρίζει νὰ εὐχαριστῆ τὸν Θεὸ γιὰ ὅλα, θεωρεῖ ὅτι ἡ παροῦσα ζωὴ δὲν ἀξίζει τίποτε, γι' αὐτὸ οὔτε εὐχαριστεῖται στὰ καλά, οὔτε λυπεῖται στὰ ἀντίθετα. Μὴ περιμένῃς λοιπὸν ἄλλον διδάσκαλο, ἔχεις τὰ λόγια τοῦ Θεοῦ, κανεὶς δὲν σὲ διδάσκει ἔτσι ὅπως ἐκεῖνα. Διότι αὐτὸς ὁ διδάσκαλος πολλὲς φορὲς κατακρίνεται πολὺ γιὰ ματαιοδοξία καὶ κακολογία.

Ἀκούσατε, παρακαλῶ, ὅλοι οἱ κοσμικοί, καὶ ἀποκτήσατε βιβλία, φάρμακα τῆς ψυχῆς. Ἐὰν δὲν θέλετε κανένα ἄλλο, ἀποκτήσατε τουλάχιστο τὴν Καινὴ Διαθήκη, τὸν ἀπόστολο, τὶς Πράξεις, τὰ εὐαγγέλια, τοὺς παντοτινοὺς διδασκάλους. Ἂν συμβῆ κάποια λύ-

φαρμάκων ἔγκυψον· λάβε παραμυθίαν ἐκεῖθεν τοῦ δεινοῦ, ἂν ζημία, ἂν θάνατος, ἂν ἀποβολὴ οἰκείων· μᾶλλον δὲ μὴ ἔγκυπτε, ἀλλὰ ἀνάλαβε πάντα, ἔχε ἐπὶ τῆς διανοίας. Τοῦτο πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ εἰδέναι τὰς Γραφάς. Χωρὶς ὅπλων εἰς πόλεμον βαδίζομεν· καὶ πῶς ἔδει σωθῆναι; Ἀγαπητὸν μετὰ τούτων σωθῆναι, μήτι γε χωρὶς τούτων. Μὴ τὰ πάντα ἐφ' ἡμᾶς ῥίπτετε· πρόβατά ἐστε, ἀλλ' οὐκ ἄλογα, ἀλλὰ λογικά· πολλὰ καὶ ὑμῖν ὁ Παῦλος ἐπιτρέπει. Οἱ διδασκόμενοι οὐ διαπαντὸς ἐπὶ τὸ μαθεῖν διατρίβουσιν, ἐπεὶ οὐ διδάσκονται· ἂν ἀεὶ μανθάνῃς, οὐδέποτε μαθήσῃ. Μὴ οὕτως ἔρχου, ὡς ἀεὶ μαθησόμενος, ἐπεὶ οὐδέποτε εἴσῃ, ἀλλὰ καὶ ὡς ἀπομαθησόμενος, καὶ διάξων ἕτερον. Ἐν ταῖς τέχναις οὐχὶ ὡρισμένους καιροὺς παραμένουσιν ἅπαντες, ἐν τοῖς μαθήμασι, καὶ ἐν πάσαις ἁπλῶς ταῖς τέχναις; Οὕτως ἅπαντες ὁρίζομεν φανερὸν καιρόν· ἂν δὲ ἀεὶ μανθάνητε, τεκμήριόν ἐστι τοῦ μηδὲν μαθεῖν.

Τοῦτο τὸ ὄνειδος τοῖς Ἰουδαίοις ὁ Θεὸς εἶπεν· «Αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως». Εἰ μὴ ἀεὶ τοῦτο προσεδοκᾶτε, οὐκ ἂν οὕτως εἰς τοὐπίσω πάντα ἀπῄει. Εἰ ἐνῆν τοὺς μὲν εἶναι μεμαθηκότας, τοὺς δὲ μέλλοντας, προέκοψεν ἂν τὸ ἔργον ἡμῖν· παρεχωρήσατε ἂν ἑτέροις, καὶ συναντελάβεσθε καὶ ἡμῖν. Εἰπέ μοι, εἰ πρὸς γραμματιστήν τινες ἀπίοιεν, εἶτα μένοιεν ἀεὶ τὰ στοιχεῖα μανθάνοντες, οὐ πολὺν τῷ διδασκάλῳ πόνον παρέξουσι; Μέχρι τίνος ὑμῖν περὶ βίου διαλεγόμεθα; Ἐπὶ τῶν ἀποστόλων οὕτως οὐκ ἦν, ἀλλὰ συνεχῶς μετεπήδων, τοὺς πρότερον μανθάνοντας διδασκάλους καθιστῶντες ἑτέρων τινῶν μαθητευομένων. Οὕτως ἠδυνήθησαν τὴν οἰκουμένην περιελθεῖν, τῷ μὴ προσδεσμεῖσθαι τόπῳ ἑνί. Πόσης οἴεσθε διδασκαλίας δεῖσθαι τοὺς ὑμετέρους ἀδελφοὺς τοὺς ἐπὶ τῶν ἀγρῶν, καὶ τοὺς ἐκείνων διδασκάλους; Ἀλλ' ὑμεῖς με κατέχετε προσηλώσαντες. Πρὶν ἢ γὰρ τὴν κεφαλὴν καλῶς διατεθῆναι, περιττὸν ἐπὶ τὸ λοιπὸν σῶμα ἰέναι. Πάντα ἡμῖν ἐπιρρίπτετε. Ὑμᾶς ἐχρῆν παρ' ἡμῶν μανθάνειν μόνον· τὰς δὲ γυναῖκας παρ' ὑμῶν, τὰ παιδία παρ' ὑμῶν· ἀλλὰ πάντα ἡμῖν καταλιμπάνετε· διὰ τοῦτο πολὺς ὁ κόπος.

3. Ἠσ. 46,3.4

πη, σκύψε μὲ προσοχὴ ὅπως σὲ ἀποθήκη φαρμάκων· λάβε παρηγοριὰ τῆς συμφορᾶς ἀπὸ ἐκεῖ, ἂν ζημία συμβῆ, ἂν θάνατος, ἂν ἀπώλεια συγγενικῶν προσώπων· καλύτερα ὅμως νὰ μὴ σκύψης, ἀλλὰ νὰ συγκρατήσης τὰ πάντα καὶ νὰ τὰ ἔχης στὸ νοῦ σου. Αἰτία ὅλων τῶν κακῶν εἶναι αὐτό, δηλαδή, τὸ νὰ μὴ γνωρίζωμε τὶς Γραφές. Βαδίζομε στὸν πόλεμο χωρὶς ὅπλα, καὶ πῶς εἶναι δυνατὸ νὰ σωθοῦμε; Εἶναι εὐχάριστο νὰ σωθοῦμε μὲ αὐτά, καὶ καθόλου βέβαια χωρὶς αὐτά. Μὴ ἐπιρρίπτετε τὰ πάντα σὲ μᾶς· εἶσθε πρόβατα, ὄχι ὅμως χωρὶς λογικό, ἀλλὰ πρόβατα λογικά. Πολλὰ καὶ σὲ σᾶς ἐπιτρέπει ὁ Παῦλος. Οἱ διδασκόμενοι δὲν διαθέτουν παντοτινὰ τὸν καιρό τους γιὰ τὴ μάθησι, ἐπειδὴ δὲν διδάσκονται. Ἂν πάντοτε μαθαίνης, ποτὲ δὲν θὰ μάθης. Νὰ μὴ ἔρχεσαι, γιὰ νὰ μάθης πάντοτε, ἐπειδὴ ποτὲ δὲν θὰ γνωρίσης, ἀλλὰ καὶ γιὰ νὰ μὴ ξεχάσης αὐτὰ ποὺ ἔμαθες, καὶ γιὰ νὰ διδάξης ἄλλον. Στὶς τέχνες δὲν παραμένουν ὅλοι ὁρισμένο χρόνο, στὰ μαθήματα, καὶ σὲ ὅλες γενικῶς τὶς τέχνες; Ἔτσι ὅλοι καθορίζομε κάποιο φανερὸ χρόνο· ἂν ὅμως πάντοτε μαθαίνετε, εἶναι ἀπόδειξις τοῦ ὅτι δὲν ἐμάθατε τίποτε.

Τὴν κατηγορία αὐτὴ τὴν εἶπε ὁ Θεὸς στοὺς Ἰουδαίους· «Ὑπερηφανεύεσθε ἀπὸ τὴν κοιλιὰ ἀκόμη καὶ διδάσκεσθε μέχρι τὰ γηρατειά σας»[3]. Ἐὰν δὲν ἐπεριμένατε πάντοτε αὐτό, δὲν θὰ ἐπέστρεφαν τόσο πολὺ τὰ πάντα πρὸς τὰ πίσω. Ἐὰν ἦταν δυνατὸ ἄλλοι νὰ ἔχουν μάθει καὶ οἱ ἄλλοι νὰ μάθουν στὸ μέλλον, θὰ ἐπροχωροῦσε τὸ ἔργο μας· θὰ ἐπαραχωρούσατε τὴ θέσι σας σὲ ἄλλους καὶ θὰ ἐβοηθούσατε καὶ ἐμᾶς. Εἰπέ μου, ἐὰν θὰ ἐπήγαιναν μερικοὶ σὲ διδάσκαλο, καὶ ἐξακολουθοῦσαν νὰ καταγίνωνται μὲ τὴν μάθησι τῶν στοιχείων τῶν γραμμάτων, δὲν θὰ κουράσουν πολὺ τὸν διδάσκαλο; Μέχρι πότε θὰ σᾶς διδάσκωμε γιὰ τὸν τρόπο ζωῆς; Στοὺς ἀποστόλους τὰ πράγματα δὲν ἦταν ἔτσι, ἀλλὰ συνεχῶς οἱ ἀπόστολοι ἔκαναν ἅλματα, καθιστῶντας ἐκείνους, ποὺ ἐμάθαιναν πρῶτα, διδασκάλους σὲ ἄλλους μαθητευομένους. Ἔτσι κατώρθωσαν νὰ γυρίσουν τὴν οἰκουμένη, μὲ τὸ νὰ μὴ δένωνται σὲ ἕνα τόπο. Πόση διδασκαλία νομίζετε ὅτι χρειάζονται οἱ ἀδελφοί σας ποὺ ζοῦν στὸ ὕπαιθρο καὶ οἱ διδάσκαλοι ἐκείνων; Ἀλλὰ ἐσεῖς μὲ κατακρατεῖτε ἐδῶ καρφωμένο. Διότι προτοῦ νὰ ἀσκηθῆ καλὰ ἡ κεφαλή, εἶναι περιττὸ νὰ ἔλθωμε στὸ ὑπόλοιπο σῶμα. Τὰ πάντα ἐπιρρίπτετε σὲ μᾶς. Ἐσεῖς μόνο ἔπρεπε νὰ διδάσκεσθε ἀπὸ μᾶς, οἱ γυναῖκες ὅμως ἀπὸ σᾶς καὶ τὰ παιδιὰ ἀπὸ σᾶς. Ἀλλὰ ἀφήνετε τὰ πάντα σὲ μᾶς, γι' αὐτὸ εἶναι πολὺς ὁ κόπος.

2. «Διδάσκοντες», φησί, «καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς». Ὅρα καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. Ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει πόνον, καὶ πολὺ τὸ φορτικόν, οὐκ ἐφ' ἱστορίας ἤγαγεν, ἀλλ' ἐπὶ ψαλμούς, ἵνα ὁμοῦ καὶ τέρπῃς τὴν ψυχὴν ᾄδων, καὶ ὑποκλέπτῃς τὸν πόνον. «Ὕμνοις», φησί, «καὶ ᾠδαῖς πνευματικαῖς». Νῦν δὲ σατανικὰς μὲν ᾠδὰς καὶ ὀρχήσεις ἐροῦσιν οἱ παῖδες οἱ ὑμέτεροι, καθάπερ οἱ μάγειροι καὶ οἱ ὀψῶναι καὶ οἱ χορευταί· ψαλμὸν δὲ οὐδεὶς οὐδένα οἶδεν, ἀλλὰ καὶ αἰσχύνη τὸ πρᾶγμα δοκεῖ εἶναι καὶ χλευασία καὶ γέλως. Ἐκεῖθεν ἅπαντα τὰ κακὰ σώζεται. Ἐν οἵᾳ γὰρ ἂν ἑστήκῃ γῇ τὸ φυτόν, τοιοῦτον φέρει τὸν καρπόν· ἂν ἐν ἀμμώδει καὶ ἁλμυρᾷ, τοιοῦτον· ἂν ἐν γλυκείᾳ καὶ λιπαρᾷ, πάλιν ὅμοιον. Οὕτω πηγή τίς ἐστι τὰ διδάγματα. Δίδαξον αὐτὸν ᾄδειν ψαλμοὺς ἐκείνους τοὺς φιλοσοφίας γέμοντας, οἷον περὶ σωφροσύνης εὐθέως, μᾶλλον δὲ πρὸ πάντων περὶ τοῦ μὴ συνεῖναι πονηροῖς, εὐθέως ἀπ' αὐτῆς τῆς ἀρχῆς τοῦ βιβλίου· διὰ γὰρ τοῦτο καὶ ἐντεῦθεν ἤρξατο ὁ προφήτης λέγων, «Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν»· καὶ πάλιν, «Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος»· καὶ πάλιν, «Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει»· περὶ τοῦ συνεῖναι ἀγαθοῖς· καὶ ταῦτα εὑρήσεις ἐκεῖ πολλά· περὶ τοῦ γαστρὸς κατέχειν, περὶ τοῦ χειρὸς κατέχειν, περὶ τοῦ ἀκολασίας, περὶ τοῦ μὴ πλεονεκτεῖν· ὅτι οὐδὲν τὰ χρήματα, οὐδὲ ἡ δόξα, καὶ ὅσα τοιαῦτα. Ὅταν τούτοις ἐκ παιδὸς ἐνάξῃς αὐτόν, κατὰ μικρὸν καὶ ἐπὶ τὰ ὑψηλότερα ἄξεις.

Οἱ ψαλμοὶ πάντα ἔχουσιν, οἱ δὲ ὕμνοι πάλιν οὐδὲν ἀνθρώπινον· ὅταν ἐν τοῖς ψαλμοῖς μάθῃ, τότε καὶ ὕμνους εἴσεται, ἅτε θειότερον πρᾶγμα. Αἱ γὰρ ἄνω δυνάμεις ὑμνοῦσιν, οὐ ψάλλουσιν. «Οὐ γὰρ ὡραῖος ὕμνος ἐν στόματι», φησίν, «ἁμαρτωλοῦ» καὶ πάλιν, «Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ» καὶ πάλιν, «Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν»· καὶ πάλιν, «Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει». Ὥστε μὴ μόνον φίλοις, ἀλλὰ μηδὲ οἰκέταις ἀναμιγνύναι ἑαυτοὺς ἀσφαλίζεσθε. Τὰ γὰρ μυρία κακὰ τοῖς ἐλευθέροις, ὅταν δούλους αὐτοῖς ἐπιστήσωμεν

---

4. Ψαλμ. 1,1· 24,4· 14,4
5. Σοφ. Σειρ. 15,9. Ψαλμ. 10,6.7
6. Ψαλμ. 100,6.7

2. «Διδάσκοντας», λέγει, «καὶ συμβουλεύοντας ὁ ἕνας τὸν ἄλλο μὲ ψαλμοὺς καὶ ὕμνους καὶ πνευματικὲς ὠδές». Πρόσεχε καὶ τὸ ἐλαφρὺ τῶν συμβουλῶν τοῦ Παύλου. Ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει κόπο καὶ πολλὴ ἐνόχλησι, δὲν ὡδήγησε σὲ ἱστορίες, ἀλλὰ σὲ ψαλμούς, γιὰ νὰ εὐχαριστῇς συγχρόνως τὴν ψυχή σου ψάλλοντας καὶ νὰ ἀποφεύγῃς τὸν κόπο. «Μὲ ὕμνους», λέγει, «καὶ πνευματικὲς ὠδές». Τώρα ὅμως τὰ παιδιά σας λέγουν τραγούδια καὶ χοροὺς τοῦ σατανᾶ, ὅπως οἱ μάγειροι καὶ οἱ τραπεζοκόμοι καὶ οἱ χορευτές. Κανεὶς ὅμως δὲν γνωρίζει κανένα ψαλμό, ἀλλὰ καὶ τὸ πρᾶγμα φαίνεται ὅτι εἶναι ἐντροπὴ καὶ χλευασμὸς καὶ προκαλεῖ γέλιο. Ἀπὸ ἐκεῖ διαιωνίζονται ὅλα τὰ κακά. Διότι σὲ ὅποιο χῶμα θὰ τοποθετηθῇ τὸ φυτό, τέτοιο καρπὸ παράγει· ἂν τοποθετηθῇ σὲ ἀμμῶδες καὶ ἁλμυρό, τέτοιο καρπὸ παράγει, ἂν σὲ γλυκὸ καὶ εὔφορο, πάλι ὅμοιο καρπό. Ἔτσι κάποια πηγὴ εἶναι τὰ διδάγματα. Δίδαξε στὸ παιδί σου νὰ ψάλλῃ ἐκείνους τοὺς ψαλμοὺς ποὺ εἶναι γεμᾶτοι ἀπὸ φιλοσοφία, ὅπως γιὰ σωφροσύνη ἀμέσως, ἢ καλύτερα πρὶν ἀπὸ ὅλα τὸ νά μὴ συναναστρέφεται μὲ πονηρούς, ἀμέσως ἀπὸ αὐτὴν τὴν ἀρχὴ τοῦ βιβλίου. Γι' αὐτὸ λοιπὸν καὶ ἀπὸ ἐδῶ ἄρχισε νὰ λέγῃ ὁ προφήτης, «Εἶναι εὐτυχὴς ὁ ἄνθρωπος, ὁ ὁποῖος δὲν ἐβάδισε σύμφωνα μὲ τὶς σκέψεις τῶν ἀσεβῶν»· καὶ πάλι «Καταφρονεῖται ἐνώπιόν του ὁ πονηρός, ἀλλὰ τιμᾷ ἐκείνους ποὺ φοβοῦνται τὸν Κύριο»[4]. Δίδαξέ το νὰ συναναστρέφεται μὲ ἀγαθούς· καὶ θὰ εὕρῃς ἐκεῖ πολλὰ τέτοια· γιὰ νὰ ἐξουσιάζῃ τὴν κοιλία του, γιὰ νὰ ἐλέγχῃ τὸ χέρι του, γιὰ νὰ μὴ εἶναι ἀκόλαστο, γιὰ νὰ μὴ εἶναι πλεονέκτης, ὅτι δὲν ἀξίζουν τίποτε τὰ χρήματα, οὔτε ἡ δόξα, καὶ ὅλα τὰ παρόμοια. Ὅταν ἀπὸ παιδὶ τὸν ὠθήσῃς πρὸς αὐτά, θὰ τὸν ὁδηγήσῃς σιγὰ σιγὰ καὶ πρὸς τὰ ὑψηλότερα.

Οἱ ψαλμοὶ περιέχουν τὰ πάντα, οἱ ὕμνοι πάλι τίποτε τὸ ἀνθρώπινο. Ὅταν συνηθίσῃ στοὺς ψαλμούς, τότε θὰ γνωρίσῃ καὶ ὕμνους, ποὺ εἶναι ἱερώτερο πρᾶγμα. Διότι οἱ δυνάμεις τῶν οὐρανῶν ὑμνοῦν, δὲν ψάλλουν. «Διότι δὲν εἶναι ὡραῖος ὁ ὕμνος», λέγει, «στὸ στόμα τοῦ ἁμαρτωλοῦ»[5]· καὶ πάλι, «Τὰ μάτια μου εἶναι στραμμένα ἐπάνω στοὺς πιστοὺς τῆς γῆς, γιὰ νὰ συγκατοικοῦν μαζί μου»· καὶ πάλι, «Δὲν ἐκατοικοῦσε μέσα στὸ σπίτι μου ἐκεῖνος ποὺ ἦταν ὑπερήφανος»· καὶ πάλι, «Ὅταν ἐβάδιζα σὲ δρόμο ἀσεβῶν, αὐτὸς μὲ ὑπηρετοῦσε»[6]. Ὥστε ὄχι μόνο μὲ τοὺς φίλους, ἀλλὰ οὔτε μὲ τοὺς ὑπηρέτες νὰ ἀναμειγνύεστε γιὰ νὰ προφυλάσσετε τοὺς ἑαυτούς σας. Διότι τὰ πολλὰ κακὰ συμβαίνουν στοὺς ἐλευθέρους,

διεφθαρμένους. Εἰ γὰρ πατρὸς ἀπολαύοντες καὶ φιλοστοργίας καὶ φιλοσοφίας τοσαύτης, μόλις διασώζονται, ὅταν αὐτοὺς ἐκδῶμεν τῇ ἀφειδίᾳ τῶν οἰκετῶν, καθάπερ ἐχθροῖς αὐτοῖς κέχρηνται, νομίζοντες αὐτοῖς τὴν δεσποτείαν εἶναι ἡμερωτέραν, ἂν μωροὺς αὐτοὺς ἀπεργάσωνται καὶ φαύλους καὶ οὐδενὸς λόγου ἀξίους. Πρὸ τῶν ἄλλων οὖν ἁπάντων ταῦτα σπουδάζωμεν. «Ἠγάπησα», φησί, «τοὺς ἀγαπῶντας τὸν νόμον σου». Τοῦτον οὖν καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τούτους ἀγαπῶμεν.

Ἵνα δὲ πάλιν σωφρονῶσιν οἱ παῖδες, ἀκουέτωσαν τοῦ προφήτου λέγοντος, «Ὅτι αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων»· καὶ πάλιν ἀκουέτωσαν αὐτοῦ λέγοντος, «Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ». Καὶ ὅτι δεῖ γαστρὸς κατέχειν, ἀκουέτωσαν πάλιν· «Καὶ ἀπέκτεινε», φησί, «ἐν τοῖς πλείοσιν αὐτῶν, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν». Καὶ ὅτι δεῖ δώρων κρατεῖν· «Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν»· καὶ δόξης κρατεῖν· «Οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ»· τοὺς πονηροὺς μὴ ζηλοῦν· «Μὴ παραζήλου ἐν πονηρευομένοις»· τὰς δυναστείας ἡγεῖσθαι οὐδέν· «Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν»· μηδὲν τὰ παρόντα ἡγεῖσθαι· «Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστι· μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς βοηθὸς αὐτοῦ»· ὅτι οὐχ ἁπλῶς ἁμαρτάνομεν, ἀλλ' ἔστιν ἀνταπόδοσις· «Ὅτι σὺ ἀποδώσεις», φησίν, «ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»· διὰ τί δὲ οὐ καθ' ἡμέραν ἀποδίδωσιν· «Ὁ Θεὸς κριτής», φησί, «δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος»· ὅτι ταπεινοφροσύνη καλόν· «Κύριε», φησίν, «οὐχ ὑψώθη ἡ καρδία μου»· ὅτι ὑπερηφανία κακόν· «Διὰ τοῦτο», φησίν, «ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος»· καὶ πάλιν, «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται»· καὶ πάλιν, «Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν»· ὅτι ἐλεημοσύνη καλόν· «Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα»· ὅτι τὸ ἐλεεῖν ἐπαινετόν· «Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων, καὶ κιχρῶν». Καὶ πολλὰ τούτων πλείονα εὑρήσεις ἐκεῖ ἐμφιλόσοφα δόγματα· οἷον ὅτι κακῶς λέγειν οὐ δεῖ· «Τὸν κατα-

---

7. Ψαλμ. 37,8
8. Ψαλμ. 72,28
9. Ψαλμ. 77,30.31
10. Ψαλμ. 61,11
11. Δηλ. στὸν Ἅδη. Ψαλμ. 48,18
12. Ψαλμ. 36,1
13. Ψαλμ. 36,35.36
14. Ψαλμ. 143,15
15. Ψαλμ. 61,13
16. Ψαλμ. 7,12
17. Ψαλμ. 130,1
18. Ψαλμ. 72,6. Παροιμ. 3,34. Ψαλμ. 72,7
19. Ψαλμ. 111,9
20. Ψαλμ. 111,5

ὅταν ἐγκαταστήσωμε σ' αὐτοὺς διεφθαρμένους δούλους. Διότι, ἐάν, ἐνῶ ἀπολαμβάνουν τὴν τόση φιλοστοργία καὶ φιλοσοφία τοῦ πατέρα τους, μὲ κόπο διασώζωνται, σκέψου ὅταν τοὺς παραδώσωμε στὴν ἀδιαφορία τῶν δούλων, ποὺ τοὺς ἀντιμετωπίζουν σὰν ἐχθρούς, καὶ θεωροῦν ὅτι ἡ ἐξουσία τοῦ κυρίου γίνεται πιὸ μαλακὴ γι' αὐτούς, ἂν καταστήσουν αὐτοὺς μωροὺς καὶ φαύλους καὶ ἐντελῶς ἀναξίους. Πρὶν ἀπὸ ὅλα τὰ ἄλλα λοιπὸν ἂς φροντίζωμε αὐτά. «Ἔχω ἀγαπήσει», λέγει, «αὐτοὺς ποὺ ἀγάπησαν τὸ νόμο σου». Αὐτὸν λοιπὸν καὶ ἐμεῖς ἂς ἐπιθυμήσωμε πάρα πολὺ καὶ ἂς ἀγαπᾶμε αὐτούς.

Γιὰ νὰ συμπεριφέρωνται μὲ σύνεσι πάλι τὰ παιδιά, ἂς ἀκούσουν τὸν προφήτη ποὺ λέγει, «Ὅτι τὰ νεφρά μου εἶναι γεμᾶτα ἀπὸ φλεγμονές»[7]· καὶ πάλι ἂς ἀκούσουν αὐτὸν ποὺ λέγει, «ἐξώντωσες ὅλους ποὺ ἀπομακρύνονται ἀπὸ σένα»[8]. Καὶ ὅτι πρέπει νὰ εἶναι ἐγκρατεῖς στὸ φαγητό, ἂς ἀκούσουν πάλι· «καὶ ἐθανάτωσε τοὺς πιὸ πολλοὺς ἐπὸ αὐτούς, ἐνῶ ἡ τροφὴ ἦταν ἀκόμη στὸ στόμα τους»[9]. Καὶ ὅτι πρέπει νὰ εἶναι κυρίαρχοι τῶν ἀγαθῶν· «Ἐφόσον ὁ πλοῦτος φεύγει, μὴ προσκολλᾶτε τὴν καρδιά σας»[10]· καὶ γιὰ νὰ ἐξουσιάζουν τὴ δόξα· «Οὔτε ἡ δόξα του θὰ κατεβῆ μαζί του»[11]· γιὰ νὰ μὴ ζηλεύουν τοὺς πονηρούς· «Μὴ ζηλεύῃς τὴν εὐτυχία τῶν πονηρῶν»[12]· γιὰ νὰ θεωροῦν ὅτι οἱ ἐξουσίες δὲν ἀξίζουν τίποτε· «Εἶδα τὸν ἀσεβῆ νὰ ὑψώνεται καὶ νὰ ἐπαίρεται ὅπως οἱ κέδροι τοῦ Λιβάνου, καὶ ἐπέρασα ἀπὸ ἐκεῖ, καὶ νὰ δὲν ὑπῆρχε»[13]· γιὰ νὰ θεωροῦν τὰ παρόντα ἀγαθὰ μηδαμινά· «Ἐμακάρισαν τὸ λαὸ στὸν ὁποῖο ὑπάρχουν αὐτά· μακάριος εἶναι ὁ λαός, στὸν ὁποῖο βοηθός του εἶναι ὁ Κύριος, ὁ Θεός»[14]· ὅτι ὄχι ἁπλῶς ἁμαρτάνομε, ἀλλὰ ὑπάρχει ἀνταπόδοσις· «Διότι ἐσὺ θὰ ἀνταποδώσῃς», λέγει, «στὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του»[15]· καὶ γιατί δὲν ἀνταποδίδει καθημερινά· «Ὁ Θεός, λέγει, «εἶναι κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος»[16]· ὅτι ἡ ταπεινοφροσύνη εἶναι καλό· «Κύριε», λέγει, «δὲν ὑπερηφανεύθηκε ἡ ψυχή μου»[17]· ὅτι ἡ ὑπερηφάνεια εἶναι κακό· «Γι' αὐτό», λέγει, «ἐκυρίευσε αὐτοὺς τελείως ἡ ὑπερηφάνεια»· καὶ πάλι, «Ὁ Κύριος ἀντιμάχεται αὐτοὺς ποὺ εἶναι ὑπερήφανοι»· καὶ πάλι, «Ἡ ἀδικία τους θὰ ἐξέρχεται σὰν ἀπὸ τὸ λίπος τους»[18]· ὅτι ἡ ἐλεημοσύνη εἶναι καλό· «Ἐσκόρπισε τὰ ἀγαθά του, ἔδωσε στοὺς πτωχούς· ἡ ἀρετή του μένει παντοτινά»[19]· ὅτι εἶναι ἐπαινετὸ νὲ εὐσπλαγχνίζεται καὶ δανείζει τοὺς ἄλλους»[20]. Καὶ θὰ συναντήσῃς ἐκεῖ περισσότερα ἀπὸ αὐτὰ διδάγματα γεμᾶτα ἀπὸ φιλοσοφία, ὅπως γιὰ

λαλοῦντα», φησί, «λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον».

Τίς ὁ ὕμνος τῶν ἄνω; Ἴσασιν οἱ πιστοί· τί λέγει τὰ Χερουβὶμ ἄνω; Τί ἔλεγον οἱ ἄγγελοι; «Δόξα ἐν ὑψίστοις Θεῷ». Διὰ τοῦτο μετὰ τὰς ψαλμῳδίας ὕμνοι, ἅτε τελειότερόν τι πρᾶγμα. «Ψαλμοῖς», φησίν, «ὕμνοις, ᾠδαῖς πνευματικαῖς ἐν τῇ χάριτι ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ». Ἢ τοῦτό φησιν, ὅτι διὰ χάριν ἡμῖν ταῦτα ἔδωκεν ὁ Θεός, ἢ ταῖς ἐν τῇ χάριτι ᾠδαῖς, ἢ νουθετοῦντες ἑαυτοὺς καὶ διδάσκοντες ἐν χάριτι, ἢ ὅτι ἐν χάριτι εἶχον ταῦτα τὰ χαρίσματα, ἢ ἐπεξήγησίς ἐστιν· ἀπὸ τῆς χάριτος τοῦ Πνεύματος, φησίν. «Ἄιδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ». Μὴ ἁπλῶς, φησί, τῷ στόματι, ἀλλὰ μετὰ προσοχῆς. Τοῦτο γάρ ἐστι τῷ Θεῷ ᾄδειν, ἐκεῖνο δὲ τῷ ἀέρι· διαχεῖται γὰρ ἁπλῶς ἡ φωνή. Μὴ πρὸς ἐπίδειξιν, φησί. Κἂν ἐν ἀγορᾷ ᾖς, δύνασαι συστρέψαι σαυτὸν καὶ ᾄδειν τῷ Θεῷ, μηδενὸς ἀκούοντος· ἐπεὶ καὶ Μωϋσῆς οὕτως ηὔχετο, καὶ ἠκούσθη· φησὶ γάρ, «Τί βοᾷς πρός με;» καίτοι γε οὐδὲν εἶπεν, ἀλλ' ἐβόα κατὰ διάνοιαν· διὸ καὶ ὁ Θεὸς ἤκουσε μόνος· μετὰ καρδίας συντετριμμένης. Οὐ κεκώλυται γὰρ καὶ περιπατοῦντα εὔχεσθαι κατὰ καρδίαν, καὶ ἄνω εἶναι.

3. «Καὶ πᾶν ὅ,τι ἂν ποιῆτε», φησίν, «ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ δι' αὐτοῦ». Ἐὰν γὰρ οὕτω ποιῶμεν, οὐδὲν ἔσται μιαρόν, οὐδὲ ἀκάθαρτον, ἔνθα ἂν ὁ Χριστὸς καλῆται. Ἐὰν ἐσθίῃς, ἐὰν πίνῃς, ἐὰν γαμῇς, ἐὰν ἀποδημῇς, πάντα ἐν ὀνόματι τοῦ Θεοῦ πρᾶττε· τουτέστιν, αὐτὸν καλῶν βοηθόν· ἐπὶ πάντων πρότερον αὐτῷ εὐχόμενος, ἅπτου τῶν πραγμάτων. Βούλει τι φθέγξασθαι; τοῦτο πρότασσε. Διὰ τοῦτο καὶ ἡμεῖς τῶν ἐπιστολῶν προτάσσομεν τὸ ὄνομα Κυρίου. Ἔνθα ἂν ᾖ τὸ ὄνομα τοῦ Θεοῦ, πάντα αἴσια. Εἰ γὰρ ὑπάτων ὀνόματα ἀσφαλῆ τά γραμματεῖα ποιεῖ, πολλῷ μᾶλλον τοῦ Χριστοῦ τὸ ὄνομα. Ἢ τοῦτό φησι, κατὰ Θεὸν πάντα καὶ λέγετε, καὶ πράττετε· μὴ τοὺς ἀγγέλους ἐπεισάγετε. Ἐσθίεις; εὐχαρίστησον τῷ Θεῷ, καὶ μέλλων, καὶ μετὰ ταῦτα. Καθεύδεις; εὐχαρίστησον τῷ Θεῷ, καὶ μέλλων, καὶ μετὰ ταῦτα. Εἰς ἀγορὰν ἐμβάλ-

21. Ψαλμ. 100,5
22. Λουκᾶ 2,14
23. Ἐξ. 14,15

παράδειγμα, ὅτι δὲν πρέπει νὰ ὑβρίζωμε· «Ἔδιωξα αὐτόν», λέγει, «ὁ ὁποῖος κρυφὰ ὑβρίζει τὸν πλησίον του»[21].

Ποιὸς εἶναι ὁ ὕμνος τῶν οὐρανῶν; γνωρίζουν οἱ πιστοί· τί λέγουν τὰ Χερουβεὶμ στοὺς οὐρανούς; Τί ἔλεγαν οἱ ἄγγελοι; «Ἂς εἶναι δοξασμένος ὁ Θεὸς ποὺ εὑρίσκεται στὰ ὕψιστα μέρη τοῦ οὐρανοῦ»[22]. Γι' αὐτὸ ὕστερα ἀπὸ τὶς ψαλμωδίες ἀκολουθοῦν οἱ ὕμνοι, σὰν κάποιο τελειότερο πρᾶγμα. «Μὲ ψαλμούς», λέγει, «ὕμνους καὶ πνευματικὲς ᾠδές, μὲ εὐγνωμοσύνη ψάλλοντας στὸν Θεὸ μέσα στὶς καρδιές σας». Ἢ αὐτὸ ἐννοεῖ, ὅτι γιὰ εὐεργεσία σᾶς ἔδωσε ὁ Θεὸς αὐτά, ἢ στὶς ᾠδὲς κατὰ τὴν εὐχαριστία, ἢ συμβουλεύοντας καὶ διδάσκοντας μὲ εὐγνωμοσύνη τοὺς ἑαυτούς σας, ἢ ὅτι μὲ εὐγνωμοσύνη εἶχαν τὰ χαρίσματα αὐτά, ἢ εἶναι ἐπεξήγησις· ἀπὸ τὴ χάρι τοῦ ἁγίου Πνεύματος, λέγει. «Ψάλλοντας μὲ τὴν καρδιά σας στὸν Θεό». Ὄχι μόνο μὲ τὸ στόμα, λέγει, ἀλλὰ μὲ προσοχή. Διότι αὐτὸ σημαίνει νὰ ψάλλωμε στὸν Θεό, ἐκεῖνο δὲ στὸν ἀέρα, διότι διασκορπίζεται ἁπλῶς ἡ φωνή. Ὄχι γιὰ ἐπίδειξι, λέγει. Καὶ ἂν ἀκόμη εὑρίσκεσαι στὴν ἀγορά, μπορεῖς νὰ συγκεντρωθῇς καὶ νὰ ψάλλῃς στὸν Θεό, χωρὶς νὰ ἀκούῃ κανείς, ἀφοῦ καὶ ὁ Μωυσῆς ἔτσι ἐπροσεύχετο καὶ εἰσακούσθηκε· διότι λέγει, «Γιατί φωνάζεις πρὸς ἐμέ»[23]; ἂν καὶ δὲν εἶπε τίποτε, ἀλλὰ ἐφώναζε στὸ νοῦ του· γι' αὐτὸ καὶ μόνο ὁ Θεὸς ἄκουσε. Μὲ ἐξουθενωμένη καρδιά. Διότι δὲν ὑπάρχει ἐμπόδιο καὶ ὅταν περιπατῇς νὰ προσεύχεσαι νοερὰ καὶ νὰ εἶναι ἡ σκέψις σου στοὺς οὐρανούς.

3. «Καὶ καθετὶ ἂν κάνετε», λέγει, «μὲ λόγο ἢ μὲ ἔργο, ὅλα νὰ τὰ κάνετε στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, εὐχαριστώντας δι' αὐτοῦ τὸν Θεὸ καὶ Πατέρα». Διότι ἐὰν ἔτσι κάνωμε, τίποτε δὲν θὰ εἶναι μιαρό, οὔτε ἀκάθαρτο, ὅπου θὰ καλεῖται ὁ Χριστός. Ἐάν τρώγῃς, ἐὰν πίνῃς, ἐὰν παντρεύεσαι, ἐὰν ταξιδεύῃς, ὅλα νὰ τὰ κάνῃς στὸ ὄνομα τοῦ Θεοῦ, δηλαδή, καλώντας αὐτὸν βοηθό. Σὲ ὅλα πρῶτα νὰ προσεύχεσαι σὲ αὐτὸν καὶ μετὰ νὰ καταγίνεσαι μὲ τὶς ὑποθέσεις σου. Θέλεις νὰ εἰπῇς κάτι; νὰ προτάσσῃς αὐτὸ τὸ ὄνομα. Γι' αὐτὸ καὶ ἐμεῖς προτάσσομε στὶς ἐπιστολές μας τὸ ὄνομα τοῦ Κυρίου. Ὅπου εὑρίσκεται τὸ ὄνομα τοῦ Θεοῦ, τὰ πάντα εἶναι εὐνοϊκά. Διότι ἐὰν τὰ ὀνόματα τῶν ὑπάτων ἀσφαλίζουν τὰ ἔγγραφα, πολὺ περισσότερο τὸ ὄνομα τοῦ Χριστοῦ. Ἢ τοῦτο ἐννοεῖ, σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ νὰ λέγετε καὶ νὰ κάμνετε τὰ πάντα· νὰ μὴ ἀναφέρεσθε στοὺς ἀγγέλους. Τρώγεις; εὐχαρίστησε τὸν Θεό, καὶ πρὶν καὶ μετὰ τὸ φαγητό. Κοιμᾶσαι; εὐχαρίστησε τὸν Θεό, καὶ πρὶν καὶ μετὰ τὸν

λεις; ταὐτὸν ποίει. Μηδὲν κοσμικόν, μηδὲν βιωτικόν· πάντα ἐν ὀνόματι Κυρίου ποίει, καὶ πάντα σοι εὐοδωθήσεται. Ὅπου ἂν ἐπιτεθῇ τὸ ὄνομα, πάντα αἴσια. Εἰ δαίμονας ἐκβάλλει, εἰ νόσους ἀπελαύνει, πολλῷ μᾶλλον εὐκολίαν πραγμάτων ποιεῖ. Καὶ τί ἐστι ποιῆσαι ἐν λόγῳ, ἢ ἐν ἔργῳ; Ἢ ἀξιοῦντα, ἢ ὁτιοῦν ποιοῦντα.

Ἄκουσον πῶς ὁ Ἀβραὰμ ἐν ὀνόματι τοῦ Θεοῦ τὸν οἰκέτην ἀπέστειλεν, ὁ Δαυΐδ ἐν ὀνόματι τοῦ Θεοῦ τὸν Γολιὰθ καθεῖλε. Θαυμαστὸν τὸ ὄνομα αὐτοῦ καὶ μέγα. Πάλιν ὁ Ἰακὼβ τοὺς υἱοὺς πέμπων, φησίν· «Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐνώπιον τοῦ ἀνθρώπου». Ὁ γὰρ τοῦτο ποιῶν, ἔχει σύμμαχον τὸν Θεόν, οὗ χωρὶς οὐδὲν ἐτόλμησε ποιῆσαι. Ἅτε οὖν τιμηθεὶς τῷ κληθῆναι, ἀντιτιμήσει τῷ ἐξευμαρίσαι τὰ πράγματα. Κάλει τὸν Υἱόν, εὐχαρίστει τῷ Πατρί. Καὶ γὰρ τοῦ Υἱοῦ καλουμένου ὁ Πατὴρ καλεῖται, καὶ αὐτοῦ εὐχαριστουμένου ὁ Υἱὸς εὐχαριστήθη. Ταῦτα μανθάνωμεν μὴ μέχρι ῥημάτων, ἀλλὰ καὶ διὰ τῶν ἔργων πληροῦν. Οὐδὲν τοῦ ὀνόματος τούτου ἴσον· τοῦτο πανταχοῦ θαυμάσιον. «Μύρον», φησίν, «ἐκκενωθὲν ὄνομά σου». Ὁ τοῦτο εἰπὼν εὐθέως εὐωδίας ἐνεπλήσθη. «Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν», φησίν, «εἰ μὴ ἐν Πνεύματι ἁγίῳ». Τοῦτο τὸ ὄνομα τοσαῦτα ἐργάζεται. Ἐὰν εἴπῃς, ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, μετὰ πίστεως, πάντα ἤνυσας. Ὅρα πόσα ἐποίησας· ἐδημιούργησας ἄνθρωπον, καὶ τὰ ἄλλα πάντα τὰ ἀπὸ τοῦ βαπτίσματος εἰργάσω. Οὕτω ταῖς νόσοις ἐπιτασσόμενον φοβερὸν τὸ ὄνομα. Διὰ ταῦτα ὁ διάβολος τὰ τῶν ἀγγέλων ἐπεισήγαγε, βασκαίνων ἡμῖν τῆς τιμῆς. Τῶν δαιμόνων τοιαῦται αἱ ἐπῳδαί. Κἂν ἄγγελος ᾖ, κἂν ἀρχάγγελος, κἂν τὰ Χερουβίμ, μὴ ἀνέχου· ἐπεὶ οὐδὲ αὗται αἱ δυνάμεις καταδέξονται, ἀλλὰ καὶ ἀποσείσονται, ὅταν ἴδωσι τὸν δεσπότην ἀτιμαζόμενον. Ἐγώ σε ἐτίμησα, φησί, καὶ εἶπον, ἐμὲ κάλει· καὶ σὺ ἀτιμάζεις αὐτόν;

Ἂν ταύτην ᾄδῃς τὴν ἐπῳδὴν μετὰ πίστεως, καὶ νόσους καὶ δαίμονας ἀπελάσεις· κἂν μὴ ἀπελάσῃς τὴν νόσον, οὐ παρὰ ἀσθένειαν, ἀλλὰ παρὰ τὸ συμφέρον. «Κατὰ τὴν μεγαλωσύνην σου», φησίν, «οὕτω καὶ ἡ αἴνεσίς σου». Διὰ τοῦ ὀνόματος τούτου

---

24. Γεν. κεφ. 24 καὶ Α' Βασ. 17,45
25. Γεν. 43,14
26. Ἀσμ. Ἀσμ. 1,2
27. Α' Κορ. 12,3
28. Ψαλμ. 47,2

ὕπνο. Κάνεις ἀγοραπωλησία; τὸ ἴδιο νὰ κάνης. Τίποτε κοσμικό, τίποτε βιωτικό· τὰ πάντα νὰ κάνης στὸ ὄνομα τοῦ Κυρίου, καὶ ὅλα θὰ σοῦ πᾶνε καλά. Ὅπου ἂν τεθῆ τὸ ὄνομα αὐτό, ὅλα εἶναι εὐνοϊκά. Ἐὰν ἐκδιώκη δαίμονες, ἐὰν ἀπομακρύνη ἀσθένειες, πολὺ περισσότερο διευκολύνει τὰ πράγματα. Καὶ τί σημαίνει νὰ πράξης μὲ λόγο ἢ μὲ ἔργο; Ἢ νὰ κρίνης ἄξια ἢ ὁ,τιδήποτε νὰ κάνης.

Ἄκουσε πῶς ὁ Ἀβραὰμ στὸ ὄνομα τοῦ Θεοῦ ἀπέστειλε τόν ὑπηρέτη, ὁ Δαυΐδ στὸ ὄνομα τοῦ Θεοῦ ἐνίκησε τὸν Γολιάθ[24]. Εἶναι θαυμαστὸ τὸ ὄνομα αὐτοῦ καὶ μεγάλο. Πάλιν ὁ Ἰακὼβ ἀποστέλλοντας τοὺς υἱούς του, λέγει· «Καὶ ὁ Θεός μου ἂς σᾶς δώση χάρι ἐνώπιον τοῦ ἀνθρώπου»[25]. Διότι ἐκεῖνος ποὺ κάνει αὐτό, ἔχει σύμμαχο τὸν Θεό, χωρίς τὸν ὁποῖο δὲν θὰ ἐτολμοῦσε νὰ κάμη τίποτε. Ἐπειδὴ λοιπὸν ἐτιμήθηκε μὲ τὸ νὰ τὸν προσκαλέσωμε, θὰ ἀνταποδώση τὴν τιμὴ μὲ τὸ νὰ ἀνακουφίση τὶς δυσκολίες μας. Νὰ προσκαλῆς τὸν Υἱό, νὰ εὐχαριστῆς τὸν Πατέρα. Διότι ὅταν προσκαλοῦμε τὸν Υἱό, προσκαλοῦμε τὸν Πατέρα, καὶ ὅταν εὐχαριστοῦμε αὐτόν, εὐχαριστοῦμε τὸν Υἱό. Ἂς μὴ μαθαίνωμε αὐτὰ μόνο μὲ λόγια, ἀλλά νὰ τὰ ἐφαρμόζουμε καὶ μὲ ἔργα. Τίποτε δὲν εἶναι ἴσο μὲ τὸ ὄνομα αὐτό· παντοῦ εἶναι αὐτὸ ἄξιο θαυμασμοῦ. «μύρο ποὺ εὐωδιάζει εἶναι τὸ ὄνομά σου»[26], λέγει ἡ Γραφή. Ἐκεῖνος ποὺ εἶπε αὐτὸ ἀμέσως ἐγέμισε εὐωδία. «Κανεὶς δὲν μπορεῖ νὰ εἰπῆ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγει, παρὰ μὲ τὸ φωτισμὸ τοῦ ἁγίου Πνεύματος»[27]. Τὸ ὄνομα αὐτὸ κάνει τόσο μεγάλα ἔργα. Ἐὰν εἰπῆς, στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, μὲ πίστι, τὰ πάντα ἐπραγματοποίησες. Πρόσεξε πόσα ἔκαμες· ἐδημιούργησες ἄνθρωπο, καὶ ὅλα τὰ ἄλλα ἔκαμες ἀπὸ τὸ βάπτισμα. Ἔτσι ὅταν τοποθετοῦμε τὸ ὄνομα δίπλα στὶς ἀσθένειες εἶναι φοβερό. Γι' αὐτὸ ὁ διάβολος ἐπενόησε τὴ θρησκεία τῶν ἀγγέλων, ἐπειδὴ φθονεῖ τὴν τιμή μας. Τέτοια εἶναι τὰ ᾄσματα τῶν δαιμόνων. Εἴτε εἶσαι ἄγγελος, εἴτε ἀρχάγγελος, εἴτε τὰ Χερουβείμ, νὰ μὴ ἀνέχεσαι, ἐπειδὴ οὔτε αὐτὲς οἱ δυνάμεις θὰ ἀποδεχθοῦν, ἀλλὰ καὶ θὰ ἀπαλλαχθοῦν ἀπὸ αὐτούς, ὅταν ἰδοῦν νὰ ἀτιμάζεται ὁ Κύριός τους. Ἐγὼ σὲ ἐτίμησα, λέγει, καὶ εἶπα, νὰ μὲ προσκαλῆς· καὶ ἐσὺ ἀτιμάζεις αὐτόν;

Ἂν ψάλλης μὲ πίστι αὐτὸ τὸ ᾆσμα, θὰ ἀπομακρύνης καὶ ἀσθένειες καὶ δαίμονες· καὶ ἂν δὲν ἀπομακρύνης τὴν ἀσθένεια, δὲν ἦταν αὐτὸ ἀντίθετο πρὸς τὴν ἀσθένεια, ἀλλά πρὸς τὸ συμφέρον σου. «Σύμφωνα μὲ τὴν μεγαλωσύνη σου», λέγει ὁ ψαλμωδός», ἔτσι εἶναι καὶ ἡ ὕμνησίς σου»[28]. Μὲ τὸ ὄνομα αὐτὸ ἡ οἰκουμένη ἐπα-

ἡ οἰκουμένη ἐπεστράφη, ἡ τυραννὶς ἐλύθη, ὁ διάβολος ἐπατήθη, οἱ οὐρανοὶ ἀνεῴγεισαν. Ἡμεῖς ἀνεγεννήθημεν διὰ τοῦ ὀνόματος τούτου. Ἐὰν τοῦτο ἔχωμεν, λάμπομεν. Τοῦτο καὶ μάρτυρας ποιεῖ, καὶ ὁμολογητάς· τοῦτο κατέχωμεν ἀντὶ μεγάλου δώρου, ἵνα ἐν δόξῃ ζήσωμεν, καὶ εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νῆλθε στὸν εὐθὺ δρόμο, ἡ τυραννίδα τῆς ἁμαρτίας ἐλύθηκε, ὁ διάβολος κατεπατήθηκε, οἱ οὐρανοὶ ἔχουν ἀνοιχθῆ. Ἐμεῖς ἔχομε ἀναγεννηθῆ μὲ τὸ ὄνομα αὐτό. Ἐὰν ἔχωμε αὐτό, λάμπομε. Αὐτὸ κάνει καὶ μάρτυρες καὶ ὁμολογητές. Ἂς κατέχωμε αὐτὸ σὰν μεγάλο δῶρο, γιὰ νὰ ζήσωμε μὲ δόξα καὶ νὰ γίνωμε εὐάρεστοι στὸν Θεὸ καὶ νὰ ἀξιωθοῦμε τὰ ἀγαθά, ποὺ ἔχει ὑποσχεθῆ σὲ ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ι΄

(Κολ. 3,18 – 4,4)

«Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν. Πᾶν ὅ,τι ἂν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι παρὰ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε. Ὁ δὲ ἀδικῶν, κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς».

1. Διὰ τί μὴ πανταχοῦ καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς ταῦτα ἐπιτάττει, ἀλλ' ἐνταῦθα, καὶ τῇ πρὸς Ἐφεσίους, καὶ τῇ πρὸς Τιμόθεον, καὶ τῇ πρὸς Τίτον; Ὅτι εἰκὸς ἐν ταύταις ταῖς πόλεσιν εἶναι τὰς διχοστασίας· ἢ εἰκὸς τὰ ἄλλα αὐταῖς κατωρθῶσθαι, ὥστε δεῖν περὶ τούτων αὐτοὺς ἀκούειν. Μᾶλλον δὲ ἃ πρὸς τούτους λέγει, πρὸς πάντας λέγει. Πολλὴν δὲ ἐμφέρειαν ἔχει αὕτη ἡ ἐπιστολὴ τῇ πρὸς Ἐφεσίους καὶ ἐν τούτοις. Ἢ ὅτι ἀνδράσι λοιπὸν εἰρηνεύουσιν, οὓς ἐχρῆν περὶ δογμάτων μανθάνειν ὑψηλῶν ἔτι ἐλλειπόντων αὐτοῖς, οὐκ ἐχρῆν περὶ τούτων γράφειν· ἢ παρακληθέντας ἐπὶ τοῖς πειρασμοῖς περιττὸν περὶ τούτων ἀκούειν. Ὥστε στοχάζομαι ἐνταῦθα λοιπὸν ἑδραίαν εἶναι τὴν ἐκκλησίαν, καὶ πρὸς τῷ τέλει ταῦτα λέγεσθαι. «Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ»· ἀντὶ τοῦ, ὑποτάσσεσθε

1. Βλ. Ἐφ. 5,22 – 6,9· Α΄ Τιμ. 6,1 – 2· Τίτ. 2,5.9

ΟΜΙΛΙΑ Ι΄
(Κολ. 3,18–4,4)

«Οἱ γυναῖκες νὰ ὑποτάσσεσθε στοὺς ἄνδρες σας, ὅπως ἁρμόζει σὲ ἀνθρώπους ποὺ συνδέονται μὲ τὸν Κύριο. Οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὶς γυναῖκες σας, καὶ νὰ μὴ γίνεσθε σκληροὶ πρὸς αὐτές. Τὰ τέκνα νὰ ὑπακούετε στοὺς γονεῖς σὲ ὅλα, γιατὶ αὐτὸ εἶναι ἀρεστὸ στὸν Κύριο. Οἱ πατέρες νὰ μὴ ἐρεθίζετε τὰ τέκνα σας, γιὰ νὰ μὴ χάνουν τὸ θάρρος τους. Οἱ δοῦλοι νὰ ὑπακούετε σὲ ὅλα στοὺς κατὰ σάρκα κυρίους, ὄχι μὲ προσποιητὴ ὑπακοή, σὰν νὰ ἀρέσετε σὲ ἀνθρώπους, ἀλλὰ μὲ εἰλικρίνεια καρδιᾶς, φοβούμενοι τὸν Θεό. Ὁ,τιδήποτε καὶ ἂν θὰ κάνετε, νὰ τὸ κάμνετε πρόθυμα, σὰν νὰ τὸ κάμνετε στὸν Κύριο καὶ ὄχι σὲ ἀνθρώπους, γνωρίζοντας ὅτι ἀπὸ τὸν Κύριο θὰ λάβετε τὴν ἀνταπόδοσι τῆς κληρονομίας, γιατὶ δουλεύετε στὸν Κύριο Ἰησοῦ Χριστό. Καὶ ὅποιος ἀδικεῖ, θὰ λάβη τὴν ἀμοιβὴ τῆς ἀδικίας ποὺ ἔκαμε, καὶ δὲν ὑπάρχει μεροληψία ἐνώπιον τοῦ Θεοῦ. Οἱ κύριοι νὰ παρέχετε στοὺς δούλους τὸ δίκαιο καὶ τὴν ἰσότητα, γνωρίζοντας ὅτι καὶ σεῖς ἔχετε Κύριο στοὺς οὐρανούς».

1. Γιατί δὲν παραγγέλλει αὐτὰ παντοῦ καὶ σὲ ὅλες τὶς ἐπιστολές, ἀλλὰ ἐδῶ καὶ στὴν πρὸς Ἐφεσίους, καὶ στὴν πρὸς Τιμόθεο καὶ στὴν πρὸς Τίτο;[1] Διότι εἶναι πιθανὸν στὶς πόλεις αὐτὲς νὰ ὑπῆρχαν διαφωνίες ἢ πιθανὸν νὰ εἶχαν ἐπιτύχει αὐτὲς τὰ ὑπόλοιπα, ὥστε ἔπρεπε νὰ ἀκούσουν αὐτοὶ γι' αὐτά. Μᾶλλον δὲ αὐτὰ ποὺ λέγει πρὸς αὐτούς, τὰ λέγει πρὸς ὅλους. Καὶ στὸ σημεῖο αὐτὸ ἡ ἐπιστολὴ αὐτὴ ἔχει μεγάλη ὁμοιότητα μὲ τὴν πρὸς Ἐφεσίους. Ἢ διότι σὲ ἄνδρες ποὺ ἤδη ἐζοῦσαν εἰρηνικὰ καὶ οἱ ὁποῖοι ἔπρεπε νὰ διδάσκωνται γιὰ ὑψηλὰ δόγματα, ποὺ ἀκόμη δὲν ὑπῆρχαν σὲ αὐτούς, δὲν ἔπρεπε νὰ γράφη γι' αὐτά· ἢ ἀφοῦ τοὺς παρηγόρησε γιὰ τὶς δοκιμασίες ἦταν περιττὸ νὰ ἀκούσουν γι' αὐτά. Ὥστε σκέπτομαι ὅτι ἐδῶ ἦταν ἤδη σταθερὴ ἡ ἐκκλησία καὶ λέγονται αὐτὰ γιὰ νὰ τελειοποιηθῆ. «Οἱ γυναῖκες νὰ ὑποτάσσεσθε στοὺς ἄνδρες σας,

διὰ τὸν Θεόν· ἐπειδὴ τοῦτο ὑμᾶς κοσμεῖ, φησίν, οὐκ ἐκείνους. Οὐ γὰρ δεσποτικὴν ὑποταγήν, οὐδὲ τὴν ἀπὸ φύσεως μόνον, ἀλλὰ τὴν διὰ Θεόν φημι.

«Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς». Ὅρα πῶς πάλιν τὸ κατάλληλον παρῄνεσε. Καθάπερ ἐκεῖ φόβον καὶ ἀγάπην τίθησιν, οὕτω καὶ ἐνταῦθα· ἔστι γὰρ καὶ ἀγαπῶντα πικραίνεσθαι. Ὃ οὖν φησι, τοῦτό ἐστι· μὴ μάχεσθε· οὐδὲν γὰρ οὕτω τῆς μάχης ταύτης πικρότερον, ὅταν παρὰ ἀνδρὸς πρὸς γυναῖκα γίνηται. Αἱ γὰρ πρὸς τὰ φιλούμενα πρόσωπα γινόμεναι μάχαι, αὗται πικραί. Καὶ δείκνυσιν ὅτι ἀπὸ πολλῆς πικρίας τοῦτο γίνεται, ὅταν πρὸς τὸ μέλος αὐτοῦ, φησί, τὶς διαστασιάζῃ. Τὸ μὲν οὖν ἀγαπᾶν τῶν ἀνδρῶν ἐστι, τὸ δὲ εἴκειν ἐκείνων. Ἐὰν οὖν ἀγαπᾶν τῶν ἀνδρῶν ἐστι, τὸ δὲ εἴκειν ἐκείνων. Ἐὰν οὖν ἕκαστος τὸ ἑαυτοῦ εἰσενέγκῃ, ἕστηκε πάντα βέβαια. Ἀπὸ μὲν τοῦ ἀγαπᾶσθαι γίνεται καὶ ἡ γυνὴ φιλική· ἀπὸ δὲ τοῦ ὑποτάσσεσθαι ὁ ἀνὴρ ἐπιεικής. Ὅρα δὲ ὅτι καὶ ἐν τῇ φύσει οὕτω κατεσκεύασται, ὥστε τὸν μὲν φιλεῖν, τὴν δὲ ὑπακούειν. Ὅταν γὰρ ὁ ἄρχων τὸ ἀρχόμενον φιλῇ, τότε τὰ πάντα συνέστηκεν. Οὐχ οὕτως ἡ παρὰ τοῦ ἀρχομένου ἀγάπη, ὡς ἡ παρὰ τοῦ ἄρχοντος ζητεῖται πρὸς τὸ ἀρχόμενον· παρ' ἐκείνου γὰρ ἡ ὑπακοή. Τὸ γὰρ ἐν ὥρᾳ εἶναι τὴν γυναῖκα, τοῦτο δὲ ἐν ἐπιθυμίᾳ, οὐδὲν ἄλλο δείκνυσιν, ἀλλ' ἢ ὅτι διὰ τὴν ἀγάπην οὕτω γεγένηται. Μὴ τοίνυν, ἐπειδὴ ὑποτέτακται ἡ γυνή, αὐθέντει· μηδὲ σύ, ἐπειδὴ ἀγαπᾷ ὁ ἀνήρ, φυσιοῦ. Μήτε ἡ τοῦ ἀνδρὸς φιλία τὴν γυναῖκα ἐπαιρέτω, μήτε ἡ τῆς γυναικὸς ὑποταγὴ φυσάτω τὸν ἄνδρα. Διὰ τοῦτό σοι ὑπέταξεν αὐτήν, ἵνα μᾶλλον φιλῆται· διὰ τοῦτό σε φιλεῖσθαι ἐποίησεν, ὦ γύναι, ἵνα εὐκόλως φέρῃς τὸ ὑποτετάχθαι. Μὴ φοβοῦ ὑποτασσομένη· τῷ γὰρ φιλοῦντι ὑποταγῆναι, οὐδεμίαν ἔχει δυσκολίαν. Μὴ φοβοῦ ἐρῶν· ἔχεις γὰρ αὐτὴν εἴκουσαν. Οὐκ ἂν ἄλλως οὖν ἐγένετο σύνδεσμος. Ἀναγκαίαν τοίνυν ἔχεις ἀπὸ τῆς φύσεως τὴν ἀρχήν, ἔχε καὶ τὸν δεσμὸν τὸν ἀπὸ τῆς ἀγάπης· τὴν γὰρ ἀσθενεστέραν ἀνεκτὴν εἴασε.

«Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ». Πάλιν τό, «ἐν Κυρίῳ», τέθεικε, καὶ

ὅπως ἁρμόζει στὸν Κύριο»· ἀντί, νὰ ὑποτάσσεσθε γιὰ τὸν Θεό· ἐπειδὴ αὐτὸ ἐσᾶς στολίζει, λέγει, καὶ ὄχι ἐκείνους. Δὲν λέγω βέβαια τὴν τυραννικὴ ὑποταγή, οὔτε τὴν ὑποταγὴ μόνο ποὺ εἶναι συνέπεια τῆς φύσεώς σας, ἀλλὰ τὴν ὑποταγὴ γιὰ τὸν Θεό.

«Οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὶς γυναῖκες σας καὶ νὰ μὴ γίνεσθε σκληροὶ πρὸς αὐτές». Πρόσεχε πῶς πάλι ἐσυμβούλευσε τὸ κατάλληλο. Ὅπως ἀκριβῶς θέτει ἐκεῖ τὸ φόβο καὶ τὴν ἀγάπη, ἔτσι καὶ ἐδῶ, γιατὶ εἶναι δυνατὸ καὶ αὐτὸς ποὺ ἀγαπᾶ νὰ γίνεται σκληρός. Ἐκεῖνο λοιπὸν ποὺ ἐννοεῖ, εἶναι τὸ ἑξῆς· νὰ μὴ ἀντιμάχεσθε, διότι τίποτε δὲν εἶναι περισσότερο σκληρότερο ἀπὸ τὴ μάχη αὐτή, ὅταν αὐτὴ γίνεται ἀπὸ τὸν ἄνδρα ἐναντίον τῆς γυναίκας του. Οἱ μάχες ποὺ γίνονται ἐναντίον ἀγαπημένων προσώπων, αὐτὲς εἶναι πράγματι σκληρές. Καὶ ἀποδεικνύει ὅτι αὐτὸ γίνεται ἀπὸ πολλὴ πικρία, ὅταν κάποιος συγκρούεται πρὸς τὸ μέλος του. Ἡ ἀγάπη λοιπὸν ἀνήκει στοὺς ἄνδρες, ἡ δὲ ὑπακοὴ στὶς γυναῖκες. Ἐὰν λοιπὸν ὁ καθένας εἰσφέρη τὸ ἰδικό του, τὰ πάντα στέκονται σταθερά. Ὅταν ὑποτάσσεται αὐτὴ γίνεται ὁ ἄνδρας ἐπιεικής. Πρόσεχε ὅμως ὅτι καὶ στὴ φύσι ἔτσι ἔχουν δημιουργηθῆ, ὥστε ὁ μὲν ἄνδρας νὰ ἀγαπᾶ, ἡ δὲ γυναῖκα νὰ ὑπακούη. Διότι ὅταν ὁ ἄρχων ἀγαπᾶ τὸ ἀρχόμενο, τότε τὰ πάντα μένουν σταθερά. Δὲν ζητεῖται τόσο ἡ ἀγάπη ἀπὸ τὸ ἀρχόμενο, ὅσο ἀπὸ τὸν ἄρχοντα πρὸς τὸ ἀρχόμενο, καθόσον ἀπὸ ἐκεῖνο ζητεῖται ἡ ὑπακοή. Διότι τὸ νὰ εἶναι ἡ γυναῖκα ὡραία καὶ νὰ τὴν ἐπιθυμῆ αὐτός, τίποτε ἄλλο δὲν ἀποδεικνύει παρὰ τὸ ὅτι ἐξ αἰτίας τῆς ἀγάπης ἔχει γίνει ἔτσι. Νὰ μὴ εἶσαι λοιπὸν αὐθέντης, ἐπειδὴ ὑποτάσσεται ἡ γυναῖκα· οὔτε ἐσύ, ἐπειδὴ σὲ ἀγαπᾶ ὁ ἄνδρας, νὰ ἀλαζονεύεσαι. Οὔτε ἡ ἀγάπη τοῦ ἄνδρα νὰ ξεσηκώνη τὴ γυναῖκα, οὔτε ἡ ὑποταγὴ τῆς γυναίκας νὰ φουσκώση τὸν ἄνδρα ἀπὸ ἀλαζονεία. Γι' αὐτὸ ὑπέταξε σὲ σὲ αὐτήν, γιὰ νὰ τὴν ἀγαπᾶς περισσότερο· γι' αὐτὸ σὲ ἔκαμε νὰ ἀγαπᾶσαι γυναῖκα, γιὰ νὰ ὑπομένης εὔκολα τὴν ὑποταγή. Μὴ φοβᾶσαι ὅταν ὑποτάσσεσαι, γιατὶ τὸ νὰ ὑποταχθῆς σὲ ἐκεῖνον ποὺ σὲ ἀγαπᾶ, δὲν ἔχει καμμία δυσκολία. Μὴ φοβᾶσαι ὅταν ἀγαπᾶς, γιατὶ ἔχεις αὐτὴν ποὺ ὑποτάσσεται. Δὲν θὰ μποροῦσε λοιπὸν διαφορετικὰ νὰ ὑπάρξη ἡ ἕνωσίς τους. Ἔχεις λοιπὸν ὑποχρεωτικὰ ἀπὸ τὴ φύσι τὴν ἐξουσία, ἔχε καὶ τὸ δεσμὸ ἀπὸ τὴν ἀγάπη, γιατὶ ἐκείνη ποὺ εἶναι ἀσθενέστερη τὴν ἄφησε νὰ ὑπομένη.

«Τὰ τέκνα νὰ ὑπακούετε στοὺς γονεῖς σὲ ὅλα, γιατὶ αὐτὸ εἶναι ἀρεστὸ στὸν Κύριο». Πάλι ἔχει θέσει τὸ «στὸν Κύριο», καὶ ὅταν

νόμους τιθεὶς ὑπακοῆς, καὶ ἐντρέπων, καὶ καταβάλλων. «Τοῦτο» φάρ, φησίν, «ἔστιν εὐάρεστον τῷ Κυρίῳ». Ὅρα πῶς οὐκ ἀπὸ τῆς φύσεως μόνης, ἀλλὰ πρὸ ταύτης ἀπὸ τῶν τῷ Θεῷ δοκούντων βούλεται ἡμᾶς ἅπαντα πράττειν, ἵνα καὶ μισθὸν ἔχωμεν. «Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν». Ἰδοὺ πάλιν καὶ ἐνταῦθα ὑποταγὴ καὶ φίλτρον. Καὶ οὐκ εἶπεν, ἀγαπᾶτε τὰ τέκνα· περιττὸν γὰρ ἦν· αὐτὴ γὰρ ἡ φύσις καταναγκάζει· ἀλλ' ὅπερ ἔδει διώρθωσε, τὸ καὶ τὸ φίλτρον ἐνταῦθα εἶναι σφοδρότερον, ἐπειδὴ καὶ ἡ ὑπακοὴ μείζων. Οὐδαμοῦ γὰρ τίθησιν ὑπόδειγμα τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικός, ἀλλὰ τί; Ἄκουε τοῦ προφήτου λέγοντος· «Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν». Καὶ πάλιν ὁ Χριστός φησι, «Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθύν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ;» «Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν». Ὃ μάλιστα αὐτοὺς ᾔδει δυνατὸν δακεῖν, τοῦτο τέθεικε, καὶ φιλικώτερον εἶπεν ἐπιτάττων αὐτοῖς, καὶ οὐδαμοῦ τὸν Θεὸν τίθησιν· ἐπέκλασε γὰρ τοὺς γονέας, καὶ κατέκαμψεν αὐτῶν τὰ σπλάγχνα. Τουτέστι, μὴ φιλονεικοτέρους αὐτοὺς ποιεῖτε· ἔστιν ὅπου καὶ συγχωρεῖν ὀφείλετε.

2. Εἶτα ἐπὶ τρίτην ἦλθεν ἀρχήν. Ἐνταῦθα ἔστι μέν τι καὶ φίλτρον, ἀλλ' οὐκέτι φυσικόν, καθάπερ ἄνω, ἀλλὰ συνηθείας, καὶ ἀπ' αὐτῆς τῆς ἀρχῆς, καὶ ἀπὸ τῶν ἔργων. Ἐπεὶ οὖν ἐνταῦθα τὸ μὲν τοῦ φίλτρου ὑποτέτμηται, τὸ δὲ τῆς ὑπακοῆς ἐπιτέταται, τούτῳ ἐνδιατρίβει, βουλόμενος, ὅπερ οἱ πρῶτοι ἔχουσιν ἀπὸ τῆς φύσεως, τοῦτο δοῦναι τούτοις ἀπὸ τῆς ὑπακοῆς. Ὥστε οὐχ ὑπὲρ τῶν δεσποτῶν τοῖς οἰκέταις μόνοις διαλέγεται, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν, ἵνα ποθεινοὺς ἑαυτοὺς ἐργάζωνται τοῖς δεσπόταις. Ἀλλ' οὐ τίθησι τοῦτο φανερῶς· ἢ γὰρ ἂν ὑπτίους αὐτοὺς ἐποίησεν. «Οἱ δοῦλοι», φησίν, «ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις». Καὶ ὅρα πῶς ἀεὶ τὰ ὀνόματα τίθησι, γυναῖκες, τὰ τέκνα, οἱ δοῦλοι. Εὐθέως δικαίωμα τοῦ ὑπακούειν. Ἀλλ' ἵνα μὴ ἀλγήσῃ, ἐπήγαγε, «τοῖς κατὰ σάρκα κυρίοις». Τὸ κρεῖττόν σου ἡ ψυχὴ ἠλευθέρωται, φησί· πρόσκαιρος ἡ δουλεία. Ἐκεῖνο τοίνυν ὑπόταξον, ἵνα μηκέτι ἀνάγκης ᾖ ἡ δουλεία. «Μὴ ἐν ὀφθαλμοδουλεί-

---

2. Ψαλμ. 102,13
3 Ματθ 7 9 – 10

ορίζη νόμους ὑπακοῆς καὶ ὅταν ἐλέγχη καὶ ὅταν ἀμοίβη. «Γιατὶ αὐτό», λέγει, «εἶναι ἀρεστὸ στὸν Κύριο». Πρόσεχε πῶς ὄχι μόνο ἀπὸ τὴ φύσι, ἀλλὰ πρὶν ἀπὸ αὐτὴν θέλει νὰ πράττωμε τὰ πάντα, σύμφωνα μὲ ἐκεῖνα ποὺ ἀρέσουν στὸν Θεό, ὥστε νὰ ἔχωμε καὶ ἀμοιβή. «Οἱ πατέρες νὰ μὴ ἐρεθίζετε τὰ τέκνα σας, γιὰ νὰ μὴ ἀπελπίζωνται». Νά, πάλι καὶ ἐδῶ ὑπάρχει ὑποταγὴ καὶ ἀγάπη. Καὶ δὲν εἶπε, νὰ ἀγαπᾶτε τὰ τέκνα σας, γιατὶ ἦταν περιττό, ἐπειδὴ αὐτὴ ἡ φύσις ὑποχρεώνει τοῦτο, ἀλλὰ ἐκεῖνο ποὺ ἔπρεπε διώρθωσε, δηλαδὴ τὸ ὅτι καὶ ἡ ἀγάπη ἐδῶ εἶναι πιὸ δυνατή, ἐπειδὴ καὶ ἡ ὑπακοὴ εἶναι πιὸ μεγάλη. Πουθενὰ λοιπὸν δὲν θέτει τὸ παράδειγμα τοῦ ἄνδρα καὶ τῆς γυναίκας, ἀλλὰ τί; Ἄκουε τὸν προφήτη ποὺ λέγει, «Καθὼς εὐσπλαγχνίζεται ὁ πατέρας τὰ παιδιά του, εὐσπλαγχνίσθηκε ὁ Κύριος αὐτοὺς ποὺ τὸν φοβοῦνται»[2]. Καὶ πάλι ὁ Χριστὸς λέγει, «Ποιὸς ἄνθρωπος ἀπὸ σᾶς, ποὺ θὰ τοῦ ζητήση ὁ υἱός του ψωμί, μήπως θὰ τοῦ δώση πέτρα; καὶ ἐὰν τοῦ ζητήση ψάρι, μήπως θὰ τοῦ δώση φίδι[4]; «Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα σας, γιὰ νὰ μὴ ἀπελπίζωνται». Αὐτὸ ποὺ ἐγνώριζε ὅτι περισσότερο τοὺς ἐπλήγωνε, αὐτὸ ἀνέφερε, καὶ μὲ φιλικώτερο τρόπο ἔδωσε τὶς συμβουλές του σ' αὐτούς, καὶ πουθενὰ δὲν ἀναφέρει τὸν Θεό· γιατὶ ἔκαμψε τοὺς γονεῖς καὶ ἐλύγισε τὴν καρδιά τους. Δηλαδή, μὴ κάνετε αὐτοὺς περισσότερο φιλόνικους· καὶ σὲ μερικὲς περιπτώσεις πρέπει νὰ τοὺς συγχωρῆτε.

2. Ἔπειτα ἦλθε στὴν τρίτη ἐξουσία. Ἐδῶ ὑπάρχει καὶ κάποια ἀγάπη, ὄχι ὅμως φυσική, ὅπως ἀκριβῶς παραπάνω, ἀλλὰ ἀποτέλεσμα συνηθείας, καὶ ἀπὸ τὴν ἴδια τὴν ἐξουσία καὶ ἀπὸ τὰ ἔργα. Ἐπειδὴ λοιπὸν ἡ ἀγάπη ἐδῶ ἔχει μειωθῆ καὶ ἡ ὑπακοὴ ἔχει αὐξηθῆ, ἐπιμένει σὲ αὐτό, ἐπειδὴ θέλει ἐκεῖνο ποὺ ἀπὸ τὴ φύσι ἔχουν οἱ πρῶτοι, τοῦτο νὰ δώσουν σὲ αὐτοὺς ἀπὸ τὴν ὑπακοή. Συνεπῶς δὲν ὁμιλεῖ στοὺς δούλους μόνο ὑπὲρ τῶν κυρίων τους, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν, γιὰ νὰ καθιστοῦν τοὺς ἑαυτούς τους ἀγαπητοὺς στοὺς κυρίους. Ἀλλὰ δὲν ἀναφέρει αὐτὸ φανερά, γιατὶ ἀλλιῶς θὰ ἀνέτρεπε αὐτούς. «Οἱ δοῦλοι», λέγει, «νὰ ὑπακούετε σὲ ὅλα στοὺς κατὰ σάρκα κυρίους». Καὶ πρόσεχε πῶς πάντοτε θέτει τὰ ὀνόματα, οἱ γυναῖκες, τὰ τέκνα, οἱ δοῦλοι. Ἀμέσως ἡ ἐντολὴ τῆς ὑπακοῆς. Ἀλλὰ γιὰ νὰ μὴ προκαλέση θλίψι, ἐπρόσθεσε, «στοὺς κατὰ σάρκα κυρίους». Τὸ ἀνώτερό σου, δηλαδὴ ἡ ψυχή, ἔχει ἐλευθερωθῆ, λέγει, προσωρινὴ εἶναι ἡ δουλεία. Νὰ ὑποτάξης λοιπὸν ἐκεῖνο, γιὰ νὰ μὴ εἶναι πιὰ ἡ δουλεία ἀποτέλεσμα ἀνάγκης. «Ὄχι μὲ προσποι-

αις, ὡς ἀνθρωπάρεσκοι». Ποίησον, φησί, τὴν ἀπὸ τοῦ νόμου δουλείαν ἀπὸ τοῦ φόβου γίνεσθαι τοῦ Χριστοῦ. Κἂν γὰρ μὴ ὁρῶντος ἐκείνου πράττῃς τὰ δέοντα καὶ τὰ πρὸς τιμὴν τοῦ δεσπότου, δῆλον ὅτι διὰ τὸν ἀκοίμητον ὀφθαλμὸ ποιεῖς. «Μὴ κατ' ὀφθαλμοδουλείαν», φησίν, ὡς ἀνθρωπάρεσκοι». Ὥστε ὑμεῖς τὴν βλάβην ὑποστήσεσθε. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· «Διεσκόρπισεν ὁ Θεὸς ὀστᾶ ἀνθρωπαρέσκων».

Ὅρα τοίνυν πῶς αὐτῶν φείδεται, καὶ αὐτοὺς ῥυθμίζει. «Ἀλλ' ἐν ἁπλότητι», φησί, «καρδίας, φοβούμενοι τὸν Θεόν». Ἐκεῖνο γὰρ οὐχ ἁπλότης, ἀλλ' ὑπόκρισις, ἕτερον ἔχειν καὶ ἕτερον ποιεῖν· ἄλλον μὲν παρόντος φαίνεσθαι τοῦ δεσπότου, ἄλλον δὲ ἀπόντος. Οὐκοῦν οὐχ ἁπλῶς εἶπεν, «ἐν ἁπλότητι καρδίας», ἀλλά, «φοβούμενοι τὸν Θεόν». Τοῦτο γάρ ἐστι φοβεῖσθαι τὸν Θεόν, ὅταν μηδενὸς ὁρῶντος, μηδὲν πράττωμεν πονηρόν· ἂν δὲ πράττωμεν, οὐχὶ τὸν Θεόν, ἀλλὰ τοὺς ἀνθρώπους φοβούμεθα. Ὁρᾷς ὅτι ἐκείνους ῥυθμίζει; «Πᾶν ὅτι ἂν ποιῆτε», φησίν, «ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις». Οὐ μόνον ὑποκρίσεως, ἀλλὰ καὶ ἀργίας αὐτοὺς ἀπηλλάχθαι βούλεται. Ἐλευθέρους αὐτοὺς ἐποίησεν ἀντὶ δούλων, ὅταν μὴ δέωνται τῆς τῶν δεσποτῶν ἐπιστασίας· τὸ γάρ, «ἐκ ψυχῆς», τουτό ἐστι, τὸ μετ' εὐνοίας, μὴ μετὰ δουλικῆς ἀνάγκης, ἀλλὰ μετ' ἐλευθερίας καὶ προαιρέσεως. Καὶ τίς ὁ μισθός; «Εἰδότες, φησίν, ὅτι ἀπὸ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας αὐτοῦ δῆλον ὅτι λήψεσθε τὸν μισθόν. Καὶ ὅτι τῷ Κυρίῳ δουλεύετε, δῆλον ἐκ τούτου. «Ὁ δὲ ἀδικῶν», φησί, «κομίσεται ὃ ἠδίκησεν». Ἐνταῦθα βεβαιοῖ τὸν πρότερον λόγον. Ἵνα γὰρ μὴ δόξῃ κολακείας εἶναι τὰ ῥήματα, λήψεται, φησίν, ὃ ἠδίκησε· τουτέστι, καὶ τιμωρίαν δίδωσιν.

«Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ». Τί γάρ, εἰ δοῦλος εἶ; οὐκ αἰσχύνῃ. Καὶ μὴν τοῦτο πρὸς τοὺς δεσπότας ἔδει εἰπεῖν, ὥσπερ καὶ ἐν τῇ πρὸς Ἐφεσίους. Ἀλλ' ἐνταῦθά μοι δοκεῖ τοὺς Ἕλληνας αἰνίττεσθαι δεσπότας. Τί γάρ, εἰ ἐκεῖνος μὲν Ἕλλην, σὺ δὲ Χριστιανός; Οὐ τὰ πρόσωπα, ἀλλὰ τὰ πράγματα ἐξετά-

4. Ψαλμ. 52,7
5. Ἐφ. 6,8

ητὴ ὑπακοή, μὲ σκοπὸ νὰ ἀρέσετε σὲ ἀνθρώπους». Ἐφάρμοσε, λέγει, τὴ δουλεία ποὺ ἀπορρέει ἀπὸ τὸ νόμο καὶ ἀπὸ τὸ φόβο τοῦ Χριστοῦ. Διότι ἂν ἀκόμη δὲν βλέπη ἐκεῖνος καὶ πράττεις τὰ ἀπαραίτητα καὶ ἐκεῖνα ποὺ τιμοῦν τὸν κύριό σου, εἶναι φανερὸ ὅτι τὸ κάνεις αὐτὸ γιὰ τὸν Θεό, ποὺ εἶναι ὁ ἀκοίμητος ὀφθαλμός. «Ὄχι μὲ προσποιητὴ ὑπακοή», λέγει, «μὲ σκοπὸ νὰ ἀρέσετε σὲ ἀνθρώπους». Συνεπῶς ἐσεῖς θὰ ὑποστῆτε τὴ ζημία. Διότι ἄκουε τὸν προφήτη ποὺ λέγει, «Ἐσκόρπισε ὁ Θεὸς τὰ ὀστὰ ἐκείνων ποὺ ἤθελαν νὰ ἀρέσουν σὲ ἀνθρώπους»[4].

Πρόσεχε λοιπὸν πῶς φροντίζει γι' αὐτοὺς καὶ πῶς τοὺς κατευθύνει. «Ἀλλὰ μὲ εἰλικρίνεια καρδιᾶς, λέγει, φοβούμενοι τὸν Θεό». Γιατὶ ἐκεῖνο δὲν εἶναι εἰλικρίνεια, ἀλλὰ ὑποκρισία, ἄλλον νὰ ἔχη κύριο καὶ ἄλλο νὰ κάμνη· διαφορετικὸς νὰ παρουσιάζεται ὅταν εἶναι παρὼν ὁ κύριος καὶ διαφορετικὸς ὅταν ἀπουσιάζη. Λοιπὸν δὲν εἶπε μόνο, «μὲ εἰλικρίνεια καρδιᾶς», ἀλλά, «φοβούμενοι τὸν Θεό». Διότι αὐτὸ σημαίνει νὰ φοβούμασθε τὸν Θεό, ὅταν, ἐνῶ δὲν βλέπει κανείς, δὲν πράττωμε τίποτε τὸ πονηρό· ἂν ὅμως πράττωμε, δὲν φοβούμασθε τὸν Θεό, ἀλλὰ τοὺς ἀνθρώπους. Βλέπεις ὅτι κατευθύνει ἐκείνους; «Ὁ,τιδήποτε θὰ κάμνετε», λέγει, «νὰ τὸ κάμνετε πρόθυμα, σὰν νὰ τὸ κάμνετε πρὸς τὸν Κύριο καὶ ὄχι πρὸς ἀνθρώπους». Ὄχι μόνο ἀπὸ τὴν ὑποκρισία, ἀλλὰ καὶ ἀπὸ τὴν ἀδράνεια θέλει νὰ ἀπαλλαγοῦν αὐτοί. Κατέστησε αὐτοὺς ἀπὸ δούλους ἐλευθέρους, ἐφόσον δὲν χρειάζονται τὴν ἐπιστασία τῶν κυρίων· γιατὶ τὸ «ἀπὸ τὴν ψυχή σας», αὐτὸ σημαίνει, δηλαδὴ μὲ ἀγαθὴ διάθεσι, ὄχι μὲ δουλικὴ ἀνάγκη, ἀλλὰ μὲ ἐλευθερία καὶ προσωπικὴ θέλησι. Καὶ ποιὰ εἶναι ἡ ἀμοιβή; «Γνωρίζοντας», λέγει, «ὅτι ἀπὸ τὸν Κύριο θὰ λάβετε τὴν ἀνταπόδοσι τῆς κληρονομιᾶς σας, διότι δουλεύετε στὸν Κύριο Ἰησοῦ Χριστό». Καὶ πραγματικὰ εἶναι φανερὸ ὅτι θὰ λάβετε τὴν ἀμοιβή σας. Καὶ ὅτι δουλεύετε στὸν Κύριο, εἶναι φανερὸ ἀπὸ αὐτό. «Καὶ ὅποιος ἀδικεῖ», λέγει, «θὰ λάβη τὴν ἀμοιβὴ τῆς ἀδικίας ποὺ ἔκαμε». Ἐδῶ ἐπιβεβαιώνει τὰ προηγούμενα λόγια. Γιὰ νὰ μὴ φανῆ λοιπὸν ὅτι εἶναι κολακευτικὰ τὰ λόγια, θὰ λάβη, λέγει, τὴν ἀμοιβὴ τῆς ἀδικίας ποὺ ἔκαμε· δηλαδή, καὶ τιμωρεῖ.

«Γιατὶ δέν ὑπάρχει μεροληψία ἐνώπιον τοῦ Θεοῦ». Τί λοιπόν, ἐὰν εἶσαι δοῦλος; δὲν εἶναι ἐντροπή. Καὶ ὅμως αὐτὸ ἔπρεπε νὰ τὸ εἰπῆ πρὸς τοὺς κυρίους, ὅπως καὶ στὴν πρὸς Ἐφεσίους ἔλεγε[5]. Ἐδῶ ὅμως μοῦ φαίνεται ὅτι ὑπονοεῖ τοὺς Ἕλληνες κυρίους. Γιατὶ τί σημασία ἔχει, ἐὰν ἐκεῖνος εἶναι Ἕλληνας καὶ σὺ Χριστιανός; Δὲν

ζεται· ὥστε καὶ οὕτω μετ' εὐνοίας καὶ ἐκ ψυχῆς δεῖ δουλεύειν. «Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε». Τί δέ ἐστι τὸ δίκαιον; τί δέ ἐστιν ἰσότης; Πάντων ἐν ἀφθονίᾳ καθιστᾶν, καὶ μὴ ἐᾶν ἑτέρων δεῖσθαι, ἀλλὰ ἀμείβεσθαι αὐτοὺς τῶν πόνων. Μὴ γάρ, ἐπειδὴ εἶπον, ὅτι παρὰ Θεοῦ ἔχουσι τὸν μισθόν, διὰ τοῦτο σὺ ἀποστερήσῃς. Ἑτέρωθι δέ φησιν, «Ἀνιέντες τὴν ἀπειλήν», ἡμερωτέρους ἐργάσασθαι βουλόμενος· τέλειοι γὰρ ἦσαν ἐκεῖνοι. Τουτέστιν, «Ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν». Καὶ τό, «οὐκ ἔστι προσωποληψία», πρὸς τούτοις εἴρηται· κεῖται δὲ ἐπ' ἐκείνων, ἵνα οὗτοι δέξωνται. Ὅταν γὰρ ἑτέρῳ ἁρμόζον πρὸς ἕτερον εἴπωμεν, οὐκ ἐκεῖνον τοσοῦτον, ὅσον τὸν ὑπεύθυνον κατωρθώσαμεν. Καὶ ὑμεῖς μετ' ἐκείνων, φησίν. Ἐνταῦθα κοινὴν ἐποίησε τὴν δουλείαν· «Εἰδότες» γάρ, φησίν, «ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς».

3. «Τῇ προσευχῇ προσκαιρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ». Ἐπειδὴ γὰρ τὸ καρτερεῖν ἐν ταῖς εὐχαῖς ῥᾳθυμεῖν πολλάκις ποιεῖ, διὰ τοῦτό φησι, «γρηγοροῦντες», τουτέστι, νήφοντες, μὴ ῥεμβόμενοι. Οἶδε γάρ, οἶδεν ὁ διάβολος ὅσον ἀγαθὸν εὐχή· διὸ βαρὺς ἔγκειται. Οἶδε δὲ καὶ Παῦλος πῶς ἀκηδιῶσι πολλοὶ εὐχόμενοι· διό φησι, «προσκαρτερεῖτε τῇ προσευχῇ», ὡς περί τινος ἐπιπόνου. «Γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ». Τοῦτο γάρ, φησίν, ἔργον ὑμῶν ἔστω, ἐν ταῖς εὐχαῖς εὐχαριστεῖν, καὶ ὑπὲρ τῶν φανερῶν καὶ ὑπὲρ τῶν ἀφανῶν, καὶ ὑπὲρ ὧν ἑκόντας καὶ ὑπὲρ ὧν ἄκοντας ἐποίησεν εὖ, καὶ ὑπὲρ βασιλείας καὶ ὑπὲρ γεέννης, καὶ ὑπὲρ θλίψεως καὶ ὑπὲρ ἀνέσεως. Οὕτω γὰρ ἔθος τοῖς ἁγίοις εὔχεσθαι, καὶ ὑπὲρ ἀνέσεως. Οὕτω γὰρ ἔθος τοῖς ἁγίοις εὔχεσθαι, καὶ ὑπὲρ τῶν κοινῶν εὐεργεσιῶν εὐχαριστεῖν.

Οἶδα ἐγώ τινα ἅγιον ἄνδρα οὕτως εὐχόμενον. Οὐδὲν πρὸ τούτου τοῦ ῥήματος ἔλεγεν, ἀλλ' ὅτι, Εὐχαριστοῦμεν ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου τῶν ἐκ πρώτης ἡμέρας μέχρι τῆς παρούσης εἰς ἡμᾶς τοὺς ἀναξίους γενομένων· ὑπὲρ ὧν ἴσμεν καὶ οὐκ ἴσμεν, ὑπὲρ τῶν φανερῶν, ὑπὲρ τῶν ἀφανῶν, τῶν ἐν ἔργῳ γενομένων, τῶν ἐν λόγῳ, τῶν ἑκοντί, τῶν ἀκοντί, πασῶν τῶν εἰς

6. Ἐφ. 6,9
7. Ματθ. 7,2

ἐξετάζονται τὰ πρόσωπα, ἀλλὰ τὰ ἔργα. Συνεπῶς καὶ ἔτσι πρέπει νὰ δουλεύῃς μὲ ἀγαθὴ διάθεσι καὶ μέσα ἀπὸ τὴν καρδιά σου. «Οἱ κύριοι νὰ παρέχετε στοὺς δούλους τὸ δίκαιο καὶ τὴν ἰσότητα». Τί σημαίνει δὲ τὸ δίκαιο; καὶ τί ἰσότητα; Νὰ τοὺς προμηθεύουν τὰ πάντα ἄφθονα καὶ νὰ μὴ τοὺς ἀφήνουν νὰ χρειάζωνται ἄλλα, ἀλλὰ νὰ ἀμείβωνται οἱ κόποι τους. Μὴ λοιπόν, ἐπειδὴ εἶπα, θὰ λάβουν ἀμοιβὴ ἀπὸ τὸν Θεό, γι' αὐτὸ ἐσὺ τοὺς τὴν στερήσῃς. Καὶ ἀλλοῦ λέγει, «Νὰ ἀποφεύγετε τὴν ἀπειλή»[6], θέλοντας νὰ τοὺς καταστήσῃ ἠπιωτέρους, διότι ἐκεῖνοι ἦταν τέλειοι. Δηλαδή, «Μὲ ὅποιο μέτρο ἐξετάζετε τὶς πράξεις τῶν ἄλλων, μὲ τὸν ἴδιο θὰ ἐξετασθοῦν καὶ οἱ δικές σας»[7]. Καὶ τὸ «δὲν ὑπάρχει μεροληψία», πρὸς αὐτοὺς ἔχει λεχθῆ· καὶ λέγεται γιὰ ἐκείνους, γιὰ νὰ τὸ ἀκούσουν καὶ νὰ τὸ δεχθοῦν αὐτοί. Διότι ὅταν κάτι ἀφορᾶ ἄλλον καὶ τὸ εἰποῦμε σὲ ἄλλον, δὲν διωρθώσαμε τόσο ἐκεῖνον, ὅσο τὸν ὑπαίτιο. Καὶ ἐσεῖς εἶσθε μὲ ἐκείνους, λέγει. Ἐδῶ ἔκαμε κοινὴ τὴ δουλεία. «Γνωρίζοντας λοιπόν, λέγει, ὅτι καὶ σεῖς ἔχετε Κύριο στοὺς οὐρανούς».

3. «Νὰ ἐπιμένετε μὲ καρτερία στὴν προσευχή, ἀγρυπνώντας σ' αὐτὴν μὲ εὐχαριστία». Ἐπειδὴ βέβαια ἡ ἐπιμονὴ στὶς προσευχὲς φέρει πολλὲς φορὲς τὴ νωθρότητα, γι' αὐτὸ λέγει, «ἀγρυπνώντας», δηλαδή, νὰ εἶσθε νηφάλιοι, ὄχι νωθροί. Γιατὶ γνωρίζει, γνωρίζει ὁ διάβολος πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ προσευχή, γι' αὐτὸ ἐπιτίθεται μὲ δύναμι. Ἐγνώριζε ὅμως καὶ ὁ Παῦλος πῶς ἀδιαφοροῦν πολλοὶ ὅταν προσεύχωνται· γι' αὐτὸ λέγει, «νὰ ἐπιμένετε μὲ καρτερία στὴν προσευχή», ὡσὰν νὰ πρόκειται γιὰ κάποιο κουραστικὸ ἔργο. «Ἀγρυπνώντας σὲ αὐτὴν μὲ εὐχαριστία». Αὐτὸ λοιπόν, λέγει, ἂς εἶναι τὸ ἔργο σας, νὰ εὐχαριστῆτε στὶς προσευχές σας, καὶ γιὰ τὰ φανερὰ καὶ γιὰ τὰ κρυφά, καὶ γιὰ τὶς εὐεργεσίες ποὺ μᾶς ἔκαμε μὲ τὴ θέλησί μας καὶ χωρὶς τὴ θέλησί μας, καὶ γιὰ τὴ βασιλεία τῶν οὐρανῶν καὶ γιὰ τὴ γέεννα τοῦ πυρός, καὶ γιὰ τὶς θλίψεις καὶ γιὰ τὶς ἀνέσεις μας. Διότι ἔτσι εἶναι ἡ συνήθεια στοὺς ἁγίους νὰ προσεύχωνται καὶ γιὰ τὶς κοινὲς εὐεργεσίες νὰ εὐχαριστοῦν.

Γνωρίζω ἐγὼ κάποιον ἅγιο ἄνδρα ποὺ προσεύχεται μὲ αὐτὸν τὸν τρόπο. Τίποτε δὲν ἔλεγε πρὶν ἀπὸ τὰ λόγια αὐτά, ἀλλὰ ὅτι, σ' εὐχαριστοῦμε γιὰ ὅλες τὶς εὐεργεσίες σου ποὺ ἀπὸ τὴν πρώτη ἡμέρα μέχρι σήμερα ἔγιναν σὲ μᾶς τοὺς ἀνθρώπους· γιὰ ὅσες γνωρίζομε καὶ ὅσες δὲν γνωρίζομε, γιὰ τὶς φανερές, γιὰ τὶς κρυφές, γι' αὐτὲς ποὺ ἔγιναν μὲ ἔργο, γι' αὐτὲς ποὺ ἔγιναν μὲ λόγο, γι' αὐτὲς ποὺ ἔγιναν ἑκούσια, γι' αὐτὲς ποὺ ἔγιναν ἀκούσια, γιὰ ὅλες

τοὺς ἀναξίους ἡμᾶς γεγενημένων· ὑπὲρ θλίψεων, ὑπὲρ ἀνέσεων, ὑπὲρ τῆς γεέννης, ὑπὲρ τῆς κολάσεως, ὑπὲρ βασιλείας τῶν οὐρανῶν. Παρακαλοῦμεν φυλάξαι σε τὴν ψυχὴν ἡμῶν ἁγίαν, καθαρὰν συνείδησιν ἔχουσαν, τέλος ἄξιον τῆς φιλανθρωπίας σου. Ὁ ἀγαπήσας ἡμᾶς ὥστε τὸν μονογενῆ σου δοῦναι ὑπὲρ ἡμῶν, καταξίωσον ἀξίους γενέσθαι τῆς σῆς ἀγάπης· δὸς ἐν τῷ λόγῳ σου σοφίαν, καὶ ἐν τῷ φόβῳ σου. Μονογενὲς Χριστέ, ἔμπνευσον ἰσχὺν τὴν παρὰ σοῦ. Ὁ τὸν μονογενῆ δοὺς ὑπὲρ ἡμῶν, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον ἐξαποστείλας εἰς ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν, εἴ τι ἑκόντες ἢ ἄκοντες ἡμάρτομεν, συγχώρησον, καὶ μὴ λογίσῃ. Μνήσθητι πάντων τῶν ἐπικαλουμένων τὸ ὄνομά σου ἐν ἀληθείᾳ· μνήσθητι πάντων τῶν εὖ καὶ τἀναντία ἡμῖν θελόντων· πάντες γὰρ ἄνθρωποί ἐσμεν. Εἶτα ἐπιθεὶς τὴν εὐχὴν τῶν πιστῶν, ἐνταῦθα ἐπαύετο, ὡς κορωνίδα τινὰ καὶ σύνδεσμον ὑπὲρ πάντων τὴν εὐχὴν ποιησάμενος. Πολλὰ γὰρ ἡμᾶς ὁ Θεὸς καὶ ἄκοντας εὖ ποιεῖ· πολλὰ καὶ οὐκ εἰδότας, καὶ πλείονα. Ὅταν γὰρ τἀναντία εὐχώμεθα, αὐτὸς δὲ τἀναντία ποιῇ, δῆλον ὅτι καὶ οὐκ εἰδότας εὖ ποιεῖ.

«Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν». Ὅρα τὴν ταπεινοφροσύνην· μετ' ἐκείνους ἑαυτὸν τίθησιν. «Ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ». Εἴσοδόν φησι καὶ παρρησίαν. Βαβαί, ὁ ἀθλητὴς ὁ τοσοῦτος οὐκ εἶπεν, ἵνα ἀπαλλαγῶ τῶν δεσμῶν, ἀλλὰ δέσμιος ὢν ἑτέρους παρεκάλει, καὶ παρεκάλει ἐπὶ πράγματι μεγάλῳ, ἵνα παρρησίαν λάβῃ. Τὰ δύο μεγάλα, καὶ ἡ ποιότης τοῦ προσώπου, καὶ ἡ τοῦ πράγματος. Βαβαί, ὅσον τὸ ἀξίωμα. «Τὸ μυστήριον», φησί, «τοῦ Χριστοῦ». Δείκνυσιν ὅτι οὐδὲν αὐτῷ τούτου ποθεινότερον, τοῦ λαλῆσαι. «Δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι». Μετὰ πολλῆς, φησί, τῆς παρρησίας, καὶ μηδὲν ὑποστειλάμενον. Τὰ δεσμὰ φανεροῖ αὐτόν, οὐ συσκιάζει. Μετὰ πολλῆς, φησί, τῆς παρρησίας. Εἰπέ μοι, σὺ δέδεσαι, καὶ ἄλλους παρακαλεῖς; Ναί· μείζονά μοι παρρησίαν δίδωσι τὰ δεσμά· ἀλλὰ δέομαι τῆς τοῦ Θεοῦ ῥοπῆς· ἤκουσα γὰρ τῆς φωνῆς τοῦ Χριστοῦ λέγοντος· «Ὅταν παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε».

ποὺ ἔχουν γίνει σὲ μᾶς τοὺς ἀναξίους· γιὰ τὶς θλίψεις, γιὰ τὶς ἀνέσεις, γιὰ τὴ γέεννα τοῦ πυρός, γιὰ τὴν κόλασι, γιὰ τὴ βασιλεία τῶν οὐρανῶν. Σὲ παρακαλοῦμε νὰ φυλάξης τὴν ψυχή μας ἁγία, μὲ καθαρὴ συνείδησι, μὲ τέλος ἄξιο τῆς φιλανθρωπίας σου. Ἐσὺ ποὺ μᾶς ἀγάπησες, ὥστε νὰ παραδώσης γιὰ χάρι μας τὸ μονογενὴ Υἱό σου, ἀξίωσέ μας νὰ γίνωμε ἄξιοι τῆς ἀγάπης σου· δῶσε σοφία στὸ λόγο σου καὶ στὸ φόβο σου. Χριστέ, ποὺ εἶσαι μονογενής, βάλε μέσα μας τὴ δύναμί σου. Ἐσὺ ποὺ ἔδωσες γιὰ χάρι μας τὸ μονογενὴ Υἱό σου, καὶ ἐξαπέστειλες τὸ Πνεῦμα σου τὸ ἅγιο γιὰ τὴν ἄφεσι τῶν ἁμαρτιῶν μας, ἐὰν μὲ τὴ θέλησί μας ἢ χωρὶς τὴ θέλησί μας ἐκάμαμε κάποια ἁμαρτία, συγχώρησέ την καὶ μὴ τὴν λογαριάσης. Ἐνθυμήσου ὅλους ποὺ ἐπικαλοῦνται τὸ ὄνομά σου ἀληθινά· ἐνθυμήσου ὅλους ποὺ θέλουν τὸ καλό μας ἢ καὶ τὸ κακό μας, γιατὶ ὅλοι εἴμασθε ἄνθρωποι. Ἔπειτα προσθέτοντας τὴν προσευχὴ τῶν πιστῶν, ἐσταματοῦσε ἐδῶ, ἀφοῦ σὰν ἐπίλογο καὶ σύνδεσμο ἔδινε τὴν εὐχή του γιὰ ὅλους. Γιατὶ ὁ Θεὸς μᾶς δίνει πολλὲς εὐεργεσίες καὶ χωρὶς τὴ θέλησί μας, πολλὲς καὶ χωρὶς νὰ γνωρίζωμε, ποὺ εἶναι καὶ μεγαλύτερες. Ὅταν λοιπὸν προσευχώμασθε τὰ ἀντίθετα ἀπὸ αὐτὰ ποὺ πρέπει καὶ αὐτὸς κάμνει τὰ ἀντίθετα, εἶναι φανερὸ ὅτι καὶ χωρὶς νὰ γνωρίζωμε μᾶς εὐεργετεῖ.

«Νὰ προσεύχεσθε συγχρόνως καὶ γιὰ μᾶς». Πρόσεξε τὴν ταπεινοφροσύνη· θέτει τὸν ἑαυτό του ὕστερα ἀπὸ ἐκείνους. «Γιὰ νὰ μᾶς ἀνοίξη ὁ Θεὸς τὴ θύρα τοῦ λόγου γιὰ νὰ κηρύξουμε τὸ μυστήριο τοῦ Χριστοῦ». Εἴσοδο λέγει καὶ παρρησία. Ἀλλοίμονο, ὁ μεγάλος αὐτὸς ἀθλητὴς δὲν εἶπε, γιὰ νὰ ἀπαλλαγῶ ἀπὸ τὰ δεσμά, ἀλλ', ἂν καὶ ἦταν δέσμιος, ἐπαρακαλοῦσε ἄλλους, καὶ ἐπαρακαλοῦσε γιὰ πρᾶγμα μεγάλο, ὥστε νὰ ἀποκτήση παρρησία. Εἶναι μεγάλα καὶ τὰ δύο, καὶ ἡ ἀξία τοῦ προσώπου, καὶ ἡ ἀξία τοῦ πράγματος. Τόσο μεγάλα, ὅσο εἶναι τὸ ἀξίωμα. «Τὸ μυστήριο, λέγει, τοῦ Χριστοῦ». Ἀποδεικνύει ὅτι τίποτε δὲν εἶναι πιὸ ποθητὸ σὲ αὐτὸν ἀπὸ τὸ νὰ κηρύξη. «Γιὰ τὸ ὁποῖο καὶ εἶμαι δεμένος, γιὰ νὰ φανερώσω αὐτό, ὅπως πρέπει νὰ κηρύξω». Μὲ πολλὴ παρρησία, λέγει, καὶ χωρὶς νὰ ἀποσιωπήση τίποτε. Τὰ δεσμὰ ἀποκαλύπτουν τὸν Παῦλο, δὲν τὸν καλύπτουν. Μὲ πολλή, λέγει, παρρησία νὰ κηρύξω. Εἰπέ μου, ἐσὺ εἶσαι δέσμιος, καὶ προκαλεῖς ἄλλους; Ναί, λέγει· τὰ δεσμὰ μοῦ δίνουν πιὸ μεγάλη παρρησία, ὅμως χρειάζομαι τὴν ἐνίσχυσι τοῦ Θεοῦ, γιατὶ ἄκουσα τὴ φωνὴ τοῦ Χριστοῦ ποὺ λέγει· «Ὅταν σᾶς παραδώσουν στὰ δικαστήρια, μὴ φροντίσετε πῶς θὰ ὁμιλήσετε ἢ τί

Καὶ ὅρα πῶς μεταφορικῶς εἶπεν· «Ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου». Ὅρα πῶς ἄτυφός ἐστιν· ἐν τοῖς δεσμοῖς ὢν πῶς φθέγγεται. Τουτέστιν, ἵνα μαλάξῃ τὰς καρδίας αὐτῶν. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἵνα ἡμῖν παρρησίαν δῷ, ταπεινοφρονῶν οὕτως εἴρηκε, καὶ τοῦτο ὅπερ εἶχεν, ἀξιοῖ λαβεῖν. Δείκνυσιν ἐν ταύτῃ τῇ ἐπιστολῇ διὰ τί τότε οὐκ ἦλθεν ὁ Χριστός, τῷ σκιὰν ἐκεῖνα καλέσαι· «Τὸ δὲ σῶμα», φησί, «Χριστοῦ». Ὥστε ἔδει ἐν τῇ σκιᾷ ἐθισθῆναι. Ἅμα καὶ τῆς ἀγάπης τῆς εἰς αὐτοὺς τεκμήριον ἐμφαίνει μέγιστον· ἵνα ὑμεῖς, φησίν, ἀκούσητε, ἐγὼ δέδεμαι.

4. Πάλιν τὸν δεσμὸν εἰς μέσον τίθησιν, οὗ σφόδρα ἐρῶ, ὃς διανίστησί μοι τὴν καρδίαν, καὶ ἀεὶ εἰς ἐπιθυμίαν ἄγει τὸν Παῦλον δεδεμένον ἰδεῖν, καὶ ἐν δεσμοῖς γράφοντα, καὶ κηρύττοντα, καὶ βαπτίζοντα, καὶ κατηχοῦντα. Ὑπὲρ τῶν ἐκκλησιῶν τῶν ἁπανταχοῦ ἀνεφέρετο αὐτῷ δεδεμένῳ· μυρία ᾠκοδόμει δεδεμένος· τότε εὔλυτος μᾶλλον ἦν. Ἄκουε γὰρ αὐτοῦ λέγοντος· «Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν». Καὶ αὐτὸς δὲ πάλιν τοῦτο ὁμολογεῖ λέγων· «Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι». Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται». Ἐδεσμεῖτο μετὰ κακούργων, μετὰ τῶν δεσμωτῶν, μετὰ ἀνδροφόνων· ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ εἰς τρίτον ἀνελθὼν οὐρανόν, ὁ τὰ ἄρρητα ῥήματα ἀκούσας, ἐδέδετο. Ἀλλὰ τότε ταχύτερος ὁ δρόμος ἦν. Ὁ δεθεὶς ἐλέλυτο, καὶ ὁ μὴ δεδεμένος ἐδέδετο. Οὗτος μὲν γὰρ ὅπερ ἤθελεν, ἔπραττεν· ἐκεῖνος δὲ αὐτὸν οὐκ ἐκώλυεν, οὐδὲ τὴν ἰδίαν ἐπλήρου πρόθεσιν. Τί ποιεῖς, ὦ ἀνόητε; μὴ γὰρ σωματικός ἐστι δρομεύς; μὴ γὰρ ἐν σταδίῳ τῷ παρ' ἡμῖν ἀγωνίζεται; Ἐν οὐρανῷ πολιτεύεται· τὸν ἐν οὐρανῷ τρέχοντα δῆσαι τὰ ἐπὶ γῆς οὐ δύναται, οὐδὲ κατασχεῖν. Οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον; περίβαλε δεσμὰ ταῖς ἀκτῖσι, στῆσον τοῦ δρόμου· ἀλλ' οὐ δυνήσῃ.

Οὐκοῦν οὐδὲ Παῦλον· καὶ πολλῷ μᾶλλον τούτῳ, ἢ ἐκείνῳ· πλείονος γὰρ οὗτος, ἢ ἐκεῖνος ἀπήλαυσε προνοίας, ἅτε φῶς φέρων οὐ τοιοῦτον ἡμῖν, ἀλλὰ τὸ ἀληθινὸν βαστάζων. Ποῦ νῦν

---

8. Ματθ. 10,19
9. Κολ. 2,17
10. Φιλιπ. 1,14
11. Β' Κορ. 12,10
12. Β' Τιμ. 2,9
13. Βλ. Β' Κορ. 12,2.4

θὰ εἰπῆτε»[8]. Καὶ πρόσεχε πῶς μεταφορικὰ εἶπε, «Γιὰ νὰ μᾶς ἀνοίξη ὁ Θεὸς τὴ θύρα τοῦ λόγου». Πρόσεχε πῶς εἶναι ταπεινόφρων, ἂν καὶ εἶναι δέσμιος πῶς ὁμιλεῖ. Δηλαδή, γιὰ νὰ ἀνακουφίση τὶς καρδιές τους. Ἀλλὰ δὲν εἶπε ἔτσι, ἀλλὰ γιὰ νὰ μᾶς δώση παρρησία, μὲ ταπεινοφροσύνη ἔχει ὁμιλήσει ἔτσι, καὶ αὐτὸ ποὺ εἶχε, ἀξιώνει νὰ ἀποκτήση. Ἀποδεικνύει σὲ αὐτὴν τὴν ἐπιστολή γιατί δὲν ἦλθε τότε ὁ Χριστός, μὲ τὸ νὰ ὀνομάση σκιὰ ἐκεῖνα· «Τὸ σῶμα», λέγει, «εἶναι τοῦ Χριστοῦ»[9]. Ὥστε ἔπρεπε νὰ συνηθίσουν στὴ σκιά. Συγχρόνως παρουσιάζει καὶ πολὺ μεγάλη ἀπόδειξι τῆς ἀγάπης του πρὸς αὐτούς· ἐγὼ λέγει, εἶμαι δέσμιος γιὰ νὰ ἀκούσετε ἐσεῖς.

4. Πάλι ἀναφέρει τὰ δεσμά, τὰ ὁποῖα ὑπερβολικὰ ἀγαπῶ, τὰ ὁποῖα ἀναπτερώνουν τὴν καρδιά μου καὶ πάντοτε ὁδηγοῦν στὴν ἐπιθυμία νὰ ἰδῶ δέσμιο τὸν Παῦλο καὶ μέσα στὴ φυλακὴ νὰ γράφη καὶ νὰ κηρύττη καὶ νὰ βαπτίζη καὶ νὰ κατηχῆ. Ἐφρόντιζε γιὰ ὅλες τὶς ἐκκλησίες τῆς οἰκουμένης ἐνῶ ἦταν δεμένος· πολλὰ ἐδημιουργοῦσε δεμένος· τότε ἦταν περισσότερο ἐλεύθερος. Διότι ἄκουε αὐτὸν ποὺ λέγει· «Ὥστε οἱ περισσότεροι ἀπὸ τοὺς ἀδελφοὺς ἀπέκτησαν θάρρος ἀπὸ τὰ δεσμά μου καὶ πιὸ πολὺ ἄφοβα τολμοῦν νὰ κηρύττουν τὸ λόγο τοῦ εὐαγγελίου»[10]. Καὶ ὁ ἴδιος ὅμως πάλι ὁμολογεῖ αὐτὸ λέγοντας· «Διότι ὅταν εἶμαι ἀσθενής, τότε εἶμαι δυνατός»[11]. Γι' αὐτό καὶ ἔλεγε, «Ἀλλὰ ὁ λόγος τοῦ Θεοῦ δὲν εἶναι δεμένος»[12]. Ἦταν φυλακισμένος μαζὶ μὲ κακούργους, μὲ φυλακισμένους, μὲ δολοφόνους. Ὁ διδάσκαλος τῆς οἰκουμένης, αὐτὸς ποὺ ἀνέβηκε στὸν τρίτο οὐρανό, αὐτὸς ποὺ ἄκουσε τὰ ἀνέκφραστα λόγια[13], ἦταν φυλακισμένος. Ἀλλὰ τότε ἦταν πιὸ γρήγορος ὁ δρόμος. Ἐκεῖνος ποὺ ἐδέθηκε ἦταν λυμένος, καὶ ἐκεῖνος ποὺ δὲν εἶχε δεθῆ, ἦταν δεμένος. Διότι αὐτὸς ἐκεῖνο ποὺ ἤθελε, τὸ ἔκαμνε, ἐκεῖνος ὅμως δὲν ἐμπόδιζε αὐτόν, οὔτε ἐπραγματοποιοῦσε τὴν πρόθεσί του. Τί κάνεις, ἀνόητε; μήπως λοιπὸν εἶναι δρομεὺς μὲ σωματικὴ ὑπόστασι; μήπως λοιπὸν ἀγωνίζεται στὰ ἰδικά μας στάδια; Στὸν οὐρανὸ πολιτεύεται. Ἐκεῖνος ποὺ τρέχει στὸν οὐρανὸ δὲν μπορεῖ νὰ δέση τὰ εὑρισκόμενα ἐπάνω στὴ γῆ, οὔτε νὰ τὰ συγκρατήση. Δὲν βλέπεις αὐτὸν ἐδῶ τὸν ἥλιο; τοποθέτησε δεσμὰ γύρω ἀπὸ τὶς ἀκτῖνες του, σταμάτησε τὸ δρόμο του. Ἀλλὰ δὲν θὰ μπορέσης.

Λοιπὸν οὔτε καὶ τὸν Παῦλο θὰ μπορέσης νὰ δέσης, καὶ πολὺ περισσότερο αὐτὸν δὲν θὰ μπορέσης παρὰ ἐκεῖνον, γιατὶ ὁ Παῦλος ἀπήλαυσε πιὸ μεγάλη φροντίδα ἀπὸ τὸν ἥλιο, ἐπειδὴ δὲν μᾶς φέρει

εἰσιν οἱ μηδὲν βουλόμενοι διὰ τὸν Χριστὸν πάσχειν; τί δὲ λέγω πάσχειν, ὅπου γε οὐδὲ χρήματα βούλονται προέσθαι; Ἐδέσμει καὶ Παῦλός ποτε, καὶ ἐνέβαλλεν εἰς δεσμωτήριον· ἀλλ' ἐπειδὴ τοῦ Χριστοῦ γέγονε δοῦλος, οὐ τῷ ποιεῖν λοιπόν, ἀλλὰ τῷ πάσχειν σεμνύνεται. Καὶ τοῦτο δὲ τοῦ κηρύγματος θαῦμα, ὅταν διὰ τῶν πασχόντων αὐτῶν, ἀλλ' οὐ τῶν ποιούντων κακῶς, οὕτως ἐγείρηται καὶ αὔξηται. Ποῦ τις εἶδεν ἀγῶνας τοιούτους; ὁ πάσχων κακῶς, νικᾷ· καὶ ὁ ποιῶν κακῶς, ἡττᾶται· οὗτος ἐκείνου λαμπρότερος. Διὰ δεσμῶν τὸ κήρυγμα εἰσῆλθεν. Οὐκ αἰσχύνομαι, ἀλλὰ καὶ σεμνύνομαι, καὶ τὸν ἐσταυρωμένον κηρύττω, φησίν. Ἐννόησον γάρ μοι· ἡ οἰκουμένη πᾶσα τοὺς λελυμένους ἀφεῖσα, τοῖς δεδεμένοις προσῄει· τοὺς δεσμοῦντας ἀποστρεφομένη, τοὺς τὴν ἅλυσιν περικειμένους τιμᾷ· τοὺς σταυρώσαντας μισήσασα, τὸν ἐσταυρωμένον προσκυνεῖ.

5. Οὐκ ἔστι μόνον θαυμαστόν, ὅτι ἁλιεῖς, ὅτι ἰδιῶται ἦσαν οἱ κήρυκες, ἀλλ' ὅτι καὶ ἕτερα κωλύματα, φύσει κωλύματα ἦσαν, καὶ πλείων γέγονεν ἡ ἐπίδοσις. Οὐ μόνον οὐδὲν ἐκώλυσεν ἡ ἰδιωτεία, ἀλλὰ καὶ αὐτὸ τοῦτο φανερωθῆναι ἐποίησε τὸ κήρυγμα. Ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος· «Καὶ καταλαβόμενοι», φησίν, «ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον». Οὐ μόνον οὐδὲν ἐκώλυεν ὁ δεσμός, ἀλλὰ καὶ αὐτὸ τοῦτο ἐποίησεν αὐτοὺς θαρσαλεωτέρους. Οὐχ οὕτως ἐθάρρουν οἱ μαθηταί, λελυμένου τοῦ Παύλου, ὡς δεδεμένου· «Περισσοτέρως» γάρ, φησί, «τολμᾶν ἀφόβως τὸν λόγον τοῦ Θεοῦ λαλεῖν». Ποῦ οἱ ἀντεροῦντες, ὅτι οὐ θεῖον τὸ κήρυγμα; Ἡ ἰδιωτεία οὐκ ἦν ἱκανὴ ποιῆσαι καταγνωσθῆναι αὐτούς; οὐκοῦν ἔδει κἀνταῦθα φοβῆσαι αὐτούς. Ἴστε γὰρ ὅτι δύο πάθεσι τούτοις τὸ πλῆθος κατέχεται, κενοδοξίᾳ καὶ δειλίᾳ. Ἡ ἰδιωτεία οὐκ ἠφίει ἐπαισχύνεσθαι; οἱ κίνδυνοι εἰς δειλίαν ἐμβαλεῖν ὤφειλον. Ἀλλὰ θαύματα, φησίν, ἐποίουν. Πιστεύετε οὖν ὅτι ἐποίουν θαύματα. Ἀλλ' οὐκ ἐποίουν; Τοῦτο μεῖζον θαῦμα τοῦ ποιεῖν, εἰ χωρὶς θαυμάτων προσήγοντο. Ἐδέθη καὶ Σωκράτης παρ' Ἕλλησι· τί οὖν; οὐκ εὐθέως ἔφυγον εἰς Μέγαρα οἱ μαθηταί; Πάνυ γε, οὐ γάρ; τοὺς περὶ ἀθανασίας

---

14. Πράξ. 4,13
15. Φιλιπ. 1,14
16. *Σωκράτης*· ὁ μεγάλος Ἀθηναῖος φιλόσοφος (469 – 399 π.Χ.). Ἐδίδαξε μὲ μορφὴ διαλογικῶν συζητήσεων. Ἐναντίον του διετυπώθηκε κατηγορία ἀπὸ

τέτοιο φῶς, ἀλλὰ βαστάζει τὸ ἀληθινό. Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ δὲν θέλουν νὰ πάσχουν τίποτε γιὰ τὸν Χριστό; καὶ γιατί λέγω νὰ πάσχουν, ἀφοῦ βέβαια οὔτε τὰ χρήματα δὲν θέλουν νὰ ἐγκαταλείψουν; Ἔδενε καὶ ὁ Παῦλος κάποτε καὶ ἔρριπτε στὶς φυλακές. Ἀφότου ὅμως ἔχει γίνει δοῦλος τοῦ Χριστοῦ, δὲν ὑπερηφανεύεται πλέον μὲ αὐτὸ ποὺ ἔκανε, ἀλλὰ μὲ αὐτὰ ποὺ πάσχει. Καὶ αὐτὸ εἶναι θαῦμα τοῦ κηρύγματος, ὅταν μὲ ἐκείνους ποὺ πάσχουν καὶ ὄχι μὲ ἐκείνους ποὺ κακοποιοῦν, προχωρεῖ αὐτὸ καὶ αὐξάνει τόσο πολύ. Ποῦ εἶδε κανεὶς τέτοιους ἀγῶνες; ὅποιος ὑφίσταται κακὴ μεταχείρισι, νικᾶ, καὶ ὅποιος κακοποιεῖ, ἡττᾶται· αὐτὸς εἶναι πιὸ ἔνδοξος ἀπὸ ἐκεῖνον. Μὲ δεσμὰ ἐμφανίσθηκε τὸ κήρυγμα. Δὲν ἐντρέπομαι, ἀλλὰ καὶ ὑπερηφανεύομαι, καὶ τὸν Ἐσταυρωμένο κηρύττω, λέγει. Σκέψου λοιπόν, σὲ παρακαλῶ, ὅτι ἡ οἰκουμένη ὅλη, ἀφοῦ ἄφησε τοὺς ἐλευθέρους, προσέρχεται στοὺς δεμένους· ἐνῶ ἀποστρέφεται αὐτοὺς ποὺ δένουν, τιμᾶ ἐκείνους ποὺ περιβάλλονται τὴν ἁλυσίδα· ἀφοῦ ἐμίσησε ἐκείνους ποὺ τὸν ἐσταύρωσαν, προσκυνεῖ τὸν Ἐσταυρωμένο.

5. Δὲν εἶναι μόνο θαυμαστό, ὅτι οἱ κήρυκες ἦταν ἁλιεῖς καὶ ἁπλοὶ ἄνθρωποι τοῦ λαοῦ, ἀλλὰ ὅτι ὑπῆρχαν καὶ ἄλλα ἐμπόδια, ἐμπόδια φυσικά, καὶ ὅμως ἡ αὔξησις τοῦ κηρύγματος ἔχει γίνει πιὸ μεγάλη. Ὄχι μόνο δὲν ἐμπόδισε καθόλου ἡ ἁπλοϊκότητά τους αὐτή, ἀλλὰ καὶ ἔκαμε νὰ φανερωθῆ αὐτὸ τὸ ἴδιο τὸ κήρυγμα. Διατὶ ἄκουε τὸν Λουκᾶ ποὺ λέγει· «Καὶ ἀφοῦ ἀντελήφθηκαν ὅτι εἶναι ἄνθρωποι ἀγράμματοι καὶ ἁπλοϊκοί, ἐθαύμαζαν»[14]. Ὄχι μόνο δὲν ἐμπόδιζαν τὰ δεσμά, ἀλλὰ καὶ ἔκαμναν ἀκριβῶς αὐτοὺς πιὸ θαρραλέους. Δὲν εἶχαν τόσο θάρρος οἱ μαθητές, ὅταν ὁ Παῦλος ἦταν ἐλεύθερος, ὅσο ὅταν ἦταν δεμένος· «Γιατὶ πιὸ πολύ», λέγει, «ἄφοβα τολμοῦν νὰ κηρύττουν τὸ λόγο τοῦ Θεοῦ[15]. Ποῦ εἶναι οἱ ἀντιλέγοντες, ὅτι δὲν εἶναι θεϊκὸ τὸ κήρυγμα; Ἡ ἁπλοϊκότητα δὲν ἦταν ἀρκετὴ νὰ κάμη ὥστε νὰ περιφρονηθοῦν αὐτοί. Γιατὶ γνωρίζετε ὅτι τὸ πλῆθος κατέχεται ἀπὸ τὰ δύο αὐτὰ πάθη, τὴ ματαιοδοξία καὶ τὴ δειλία. Ἡ ἁπλοϊκότητα δὲν ἄφηνε νὰ ἀτιμάζωνται; οἱ κίνδυνοι ἔπρεπε νὰ προκαλέσουν σὲ αὐτοὺς τὴ δειλία. Ὅμως ἔκαμναν θαύματα, λέγει. Πιστεύετε λοιπὸν ὅτι ἔκαμναν θαύματα. Ἀλλὰ μήπως δὲν ἔκαμναν; Αὐτὸ εἶναι μεγαλύτερο θαῦμα ἀπὸ τὸ νὰ κάνουν θαύματα, ἐὰν ἔπειθαν χωρὶς θαύματα. Ἐφυλακίσθηκε καὶ ὁ Σωκράτης[16] στοὺς Ἕλληνες. Τί λοιπὸν συνέβηκε; δὲν ἔφυγαν ἀμέσως οἱ μαθητές του στὰ Μέγαρα; Βεβαιότατα, μήπως ὄχι; ἐδέχθη-

ἐδέξαντο λόγους.

Ἀλλ' ὅρα ἐνταῦθα· ἐδέθη Παῦλος, καὶ μᾶλλον ἐθάρρουν οἱ μαθηταί· εἰκότως· ἑώρων γὰρ οὐκ ἐμποδιζόμενον τὸ κήρυγμα. Μὴ γὰρ γλῶτταν δύνασαι δῆσαι; ταύτῃ μάλιστα τρέχει. Ὥσπερ γὰρ δρομέως ἂν μὴ δήσῃς τοὺς πόδας, οὐκ ἐκώλυσας τοῦ δρόμου, οὕτω καὶ εὐαγγελιστοῦ ἐὰν μὴ δήσῃς τὴν γλῶτταν, οὐκ ἐκώλυσας τοῦ δρόμου. Καὶ ὥσπερ ἐκεῖνος, ἐὰν δήσῃς τὴν ὀσφύν, μᾶλλον τρέχει καὶ διαβαστάζεται, οὕτω καὶ οὗτος μᾶλλον κηρύττει, καὶ μετὰ πλείονος τῆς παρρησίας. Δειλιᾷ ὁ δέσμιος, ὅταν δεσμὸς ᾖ μόνον· ὁ δὲ τοῦ θανάτου καταφρονῶν, πῶς ἂν ἐδέθη; Ταὐτὸν ἐποίουν, οἷον ἂν εἰ τὴν σκιὰν ἐδέσμουν Παύλου, καὶ τὸ στόμα αὐτῆς ἐνέφραττον. Σκιομαχία γὰρ ἦν· τοῖς τε γὰρ οἰκείοις ποθεινότερος μᾶλλον ἦν, τοῖς τε ἐχθροῖς αἰδεσιμώτερος, ἅτε ἀνδρείας φέρων ἔπαθλον τὸν δεσμόν. Καὶ στέφανος δεσμεῖ κεφαλήν, ἀλλ' οὐκ αἰσχύνει, ἀλλὰ καὶ λαμπρὰν ποιεῖ. Ἄκοντες ἐστεφάνουν αὐτὸν τῇ ἁλύσει. Εἰπὲ γάρ μοι, σίδηρον εἶχε δεῖσαι ὁ τῶν ἀδαμαντίνων τοῦ θανάτου κατατολμῶν πυλῶν;

6. Ἔλθωμεν εἰς ζῆλον, ἀγαπητοί, τῶν δεσμῶν τούτων. Ὅσαι γυναῖκες χρυσία περίκεισθε, τὰ Παύλου δεσμὰ ποθήσατε. Οὐχ οὕτως ὑμῖν περὶ τὸν τράχηλον τὸ περιδέρραιον ἀπολάμπει, ὡς ἐκείνου περὶ τὴν ψυχὴν ὁ τῶν σιδηρῶν δεσμῶν ἔστιλβε κόσμος. Εἴ τις ἐκεῖνα ποθεῖ, ταῦτα μισείτω. Τίς γὰρ κοινωνία βλακείᾳ πρὸς ἀνδρείαν; καλλωπισμῷ σωματικῷ πρὸς φιλοσοφίαν; Ἐκεῖνα τὰ δεσμὰ ἄγγελοι αἰδοῦνται, τούτων καὶ καταπαίζουσιν· ἐκεῖνα τὰ δεσμὰ πρὸς τὸν οὐρανὸν ἀπὸ τῆς γῆς ἕλκειν εἴωθε, ταῦτα τὰ δεσμὰ ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν κατάγει. Ὄντως γὰρ ταῦτα δεσμά, οὐκ ἐκεῖνα· ἐκεῖνα κόσμος, ταῦτα δεσμά· ταῦτα μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν θλίβει, ἐκεῖνα μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν κοσμεῖ. Βούλει μαθεῖν ὅτι ἐκεῖνα κόσμος ἐστίν; Εἰπέ μοι, τίς μᾶλλον ἐπεσπάσατο τοὺς ὁρῶντας, σύ, ἢ Παῦλος; Καὶ τί λέγω, σύ; αὐτὴ ἡ βασιλὶς ἡ πάντα χρυσὸν περικειμένη, οὐκ ἂν μᾶλλον ἐπεσπάσατο τοὺς ὁρῶντας· ἀλλ' εἰ συνέβη καὶ Παῦλον κατὰ τὸν αὐτὸν καιρὸν δεδεμένον, καὶ τὴν βασιλίδα εἰς τὴν ἐκκλησίαν

τρεῖς κατηγόρους τό 399. Στὴ δίκη ποὺ ἔγινε κατεδικάσθηκε, ἐφυλακίσθηκε καὶ στὴ συνέχεια ἤπιε τὸ κώνειο.

καν τὰ λόγια του περὶ ἀθανασίας τῆς ψυχῆς.

Ἀλλὰ πρόσεχε ἐδῶ. Ἐφυλακίσθηκε ὁ Παῦλος καὶ οἱ μαθητές του εἶχαν περισσότερο θάρρος. Εἶναι φυσικό, γιατὶ ἔβλεπαν ὅτι δὲν ἐσυναντοῦσε ἐμπόδια τὸ κήρυγμα. Μήπως λοιπὸν μπορεῖς νὰ δέσῃς γλῶσσα; ἔτσι πιὸ πολὺ τρέχει. Διότι ὅπως ἂν δὲν δέσῃς τὰ πόδια ἀθλητοῦ, δὲν τοῦ σταματᾷς τὸ τρέξιμο, ἔτσι καὶ ἂν δὲν δέσῃς τὴ γλῶσσα τοῦ εὐαγγελιστοῦ, δὲν σταματᾷς τὸ δρόμο του. Καὶ ὅπως ἐκεῖνος, ἂν δέσῃς τὴ μέση του, τρέχει περισσότερο καὶ συγκρατεῖται καλύτερα, ἔτσι καὶ αὐτὸς περισσότερο κηρύττει καὶ μὲ πιὸ πολλὴ παρρησία. Δειλιάζει ὁ φυλακισμένος, ὅταν ὑπάρχουν μόνο τὰ δεσμά. Ὅποιος ὅμως περιφρονεῖ τὸ θάνατο, πῶς θὰ ἦταν δυνατὸ νὰ δεθῇ; Τὸ ἴδιο ἔκαμαν, ὅπως ἐὰν ἔδεναν τὴ σκιὰ τοῦ Παύλου καὶ ἐσφράγιζαν καὶ τὸ στόμα αὐτῆς. Ἦταν λοιπὸν μάχη ἐναντίον σκιᾶς, γιατὶ καὶ στοὺς ἰδικούς του ἦταν περισσότερο ἀγαπητός, καὶ στοὺς ἐχθροὺς πιὸ σεβαστός, ἐπειδὴ ὑπέφερε τὰ δεσμὰ σὰν ἔπαθλο ἀνδρείας. Καὶ τὸ στεφάνι δένει τὸ κεφάλι, ὅμως δὲν τὸ ἀσχημίζει, ἀλλὰ καὶ τὸ καθιστᾷ ἔνδοξο. Χωρὶς νὰ θέλουν ἐστεφάνωσαν αὐτὸν μὲ τὶς ἀλυσίδες. Εἰπέ μου λοιπόν, ἦταν δυνατὸ τὰ σίδερα νὰ δέσουν ἐκεῖνον, ποὺ περιφρονεῖ τελείως τὶς ἀδαμάντινες πύλες τοῦ θανάτου;

6. Ἂς ζηλέψωμε, ἀγαπητοί, τὰ δεσμὰ αὐτά. Ὅσες γυναῖκες φορεῖτε χρυσὰ κοσμήματα, νὰ ποθήσετε τὰ δεσμὰ τοῦ Παύλου. Δὲν λάμπει τόσο γύρω ἀπὸ τὸ λαιμό σας τὸ περιδέραιο, ὅπως ἔλαμπε γύρω ἀπὸ τὴν ψυχὴ ἐκείνου τὸ κόσμημα τῶν σιδερένιων δεσμῶν. Ἐὰν κάποιος ποθῇ ἐκεῖνα, ἂς μισῇ αὐτά. Γιατὶ ποιὰ κοινωνία βαδίζει μὲ τὴ βλακεία πρὸς τὴν ἀνδρεία; μὲ καλλωπισμὸ τοῦ σώματος πρὸς τὴν εὐσέβεια; Τὰ δεσμὰ ἐκεῖνα τὰ σέβονται οἱ ἄγγελοι, ἐνῶ αὐτὰ τὰ περιπαίζουν· ἐκεῖνα τὰ δεσμὰ ἕλκουν συνήθως ἀπὸ τὴ γῆ πρὸς τὸν οὐρανό, αὐτὰ τὰ δεσμὰ κατεβάζουν ἀπὸ τὸν οὐρανὸ πρὸς τὴ γῆ. Πράγματι λοιπόν, αὐτὰ εἶναι δεσμά, ὄχι ἐκεῖνα· ἐκεῖνα κόσμημα, αὐτὰ δεσμά· αὐτὰ μαζὶ μὲ τὸ σῶμα στενοχωροῦν καὶ τὴν ψυχή, ἐκεῖνα μαζὶ μὲ τὸ σῶμα στολίζουν καὶ τὴν ψυχή. Θέλεις νὰ μάθῃς ὅτι τὰ δεσμὰ ἐκεῖνα εἶναι κόσμημα; Εἰπέ μου, ποιὸς ἐπροκάλεσε περισσότερο τὴν προσοχὴ τῶν παρόντων, ἐσὺ ἢ ὁ Παῦλος; Καὶ γιατί λέγω, ἐσύ; ἡ ἴδια ἡ βασίλισσα, ἡ ὁποία φορεῖ κάθε χρυσὸ κόσμημα, δὲν θὰ προσέλκυε περισσότερο τοὺς παρόντας. Ἀλλὰ ἐὰν συνέβαινε κατὰ τὴν αὐτὴ στιγμὴ καὶ ὁ Παῦλος νὰ εἶναι δεμένος καὶ ἡ βασίλισσα νὰ εἰσέλθῃ στὴν ἐκκλησία, ὅλοι θὰ

εἰσελθεῖν, πάντες ἂν ἀπ' ἐκείνης ἐπὶ τοῦτον μετήγαγον τοὺς ὀφθαλμούς· καὶ εἰκότως. Τὸ γὰρ ὁρᾶν ἄνδρα τῆς φύσεως τῆς ἀνθρωπίνης μείζονα, καὶ οὐδὲν ἔχοντα ἀνθρώπινον, ἀλλ' ἄγγελον ἐπὶ γῆς, θαυμασιώτερον τοῦ ὁρᾶν γυναῖκα κεκαλλωπισμένην.

Ταῦτα μὲν γὰρ καὶ ἐν θεάτροις, καὶ ἐν πομπαῖς, καὶ ἐν βαλανείοις, καὶ πολλαχοῦ ἔστιν ἰδεῖν· ἄνθρωπον δὲ δεσμὰ περικείμενον, καὶ νομίζοντα τὸν μέγιστον κόσμον ἔχειν, καὶ οὐκ εἴκοντα τοῖς δεσμοῖς, οὐκ ἔστι γῆς θέαμα ἰδεῖν τὸν ὁρῶντα, ἀλλ' οὐρανῶν ἄξιον τὸ θέαμα. Ἡ ταῦτα περικειμένη ψυχὴ περισκοπεῖ, τίς εἶδε, τίς οὐκ εἶδε, τύφου πεπλήρωται, φροντίσι κατέχεται, μυρίοις ἑτέροις δέδεται πάθεσιν· ὁ δὲ ἐκεῖνα περικείμενος, ἄτυφος· ἡ ψυχὴ γαυροῦται, πάσης ἀπήλλακται φροντίδος, γεγηθυῖα, πρὸς τὸν οὐρανὸν βλέπουσα, ἐπτερωμένη. Εἴ τις μοι Παῦλον ἐδίδου ἀπὸ τοῦ οὐρανοῦ διακύπτοντα ἰδεῖν καὶ φωνὴν ἀφιέντα, ἢ ἐκ τοῦ δεσμωτηρίου, ἐκ τοῦ δεσμωτηρίου ἂν εἱλόμην· οἱ γὰρ ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτὸν ἔρχονται, ὅταν εἰς τὸ δεσμωτήριον ᾖ. Ὁ σύνδεσμος τοῦ κηρύγματος τὰ δεσμὰ Παύλου, ὁ θεμέλιος ἡ ἅλυσις ἐκείνη. Ἐκεῖνα τὰ δεσμὰ ποθήσωμεν. Καὶ πῶς, φησίν, ἔνι; Ἐὰν ταῦτα συντρίψωμεν καὶ διακλάσωμεν. Οὐδὲν ἡμῖν ἀπὸ τούτων ὄφελος τῶν δεσμῶν, ἀλλὰ καὶ βλάβη. Δεσμώτας ἡμᾶς ἐκεῖ δείξει ταῦτα, τὰ δὲ Παύλου δεσμὰ λύσει ἐκεῖνα τὰ δεσμά· ἡ τούτοις ἐνταῦθα δεδεμένη, καὶ τοῖς ἀθανάτοις ἐκεῖ δεσμοῖς δεθήσεται χεῖρας καὶ πόδας· ἡ τοῖς Παύλου δεθεῖσα ἕξει καθάπερ κόσμον περικείμενον αὐτῇ τότε. Λῦσον καὶ σαυτὴν τοῦ δεσμοῦ, καὶ τὸν πένητα τοῦ λιμοῦ.

Τί τῶν ἁμαρτημάτων τὰς σειρὰς ἐπισφίγγεις; Πῶς; φησίν. Ὅταν σὺ μὲν χρυσοφορῇς, ἕτερος δὲ ἀπόλλυται· ὅταν σὺ μὲν ἵνα δόξης τύχῃς τῆς κενῆς, τοσοῦτον λαμβάνῃς χρυσίον, ἕτερος δὲ μηδὲ φαγεῖν ἔχῃ, οὐχὶ τὰς ἁμαρτίας ἐπέσφιγξας; Περίθου τὸν Χριστόν, καὶ μὴ τὸν χρυσόν. Ἔνθα μαμωνᾶς, ἐκεῖ Χριστὸς οὐκ ἔστιν· ἔνθα Χριστός, ἐκεῖ μαμωνᾶς οὐκ ἔστιν. Οὐ βούλει τόν βασιλέα αὐτὸν περικεῖσθαι τῶν πάντων; Εἴ τις σοι τὴν ἁλουργίδα καὶ τὸ διάδημα ἔδωκεν, οὐκ ἂν ἐδέξω ἀντὶ παντὸς τοῦ χρυσίου; Ἐγώ σοι οὐ τὸν κόσμον δίδωμι τὸν βασιλικόν, ἀλλ' αὐτὸν περι-

ἔστρεφαν τὰ μάτια τους ἀπὸ ἐκείνην πρὸς αὐτόν. Καὶ ἦταν φυσικό. Διότι τὸ νά βλέπη κανεὶς ἄνδρα μεγαλύτερο τῆς φύσεως τοῦ ἀνθρώπου καὶ νὰ μὴ ἔχη τίποτε τὸ ἀνθρώπινο, ἀλλὰ νὰ εἶναι ἄγγελος ἐπάνω στὴ γῆ, εἶναι θαυμασιώτερο ἀπὸ τὸ νὰ βλέπη μία γυναῖκα στολισμένη.

Πράγματι, αὐτὰ μπορεῖ νὰ τὰ ἰδῆ κανεὶς καὶ στὰ θέατρα καὶ σὲ ἐπιδείξεις καὶ στὰ λουτρὰ καὶ σὲ πολλὰ μέρη. Ἄνθρωπο ὅμως ποὺ νὰ φέρη δεσμὰ καὶ νὰ νομίζη ὅτι ἔχει τὸ καλύτερο κόσμημα καὶ νὰ μὴ ὑποχωρῆ στὰ δεσμά, δὲν μπορεῖ νὰ ἰδῆ κανεὶς τέτοιο θέαμα στὴ γῆ, ἀλλὰ τὸ θέαμα αὐτὸ εἶναι ἄξιο τῶν οὐρανῶν. Ὅποια ψυχὴ φέρει τὰ κοσμήματα αὐτὰ προσέχει γύρω της, ποιὸς τὴν εἶδε, ποιὸς δὲν τὴν εἶδε, εἶναι γεμάτη ἀλαζονεία, ἐξουσιάζεται ἀπὸ τὶς φροντίδες, εἶναι δεμένη μὲ ἄπειρα ἄλλα πάθη, ὅποιος ὅμως φέρει ἐκεῖνα, δὲν εἶναι ἀλαζών, ἡ ψυχή του ὑπερηφανεύεται, ἔχει ἀπαλλαχθῆ ἀπὸ κάθε φροντίδα, εἶναι γεμάτη χαρά, βλέπει πρὸς τὸν οὐρανό, ἔχει ἀποκτήσει πτερά. Ἐὰν κάποιος μοῦ ἔδινε νὰ διαλέξω πιὸ προτιμῶ, τὸν Παῦλο νὰ σκύψη γιὰ νὰ ἰδῆ καὶ νὰ ὁμιλήση ἀπὸ τὸν οὐρανὸ ἢ ἀπὸ τὴ φυλακή, θὰ ἐπροτιμοῦσα ἀπὸ τὴ φυλακή· γιατὶ οἱ εὑρισκόμενοι στὸν οὐρανὸ πρὸς αὐτὸν ἔρχονται, ὅταν εἶναι στὴ φυλακή. Ὁ σύνδεσμος τοῦ κηρύγματος εἶναι τὰ δεσμὰ τοῦ Παύλου, ὁ θεμέλιος λίθος οἱ ἁλυσίδες του ἐκεῖνες. Ἐκεῖνα τὰ δεσμὰ ἂς ποθήσωμε. Καὶ πῶς, λέγει, εἶναι δυνατό; ἐὰν συντρίψωμε αὐτὰ τὰ δεσμὰ καὶ τὰ σπάσωμε τελείως. Δὲν προκύπτει κανένα ὄφελος γιὰ μᾶς ἀπὸ τὰ δεσμὰ αὐτά, ἀλλά καὶ βλάβη. Θὰ μᾶς παρουσιάσουν αὐτὰ φυλακισμένους στὴν ἄλλη ζωή, τὰ δεσμὰ ὅμως τοῦ Παύλου θὰ μᾶς λύσουν ἐκεῖνα τὰ δεσμά. Ἐκείνη ποὺ εἶναι στὴ ζωὴ αὐτὴ δεμένη μὲ τὰ δεσμὰ αὐτά, θὰ δεθῆ στὴν ἄλλη μὲ τὰ ἀθάνατα δεσμὰ καὶ στὰ χέρια καὶ τὰ πόδια· ἐκείνη ποὺ ἐδέθηκε μὲ τοῦ Παύλου τὰ δεσμὰ θὰ ἔχη τότε νὰ φορῆ αὐτὰ σὰν κόσμημα. Ἀπάλλαξε τὸν ἑαυτό σου ἀπὸ τὰ δεσμὰ καὶ τὸν πτωχὸ ἀπὸ τὴν πεῖνα.

Γιατὶ σφύγγεις περισσότερο τὰ δεσμὰ τῶν ἁμαρτημάτων; Πῶς; λέγει. Ὅταν ἐσὺ φορῆς χρυσὰ κοσμήματα καὶ ὁ ἄλλος χάνεται, ὅταν ἐσύ, γιὰ νὰ ἐπιτύχης τὴν κενὴ δόξα, φορῆς τόσα χρυσὰ στολίδια καὶ ὁ ἄλλος δὲν ἔχη οὔτε νὰ φάγη, δὲν ἔσφιγξες πιὸ πολὺ τὶς ἁμαρτίες σου; Φόρεσε τὸν Χριστὸ καὶ ὄχι τὸ χρυσάφι. Ὅπου ὑπάρχει ὁ μαμωνᾶς, ἐκεῖ δὲν ὑπάρχει ὁ Χριστός· ὅπου ὑπάρχει ὁ Χριστός, ἐκεῖ δὲν ὑπάρχει ὁ μαμωνᾶς. Δὲν θέλεις νὰ φέρης αὐτὸν τὸ βασιλέα τῶν πάντων; Ἐὰν κάποιος σοῦ ἔδινε τὴ βασιλικὴ πορφύρα καὶ τὸ στέμμα, δὲν θὰ τὸ ἐδεχόσουν γιὰ ὅλο τὸ χρυσάφι; Ἐγὼ δὲν

θέσθαι τὸν βασιλέα παρέχω. Καὶ πῶς ἄν τις περικέοιτο τὸν Χριστόν, φησίν; Ἄκουσον τοῦ Παύλου λέγοντος· «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε»· ἄκουσον τῆς παραινέσεως τῆς ἀποστολικῆς· «Τῆς σαρκός», φησί, «πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν». Οὕτω τις ἐνδύεται τὸν Χριστόν, μὴ προνοῶν τῆς σαρκὸς εἰς ἐπιθυμίας. Ἂν τὸν Χριστὸν ἐνδύσῃ, καὶ δαίμονές σε φοβηθήσονται· ἂν δὲ τὸν χρυσόν, καὶ ἄνθρωποι καταγελάσονται· ἐὰν ἐνδύσῃ τὸν Χριστόν, καὶ ἄνθρωποί σε αἰδεσθήσονται.

Βούλει φαίνεσθαι καλὴ καὶ εὐπρεπής; ἀρκέσθητι τῇ πλάσει τοῦ δημιουργοῦ. Τί τὰ χρυσία ἐπεισάγεις, ὡς διορθωσομένη τοῦ Θεοῦ τὸ πλάσμα; Θέλεις εὐπρεπὴς φαίνεσθαι; περιβαλοῦ ἐλεημοσύνην, περιβαλοῦ φιλανθρωπίαν, περιβαλοῦ σωφροσύνην, ἀτυφίαν· ταῦτα πάντα χρυσοῦ τιμιώτερα· ταῦτα καὶ τὴν ὡραίαν εὐπρεπεστέραν ποιεῖ· ταῦτα καὶ τὴν οὐκ εὔμορφον εὔμορφον ἐργάζεται. Ὅταν γάρ τις μετ' εὐνοίας ὄψιν ὁρᾷ, ἀπὸ ἀγάπης φέρει τὰς ψήφους· τὴν δὲ πονηρὰν οὐ δύναταί τις οὐδὲ καλὴν οὖσα, καλὴν εἰπεῖν· πεπληγμένη γὰρ ἡ διάνοια οὐ φέρει τὴν ψῆφον ὀρθήν. Ἐκοσμήθη ποτὲ ἡ Αἰγυπτία, ἐκοσμήθη καὶ ὁ Ἰωσήφ· τίς οὖν ἦν ὡραιότερος; οὐ λέγω ὅτε ἐν τοῖς βασιλείοις ἦν ἐκείνη, οὗτος δὲ ἐν τῷ δεσμωτηρίῳ. Γυμνὸς ἦν οὗτος, ἀλλ' ἐνεδέδυτο τῆς σωφροσύνης τὰ ἱμάτια· ἐνδεδυμένη ἦν ἐκείνη, ἀλλὰ γυμνῆς αἰσχροτέρα· σωφροσύνην γὰρ οὐκ εἶχεν.

Ὅταν σφοδρῶς κοσμήσῃ, ὦ γύναι, τότε τῆς γυμνῆς αἰσχροτέρα γέγονας· ἀπεδύσω γὰρ τὴν εὐκοσμίαν. Ἦν καὶ ἡ Εὔα γυμνή· ἀλλ' ὅτε ἐνεδύσατο, τότε ἦν αἰσχροτέρα· ὅτε μὲν γὰρ ἦν γυμνή, κεκόσμητο τῇ δόξῃ τοῦ Θεοῦ, ὅτε δὲ τὸ τῆς ἁμαρτίας ἱμάτιον ἐνεδύσατο, τότε ἦν αἰσχρά. Καὶ σὺ τῆς φιλοκοσμίας ἐνδυομένη τὸ ἱμάτιον, τότε αἰσχροτέρα φαίνῃ. Ὅτι γὰρ ἡ πολυτέλεια οὐκ ἀρκεῖ δεῖξαι εὔμορφον, ἀλλ' ἔστι καὶ ἐνδεδυμένην τῆς γυμνῆς μᾶλλον ἀσχημονεῖν, εἰπέ δή μοι· εἴ ποτε αὐλητοῦ, ἢ χοραύλου σκεύη ἐνεδύσω, ἆρα οὐκ ἦν ἀσχημοσύνη; Καίτοι γε χρυσᾶ εἰσι τὰ ἱμάτια· ἀλλὰ διὰ τοῦτο ἀσχημοσύνη, ὅτι χρυσᾶ. Ἡ γὰρ πολυτέλεια τοῖς ἐπὶ σκηνῆς ἁρμόζει, τοῖς τραγῳδοῖς, τοῖς ὑποκριταῖς,

---

17. Γαλ. 3,27
18. Ρωμ. 13,14
19. Πρόκειται γιὰ τὴ σύζυγο τοῦ Πετεφρῆ. Γιὰ τὸ ἐπεισόδιο βλ. Γεν. κεφ. 39.

σοῦ δίνω τὸ βασιλικὸ κόσμημα, ἀλλὰ σοῦ δίνω νὰ ἐνδυθῆς τὸν ἴδιο τὸ βασιλέα. Καὶ πῶς, λέγει, θὰ μπορέση κανεὶς νὰ ἐνδυθῆ τὸν Χριστό; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Ὅσοι ἔχετε βαπτισθῆ στὸ ὄνομα τοῦ Χριστοῦ, ἔχετε ἐνδυθῆ τὸν Χριστό»[17]. Ἄκουσε τὴν ἀποστολικὴ συμβουλή· «Μὴ φροντίζετε», λέγει, «γιὰ τὶς ἐπιθυμίες τῆς σάρκας»[18]. Ἔτσι ἐνδύεται κανεὶς τὸν Χριστό, ἐὰν δὲν φροντίζη γιὰ τὶς ἐπιθυμίες τῆς σάρκας. Ἂν ἐνδυθῆς τὸν Χριστό, θὰ σὲ φοβηθοῦν καὶ οἱ δαίμονες. Ἂν ὅμως ἐνδυθῆς τὸ χρυσάφι, θὰ σὲ περιγελάσουν καὶ οἱ ἄνθρωποι. Ἂν ἐνδυθῆς τὸν Χριστό, θὰ σὲ σεβασθοῦν καὶ οἱ ἄνθρωποι.

Θέλεις νὰ φαίνεσαι ὡραία καὶ εὐπρεπής; νὰ ἱκανοποιηθῆς ἀπὸ τὴν πλάσι τοῦ δημιουργοῦ. Γιατί φέρεις τὰ χρυσὰ κοσμήματα γιὰ νὰ διορθώσης δῆθεν τὸ δημιούργημα τοῦ Θεοῦ; Θέλεις νὰ φαίνεσαι εὐπρεπής; νὰ ἐνδύεσαι τὴν ἐλεημοσύνη, νὰ ἐνδύεσαι τὴ φιλανθρωπία, νὰ ἐνδύεσαι τὴ σωφροσύηνη, τὴν ταπεινοφροσύνη· αὐτὰ ἀξίζουν περισσότερο ἀπὸ ὅλο τὸ χρυσάφι· αὐτὰ καὶ τὴν ὡραία κάνουν ὡραιότερη· αὐτὰ καὶ ἐκείνη ποὺ δὲν εἶναι ὡραία τὴν καθιστοῦν ὡραία. Γιατὶ ὅταν κανεὶς βλέπη μὲ συμπάθεια τὸ πρόσωπο, ἐκφέρει τὴν κρίσι του ἀπὸ ἀγάπη, τὸ πονηρὸ ὅμως πρόσωπο, οὔτε ὅταν εἶναι ὡραῖο, δὲν μπορεῖ νὰ τὸ εἰπῆ κανεὶς καλό, γιατὶ κυριευμένη ἡ διάνοια ἀπὸ τὸ πάθος δὲν ἐκφέρει σωστὴ κρίσι. Ἐστολίσθηκε κάποτε ἡ Αἰγυπτία, ἐστολίσθηκε καὶ ὁ Ἰωσήφ[19]. Ποιὸς λοιπὸν ἦταν ὡραιότερος; δὲν λέγω ὅταν ἐκείνη ἦταν στὰ βασιλικὰ ἀνάκτορα καὶ αὐτὸς στὴ φυλακή. Ἦταν γυμνὸς αὐτός, ἀλλὰ ἐφοροῦσε τὰ ἐνδύματα τῆς σωφροσύνης· ἐφοροῦσε ἐνδύματα ἐκείνη, ἀλλὰ ἦταν πιὸ ἀσχρὴ ἀπὸ γυμνή, γιατὶ δὲν εἶχε σωφροσύνη.

Ὅταν στολισθῆς πολύ, γυναῖκα, τότε γίνεσαι πιὸ αἰσχρὴ ἀπὸ τὴ γυμνή, γιατὶ ἔχεις ἀποβάλει τὴν εὐπρέπεια. Ἦταν καὶ ἡ Εὕα γυμνή, ὅταν ὅμως ἐφόρεσε ἐνδύματα, τότε ἦταν πιὸ αἰσχρή. Γιατὶ ὅταν ἦταν γυμνή, ἦταν στολισμένη μὲ τὴ δόξα τοῦ Θεοῦ, ὅταν ὅμως ἐφόρεσε τὸ ἔνδυμα τῆς ἁμαρτίας, τότε ἦταν αἰσχρή. Καὶ σὺ ὅταν φορῆς τὸ ἔνδυμα τῆς φιλοκοσμίας, τότε φαίνεσαι περισσότερο αἰσχρή. Γιατὶ βέβαια ἡ πολυτέλεια δὲν εἶναι ἀρκετὴ νὰ σὲ παρουσιάση ὡραία, ἀλλὰ εἶναι δυνατὸ καὶ αὐτὴ ποὺ φορεῖ ἐνδύματα νὰ ἀσχημονῆ περισσότερο ἀπὸ τὴ γυμνή· εἰπέ μου, λοιπόν, ἐὰν κάποτε ἐφοροῦσες τὴν ἐνδυμασία τοῦ αὐλητοῦ ἢ τοῦ αὐλητοῦ ποὺ συνοδεύει τὸ χορό, ἄραγε δὲν θὰ ἦταν αὐτὸ ἀπρέπεια; Ἂν καὶ βέβαια τὰ ἐνδύματα εἶναι χρυσά. Γιατὶ ἡ πολυτέλεια ἁρμόζει στοὺς ἀνθρώπους τῆς σκηνῆς τοῦ θεάτρου, στοὺς τραγωδούς, στοὺς

τοῖς μίμοις, τοῖς ὀρχησταῖς, τοῖς πρὸς τὰ θηρία μαχομένοις· γυναικὶ δὲ πιστῇ ἕτερα δίδοται ἱμάτια παρὰ τοῦ Θεοῦ, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. «Ὅσοι», φησίν, «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». Εἰπέ μοι, εἴ τις σοι βασιλικὸν ἔδωκεν ἱμάτιον, σὺ δὲ ἐπάνω ἐκείνου τὸ τοῦ λωτοῦ λαβοῦσα περιέθου, ἆρα οὐκ ἂν μετὰ τοῦ ἀσχημονεῖν καὶ ἐκολάσθης; τὸν τοῦ οὐρανοῦ δεσπότην καὶ τῶν ἀγγέλων ἐνεδύσω, καὶ περὶ τὴν γῆν ἔτι στρέφῃ;

Ταυτά μοι εἴρηται, ὅτι μέγα μὲν καὶ καθ' ἑαυτὸν κακὸν ἡ φιλοκοσμία, κἂν μηδὲν ἦν ἕτερον ἐντεῦθεν τικτόμενον, ἀλλ' ἐξῆν ἀκινδύνως ἔχειν· εἰ γὰρ κενοδοξίαν ἀλείφει, καὶ τῦφον· νῦν δὲ καὶ ἕτερα πολλὰ τίκτεται ἐκ τοῦ καλλωπισμοῦ, ὑποψίαι πονηραί, δαπάναι ἄκαιροι, βλασφημίαι, πλεονεξιῶν ὑποθέσεις. Τί γὰρ καλλωπίζῃ, εἰπέ μοι; ἵνα ἀρέσῃς τῷ ἀνδρί; Οὐκοῦν ἐπὶ τῆς οἰκίας τοῦτο ποίει· ἐνταῦθα δὲ τοὐναντίον γίνεται. Εἰ γὰρ τῷ οἰκείῳ ἀρέσαι θέλεις ἀνδρί, τοῖς ἄλλοις μὴ ἄρεσκε· εἰ δὲ τοῖς ἄλλοις ἀρέσκεις, οὐ δυνήσῃ ἀρέσαι τῷ ἰδίῳ. Ὥστε πάντα ἀποτίθεσθαι τὸν κόσμον ἔδει εἰς ἀγορὰν ἐμβάλλουσαν, εἰς ἐκκλησίαν προϊοῦσαν. Ἄλλως δέ, μὴ ἀπὸ τούτων ἄρεσκε τῷ ἀνδρί, ἀφ' ὧν καὶ αἱ πόρναι, ἀλλ' ἀπὸ τούτων μᾶλλον, ἀφ' ὧν αἱ γυναῖκες αἱ ἐλεύθεραι. Τίνι γάρ, εἰπέ μοι, διέστηκε γυνὴ πόρνης; Ὅτι ἡ μὲν πρὸς ἓν μόνον ὁρᾷ, ὅπως τῷ κάλλει τοῦ σώματος ἐφελκύσηται τὸν ἐρώμενον· αὕτη δὲ καὶ οἰκίας προΐσταται, καὶ τέκνων κοινωνεῖ, καὶ τῶν ἄλλων ἁπάντων. Θυγάτριον ἔχεις; ὅρα μὴ διαδέξηται τὴν βλάβην· φιλεῖ γάρ πως πρὸς τὰς ἀνατροφὰς τὰ ἤθη ῥυθμίζεσθαι, καὶ μιμεῖσθαι τὰ τῶν μητέρων ἤθη. Ἔσο ὑπόδειγμα τῇ θυγατρὶ σωφροσύνης, κόσμησαι τὸν κόσμον ἐκεῖνον, καὶ ὅρα πῶς τούτου καταφρονήσει. Ὄντως γὰρ ἐκεῖνα κόσμος ἐστί, ταῦτα δὲ ἀκοσμία.

Ἀρκεῖ τὰ εἰρημένα. Ὁ δὲ Θεὸς ὁ τὸν κόσμον ποιήσας, καὶ δοὺς ἡμῖν τὸν τῆς ψυχῆς κόσμον, κοσμήσειεν ἡμᾶς, καὶ τῇ αὐτοῦ δόξῃ ἀμφιάσειεν· ἵνα πάντες ἐν ἀγαθοῖς ἔργοις διαλάμποντες, καὶ εἰς δόξαν αὐτοῦ ζῶντες, δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἠθοποιούς, στοὺς μίμους, στοὺς χορευτές, στοὺς ἀγωνιζομένους ἐναντίον τῶν θηρίων· στὴν πιστὴ γυναῖκα ὅμως ὁ Θεὸς ἔχει δώσει ἄλλα ἐνδύματα, τὸν ἴδιο τὸν μονογενή του Υἱό. «Ὅσοι ἔχετε βαπτισθῆ στὸ ὄνομα τοῦ Χριστοῦ», λέγει, «ἔχετε ἐνδυθῆ τὸν Χριστό». Εἰπέ μου, ἐὰν κάποιος σοῦ ἔδινε βασιλικὸ ἔνδυμα, ἐσὺ ὅμως, παίρνοντας κάποιο κουρέλι, τὸ ἐφοροῦσες ἐπάνω σὲ ἐκεῖνο, ἄρα μαζὶ μὲ τὴν ἀπρέπεια ποὺ ἔκαμες δὲν θὰ σὲ ἐτιμωροῦσαν; ἐφόρεσες τὸν Κύριο τοῦ οὐρανοῦ καὶ τῶν ἀγγέλων, καὶ ἀκόμη ἀσχολεῖσαι μὲ τὰ πράγματα τῆς γῆς;

Τὰ ἔχω εἰπῆ αὐτά, ἐπειδὴ καὶ ἀπὸ μόνο του εἶναι μεγάλο κακὸ ἡ φιλοκοσμία, καὶ ἂν ἀκόμη δὲν προέρχεται ἀπὸ αὐτὴν κανένα ἄλλο κακό, ἀλλὰ εἶναι δυνατὸ νὰ τὴν ἔχῃς χωρὶς κινδύνους, γιατὶ παρακινεῖ σὲ ματαιοδοξία καὶ ἀλαζονεία. Τώρα ὅμως καὶ ἄλλα πολλὰ κακὰ προέρχονται ἀπὸ τὸ στόλισμα, πονηρὲς ὑποψίες, φορτικὰ ἔξοδα, βλασφημίες, προφάσεις γιὰ πλεονεξία. Γιατί λοιπὸν στολίζεσαι; εἰπέ μου· γιὰ νὰ ἀρέσῃς στὸν ἄνδρα σου; Λοιπὸν κάνε αὐτὸ στὸ σπίτι. Ἐδῶ ὅμως γίνεται τὸ ἀντίθετο. Ἐὰν λοιπὸν θέλῃς νὰ ἀρέσῃς στὸν ἰδικό σου ἄνδρα, στοὺς ἄλλους νὰ μὴ ἀρέσῃς· ἐὰν ὅμως ἀρέσῃς στοὺς ἄλλους, δὲν θὰ μπορέσῃς νὰ ἀρέσῃς στὸν ἴδιο. Συνεπῶς ἔπρεπε νὰ ἀπομακρύνῃς κάθε στολίδι ὅταν βαδίζῃς στὴν ἀγορά, ὅταν ἔρχεσαι στὴν ἐκκλησία. Ἄλλωστε δέ, νὰ μὴ θέλῃς νὰ ἀρέσῃς στὸν ἄνδρα σου ἀπὸ αὐτά, ἀπὸ τὰ ὁποῖα καὶ οἱ πόρνες, ἀλλὰ ἀπὸ αὐτὰ μᾶλλον, ἀπὸ τὰ ὁποῖα ἀρέσουν οἱ ἐλεύθερες γυναῖκες. Γιατὶ εἰπέ μου, σὲ τί διαφέρει ἡ γυναῖκα ἀπὸ τὴν πόρνη; Ὅτι ἡ πόρνη ἀποβλέπει σὲ ἕνα μόνο, πῶς μὲ τὸ κάλλος τοῦ σώματος νὰ προσελκύσῃ τὸν ἐραστή· ἡ γυναῖκα ὅμως προΐσταται στὸ σπίτι, μετέχει στὰ παιδιὰ καὶ σὲ ὅλα τὰ ἄλλα. Ἔχεις μικρὴ θυγατέρα; πρόσεξε μήπως διαδεχθῇ τὴ ζημία, γιατὶ κατὰ κάποιο τρόπο τὰ ἤθη συμβαίνει νὰ διαμορφώνωνται σύμφωνα μὲ τὴν ἀνατροφὴ καὶ νὰ μιμοῦνται οἱ θυγατέρες τὶς συνήθειες τῶν μητέρων. Νὰ εἶσαι στὴ θυγατέρα σου ὑπόδειγμα σωφροσύνης, νὰ τὴν στολίσῃς μὲ ἐκεῖνο τὸ κόσμημα, καὶ πρόσεχε πῶς νὰ περιφρονήσῃς αὐτό. Γιατὶ πράγματι ἐκεῖνα εἶναι κόσμημα καὶ αὐτὰ ἀπρέπεια.

Εἶναι ἀρκετὰ τὰ λόγια αὐτά. Καὶ ὁ Θεός, ὁ ὁποῖος ἐδημιούργησε τὸν κόσμο καὶ μᾶς ἔδωσε τὸ κόσμημα τῆς ψυχῆς, εἴθε νὰ μᾶς στολίσῃ καὶ νὰ μᾶς ἐνδύσῃ μὲ τὴ δόξα του, ὥστε διαπρέποντας ὅλοι σὲ ἀγαθὰ ἔργα καὶ ζώντας γιὰ τὴ δόξα αὐτοῦ, νὰ ἀναπέμψωμε δόξα στὸν Πατέρα καὶ στὸν Υἱὸ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΑ΄
(Κολ. 4,5 – 11)

«Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι».

1. Ὅπερ ὁ Χριστὸς πρὸς τοὺς μαθητὰς ἔλεγε, τοῦτο καὶ νῦν Παῦλος παραινεῖ. Τί δὲ ὁ Χριστὸς ἔλεγεν; «Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί». Τουτέστι, φυλακτικοὶ γίνεσθε, μηδεμίαν αὐτοῖς λαβὴν διδόντες καθ' ὑμῶν. Διὰ γὰρ τοῦτο πρόσκειται, «πρὸς τοὺς ἔξω», ἵνα μάθωμεν, ὅτι πρὸς τὰ μέλη τὰ οἰκεῖα οὐ τοσαύτης ἡμῖν δεῖ ἀσφαλείας, ὅσης πρὸς τοὺς ἔξω. Ἔνθα μὲν γὰρ ἀδελφοί, εἰσὶ καὶ συγγνῶμαι πολλαὶ καὶ ἀγάπαι. Δεῖ μὲν οὖν καὶ ἐνταῦθα ἀσφάλειαν εἶναι, πολλῷ δὲ πλέον ἔξω· οὐ γάρ ἐστιν ἴσον μεγαξὺ ἐχθρῶν καὶ πολεμίων εἶναι, καὶ φίλων. Εἶτ' ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς πάλιν θαρρύνει. «Τὸν καιρόν», φησίν, «ἐξαγοραζόμενοι», τουτέστι, βραχὺς ὁ παρὼν καιρός. Ταῦτα δὲ ἔλεγεν, οὐ ποικίλους εἶναι βουλόμενος, οὐδὲ ὑποκριτάς· τοῦτο γὰρ οὐ σοφίας, ἀλλὰ ἀνοίας· ἀλλὰ τί; Ἐν οἷς μὴ βλάπτουσι, φησί, μηδεμίαν αὐτοῖς δίδοτε λαβήν· ὃ καὶ πρὸς Ῥωμαίους γράφων φησίν· «Ἀπόδοτε πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὴν τιμήν, τὴν τιμήν».

Διὰ τὸ κήρυγμα μόνον ἔστω σοι πόλεμος, φησί· μηδεμίαν ἑτέραν ὁ πόλεμος οὗτος ἀρχὴν λαμβανέτω. Εἰ γὰρ μέλλοιεν ὑμῖν καὶ δι' ἕτερα ἀπεχθάνεσθαι, οὔτε μισθὸς ἡμῖν ἔσται, καὶ αὐτοὶ χείρους ἔσονται, καὶ δόξουσιν ἡμῖν δίκαια ἐγκαλεῖν· οἷον τὰ

1. Ματθ. 10,16
2. Ρωμ. 13,7

ΟΜΙΛΙΑ ΙΑ΄
(Κολ. 4,5 – 11)

«Νὰ συμπεριφέρεσθε μὲ σύνεσι πρὸς τοὺς ἔξω τῆς Ἐκκλησίας, ἐπωφελούμενοι τὶς εὐκαιρίες. Ὁ λόγος σας ἂς εἶναι πάντοτε χαριτωμένος, ἀρτυμένος μὲ τὸ ἁλάτι, ὥστε νὰ γνωρίζετε, πῶς πρέπει ἐσεῖς νὰ ἀποκρίνεσθε στὸν καθένα χωριστά».

1. Αὐτὸ ποὺ ὁ Χριστὸς ἔλεγε πρὸς τοὺς μαθητές του, αὐτὸ καὶ ὁ Παῦλος συμβουλεύει τώρα. Καὶ τί ἔλεγε ὁ Χριστός; «Ἰδοὺ ἐγὼ σᾶς στέλλω σὰν πρόβατα ἀνάμεσα σὲ λύκους· νὰ εἶσθε λοιπὸν φρόνιμοι σὰν τὰ φίδια, καὶ ἄκακοι σὰν τὰ περιστέρια»[1]. Δηλαδή, νὰ εἶσθε προφυλακτικοί, χωρὶς νὰ δίνετε σὲ αὐτοὺς καμμία ἀφορμὴ ἐναντίον σας. Γι' αὐτὸ λοιπὸν ἐπιμένει, «πρὸς τοὺς ἔξω τῆς Ἐκκλησίας», γιὰ νὰ μάθωμε, ὅτι δὲν μᾶς χρειάζεται τόση ἀσφάλεια πρὸς τῆς Ἐκκλησίας τὰ μέλη, ὅση πρὸς τοὺς ἔξω. Γιατὶ ὅπου ὑπάρχουν ἀδελφοί, ὑπάρχει καὶ συγγνώμη πολλὴ καὶ ἀγάπη. Πρέπει βέβαια νὰ ὑπάρχῃ καὶ ἐδῶ ἀσφάλεια, πολὺ περισσότερο ὅμως ἔξω, γιατὶ δὲν εἶναι τὸ ἴδιο νὰ εὑρισκώμασθε ἀνάμεσα σὲ ἐχθροὺς καί ἀντιπάλους, καὶ ἀνάμεσα σὲ φίλους. Ἔπειτα, ἐπειδὴ τοὺς ἐφόβησε, πρόσεχε πάλι πῶς τοὺς δίνει θάρρος. «Ἐπωφελούμενοι», λέγει, «τὶς περιστάσεις», δηλαδή, εἶναι μικρὴ ἡ παροῦσα ζωή. Καὶ ἔλεγε αὐτὰ χωρὶς νὰ θέλῃ νὰ γίνουν αὐτοὶ πολυμήχανοι, οὔτε ὑποκριτές, γιατὶ αὐτὸ δὲν εἶναι ἀπόδειξις σοφίας, ἀλλὰ ἀνοησίας· ἀλλὰ τί; Σὲ ἐκείνους ποὺ δὲν σᾶς βλάπτουν, λέγει, μὴ τοὺς δίνετε καμμία ἀφορμή. Αὐτὸ καὶ ὅταν ἔγραφε πρὸς τοὺς Ρωμαίους λέγει· «Ἀποδώσατε σὲ ὅλους τὶς ὀφειλές σας· σὲ αὐτὸν ποὺ εἰσπράττει τὸ φόρο, ἀποδώσατε τὸ φόρο· σ' αὐτὸν ποὺ εἰσπράττει τοὺς δασμούς, ἀποδώσατε τοὺς δασμούς· σ' αὐτὸν ποὺ ἀνήκει ἡ τιμή, ἀποδώσατε τὴν τιμή»[2].

Ὁ πόλεμός σου ἂς εἶναι μόνο γιὰ τὸ κήρυγμα, λέγει· ἀπὸ καμμία ἄλλη ἀφορμὴ ἂς μὴ ἀρχίζῃ αὐτὸς ὁ πόλεμος. Γιατὶ ἐὰν πρόκειται νὰ τοὺς ἀποστρεφώμασθε καὶ γι' ἄλλα πράγματα, οὔτε ἀμοιβὴ θὰ λάβωμε, καὶ αὐτοὶ θὰ εἶναι χειρότεροι καὶ θὰ φανοῦν ὅτι

τελέσματα ἂν μὴ καταβάλλωμεν, τὰς τιμὰς τὰς προσηκούσας ἂν μὴ ἀποδιδῶμεν, ἂν μὴ ὦμεν ταπεινοί. Οὐχ ὁρᾷς Παῦλον, ἔνθα μηδὲν ἔβλαπτε τὸ κήρυγμα, πῶς ἐστι καθυφιείς; Ἄκουε γὰρ αὐτοῦ λέγοντος πρὸς τὸν Ἀγρίππαν· «Μακάριον ἐμαυτὸν ἥγημαι ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον, μάλιστα γνώστην σε ὄντα τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων». Εἰ δὲ ἐνόμιζε δεῖν ὑβρίζειν τὸν ἄρχοντα, πάντα ἂν ἀνέτρεψεν. Ἄκουε δὲ καὶ τῶν περὶ τὸν μακάριον Πέτρον, πῶς ἐπιεικῶς ἀποκρίνονται τοῖς Ἰουδαίοις λέγοντες· «Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις». Καίτοιγε ἄνθρωποι τῆς ἑαυτῶν ψυχῆς ἀπεγνωκότες, καὶ ὑβρίζειν καὶ πᾶν ὁτιοῦν ποιεῖν ἐδύναντο· ἀλλὰ διὰ τοῦτο ἀπέγνωσαν τῆς ψυχῆς, ἵνα μὴ κενοδοξῶσι· κενοδοξίας γὰρ τοῦτό ἐστιν· ἀλλ' ἵνα κηρύσσωσι, καὶ ἵνα μετὰ παρρησίας πάντα φθέγγωνται· ἐκεῖνο δὲ ἀμετρίας ἐστίν.

«Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος». τουτέστι, μὴ εἰς ἀδιαφορίαν τὸ χαρίεν ἐκπίπτειν. Ἔνι γὰρ καὶ χαριεντίζεσθαι, ἔνι καὶ μετὰ τῆς προσηκούσης κοσμιότητος. «Εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι». Ὥστε οὐχ ὁμοίως πᾶσι διαλέγεσθαι χρή, Ἕλλησι λέγω καὶ ἀδελφοῖς. Οὐδαμῶς· ἐπὶ τοῦτο τῆς ἐσχάτης ἀνοίας ἐστί. «Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφός, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ». Βαβαί, ὅση σοφία Παύλου; πῶς οὐ πάντα ἐντίθησιν εἰς τὰς ἐπιστολάς, ἀλλὰ τὰ ἀναγκαῖα καὶ τὰ κατεπείγοντα; πρῶτον μέν, οὐ βουλόμενος αὐτὰς εἰς μῆκος ἐκτείνειν· δεύτερον δέ, καὶ τὸν ἀπερχόμενον αἰδεσιμώτερον ποιῶν, ἵνα ἔχῃ τι καὶ διηγεῖσθαι· τρίτον, δεικνὺς πῶς πρὸς αὐτὸν διάκειται· οὐ γὰρ ἂν αὐτῷ ταῦτα ἐνεχείρισεν. Ἔπειτα, ἦν ἃ οὐκ ἔδει διὰ γραμμάτων δηλωθῆναι. «Ὁ ἀγαπητός», φησίν, «ἀδελφός». Εἰ ἀγαπητός, πάντα οἶδε, καὶ οὐδὲν αὐτὸν ἔκρυπτε. «Καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ». Εἰ πιστός, οὐδὲν ψεύσεται· εἰ σύνδουλος, κεκοινώνηκε τῶν πειρασμῶν· ὥστε πάντοθεν τὸ ἀξιόπιστον συνήγαγεν.

---

3. Ἀγρίππας· πρόκειται γιὰ τὸν Ἡρώδη Ἀγρίππα Β΄, ἐνώπιον τοῦ ὁποίου ἀπελογήθηκε ὁ Παῦλος. Βλ. Πράξ. 25,13 – 26,32.
4. Πράξ. 26,2 – 3
5. Πράξ. 5,29

μᾶς κατηγοροῦν δίκαια· ὅπως γιὰ παράδειγμα, ἂν δὲν πληρώνωμε τοὺς φόρους, ἂν δὲν ἀποδίδωμε τὶς πρέπουσες τιμές, ἂν δὲν εἴμασθε ταπεινοί. Δὲν βλέπεις τὸν Παῦλο, ὅπου τίποτε δὲν ἔβλαπτε τὸ κήρυγμα, πῶς ὑποχωροῦσε; Ἄκουε λοιπὸν αὐτὸν νὰ λέγη πρὸς τὸν Ἀγρίππα[3]· «Θεωρῶ τὸν ἑαυτό μου εὐτυχισμένο, γιατὶ πρόκειται νὰ ἀπολογηθῶ σήμερα ἐνώπιόν σου, ὁ ὁποῖος εἶσαι ὁ κατ' ἐξοχὴν γνώστης τῶν ἐθίμων καὶ τῶν ζητημάτων, ποὺ ἐπικρατοῦν στοὺς Ἰουδαίους»[4]. Ἐὰν ὅμως ἐνόμιζε ὅτι ἔπρεπε νὰ ὑβρίζη τὸν ἄρχοντα, θὰ ἀνέτρεπε τὰ πάντα. Ἄκουε καὶ τοὺς ἀποστόλους ποὺ ἦσαν μαζὶ μὲ τὸν μακάριο Πέτρο, πῶς ἀποκρίνονται μὲ ἐπιείκεια στοὺς Ἰουδαίους λέγοντας· «Πρέπει νὰ πειθαρχοῦμε περισσότερο στὸν Θεό, παρὰ στοὺς ἀνθρώπους»[5]. Ἂν καὶ ἄνθρωποι ἀπελπισμένοι ἀπὸ τὴ ζωή τους ἠμποροῦσαν καὶ νὰ ὑβρίζουν καὶ ὁ,τιδήποτε νὰ κάνουν. Γι' αὐτὸ ὅμως ἀπελπίσθηκαν ἀπὸ τὴ ζωή, γιὰ νὰ μὴ εἶναι ματαιόδοξοι, γιατὶ αὐτὸ εἶναι ἀποτέλεσμα ματαιοδοξίας, ἀλλὰ γιὰ νὰ κηρύττουν καὶ νὰ λέγουν μὲ παρρησία τὰ πάντα· ἐκεῖνο ὅμως ἀποδεικνύει τὴν ἔλλειψι μέτρου.

«Ὁ λόγος σας ἂς εἶναι πάντοτε χαριτωμένος, ἀρτυμένος μὲ τὸ ἁλάτι», δηλαδή, νὰ μὴ μεταβάλλεται τὸ εὐχάριστο σὲ ἀδιαφορία. Γιατὶ ἐπιτρέπεται καὶ νὰ ἀστειεύεσθε, ἐπιτρέπεται ὅμως μὲ τὴν πρέπουσα εὐπρέπεια. «Ὥστε νὰ γνωρίζετε πῶς πρέπει ἐσεῖς νὰ ἀποκρίνεσθε στὸν καθένα χωριστά». Ὥστε δὲν πρέπει νὰ συζητῆτε ὅμοια μὲ ὅλους, ἐννοῶ μὲ τοὺς Ἕλληνες καὶ τοὺς ἀδελφούς. Καθόλου δὲν πρέπει νὰ γίνεται αὐτό, γιατὶ εἶναι ἀπόδειξις τῆς πιὸ μεγάλης ἀνοησίας. «Ὅλα τὰ νέα μου θὰ σᾶς τὰ γνωστοποιήση ὁ Τυχικός, ὁ ἀγαπητὸς ἀδελφός, καὶ πιστὸς διάκονος καὶ σύνδουλός μου στὸν Κύριο». Πόση εἶναι ἡ σοφία τοῦ Παύλου; πῶς δὲν θέτει τὰ πάντα μέσα στὶς ἐπιστολές, ἀλλὰ τὰ ἀπαραίτητα καὶ τὰ κατεπείγοντα; πρῶτο, γιατὶ δὲν θέλει νὰ τὶς ἐπεκτείνη σὲ μῆκος· δεύτερο, γιὰ νὰ καταστήση καὶ αὐτὸν ποὺ φεύγει περισσότερο σεβαστό, ὥστε νὰ ἔχη νὰ διηγῆται κάτι· τρίτο, γιὰ νὰ ἀποδείξη πῶς διάκεινται πρὸς αὐτόν, γιατὶ δὲν θὰ τοῦ ἀνέθετε αὐτά. Ἔπειτα, ὑπῆρχαν ἐκεῖνα ποὺ δὲν ἔπρεπε νὰ φανερωθοῦν μὲ τὰ γράμματα. «Ὁ ἀγαπητός», λέγει, «ἀδελφός». Ἐὰν εἶναι ἀγαπητός, τὰ πάντα γνωρίζει καὶ τίποτε δὲν τοῦ ἔκρυπτε. «Καὶ πιστὸς διάκονος, καὶ σύνδουλός μου στὸν Κύριο». Ἐὰν εἶναι πιστός, δὲν θὰ εἰπῆ κανένα ψέμα, ἐὰν εἶναι σύνδουλος, ἔχει γίνει μέτοχος τῶν πειρασμῶν. Συνεπῶς ἀπὸ παντοῦ ἐσυγκέντρωσε τὸ ἀξιόπιστο.

«Ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο». Ἐνταῦθα τὴν ἀγάπην δείκνυσι τὴν πολλήν, εἴ γε διὰ τοῦτο αὐτὸν ἀπέσταλκε, καὶ τῆς ἀποδημίας αἰτία αὕτη γέγονεν· ὃ καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγε, «Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν». Καὶ Ἐφεσίοις δὲ αὐτὸν τοῦτον πέμπει, καὶ ὑπὲρ τῆς αὐτῆς αἰτίας· «Ἵνα γνῷ», φησί, «τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν». Ὅρα τί φησιν· οὐχ ἵνα ὑμεῖς τὰ ἐμὰ μάθητε, ἀλλ' ἵνα ἐγὼ τὰ ὑμέτερα· οὕτως οὐδαμοῦ τὸ αὐτοῦ τίθησι. Δείκνυσιν αὐτοὺς καὶ ἐν πειρασμοῖς ὄντας τῷ εἰπεῖν, «ἵνα παρακαλέσῃ τὰς καρδίας ὑμῶν». «Σὺν Ὀνησίμῳ τῷ ἀγαπητῷ καὶ πιστῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε». Ὀνήσιμος οὗτός ἐστι, περὶ οὗ γράφων τῷ Φιλήμονι ἔλεγεν, «Ὃν ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι».

Καὶ τὸ ἐγκώμιον δὲ προστίθησι τῆς πόλεως, ἵνα καὶ ἐγκαλλωπίζωνται, μὴ μόνον ἐπαισχύνωνται· «Ὅς ἐστι», φησίν, «ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου». Οὐδὲν τούτου τοῦ ἐγκωμίου μεῖζον. Οὗτός ἐστιν ὁ ἀπὸ Ἱεροσολύμων ἀναχθεὶς μετ' αὐτοῦ. Μεῖζον εἶπε τῶν προφητῶν οὗτος· ἐκεῖνοι μὲν γὰρ ξένους καὶ παρεπιδήμους ἑαυτοὺς καλοῦσιν, οὗτος δὲ καὶ αἰχμάλωτον. Καθάπερ αἰχμάλωτος, οὕτως ἤγετο καὶ ἐφέρετο, καὶ πᾶσιν εἰς τὸ κακῶς πάσχειν προὔκειτο, μᾶλλον δὲ καὶ ἐκείνων χεῖρον. Ἐκείνους μὲν γάρ, ἐπειδὰν λάβωσιν οἱ πολέμιοι, ἐν πολλῇ θεραπείᾳ λοιπὸν ἔχουσιν, ἅτε ὡς οἰκείων κτημάτων ἐπιμελούμενοι· τοῦτον δὲ ὡς ἐχθρὸν καὶ πολέμιον πάντες ἦγον καὶ ἔφερον, δέροντες, μαστίζοντες, ὑβρίζοντες, συκοφαντοῦντες. Τοῦτο καὶ ἐκείνοις παράκλησις ἦν, ὅταν καὶ ὁ διδάσκαλος ἐν τοῖς τοιούτοις ᾖ.

«Καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα». Καὶ τοῦτον ἐνεκωμίασε τέως ἀπὸ τῆς συγγενείας· μέγας γὰρ ἦν ἀνὴρ ὁ Βαρνάβας. «Περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν». Τί γάρ; οὐκ ἐδέχοντο; Ναί· ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς, φησί· καὶ τοῦτο τὸν ἄνδρα δείκνυσι μέγαν. Πόθεν τὰς ἐντολὰς ἔλαβον,

6. Α' Θεσ. 3,1 – 2
7. Ἐφ. 6,22
8. Φιλ. 13 – 14
9. *Ἀρίσταρχος*· συνεργάτης τοῦ Παύλου, Θεσσαλονικεὺς καὶ Χριστιανὸς ἀπὸ τοὺς Ἰουδαίους. Συνώδευσε τὸν Παῦλο στὴν τρίτη περιοδεία του. Στὴν [illegible]

«Τὸν ὁποῖο σᾶς ἔστειλα ἀκριβῶς γι' αὐτό». Ἐδῶ ἀποδεικνύει τὴ μεγάλη ἀγάπη του, ἀφοῦ βέβαια γι' αὐτὸ τὸν ἔχη στείλει καὶ αὐτὴ ὑπῆρξε ἡ αἰτία τῆς μεταβάσεώς του ἐκεῖ. Αὐτὸ καὶ ὅταν ἔγραφε στοὺς Θεσσαλονικεῖς ἔλεγε· «Γι' αὐτὸ ἐπειδὴ δὲν ὑπεφέραμε πιά, ἐπροτιμήσαμε νὰ μείνωμε μόνοι στὴν Ἀθήνα καὶ ἐστείλαμε τὸν Τιμόθεο, τὸν ἀδελφό μας»[6]. Καὶ στοὺς Ἐφεσίους ἀκόμη τὸν ἴδιο στέλλει καὶ γιὰ τὴν αὐτὴ αἰτία· «Γιὰ νὰ γνωρίσῃ», λέγει, «τὰ ἰδικά σας, καὶ νὰ παρηγορήσῃ τὶς καρδιές σας»[7]. Πρόσεχε τί λέγει· ὄχι γιὰ νὰ μάθετε ἐσεῖς τὰ ἰδικά μου, ἀλλὰ γιὰ νὰ μάθω ἐγὼ τὰ ἰδικά σας· ἔτσι πουθενὰ δὲν θέτει τὴν ἰδική του κατάστασι. Παρουσιάζει αὐτοὺς νὰ εὑρίσκωνται καὶ σὲ πειρασμοὺς μὲ τὸ νὰ εἰπῆ, «γιὰ νὰ παρηγορήσῃ τὶς καρδιές σας». «Μαζὶ μὲ τὸν Ὀνήσιμο, τὸν ἀγαπητὸ καὶ πιστὸ ἀδελφό, ὁ ὁποῖος εἶναι συμπολίτης σας. Αὐτοὶ θὰ σᾶς γνωρίσουν ὅλα τὰ ἐδῶ συμβαίνοντα». Ὁ Ὀνήσιμος εἶναι αὐτός, γιὰ τὸν ὁποῖο γράφοντας στὸν Φιλήμονα ἔλεγε, «Τὸν ὁποῖο ἐγὼ ἤθελα νὰ τὸν κρατήσω πλησίον μου, γιὰ νὰ μὲ ὑπηρετῆ στὴ θέσι σου ὅσο καιρὸ εἶμαι φυλακισμένος γιὰ τὸ εὐαγγέλιο. Ἀλλὰ χωρὶς τὴν ἰδική σου γνώμη δὲν ἠθέλησα νὰ κάμω τίποτε»[8].

Προσθέτει καὶ τὸ ἐγκώμιο τῆς πόλεως, γιὰ νὰ καυχῶνται ἐπὶ πλέον καὶ νὰ μὴ ἐντρέπωνται μόνο. «Ὁ ὁποῖος εἶναι συμπολίτης σας», λέγει. «Αὐτοὶ θὰ σᾶς γνωστοποιήσουν τὰ ἐδῶ συμβαίνοντα. Σᾶς χαιρετᾶ ὁ Ἀρίσταρχος, ποὺ εἶναι μαζί μου αἰχμάλωτος». Τίποτε δὲν εἶναι μεγαλύτερο ἀπὸ τὸ ἐγκώμιο αὐτό. Ὁ Ἀρίσταρχος[9] αὐτὸς ἀπέπλευσε ἀπὸ τὰ Ἱεροσόλυμα μαζὶ μὲ τὸν Παῦλο. Μεγαλύτερα ἀπὸ τοὺς προφῆτες εἶπε αὐτός, γιατὶ ἐκεῖνοι ὀνομάζουν τοὺς ἑαυτούς τους ξένους καὶ προσωρινούς, αὐτὸς ὅμως καὶ αἰχμάλωτο. Σὰν αἰχμάλωτο, ἔτσι τὸν ἐπήγαιναν ἐδῶ καὶ ἐκεῖ, καὶ ἦταν ἐκτεθειμένος στὴν κακὴ μεταχείρισι ὅλων, καλύτερα ὅμως χειρότερα καὶ ἀπὸ τοὺς αἰχαμαλώτους. Γιατὶ ἐκείνους, ὅταν τοὺς συλλάβουν οἱ ἀντίπαλοι, τοὺς περιποιοῦνται στὴ συνέχεια πολύ, ἐπειδὴ τοὺς φροντίζουν ὡς ἰδικούς τους δούλους. Αὐτὸν ὅμως τὸν ἐσυμπεριφέροντο ὅλοι σὰν ἐχθρὸ καὶ ἀντίπαλο, δέρνοντας, μαστιγώνοντας, ὑβρίζοντας, συκοφαντώντας. Αὐτὸ ἦταν καὶ σὲ ἐκείνους παρηγοριά, ὅταν καὶ ὁ διδάσκαλος ἦταν στὴν αὐτὴ κατάστασι.

«Σᾶς χαιρετᾶ καὶ ὁ Μάρκος, ὁ ἀνεψιὸς τοῦ Βαρνάβα». Καὶ αὐτὸν ἐπήνεσε τότε ἀπὸ τὴ συγγένεια, γιατὶ ὁ Βαρνάβας ἦταν σπουδαῖος ἄνδρας. «Γιὰ τὸν ὁποῖο ἐλάβατε ἐντολές· ἐὰν ἔλθῃ πρὸς ἐσᾶς, νὰ τὸν δεχθῆτε». Τί λοιπόν; δὲν τὸν ἐδέχοντο; Ναί,

οὐ λέγει. «Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος». Ἴσως Κορίνθιος ἦν οὗτος. Εἶτα πᾶσι τὸ ἐγκώμιον κοινὸν ἀποδίδωσιν, εἰπὼν τὸ ἰδιάζον ἑκάστου· «Οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία». Ἐπειδὴ εἶπε, «συναιχμάλωτος», ἵνα μὴ συγκατενέγκῃ τὴν ψυχὴν τῶν ἀκουόντων, ὅρα πῶς τοῦτο τίθησι, καὶ διανίστησιν αὐτούς. «Συνεργοί», φησίν, «εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Ὥστε τῶν πειρασμῶν κοινωνοῦντες, τῆς βασιλείας κοινωνοῦσιν. «Οἵτινες ἐγενήθησάν μοι παρηγορία». Δείκνυσιν αὐτοὺς μεγάλους, εἴγε Παύλῳ παρηγορία γεγένηνται.

2. Ἀλλ' ἴδωμεν τὴν σύνεσιν Παύλου. «Ἐν σοφίᾳ», φησί, «περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι». Τουτέστιν, οὐκ ἔστιν ὑμέτερος ὁ καιρός, ἀλλ' ἐκείνων ἐστί· μὴ τοίνυν βούλεσθε αὐθεντεῖν, ἀλλ' ἐξαγοράζετε τὸν καιρόν. Καὶ οὐκ εἶπεν ἁπλῶς, ἀγοράζετε, ἀλλ', «ἐξαγοράζετε», ὑμέτερον αὐτὸν ποιοῦντες ἑτέρως. Ἀνοίας γὰρ περιττῆς, πολέμων καὶ ἀπεχθείας προφάσεις ἐπινοεῖν. Πρὸς γὰρ τῷ κινδύνους περιττοὺς ὑπομένειν καὶ κέρδος οὐκ ἔχοντας, καὶ ἑτέρα γίνεται βλάβη, τὸ τοὺς Ἕλληνας μὴ προσιέναι ἡμῖν. Ἐν γὰρ τοῖς ἀδελφοῖς ὅταν ᾖς, εἰκότως θαρρεῖς· ἔξω δὲ οὐχ οὕτω χρή. Ὁρᾷς πῶς πανταχοῦ τοὺς ἔξω, τοὺς Ἕλληνας λέγει; Διὰ τοῦτο καὶ Τιμοθέῳ γράφων ἔλεγε· «Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν»· καὶ πάλιν, «Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;» «Ἐν σοφίᾳ», φησί, «περιπατεῖτε πρὸς τοὺς ἔξω». Ἔξω γάρ εἰσι, κἂν τὸν αὐτὸν κόσμον οἰκῶσιν ἡμῖν, τῆς βασιλείας ὄντες ἔξω καὶ τοῦ οἰκίσκου τοῦ πατρικοῦ. Ἅμα καὶ παραμυθεῖται αὐτούς, ἔξω ἐκείνους καλῶν· ὅπερ ἔλεγεν ἀνωτέρω, ὅτι «Ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ». Τότε, φησί, δόξαν ζητεῖτε, τότε τιμάς, τότε τὰ ἄλλα πάντα· νῦν δὲ μή, ἀλλ' ἐκείνοις παρέχετε.

Εἶτα, ἵνα μὴ νομίσῃς χρήματα λέγειν αὐτόν, ἐπάγει· «Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι ὑμᾶς πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι». Ἵνα μὴ ὑποκρίσεως γέμῃ· τοῦτο γὰρ οὐ χάρις, οὐδὲ ἅλατι ἤρτυται. Οἷον, ἐὰν δέῃ θεραπεῦ-

---

Ἱεροσόλυμα καὶ στὴ συνέχεια στὴ Ρώμη, ὅπου καὶ ἦταν συναιχμάλωτός του. Τὰ σχετικὰ χωρία· Πράξ. 19,29· 20,4· Κολ. 4,10· Φιλ. 23.

10. Α΄ Τιμ. 3,7
11. Α΄ Κορ. 5,12
12. Κολ. 3,3

ἀλλὰ μὲ μεγάλη φροντίδα, λέγει· καὶ τοῦτο ἀποδεικνύει σπουδαῖο τὸν ἄνδρα. Ἀπὸ ποῦ ἔλαβαν τὶς ἐντολές, δέν λέγει. «Καὶ ὁ Ἰησοῦς, ποὺ λέγεται καὶ Ἰοῦστος». Ἴσως ἦταν ἀπὸ τὴν Κόρινθο αὐτός. Ἔπειτα ἀποδίδει τὸ κοινὸ ἐγκώμιο, λέγοντας αὐτὸ ποὺ ἀνήκει στὸν καθένα· «Οἱ ὁποῖοι προέρχονται ἀπὸ τοὺς Ἰουδαίους· αὐτοὶ μόνοι εἶναι συνεργάτες στὴ βασιλεία τοῦ Θεοῦ, οἱ ὁποῖοι μοῦ ἔγιναν παρηγοριά». Ἐπειδὴ εἶπε, «συναιχμάλωτός μου», γιὰ νὰ μὴ ὑποβιβάση τὴν ψυχὴ αὐτῶν ποὺ τὸν ἀκούουν, πρόσεχε πῶς θέτει αὐτὸ καὶ τοὺς ἐξυψώνει. «Συνεργάτες», λέγει, «στὴ βασιλεία τοῦ Θεοῦ». Ὥστε ὅταν μετέχουν στοὺς πειρασμούς, μετέχουν στὴ βασιλεία. «Οἱ ὁποῖοι μοῦ ἔγιναν παρηγοριά». Ἀποδεικνύει αὐτοὺς μεγάλους, ἐπειδὴ βέβαια ἔχουν γίνει παρηγοριὰ στὸν Παῦλο.

2. Ἀλλὰ ἂς ἐξετάσωμε τὴ σύνεσι τοῦ Παύλου. «Μὲ φρόνησι», λέγει, «νὰ συμπεριφέρεσθε πρὸς τοὺς ἔξω τῆς Ἐκκλησίας, ἐξαγοράζοντας τὸν καιρό». Δηλαδή, δὲν εἶναι ἰδικός σας ὁ καιρός, ἀλλὰ ἀνήκει σὲ ἐκείνους· νὰ μὴ θέλετε λοιπὸν νὰ φέρεσθε ὡς ἀπόλυτοι κύριοι, ἀλλὰ νὰ ἐξαγοράζετε, ἀλλὰ νὰ ἐξαγοράζετε τὸν καιρό. Καὶ δὲν εἶπε μόνο, νὰ ἀγοράζετε, ἀλλά, «νὰ ἐξαγοράζετε», κάνοντας διαφορετικὰ ἰδικό σας τὸν καιρό. Γιατὶ εἶναι ἔργο τῆς περιττῆς μωρίας, νὰ ἐπινοοῦμε προφάσεις γιὰ πολέμους καὶ ἀποστροφή. Γιατὶ ἐκτὸς ποὺ ὑπομένομε περιττοὺς κινδύνους καὶ δὲν ἔχομε ὄφελος, γίνεται καὶ ἄλλη ζημία, τὸ νὰ μὴ μᾶς πλησιάζουν οἱ Ἕλληνες. Ὅταν λοιπὸν εἶσαι ἀνάμεσα στοὺς ἀδελφοὺς φυσικὰ ἔχεις θάρρος· ἔξω ὅμως δὲν πρέπει ἔτσι. Βλέπεις πῶς παντοῦ λέγοντας τοὺς ἔξω, ἐννοεῖ τοὺς Ἕλληνες; Γι' αὐτὸ καὶ στὸν Τιμόθεο γράφοντας ἔλεγε· «Καὶ πρέπει νὰ ἔχη αὐτὸς καὶ καλὴ μαρτυρία ἀπὸ τοὺς ἔξω»[10]. Καὶ ἀλλοῦ ἔλεγε, «Γιατί τὶ δουλειὰ ἔχω ἐγὼ νὰ κρίνω καὶ τοὺς ἔξω;»[11]. Εἶναι πραγματικὰ ἔξω, ἂν καὶ κατοικοῦν τὸν ἴδιο μὲ μᾶς κόσμο, εἶναι ἔξω ἀπὸ τὴ βασιλεία καὶ τὸ πατρικὸ σπίτι. Συγχρόνως καὶ παρηγορεῖ αὐτούς, ἀποκαλώντας ἔξω ἐκείνους, πρᾶγμα ποὺ ἔλεγε παραπάνω, ὅτι «Ἡ ζωή σας εἶναι κρυμμένη μαζὶ μὲ τὸν Χριστὸ μέσα στὸν Θεό».[12] Τότε, λέγει, νὰ ζητῆτε τὴ δόξα, τότε τὶς τιμές, τότε ὅλα τὰ ἄλλα, τώρα ὅμως ὄχι, ἀλλὰ νὰ τὰ παρέχετε σὲ ἐκείνους.

Ἔπειτα, γιὰ νὰ μὴ νομίσης ὅτι ἐννοεῖ χρήματα, προσθέτει· «Ὁ λόγος σας νὰ εἶναι πάντοτε χαριτωμένος, ἀρτυμένος μὲ τὸ ἁλάτι, ὥστε νὰ γνωρίζετε πῶς πρέπει νὰ ἀποκρίνεσθε στὸν καθένα χωριστά». Γιὰ νὰ μὴ γεμίση ὑποκρισία, γιατὶ αὐτὸ δὲν εἶναι εὐχάριστο,

σαι ἀκινδύνως, μὴ παραιτήσῃ· ἂν καιρὸς ᾖ προσηνῶς διαλεχθῆναι, μὴ νομίσῃς τὸ πρᾶγμα κολακείαν· πάντα ποίει τὰ εἰς τιμὴν ἀνήκοντα, ἄνευ τοῦ βλάπτεσθαι τὴν εὐσέβειαν. Οὐκ ὁρᾷς πῶς Δανιὴλ ἄνθρωπον ἀσεβῆ θεραπεύει; οὐχ ὁρᾷς τοὺς τρεῖς παῖδας, πῶς μετὰ σοφίας προσεφέροντο, καὶ ἀνδρείαν δεικνύντες, καὶ παρρησίαν, καὶ οὐδὲν θρασὺ οὐδὲ ἐπαχθές; τοῦτο γὰρ οὐκέτι παρρησίας, ἀλλὰ κενοδοξίας. «Εἰδέναι», φησί, «πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι». Ἑτέρως γὰρ τῷ ἄρχοντι, ἄλλως τῷ ἀρχομένῳ· ἄλλως τῷ πλουτοῦντι, ἄλλως τῷ πένητι. Διὰ τί; Ὅτι αἱ τῶν πλουτούντων καὶ ἀρχόντων ψυχαὶ ἀσθενέστεραι τυγχάνουσιν οὖσαι, μᾶλλον φλεγμαίνουσαι, μᾶλλον διαρρέουσαι· ὥστε ἐκεῖ συγκαταβατικὸν εἶναι δεῖ· αἱ τῶν πενήτων καὶ ἀρχομένων στερρότεροι καὶ συνετώτεραι· ὥστε ἐνταῦθα καὶ παρρησίᾳ μεῖζον κεχρῆσθαι, πρὸς ἓν ὁρῶντα, τὴν οἰκοδομήν.

Μὴ ἐπειδὴ ὁ μὲν πλούσιος, ὁ δὲ πένης, ὁ μὲν πλέον τιμάσθω, ὁ δὲ ἔλαττον· ἀλλὰ διὰ τὴν ἀσθένειαν ὁ μὲν διαβασταζέσθω, ὁ δὲ μὴ οὕτως. Οἷον, αἰτίας οὐκ οὔσης, μὴ κάλει τὸν Ἕλληνα μιαρόν, μηδὲ ἔσο ὑβριστής· ἀλλ' ἂν μὲν ἐρωτηθῇς περὶ τοῦ δόγματος, ἀπόκριναι ὅτι μιαρὸν καὶ ἀσεβές· οὐδενὸς δὲ ἐρωτῶντος οὐδὲ ἀναγκάζοντος λέγειν, οὐ προσήκει ἁπλῶς ἀπέχθειαν ἀναδέχεσθαι· ποία γὰρ ἀνάγκη περιτὰς ἔχθρας κατασκευάζειν; Πάλιν, ἂν τινα κατηχῇς, λέγε ἐξ ὑποθέσεως ὑποκειμένης· ἐπεὶ σίγα. Ἐὰν ᾖ ἅλατι ἠρτυμένος ὁ λόγος, κἂν εἰς διαρρέουσαν ἐμπέσῃ ψυχήν, ἐπισφίγξει τὴν χαύνην· κἂν εἰς τραχεῖαν, λεανεῖ τὸ σκληρόν, ἐπίχαρις ὤν. Μήτε φορτικὸς ἔστω, μήτε πάλιν χαῦνος, ἀλλὰ καὶ τὸ στῦφον ἐχέτω, καὶ τὸ μεθ' ἡδονῆς. Ἄν τε γὰρ ἀμέτρως ἐπιστύψῃ, μᾶλλον ἔβλαψεν ἢ ὠφέλησεν· ἐὰν γὰρ ἀμέτρως χαριεντίσηται, μᾶλλον ἐλύπησεν ἢ ὤνησεν· ὥστε πανταχοῦ μέτρα δεῖ εἶναι. Μήτε κατηφὴς ἔσο καὶ σκυθρωπός· ἀηδὲς γάρ· μήτε διακεχυμένος· εὐκαταφρόνητον γὰρ καὶ πεπατημένον· ἀλλ' ἑκατέρου τὴν ἀρετὴν λαβών, τὴν κακίαν διάφυγε, καθάπερ ἡ μέλιττα, τοῦ μὲν τὸ φαιδρόν, τοῦ δὲ τὸ σεμνόν. Εἰ γὰρ ἰατρὸς οὐχ ὁμοίως πᾶσι χρήσεται τοῖς σώμασι, πολλῷ μᾶλλον διδάσκαλος. Καίτοι

οὔτε εἶναι ἀρτυμένο μὲ ἁλάτι. Ὅπως γιὰ παράδειγμα, ἐὰν εἶναι ἀνάγκη νὰ περιποιηθῆς χωρὶς κινδύνους, νὰ μὴ σταματήσης· ἂν εἶναι εὐκαιρία νὰ συζητήσης μὲ φιλοφροσύνη, νὰ μὴ θεωρήσης τὸ πρᾶγμα κολακεία· νὰ κάνης τὰ πάντα ποὺ ἀνήκουν στὴν ἐξουσία, χωρὶς νά βλάπτεται ἡ εὐσέβεια. Δὲν βλέπεις πῶς ὁ Δανιὴλ ὑπηρετεῖ ἄνθρωπο ἀσεβή; δὲν βλέπεις τοὺς τρεῖς παῖδας, πῶς ἐσυμπεριφέροντο μὲ σύνεσι, ἐπιδεικνύοντας καὶ ἀνδρεία καὶ παρρησία, καὶ τίποτε ἀναιδὲς οὔτε δυσάρεστο; γιατὶ αὐτὸ δὲν εἶναι ἀπόδειξις παρρησίας, ἀλλὰ ματαιοδοξίας. «Ὥστε νὰ γνωρίζετε», λέγει, «πῶς πρέπει ἐσεῖς νὰ ἀποκρίνεσθε στὸν καθένα χωριστά». Διαφορετικὰ βέβαια στὸν ἄρχοντα, διαφορετικὰ στὸν ἁπλὸ πολίτη· διαφορετικὰ στὸν πλούσιο, διαφορετικὰ στὸν πτωχό. Γιατί; Διότι οἱ ψυχὲς τῶν πλουσίων καὶ τῶν ἀρχόντων εἶναι ἀσθενέστερες, περισσότερο ἐρεθίζονται, περισσότερο ὑποπίπτουν σὲ παραπτώματα. Συνεπῶς ἐκεῖ πρέπει νὰ εἶσαι συγκαταβατικός. Οἱ ψυχὲς τῶν πτωχῶν καὶ τῶν ἁπλῶν πολιτῶν εἶναι σταθερώτερες καὶ συνετώτερες. Συνεπῶς ἐδῶ πρέπει νά μεταχειρίζεσαι καὶ πιὸ μεγάλη παρρησία, ἀποβλέποντας σὲ ἕνα μόνο, τὴν οἰκοδομή.

Μὴ ἐπειδὴ ὁ ἕνας εἶναι πλούσιος καὶ ὁ ἄλλος πτωχός, τιμᾶς τὸν πρῶτο περισσότερο καὶ τὸ δεύτερο λιγώτερο, ἀλλὰ ἐξ αἰτίας τῆς ἀδυναμίας ὁ ἕνας ἂς ὑποστηρίζεται καὶ ὁ ἄλλος ὄχι ἔτσι. Ὅπως, ἂν δὲν ὑπάρχη αἰτία, νὰ μὴ ἀποκαλῆς τὸν Ἕλληνα μιαρό, οὔτε νὰ εἶσαι ὑβριστής· ἀλλὰ ἐὰν ἐρωτηθῆς γιὰ τὴ θρησκεία τους, ἀπάντησε ὅτι εἶναι μιαρὴ καὶ ἀσεβής· ὅταν ὅμως δὲν σὲ ἐρωτᾶ κανεὶς οὔτε σὲ ἀναγκάζη νὰ ὁμιλήσης, δὲν ἁρμόζει νὰ ἀπεχθάνεσαι ἁπλῶς· γιατὶ ποιὰ ἀνάγκη ὑπάρχει γιὰ νὰ δημιουργῆς περιττὲς ἔχθρες; Πάλι, ἐὰν κατηχῆς κάποιον, νὰ ὁμιλῆς ἀπὸ δεδομένη πρόφασι, ὕστερα νὰ σιωπᾶς. Ἐὰν εἶναι ἀρτυμένος μὲ ἁλάτι ὁ λόγος, καὶ ἂν ἀκόμη πέση μέσα σὲ παραπαίουσα ψυχή, θὰ περισφίγξη τὴ νωθρότητα· καὶ ἂν πέση σὲ σκληρή, θὰ μαλακώση τὸ σκληρὸ μέρος της, ἐπειδὴ εἶναι εὐχάριστος. Οὔτε δυσάρεστος νὰ εἶναι, οὔτε πάλι χαλαρός, ἀλλὰ ἂς εἶναι καὶ στυφὸς καὶ εὐχάριστος. Γιατὶ καὶ ἐὰν ψέξη χωρὶς μέτρο, περισσότερο ἔβλαψε παρὰ ὠφέλησε, καὶ ἐὰν ἀστειευθῆ χωρὶς μέτρο, περισσότερο ἐλύπησε παρὰ ὠφέλησε. Ὥστε παντοῦ πρέπει νὰ εἶναι τὰ μέτρα. Νὰ μὴ εἶσαι οὔτε κατηφὴς καὶ σκυθρωπός, γιατὶ εἶναι ἀηδὲς αὐτό· οὔτε νὰ εἶσαι διαχυτικός, γιατὶ εὔκολα περιφρονεῖσαι καὶ καταπατεῖσαι. Ἀλλὰ ἀφοῦ λάβης τὴν ἀρετὴ ἀπὸ τὸ καθένα νὰ ἀποφύγης τὴν κακία, ὅπως ἡ μέλισσα, ἀπὸ τὸ ἕνα τὴ φαιδρό-

μᾶλλον ἂν τὰ σώματα ἀκατάλληλα φάρμακα ἐνέγκοι, ἢ ψυχὴ λόγον. Οἷον, πρόσεισιν Ἕλλην, καὶ γίνεταί σοι φίλος; μηδὲν αὐτῷ περὶ τούτου διαλεχθῇς, ἕως ἂν γένηται πάνυ φίλος· καὶ ὅταν γένηται, ἠρέμα.

Ὅρα καὶ ὁ Παῦλος ἡνίκα εἰς τὰς Ἀθήνας παρεγένετο, πῶς αὐτοῖς διελέγετο. Οὐκ εἶπεν, ὦ μιαροὶ καὶ παμμίαροι, ἀλλὰ τί; «Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ». Πάλιν ὅτε ὑβρίσαι ἐχρῆν, οὐ παρῃτήσατο· ἀλλὰ μετὰ πολλῆς σφοδρότητος ἔλεγε τῷ Ἐλύμᾳ, «Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης». Ὥσπερ γὰρ ἐκείνους ὑβρίσαι ἀνοίας ἦν , οὕτω τοῦτον μὴ ὑβρίσαι μαλακίας ἦν. Πάλιν, εἰσήχθης πρὸς ἄρχοντα διὰ πρᾶγμα; τὰς προσηκούσας ἀπόνεμε τιμάς. «Πάντα ὑμῖν», φησί, «γνωριοῦσι τὰ ὧδε». Διὰ τί μὴ συνῆλθες, φησί; Τί δέ ἐστι, «πάντα ὑμῖν γνωριοῦσι»; Τουτέστι, τὰ δεσμά, καὶ τὰ ἄλλα πάντα τὰ κατέχοντά με. Οὐκ ἂν οὖν ὁ προσευχόμενος αὐτοὺς ἰδεῖν, ὁ καὶ ἑτέρους ἀποστέλλων αὐτὸς ὑστέρησα, μὴ μεγάλης ἀνάγκης μὲ κατεχούσης. Καὶ μὴν τοῦτο οὐκ ἦν ἐγκαλούντων. Καὶ μὴν σφόδρα ἐγκαλούντων. Τὸ γὰρ μαθεῖν ὅτι καὶ πειρασμοῖς περιέπεσε καὶ ἤνεγκε γενναίως, τοῦτο πιστουμένου ἦν τὸ πρᾶγμα, καὶ ἀνορθοῦντος τὰς ἐκείνων ψυχάς.

«Σύν Ὀνησίμῳ», φησί, «τῷ ἀγαπητῷ καὶ πιστῷ ἀδελφῷ». Ἀδελφὸν τὸν δοῦλον ὁ Παῦλός φησιν, εἰκότως· ὅπου γε καὶ ἑαυτὸν δοῦλον ὀνομάζει τῶν πιστῶν. Κατενέγκωμεν πάντες τὸν τῦφον, πατήσωμεν τὴν ἀλαζονείαν. Δοῦλον ἑαυτὸν ὀνομάζει Παῦλος, ὁ τῆς οἰκουμένης ἀντάξιος καὶ μυρίων οὐρανῶν, καὶ σὺ μέγα φρονεῖς; ὁ πάντα ἄγων καὶ φέρων ὡς ἤθελεν, ὁ τὰ πρωτεῖα ἔχων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁ ἐστεφανωμένος, ὁ εἰς τρίτον ἀνελθὼν οὐρανόν, τοὺς δούλους ἀδελφοὺς καλεῖ, καὶ συνδούλους. Ποῦ ἡ μανία; ποῦ ἡ ἀλαζονεία; Οὕτως ἀξιόπιστος γέγονεν ὁ Ὀνήσιμος, ὥστε καὶ τοιαῦτα πιστεύεσθαι. «Καὶ Μάρκος», φησίν, «ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· δέξασθε αὐτόν». Ἴσως παρὰ Βαρνάβα ἐντολὰς ἔλαβον. «Οἱ ὄντες ἐκ περιτομῆς». Καταστέλλει τῶν Ἰουδαίων τὸ φύσημα, ἐπαί-

---

13. Πράξ. 17,22
14. Πράξ. 4,13

τητα καὶ ἀπὸ τὸ ἄλλο τὴ σεμνότητα. Γιατὶ ἐὰν ὁ ἰατρὸς δὲν μεταχειρίζεται μὲ ὅμοιο τρόπο ὅλα τὰ σώματα, πολὺ περισσότερο ὁ διδάσκαλος. Ἂν καὶ θὰ ἠμποροῦσαν νὰ ὑποφέρουν τὰ ἀκατάλληλα φάρμακα περισσότερο τὰ σώματα, παρὰ ἡ ψυχὴ τὸ λόγο. Ὅπως, πλησιάζει Ἕλλην καὶ γίνεται φίλος σου; νὰ μὴ συζητήσης μαζί του τίποτε γι' αὐτό, μέχρις ὅτου θὰ γίνη πολὺ φίλος· καὶ ὅταν γίνη, νὰ τὸ κάνεις μὲ ἤρεμο τρόπο.

Πρόσεχε καὶ ὁ Παῦλος ὅταν ἦλθε στὴν Ἀθήνα, πῶς ὡμίλησε σ' αὐτούς. Δὲν εἶπε, μιαροὶ καὶ παμμίαροι, ἀλλὰ τί; «Ἄνδρες Ἀθηναῖοι, σᾶς βλέπω σὲ ὅλα ὡς πιὸ εὐλαβεῖς ἀπὸ ἄλλους».[13] Πάλι ὅταν ἔπρεπε νὰ ὑβρίση, δὲν ἀπέφυγε, ἀλλὰ μὲ πολλὴ ἐπιθετικότητα ἔλεγε στὸν Ἐλύμα, «Υἱὲ τοῦ διαβόλου, ποὺ εἶσα γεμᾶτος ἀπὸ κάθε δόλο καὶ μηχανορραφία, ἐχθρὲ κάθε ἀρετῆς».[14] Ὅπως λοιπὸν ἦταν χαρακτηριστικὸ μωρίας τὸ νὰ ὑβρίσουν ἐκεῖνοι, ἔτσι ἦταν χαρακτηριστικὸ μαλθακότητας τὸ νὰ μὴ ὑβρίση αὐτός. Πάλι, προσήχθηκες γιὰ ὑπόθεσι σὲ ἄρχοντα; νὰ ἀπονείμης τὶς προσήκουσες τιμές. «Θὰ σᾶς γνωστοποιήσουν», λέγει, «ὅλα τὰ ἐδῶ συμβαίνοντα». Γιατὶ δὲν ἐσυμφιλιώθηκες, λέγει; Καὶ τί σημαίνει, «θὰ σᾶς γνωστοποιήσουν τά πάντα»; Δηλαδή, τὰ δεσμὰ καὶ ὅλα τὰ ἄλλα ποὺ μὲ πιέζουν. Δὲν θὰ ὑστεροῦσα ἐγώ, ὁ ὁποῖος προσεύχομαι νὰ ἰδῶ αὐτοὺς καὶ στέλλω ἄλλους, ἐὰν δὲν μὲ ἐπίεζε μεγάλη ἀνάγκη. Καὶ βέβαια αὐτὸ δὲν ἦταν στὸ χέρι τῶν κατηγόρων. Καὶ μάλιστα ἰσχυρῶν κατηγόρων. Γιατὶ τὸ νὰ μάθουν ὅτι καὶ σὲ πειρασμοὺς περιέπεσε καὶ τοὺς ὑπέμεινε γενναῖα, τοῦτο τὸ πρᾶγμα ἔδινε πεποίθησι καὶ ἐστήριζε τὶς ψυχὲς ἐκείνων.

«Μαζὶ μὲ τὸν Ὀνήσιμο», λέγει, «τὸν ἀγαπητὸ καὶ πιστὸ ἀδελφό». Ὁ Παῦλος ὀνομάζει ἀδελφὸ τὸ δοῦλο· εἶναι φυσικό, ἀφοῦ βέβαια καὶ τὸν ἑαυτό του ὀνομάζει δοῦλο τῶν πιστῶν. Ἂς καταστρέψωμε ὅλοι τὴν ἔπαρσι, ἂς περιφρονήσωμε τὴν ἀλαζονεία. Ὁ Παῦλος ὀνομάζει τὸν ἑαυτό του δοῦλο, αὐτὸς ποὺ εἶναι ἰσάξιος τῆς οἰκουμένης καὶ ἀπείρων οὐρανῶν, καὶ σὺ ὑπερηφανεύεσαι; αὐτὸς ποὺ ἐρρύθμιζε τὰ πάντα ὅπως ἤθελε, αὐτὸς ποὺ ἔχει τὰ πρωτεῖα στὴ βασιλεία τῶν οὐρανῶν, ὁ στεφανωμένος, αὐτὸς ποὺ ἀνέβηκε στὸν τρίτο οὐρανό, τοὺς δούλους ὀνομάζει ἀδελφοὺς καὶ συνδούλους. Ποῦ εἶναι ἡ τρέλλα; ποῦ εἶναι ἡ ἀλαζονεία; Τόσο ἀξιόπιστος ἔχει γίνει ὁ Ὀνήσιμος, ὥστε νὰ τοῦ ἐμπιστεύεται αὐτά. «Καὶ ὁ Μάρκος», λέγει, «ὁ ἀνεψιὸς τοῦ Βαρνάβα, γιὰ τὸν ὁποῖο ἐλάβατε ἐντολές. Νὰ δεχθῆτε αὐτόν». Ἴσως ἀπὸ τὸν Βαρνάβα ἔλαβαν ἐντο-

ρει τούτων τὰς ψυχάς, ὅτι ὀλίγοι ἐκ περιτομῆς, οἱ δὲ πλείους ἐκ τῶν ἐθνῶν. «Οἵτινες ἐγενήθησάν μοι», φησί, «παρηγορία». Δείκνυσιν ἑαυτὸν ἐν πειρασμοῖς ὄντα μεγάλοις.

3. Ὥστε οὐδὲ τοῦτο μικρόν, ὅταν τοὺς ἁγίους παρακαλῶμεν καὶ παρουσίᾳ καὶ λόγῳ καὶ προσεδρείᾳ, ὅταν συγκακουχώμεθα· «Τοῖς δεσμίοις» γάρ, φησίν, «ὡς συνδεδεμένοι»· ὅταν τὰ ἐκείνων ἡμέτερα ποιῶμεν πάθη, καὶ ἐν τοῖς στεφάνοις κοινωνήσομεν. Οὐχ εἱλκύσθης εἰς τὸ στάδιον; οὐ καθῆκας εἰς τὸν ἀγῶνα; ἄλλος ἀπεδύσατο; ἄλλος παλαίει; Ἀλλ' ἐὰν θέλῃς, κοινωνήσεις καὶ σύ· ἄλειψον ἐκεῖνον, γενοῦ αὐτοῦ φιλητὴς καὶ σπουδαστής, ἔξωθεν ἐπιβόα μεγάλα, διέγειρε τὴν δύναμιν, ἀνακτῶ τὴν ψυχήν. Ταῦτα ἐπὶ τῶν ἄλλων ἁπάντων γίνεσθαι ἀκόλουθον. Παῦλος γὰρ οὐκ ἐδεῖτο, ἀλλ' ἐκείνους ἐπαίρων ἔλεγε ταῦτα. Σὺ τοίνυν ἐπὶ τῶν ἄλλων ἁπάντων τοὺς βουλομένους κακίζειν ἐπιστόμιζε, κατασκεύαζε αὐτῷ ἐραστάς, ὑπόδεξαι ἐξιόντα μετὰ πολλῆς τῆς θεραπείας· οὕτω κοινωνήσεις τῶν στεφάνων, οὕτω τῆς δόξης. Κἂν μηδὲν ἕτερον ποιήσῃς, ἡσθῇς δὲ ἐπὶ τοῖς γενομένοις, καὶ οὕτως ἐκοινώνησας οὐχ ὡς ἔτυχεν· εἰσήνεγκας γὰρ ἀγάπην, τὸ πάντων κεφάλαιον τῶν ἀγαθῶν.

Εἰ γὰρ οἱ κλαίοντες δοκοῦσι τοῦ πένθους κοινωνεῖν, καὶ μεγάλα χαρίζονται τοῖς πενθοῦσι, καὶ τὸ πολὺ τῆς ὀδύνης ἀναιροῦσι, πολλῷ μᾶλλον καὶ οἱ χαίροντες μείζονα ποιοῦσι τὴν ἡδονήν. Ὅσον γὰρ κακὸν τὸ μὴ ἔχειν τοὺς συλλυπουμένους, ἄκουε τοῦ προφήτου λέγοντος· «Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε». Διὰ τοῦτο καὶ Παῦλός φησι, «Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων». Αὔξησον τὴν ἡδονήν· ἂν ἴδῃς τὸν ἀδελφὸν εὐδοκιμοῦντα, μὴ εἴπῃς· ἐκείνου ἡ εὐδοκίμησις, ἐγὼ τίνος ἕνεκεν χαίρω; οὐκ ἀδελφοῦ ταῦτα τὰ ῥήματα, ἀλλὰ πολεμίου. Ἂν θέλῃς, οὐκ ἐκείνου ἐστίν, ἀλλὰ σοῦ· σὺ κύριος ποιῆσαι αὐτὴν μείζονα, ἂν μὴ κατηφήσῃς, ἀλλ' ἡσθῇς, ἂν φαιδρὸς γένῃ, ἂν γεγανωμένος. Καὶ ὅτι οὕτως ἔχει, ἐκεῖθεν δῆλον· οἱ φθονοῦντες οὐκ ἐκείνοις φθονοῦσι μόνοις τοῖς εὐδοκιμοῦσιν, ἀλλὰ καὶ τοῖς ταῖς ἐκείνων εὐδοκιμήσεσι χαίρουσιν· οὕτως ἴσασιν ὅτι καὶ οὗτοι ἐν τῇ εὐδοκιμήσει εἰσί, καὶ οὗτοι μάλιστά

15. Ἑβρ. 13,3
16. Ψαλμ. 68,21
17. Ρωμ. 12,15

λές. «Οἱ ὁποῖοι προέρχονται ἀπὸ περιτομή». Συγκρατεῖ τὴν ἔπαρσι τῶν Ἰουδαίων, ἐξυψώνει τὶς ψυχὲς αὐτῶν, διότι λίγοι εἶναι ἀπὸ περιτομὴ καὶ οἱ περισσότεροι ἀπὸ τοὺς ἐθνικούς. «Οἱ ὁποῖοι μοῦ ἔγιναν», λέγει, «παρηγοριά». Παρουσιάζει τὸν ἑαυτό του νὰ ἦταν σὲ μεγάλους πειρασμούς.

3. Ὥστε οὔτε τοῦτο εἶναι μικρό, ὅταν παρηγοροῦμε τοὺς ἁγίους καὶ μὲ τὴν παρουσία μας καὶ μὲ τὸ λόγο καὶ μὲ τὴν περιποίησι, ὅταν ὑποφέρωμε μαζί τους, «Γιατὶ μὲ τοὺς φυλακισμένους», λέγει, «νὰ εἶσθε ὡς δεμένοι μαζί τους»,[15] ὅταν τὰ πάθη ἐκείνων κάνωμε ἰδικά μας, καὶ θὰ συμμετάσχωμε στὰ βραβεῖα. Δὲν ἐσύρθηκες στὸ στάδιο; δὲν κατῆλθες στὸν ἀγῶνα; ἄλλος ἀγωνίζεται; ἄλλος παλεύει; Ἀλλὰ ἐὰν θέλῃς, θὰ συμμετάσχῃς καὶ σύ· ἑτοίμασε ἐκεῖνον, νὰ γίνῃς θαυμαστὴς καὶ ὀπαδός του, νὰ φωνάζῃς δυνατὰ ἀπὸ ἔξω, νὰ ἐξάπτῃς τὴ δύναμί του, νὰ τονώνῃς τὴν ψυχή του. Εἶναι ἑπόμενο νὰ γίνωνται αὐτὰ σὲ ὅλους τοὺς ἄλλους. Ὁ Παῦλος βέβαια δὲν τὰ εἶχε ἀνάγκη, ἀλλὰ ἔλεγε αὐτὰ γιὰ νὰ ἐξυψώνῃ ἐκείνους. Ἐσὺ λοιπὸν σὲ ὅλους τοὺς ἄλλους νὰ ἀποστομώνῃς ἐκείνους ποὺ θέλουν νὰ κακολογοῦν, νὰ κάμνῃς σ' αὐτὸν θαυμαστές, νὰ τὸν ὑποδεχθῇς ὅταν ἐξέρχεται μὲ μεγάλη περιποίησι· ἔτσι θὰ συμμετάσχῃς στὰ βραβεῖα καὶ στὴ δόξα. Καὶ ἂν ἀκόμη δὲν κάμῃς τίποτε ἄλλο, θὰ εὐχαριστηθῇς γιὰ τὰ συμβάντα, καὶ ἔτσι ἔλαβες μέρος ὄχι τυχαῖα, γιατὶ ἐπρόσφερες ἀγάπη, τὴ βάσι ὅλων τῶν ἀγαθῶν.

Ἐὰν λοιπὸν αὐτοὶ ποὺ κλαίουν νομίζουν ὅτι συμμετέχουν στὸ πένθος καὶ προσφέρουν στοὺς πενθοῦντες μεγάλη χάρι καὶ ἐξαλείφουν τὸ περισσότερο μέρος τῆς ὀδύνης, πολὺ περισσότερο καὶ αὐτοὶ ποὺ χαίρουν κάνουν πιὸ μεγάλη τὴν ἡδονή. Γιατὶ πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ μὴ ἔχῃ κανεὶς αὐτοὺς ποὺ μετέχουν στὴ λύπη του, ἄκουε τὸν προφήτη ποὺ λέγει, «Καὶ ἐπερίμενα κάποιον νὰ μετέχῃ στὴ λύπη μου, καὶ δὲν ὑπῆρξε κανείς».[16] Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει, «Νὰ χαίρεσθε μαζὶ μὲ ἐκείνους ποὺ χαίρονται καὶ νὰ κλαῖτε μαζὶ μὲ ἐκείνους ποὺ κλαίουν».[17] Νὰ μεγαλώνῃς τὴ χαρά· ἐὰν ἰδῇς ὅτι ὁ ἀδελφὸς προκόπτει, νὰ μὴ εἰπῇς· ἡ ἐπιτυχία εἶναι ἐκείνου, ἐγὼ γιὰ ποιὸ λόγο νὰ χαίρωμαι; δὲν εἶναι ἀδελφοῦ αὐτὰ τὰ λόγια, ἀλλὰ ἐχθροῦ. Ἐὰν θέλῃς, δὲν εἶναι ἐκείνου ἡ ἐπιτυχία, ἀλλὰ ἰδική σου· μπορεῖς ἐσὺ νὰ κάμῃς αὐτὴν πιὸ μεγάλη, ἂν δὲν γίνῃς σκυθρωπός, ἀλλ' ἂν εὐχαριστηθῇς, ἂν γίνῃς εὔθυμος, ἂν γίνῃς χαρούμενος. Καὶ ὅτι ἔτσι ἔχε τὸ πρᾶγμα, εἶναι φανερὸ ἀπὸ ἐκεῖνο· ὅσοι φθονοῦν δὲν φθονοῦν μόνο ἐκείνους ποὺ εὐημεροῦν, ἀλλὰ

εἰσιν οἱ σεμνυνόμενοι. Ἐκεῖνος μὲν γὰρ καὶ ἐρυθριᾷ σφόδρα ἐγκωμιαζόμενος· οὗτος δὲ μετὰ πολλῆς τῆς ἡδονῆς ἐγκαλλωπίζεται.

Οὐχ ὁρᾶτε ἐπὶ τῶν ἀθλητῶν πῶς ὁ μὲν στεφανοῦται, ὁ δὲ οὐ στεφανοῦται; ἡ δὲ ὀδύνη καὶ χαρὰ τῶν ἐραστῶν ἐστι καὶ τῶν μισούντων· ἐκεῖνοι πηδῶσιν, ἐκεῖνοι σκιρτῶσιν. Ὅρα πόσον ἐστὶ τὸ μὴ φθονεῖν· ἑτέρου ὁ πόνος, καὶ σοῦ ἡ ἡδονή· ἕτερος τὸν στέφανον περίκειται, καὶ σὺ σκιρτᾷς, σὺ ἐγκαλλωπίζῃ. Εἰπὲ γάρ μοι, ἄλλος νενίκηκε, σὺ τί πηδᾷς; Ἀλλ' ἴσασι κἀκεῖνοι καλῶς, ὅτι κοινὸν τὸ γενόμενον. Διὰ τοῦτο τούτῳ μὲν οὐκ ἐγκαλοῦσιν οἱ φθονοῦντες, πειρῶνται δὲ καταβάλλειν τὴν νίκην· καὶ ἀκούεις ῥήματα τοιαῦτα λεγόντων αὐτῶν, ἐξήλειψά σε, καί, κατέβαλόν σε· καίτοι γε ἑτέρου τὸ ἔργον, ἀλλὰ τὸ ἐγκώμιον σόν. Εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσοῦτον ἀγαθὸν τὸ μὴ φθονεῖν, ἀλλ' οἰκειοῦσθαι τὰ ἑτέρου ἀγαθά, πολλῷ μᾶλλον ἐπὶ τῇ νίκῃ τοῦ διαβόλου τῇ καθ' ἡμῶν πλέον πνεῖ, δηλονότι ὡς πλέον ἡδομένων. Καίτοι γε μιαρὸς ὢν καὶ πικρός, οἶδεν ἀκριβῶς ὅτι μεγάλη αὕτη ἡ ἡδονή. Θέλεις αὐτὸν λυπῆσαι; ἥσθητι καὶ χάρηθι. Θέλεις αὐτὸν εὐφρᾶναι; σκυθρωπὸς γενοῦ· τὴν ἐκ τῆς νίκης τοῦ ἀδελφοῦ γενομένην αὐτῷ λύπην ἐπικουφίζεις διὰ τῆς σῆς ἀθυμίας· μετ' ἐκείνου ἵστασαι ἀποσχισθεὶς τοῦ ἀδελφοῦ· μεῖζον ἢ ἐκεῖνος ποιεῖς κακόν.

Οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν ὄντα τὰ τῶν ἐχθρῶν ποιεῖν, καὶ φίλον ὄντα μετὰ τῶν ἐχθρῶν ἵστασθαι· οὗτος τῶν ἐχθρῶν μιαρώτερος. Εἰ εὐδοκίμησεν ὁ ἀδελφός, ἢ λέγων, ἢ ἐπιδεικνύμενος, ἢ κατορθῶν, γενοῦ κοινωνὸς τῆς εὐδοκιμήσεως, δεῖξον ὅτι μέλος ἐστὶ σόν. Καὶ πῶς, φησίν; ἐγὼ γὰρ οὐκ εὐδοκιμῶ. Μὴ φθέγξῃ ποτὲ τὸ ῥῆμα τοῦτο· σύνελε τὰ χείλη. Εἴγε πλησίον μου ἦς ὁ ταῦτα λέγων, ἐπέθηκα ἂν καὶ τὴν χεῖρα τοῖς χείλεσι, μὴ ἀκούσῃ ὁ ἐχθρός. Πολλάκις πρὸς ἀλλήλους ἔχθρας ἔχομεν, καὶ τοῖς ἐχθροῖς οὐκ ἐπιδεικνύμεθα· τῷ διαβόλῳ οὖν ἐπιδείκνυσαι σύ; Μὴ εἴπῃς τοῦτο, μὴ ἐννοήσῃς· ἀλλὰ καὶ τοὐναντίον, μέλος ἐστὶν ἐμόν· εἰς τὸ σῶμα διαβαίνει ἡ δόξα. Τί οὖν, φησίν, ὅτι οἱ ἔξωθεν οὐχ οὕτω διάκεινται; Ὅτι σὺ αἴτιος· ὅταν ἴδωσί σε ἀλλοτριούμε-

καὶ ἐκείνους ποὺ χαίρονται γιὰ τὶς ἐπιτυχίες ἐκείνων· ἔτσι γνωρίζουν ὅτι καὶ αὐτοὶ εὐημεροῦν καὶ αὐτοὶ εἶναι κυρίως ποὺ ὑπερηφανεύονται. Γιατὶ ἐκεῖνος κοκκινίζει πολὺ ὅταν ἐπαινῆται, αὐτὸς ὅμως μὲ πολλὴ εὐχαρίστησι ὑπερηφανεύεται.

Δὲν βλέπετε στοὺς ἀθλητὲς πῶς ὁ ἕνας λαμβάνει στεφάνι γιὰ βραβεῖο καὶ ὁ ἄλλος ὄχι; ἡ στενοχώρια ὅμως καὶ ἡ χαρὰ ἀνήκει στοὺς ὀπαδοὺς καὶ τοὺς ἀντιπάλους· ἐκεῖνοι πηδοῦν, ἐκεῖνοι σκιρτοῦν. Πρόσεχε πόσο ἀγαθὸ εἶναι τὸ νὰ μὴ φθονῆ κανείς. Ἄλλος κοπιάζει καὶ ἐσὺ εὐχαριστεῖσαι, ἄλλος φορεῖ τὸ στεφάνι καὶ ἐσὺ σκιρτᾶς, ἐσὺ ὑπερηφανεύεσαι. Εἰπέ μου λοιπόν, ἄλλος ἔχει νικήσει, ἐσὺ γιατί πηδᾶς; Ἀλλὰ γνωρίζουν καὶ ἐκεῖνοι καλά, ὅτι εἶναι κοινὸ τὸ ἀποτέλεσμα. Γι' αὐτὸ ἐκεῖνοι ποὺ φθονοῦν δὲν κατηγοροῦν αὐτό, ἀλλὰ προσπαθοῦν νὰ καταβάλλουν τὴ νίκη· καὶ ἀκούεις αὐτοὺς νὰ λέγουν τέτοια λόγια, σὲ ἐξαφάνισα, καί, σὲ ἐνίκησα· ἂν καὶ βέβαια τὸ ἔργο εἶναι ἄλλου, ὁ ἔπαινος ὅμως εἶναι ἰδικός σου. Ἐὰν ὅμως στοὺς ἔξω τῆς Ἐκκλησίας εἶναι μεγάλο ἀγαθὸ τὸ νὰ μὴ φθονῆ κανεὶς, ἀλλὰ νὰ κάνη ἰδικά του τὰ ἀγαθὰ τοῦ ἄλλου, πολὺ περισσότερο στὴ νίκη τοῦ διαβόλου ποὺ ἔχει συμβῆ σ' ἐμᾶς ἐμπνέει πιὸ πολύ, προφανῶς ἐπειδὴ χαιρόμασθε περισσότερο. Ἂν καὶ βέβαια εἶναι ἀσεβὴς καὶ ἐχθρικός, γνωρίζει καλὰ ὅτι εἶναι μεγάλη αὐτὴ ἡ χαρά. Θέλεις νὰ στενοχωρήσης αὐτόν; νὰ εὐχαριστηθῆς καὶ νὰ χαρῆς. Θέλεις νὰ τὸν εὐχαριστήσης; νὰ γίνης σκυθρωπός· ἀνακουφίζεις τὴ λύπη ποὺ ἔγινε σ' αὐτὸν ἀπὸ τὴ νίκη τοῦ ἀδελφοῦ μὲ τὴν ἰδική σου δυσθυμία· στέκεσαι μαζὶ μὲ ἐκεῖνον ἀφοῦ ἀπεχωρίσθηκες ἀπὸ τὸν ἀδελφό· κάνεις μεγαλύτερο κακό, παρὰ ἐκεῖνος.

Δὲν εἶναι λοιπὸν τὸ ἴδιο τὸ νὰ κάνη κανείς, ἐνῶ εἶναι ἐχθρός, ἐκεῖνα ποὺ κάνουν οἱ ἐχθροί, καὶ τὸ νὰ στέκεται μὲ τοὺς ἐχθρούς, ἐνῶ εἶναι φίλος· αὐτὸς εἶναι πιὸ ἀχρεῖος ἀπὸ τοὺς ἐχθρούς. Ἐὰν διεκρίθηκε σὲ κάτι ὁ ἀδελφός, ἢ λέγοντας, ἢ ἐπιδεικνύοντας ἱκανότητες, ἢ κατορθώνοντας κάτι, νὰ γίνης συμμέτοχος στὴν ἐπιτυχία του, νὰ ἀποδείξης ὅτι εἶναι ἰδικό σου μέλος. Καὶ πῶς; λέγει, γιατὶ ἐγὼ δὲν προκόπτω. Νὰ μὴ εἰπῆς ποτὲ τὸ λόγο αὐτόν· συγκράτησε τὰ χείλη σου. Ἐὰν βέβαια ἦσουν πλησίον μου ἐσὺ ποὺ λέγεις αὐτά, θὰ ἔθετα καὶ τὸ χέρι στὰ χείλη σου, γιὰ νὰ μὴ ἀκούση ὁ ἐχθρός. Πολλὲς φορὲς ἔχομε ἔχθρες μεταξύ μας καὶ δὲν τὶς φανερώνομε στοὺς ἐχθρούς· στὸ διάβολο λοιπὸν τὶς φανερώνεις ἐσύ; Μὴ εἰπῆς τοῦτο, μὴ τὸ σκεφθῆς· ἀλλὰ καὶ τὸ ἀντίθετο νὰ εἰπῆς, εἶναι ἰδικό μου μέλος, στὸ σῶμα μεταβαίνει ἡ δόξα. Τί λοιπόν, λέγει, ὅτι οἱ ἔξω

νον αὐτοῦ τὴν ἡδονήν, καὶ αὐτοὶ ἀλλοτριοῦνται· ὡς ἂν ἴδωσί σε οἰκειούμενον, οὐ τολμῶσιν· ἀλλ' ὁμοίως εἶ καὶ σὺ λαμπρός. Οὐκ εὐδοκίμησας λέγων, ἀλλ' εὐδοκίμησας συνηδόμενος μειζόνως, ἢ ἐκεῖνος.

Εἰ γὰρ ἡ ἀγάπη μέγα καὶ πάντων κεφάλαιον, σὺ τὸν ἐκ ταύτης ἔλαβες στέφανον· ἐκεῖνος τὸν ἐκ τῆς ῥητορείας, σὺ τὸν ἐκ τοῦ σφόδρα φιλεῖν· ἐκεῖνος ἐπεδείξατο ῥημάτων ἰσχύν, σὺ διὰ τῶν ἔργων τὸν φθόνον κατέβαλες, ἐπάτησας τὴν βασκανίαν. Ὥστε εἰκότως ἂν μᾶλλον ἐκείνου στεφανωθείης· λαμπρότερος ὁ σὸς ἀγών. Οὐκ ἐπάτησας μόνον τὴν βασκανίαν, ἀλλὰ καὶ ἕτερόν τι πεποίηκας. Ἐκεῖνος ἕνα ἔχει στέφανον μόνον, σὺ δὲ δύο, καὶ τοὺς δύο τοῦ ἑνὸς λαμπροτέρους. Ποίους τούτους; Ἕνα μὲν ὃν ἀνείλου κατὰ τοῦ φθόνου, δεύτερον δὲ ὃν ἀνεδήσω ἐκ τῆς ἀγάπης. Οὐ γὰρ τοῦ καθαρὸν εἶναι φθόνου τεκμήριον μόνον τὸ συνήδεσθαι, ἀλλὰ καὶ τοῦ ἀγάπην ἔχεις ἐρριζωμένην. Ἐκείνῳ πολλάκις καὶ ἀνθρώπινόν τι διενοχλεῖ πάθος, οἷον ἡ κενοδοξία· σὺ δὲ παντὸς εἶ πάθους καθαρός· οὐ γὰρ δὴ κενοδοξῶν χαίρεις ἐπὶ τοῖς ἑτέρου καλοῖς. Ὤρθωσε τὴν ἐκκλησίαν, εἰπέ μοι; αὔξησε τὸν σύλλογον; ἐπαίνεσον πάλιν· ἔχεις διπλοῦς τοὺς στεφάνους· τὸν φθόνον κατέβαλες, τὴν ἀγάπην ἀνεδήσω. Ναί, δέομαι καὶ ἀντιβολῶ.

Βούλει καὶ τρίτον ἀκοῦσαι στέφανον; τοῦτον οἱ κάτω κροτοῦσιν ἄνθρωποι, σὲ οἱ ἄνω ἄγγελοι. Οὐ γάρ ἐστιν ἴσον εὐέπειαν ἐπιδείκνυσθαι, καὶ παθῶν κρατεῖν. Οὗτος ὁ ἔπαινος πρόσκαιρος, ἐκεῖνος αἰώνιος· οὗτος ἐξ ἀνθρώπων, ἐκεῖνος ἐκ Θεοῦ· οὗτος φαίνεται ἐστεφανωμένος, σὺ δὲ ἐν τῷ κρυπτῷ στεφανοῦσαι, ὅπου ὁ Πατήρ σου ὁρᾷ. Εἰ τὸ σῶμα ἀποσχίσαντα τὴν ἑκάστου ψυχὴν ἦν ἰδεῖν, ἔδειξα ἂν σοι τοῦτον ἐκείνου σεμνότερον, μᾶλλον ἀποστίλβοντα. Πατήσωμεν τὰ κέντρα τῆς βασκανίας, ἑαυτοὺς ὠφελοῦμεν, ἀγαπητοί, αὐτοὶ ἀναδησόμεθα τὸν στέφανον. Ὁ βασκαίνων, τῷ Θεῷ μάχεται, οὐκ ἐκείνῳ· ὅταν γὰρ ἴδῃ χάριν ἔχοντα, καὶ ἀλγῇ, καὶ βούληται καθαιρεῖσθα τὴν ἐκκλησίαν, οὐκ ἐκείνῳ μάχεται, ἀλλὰ τῷ Θεῷ. Εἰπὲ γάρ μοι, εἴ τις κόρην ἐκαλλώπιζε βασιλέως, καὶ εὐδοκίμει καλλωπίζων αὐτὴν καὶ σεμνὴν ἐργαζόμενος, ἕτερος δέ τις ἐβούλετο ταύτην ἀσχημονῆσαι, καὶ μὴ

δὲν συμπεριφέρονται ἔτσι; Γιατὶ ἐσὺ εἶσαι ὁ ὑπεύθυνος. Ὅταν σὲ ἰδοῦν νὰ στερῆς τὴ χαρὰ αὐτοῦ καὶ αὐτοὶ τὴν στεροῦν· ὅπως ἐὰν σὲ ἰδοῦν νὰ τὴν ἰδιοποιῆσαι, δὲν ἀνέχονται· ἀλλὰ ὅμοια καὶ ἐσὺ λάμπεις ἀπὸ χαρά. Δὲν διεκρίθηκες λέγοντας, ἀλλὰ διεκρίθηκες γιατὶ μαζὶ μὲ αὐτὸν χαίρεσαι σὺ πιὸ πολύ, παρὰ ἐκεῖνος.

Ἐὰν λοιπὸν ἡ ἀγάπη εἶναι μεγάλο ἀγαθὸ καὶ ἡ βάσις ὅλων, ἐσὺ ἔλαβες ἀπὸ αὐτὴν τὸ στεφάνι· ἐκεῖνος τὸ στεφάνι ἀπὸ τὴ ρητορεία, ἐσὺ ἀπὸ τὴν ὑπερβολικὴ ἀγάπη· ἐκεῖνος ἔδειξε ἱκανότητα στὰ λόγια, ἐσὺ μὲ τὰ ἔργα ἐνίκησες τὸ φθόνο, κατεπάτησες τὴ βασκανία. Ὥστε εἶναι φυσικὸ ποὺ θὰ στεφανωθῆς ἐσὺ περισσότερο ἀπὸ ἐκεῖνον· εἶναι ἐνδοξότερος ὁ ἰδικός σου ἀγώνας. Δὲν κατεπάτησες μόνο τὴ βασκανία, ἀλλὰ καὶ κάτι ἄλλο ἔχεις κάνει. Ἐκεῖνος ἔχει ἕνα μόνο στεφάνι, καὶ ἐσὺ δύο, καὶ τὰ δύο εἶναι λαμπρότερα ἀπὸ τὸ ἕνα. Ποιὰ εἶναι αὐτά; Τὸ πρῶτο ποὺ ἐνίκησες τὸ φθόνο καὶ τὸ δεύτερο ποὺ στολίζει τὸ κεφάλι σου ἀπὸ τὴν ἀγάπη. Γιατὶ τὸ νὰ χαίρεται κανεὶς μαζὶ μὲ ἄλλους δὲν εἶναι ἀπόδειξις τοῦ ὅτι εἶναι καθαρὸς ἀπὸ τὸ φθόνο μόνο, ἀλλὰ καὶ τοῦ ὅτι ἔχει ριζωμένη μέσα του τὴν ἀγάπη. Πολλὲς φορὲς ἐκεῖνον τὸν ἐνοχλεῖ πολὺ καὶ κάποιο ἀνθρώπινο πάθος, ὅπως ἡ ματαιοδοξία, ἐσὺ ὅμως εἶσαι καθαρὸς ἀπὸ κάθε πάθος, γιατὶ βέβαια δὲν χαίρεσαι γιὰ τὰ καλὰ τοῦ ἄλλου ὅταν εἶσαι ματαιόδοξος. Εἰπέ μου, ἐδόξασε τὴν ἐκκλησία ἐκεῖνος; ηὔξησε τὴ σύναξι; νὰ τὸν ἐπαινέσης πάλι· ἔχεις διπλὰ τὰ στεφάνια· ἐνίκησες τὸ φθόνο, ἐστεφανώθηκες τὴν ἀγάπη. Ναί, παρακαλῶ καὶ ἱκετεύω.

Θέλεις νὰ ἀκούσης καὶ τρίτο στεφάνι; αὐτὸν χειροκροτοῦν οἱ ἄνθρωποι στὴ γῆ, ἐσένα οἱ ἄγγελοι στὸν οὐρανό. Γιατὶ δὲν εἶναι ἴσο νὰ ἐπιδεικνύωμε εὐγλωττία, καὶ νὰ ἐξουσιάζωμε τὰ πάθη. Αὐτὸς ὁ ἔπαινος εἶναι προσωρινός, ἐκεῖνος αἰώνιος· αὐτὸς προέρχεται ἀπὸ ἀνθρώπους, ἐκεῖνος ἀπὸ τὸν Θεό· αὐτὸς φαίνεται στεφανωμένος, ἐσὺ ὅμως στεφανώνεσαι στὰ κρυφά, ὅπου βλέπει ὁ πατέρας σου. Ἐὰν ἦταν δυνατό, ἀφοῦ σχίσωμε τὸ σῶμα, νὰ ἰδοῦμε τὴν ψυχὴ τοῦ καθενός, θὰ σοῦ ἔδειχνα αὐτὸν ἐνδοξότερο ἀπὸ ἐκεῖνον, περισσότερο χαρούμενο. Ἄς καταπατήσωμε τὰ καρφιά τῆς βασκανίας, ὠφελοῦμε τὸν ἑαυτό μας, ἀγαπητοί, ἐμεῖς οἱ ἴδιοι θὰ φορέσωμε τὸ στεφάνι. Ὅποιος φθονεῖ, τὸν Θεὸ μάχεται, ὄχι ἐκεῖνον. Γιατὶ ὅταν ἰδῆ κάποιον νὰ ἔχη χαρά, καὶ στενοχωρεῖτε καὶ θέλη νὰ καταστρέφη τὴν ἐκκλησία, δὲν μάχεται ἐκεῖνον, ἀλλὰ τὸν Θεό. Εἰπέ μου λοιπόν, ἐὰν κάποιος ἐκαλλώπιζε κόρη βασιλέως καὶ ἦταν εὐτυχισμένος καλλωπίζοντας αὐτὴν καὶ καθιστώντας την σεμνή, κάποιος

δυνηθῆναι καλλωπίσαι, τίνι ἂν ἐπεβούλευσε, τούτῳ, ἢ ἐκείνῃ καὶ τῷ ταύτης πατρί; Οὕτω καὶ νῦν σὺ ὁ βασκάνων μάχῃ τῇ ἐκκλησίᾳ, τῷ Θεῷ πολεμεῖς.

Ἐπειδὴ γὰρ τῇ εὐδοκιμήσει τοῦ ἀδελφοῦ συμπέπλεκται καὶ ἡ τῆς ἐκκλησίας ὠφέλεια, ἀνάγκη, ταύτης καταλυομένης, κἀκείνην καταλύεσθαι· ὥστε καὶ κατὰ τοῦτο, ἔργον σατανικὸν ποιεῖς, ἐπιβουλεύων τῷ σώματι τοῦ Χριστοῦ. Πρὸς τοῦτον ἀλγεῖς; κακῶς μέν, τὸν οὐδὲν ἠδικηκότα, πολλῷ δὲ μᾶλλον πρὸς τὸν Χριστόν. Τί σε ἠδίκησεν, ὅτι οὐκ ἀφίῃς τὸ σῶμα αὐτοῦ καλλωπισθῆναι τῷ κάλλει; ὅτι οὐκ ἀφίῃς τὴν νύμφην κοσμηθῆναι; Θέα δέ μοι τὴν τιμωρίαν, ὅση· τοὺς ἐχθροὺς εὐφραίνεις τοὺς σούς, καὶ αὐτὸν ἐκεῖνον τὸν εὐδοκιμοῦντα, ὃν βούλει λυπῆσαι φθονῶν, μᾶλλον αὐτὸν εὐφραίνεις, μᾶλλον δεικνύεις, ὅτι εὐδοκίμησε βασκαίνων· οὐ γὰρ ἂν ἐβάσκηνας· μᾶλλον δεικνύεις ὅτι τιμωρῇ.

Αἰσχύνομαι μὲν οὖν ἀπὸ τούτων προτρέπων· πλὴν ἀλλ' ἐπειδὴ οὕτως ἀσθενῶς διακείμεθα, καὶ ἀπὸ τούτων παιδευθέντες τοῦ ὀλεθρίου τούτου πάθους ἀπαλλαγῶμεν. Ἀλγεῖς ὅτι εὐδοκίμησε; τί οὖν τὴν εὐδοκίμησιν αὐτοῦ ἐπαίρεις φθονῶν; Βούλει αὐτὸν τιμωρήσασθαι; τί οὖν δεικνύεις ὅτι ἀλγεῖς; τί τιμωρίαν σαυτὸν ἀπαιτεῖς ἔμπροσθεν τούτου, ὃν βούλει μὴ εὐδοκιμεῖν; Διπλῆ λοιπὸν ἔσται ἡ ἡδονὴ τούτῳ, καὶ σοὶ ἡ τιμωρία, οὐ μόνον ὅτι μέγαν δεικνύεις αὐτόν, ἀλλ' ὅτι καὶ ἑτέραν αὐτῷ ἐντίκτεις ἡδονὴν τιμωρούμενος σαυτόν· καὶ πάλιν ὑπὲρ ὧν ἀλγεῖς, ἐκεῖνος ἥδεται, σοῦ φθονοῦντος. Ὅρα πῶς πληγὰς χαλεπὰς ἑαυτοῖς διδόαμεν, καὶ οὐκ αἰσθανόμεθα. Ἐχθρός ἐστι; Καίτοι γε διὰ τί ἐχθρός; τί ἠδίκησεν; ἀλλ' ὅμως τὸν ἐχθρὸν λαμπρότερον ποιοῦμεν, καὶ ἡμᾶς αὐτοὺς πλέον κολάζομεν. Τούτῳ πάλιν ἑαυτοὺς τιμωρούμεθα, ἂν αἰσθώμεθα ὅτι ἔγνω ἐκεῖνος. Ἴσως μὲν γὰρ ἐκεῖνος οὐχ ἥδεται· ἡμεῖς δὲ νομίζοντες ὅτι ἥδεται, πάλιν διὰ τοῦτο ἀλγοῦμεν. Οὐκοῦν παῦσαι φθονῶν· τί τραύματα ἑαυτῷ παρέχεις;

Ταῦτα ἐννοήσωμεν, ἀγαπητοί, τοὺς στεφάνους τοὺς δι-

ἄλλος ὅμως ἤθελε νὰ τὴν κάμη ἄσχημη, καὶ δὲν κατώρθωσε νὰ τὴν καλλωπίση, ποιὸν θὰ ἐπιβουλεύετο, αὐτὸν ἢ ἐκείνην καὶ τὸν πατέρα της; Ἔτσι καὶ τώρα ἐσὺ ποὺ φθονεῖς μάχεσαι τὴν ἐκκλησία, πολεμεῖς τὸν Θεό.

Ἐπειδὴ λοιπὸν μὲ τὴν εὐτυχία τοῦ ἀδελφοῦ συνδέεται καὶ ἡ ὠφέλεια τῆς ἐκκλησίας, ἀναγκαστικά, ὅταν διαλύεται αὐτή, καὶ ἐκείνη διαλύεται. Ὥστε καὶ κατὰ τοῦτο κάνεις σατανικὸ ἔργο, ὅταν ἐπιβουλεύεσαι τὸ σῶμα τοῦ Χριστοῦ. Θλίβεσαι πρὸς αὐτόν; κακῶς βέβαια, ἀφοὺ δὲν ἔχει κάμει καμμία ἀδικία, πολὺ περισσότερο ὅμως πρὸς τὸν Χριστό. Τί σοῦ ἔκαμε, ἐπειδὴ δὲν ἀφήνεις τὸ σῶμα του νὰ καλλωπισθῆ μὲ ὀμορφιά; ἐπειδὴ δὲν ἀφήνεις τὴ νύφη νὰ στολισθῆ; Πρόσεχε, σὲ παρακαλῶ, πόση εἶναι ἡ τιμωρία. Εὐχαριστεῖς τοὺς ἐχθρούς σου, καὶ τὸν ἴδιο ἐκεῖνον ποὺ εὐτυχεῖ, τὸν ὁποῖο θέλεις νὰ λυπήσης μὲ τὸ νὰ τὸν φθονῆς, τὸν εὐχαριστεῖς περισσότερο, ἀποδεικνύεις περισσότερο, ὅτι εὐτύχησε ἂν καὶ τὸν φθονῆς· γιατὶ δὲν θὰ συνέβαινε αὐτὸ ἂν τὸν ἐφθονοῦσες· ἀποδεικνύεις περισσότερο ὅτι τιμωρεῖσαι.

Ἐντρέπομαι λοιπὸν συμβουλεύοντας ἀπὸ αὐτά. Ἀλλὰ ὅμως, ἐπειδὴ συμπεριφερόμασθε μὲ τόση ἀδυναμία, ἀφοῦ διδαχθοῦμε καὶ ἀπὸ αὐτά, ἂς ἀπαλλαγοῦμε ἀπὸ τὸ ὀλέθριο αὐτὸ πάθος. Θλίβεσαι γιατί ἐπρόκοψε; γιατί λοιπὸν ἐξυψώνεις τὴν ἐπιτυχία του φθονώντας; θέλεις νὰ τιμωρηθῆ αὐτός; γιατί λοιπὸν φανερώνεις ὅτι στενοχωρεῖσαι; γιατί ἀξιώνεις γιὰ τὸν ἑαυτό σου τιμωρία ἐνώπιον αὐτοῦ, τὸν ὁποῖο θέλεις νὰ μὴ εὐτυχῆ; Διπλὴ θὰ εἶναι στὴ συνέχεια ἡ εὐχαρίστησις γι' αὐτόν, καὶ γιὰ σένα ἡ τιμωρία, ὄχι μόνο γιατὶ ἀποδεικνύεις αὐτὸν μεγάλο, ἀλλὰ γιατὶ προκαλεῖς καὶ ἄλλη εὐχαρίστησι σὲ αὐτόν, ἐπειδὴ τιμωρεῖς τὸν ἑαυτό σου. Καὶ πάλι γιὰ ἐκεῖνα ποὺ ἐσὺ στενοχωρεῖσαι, ἐκεῖνος εὐχαριστεῖται, ἐνῶ ἐσὺ τὸν φθονῆς. Πρόσεξε πῶς ἔχομε δώσει στὸν ἑαυτό μας φοβερὰ κτυπήματα, καὶ δὲν τὰ αἰσθανόμασθε. Ἐχθρὸς εἶναι; Ἂν καὶ βέβαια γιατί εἶναι ἐχθρός; ποιὰ ἀδικία ἔκαμε; ἀλλ' ὅμως τὸν ἐχθρὸ κάνομε πιὸ ἔνδοξο καὶ τὸν ἑαυτό μας περισσότερο τιμωροῦμε. Μὲ αὐτὸ πάλι τιμωροῦμε τὸν ἑαυτό μας, ἐὰν ἀντιληφθοῦμε ὅτι ἔμαθε ἐκεῖνος. Γιατὶ εἶναι πιθανὸ ὅτι ἐκεῖνος δὲν εὐχαριστεῖται, ἐμεῖς ὅμως νομίζοντας ὅτι εὐχαριστεῖται, πάλι γι' αὐτὸ στενοχωρούμασθε. Συνεπῶς σταμάτησε νὰ φθονῆς. Γιατὶ παρέχεις τραύματα στὸν ἑαυτό σου;

Αὐτὰ ἂς σκεφθοῦμε, ἀγαπητοί, τὰ διπλὰ στεφάνια ἐκείνων ποὺ

πλοῦς τῶν μὴ φθονούντων, τοὺς ἐπαίνους τοὺς παρὰ ἀνθρώπων, τοὺς παρὰ τοῦ Θεοῦ, τὰ κακὰ τὰ ἀπὸ τῆς βασκανίας· καὶ οὕτω δυνησόμεθα σβέσαι τὸ θηρίον, καὶ εὐδοκιμῆσα ἔμπροσθεν τοῦ Θεοῦ, καὶ τῶν αὐτῶν τυχεῖν τοῖς εὐδοκιμοῦσι. Τευξόμεθα γὰρ ἴσως· κἂν μὴ τύχωμεν δέ, διὰ τὸ συμφέρον· καὶ οὕτω δυνησόμεθα εἰς δόξαν Θεοῦ ζήσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δὲν φθονοῦν, τοὺς ἐπαίνους ἀπὸ τοὺς ἀνθρώπους, τοὺς ἐπαίνους ἀπὸ τὸν Θεό, τὰ κακὰ ποὺ προέρχονται ἀπὸ τὴ βασκανία. Καὶ ἔτσι θὰ μπορέσωμε νὰ ἐξαφανίσωμε τὸ θηρίο καὶ νὰ εὐτυχήσωμε ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ ἐπιτύχωμε τὰ ἴδια μὲ αὐτοὺς ποὺ εὐτυχοῦν. Γιατὶ ἴσως νὰ ἐπιτύχωμε, ἀλλὰ καὶ ἂν δὲν ἐπιτύχωμε, θὰ εἶναι γιὰ τὸ συμφέρον μας. Καὶ ἔτσι θὰ μπορέσωμε, ἀφοῦ ἐζήσαμε γιὰ τὴ δόξα τοῦ Θεοῦ, νὰ ἐπιτύχωμε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθῆ σ' αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΒ΄

(Κολ. 5,12 – 18)

«Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ. Μαρτυρῶ γὰρ αὐτῷ, ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει».

1. Καὶ ἀρχόμενος τῆς ἐπιστολῆς, συνέστησε τὸν ἄνδρα ἀπὸ ἀγάπης· ἀγάπην δὲ δείκνυσι καὶ τὸ ἐγκωμιάζειν· ὅπερ ἐξ ἀρχῆς εἶπεν, «Ὁ δηλώσας ἡμῖν», φησί, «τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι». Ἀγάπην δείκνυσι καὶ ποιεῖ φιλεῖσθαι, καὶ τὸ ὑπερεύχεσθαι. Συνίστησι δὲ αὐτόν, ἀνοίγων θύραν τῷ λόγῳ αὐτοῦ· τὸ γὰρ αἰδέσιμον εἶναι τὸν διδάσκαλον, μαθητῶν ὠφέλεια· καὶ πάλιν τῷ εἰπεῖν, «ἐξ ὑμῶν», ἵνα καὶ σεμνύνωνται ἐπὶ τῷ ἀνδρί, ἅτε τοιούτους φέροντες ἄνδρας. «Καὶ πάντοτε», φησίν, «ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς», τρέμων καὶ δεδοικώς. «Μαρτυρῶ γὰρ αὐτῷ, φησίν, «ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν»· τουτέστιν, ὅτι σφόδρα ὑμᾶς ἀγαπᾷ, καὶ ἐκκαίεται τῷ περὶ ὑμᾶς φίλτρῳ. «Καὶ τῶν ἐν Λαοδικείᾳ», φησί, «καὶ τῶν ἐν Ἱεραπόλει». Κἀκείνοις αὐτὸν συνίστησιν. Ἀλλὰ πόθεν τοῦτο ἔμελλον εἰδέναι; Μάλιστα μὲν οὖν ἤκουσαν ἄν· πλὴν καὶ τῆς ἐπιστολῆς ἀναγινωσκομένης, ἐμάνθανον. «Ποιήσατε» γάρ, φησίν, «ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ». «Ἵνα στῆτε», φησί, «τέλειοι». Ἅμα καὶ κατηγορεῖ αὐτῶν, καὶ ἀνεπαχθῶς παραινεῖ καὶ συμβουλεύει. Ἔνι γὰρ καὶ τέλειον εἶναι, καὶ μὴ ἑστάναι, ὡς ἐάν τις πάντα μὲν εἰδῇ, σαλεύηται δὲ ἔτι· ἔνι καὶ μὴ τέλειον εἶναι, καὶ ἑστάναι, ὡς ἐάν τις μέρος

---

1. Κολ. 1,7
2. Κολ. 1,8
3. Κολ. 4,16

ΟΜΙΛΙΑ ΙΒ΄
(Κολ. 5,12 – 18)

«Σᾶς ἀσπάζεται ὁ Ἐπαφρᾶς, ὁ ὁποῖος εἶναι ἀπὸ σᾶς, δοῦλος τοῦ Χριστοῦ, ποὺ ἀγωνίζεται πάντοτε γιὰ σᾶς στὶς προσευχές, γιὰ νὰ σταθῆτε τέλειοι καὶ νὰ γεμίσετε ἐντελῶς μὲ κάθε θέλημα τοῦ Θεοῦ. Γιατὶ μαρτυρῶ γι' αὐτόν, ὅτι ἔχει μεγάλο ζῆλο γιὰ σᾶς καὶ τοὺς πιστοὺς ποὺ εἶναι στὴν Λαοδίκεια καὶ στὴν Ἱεράπολι».

1. Ἀρχίζοντας τὴν ἐπιστολή, συνέστησε τὸν ἄνδρα ἀπό ἀγάπη.[1] Ἀγάπη ὅμως ἀποδεικνύει καὶ ὁ ἔπαινος, πρᾶγμα ποὺ ἀπὸ τὴν ἀρχὴ εἶπε, «Αὐτὸς μᾶς ἐφανέρωσε», λέγει, «τὴν ἀγάπη σας ποὺ εἶναι ἀποτέλεσμα τοῦ Ἁγίου Πνεύματος».[2] Ἀγάπη ἀποδεικνύει καὶ κάνει νὰ ἀγαπᾶται, καὶ τὸ νὰ προσεύχεται πάρα πολύ. Καὶ συνιστᾶ αὐτόν, ἀνοίγοντας θύρα στὸ λόγο του, γιατὶ τὸ νὰ εἶναι σεβαστὸς ὁ διδάσκαλος, εἶναι ὠφέλεια τῶν μαθητῶν· καὶ μὲ τὸ νὰ εἰπῆ πάλι, «ἀπὸ σᾶς», γιὰ νὰ ὑπερηφανεύωνται γιὰ τὸν ἄνδρα, ἐπειδὴ προσφέρουν τέτοιους ἄνδρες. «Καὶ πάντοτε», λέγει, «ἀγωνίζεται στὶς προσευχές του γιὰ σᾶς». Δὲν εἶπε ἁπλῶς, ὁ ὁποῖος προσεύχεται, ἀλλά, «ὁ ὁποῖος ἀγωνίζεται», δηλαδὴ μὲ τρόμο καὶ φόβο. «Γιατὶ μαρτυρῶ γι' αὐτόν», λέγει, «ὅτι ἔχει μεγάλο ἐνδιαφέρον γιὰ σᾶς». Εἶναι ἀξιόπιστος μάρτυς. «Ὅτι ἔχει», λέγει, «μεγάλο ἐνδιαφέρον γιὰ σᾶς», δηλαδή, ὅτι σᾶς ἀγαπᾶ πάρα πολὺ καὶ φλογίζεται ἀπὸ ἀγάπη γιὰ σᾶς. «Καὶ γιὰ τοὺς πιστοὺς ποὺ κατοικοῦν στὴν Λαοδίκεια», λέγει, «καὶ στὴν Ἱεράπολι». Καὶ σὲ ἐκείνους τὸν συνιστᾶ. Ἀλλὰ ἀπὸ ποῦ ἐπρόκειτο νὰ μάθουν τοῦτο; Κυρίως θὰ εἶχαν ἀκούσει βέβαια, ἀλλὰ καὶ ὅταν ἡ ἐπιστολὴ ἐδιαβάζετο, ἐμάθαιναν. Γιατὶ λέγει, «Φροντίσατε νὰ ἀναγνωσθῆ ἡ ἐπιστολὴ καὶ στὴν ἐκκλησία τῶν Λαοδικέων».[3] «Γιὰ νὰ σταθῆτε», λέγει, «τέλειοι». Συγχρόνως καὶ τοὺς κατηγορεῖ, καὶ χωρὶς νὰ εἶναι ἐνοχλητικὸς παραινεῖ καὶ συμβουλεύει. Γιατὶ εἶναι δυνατὸ κανεὶς καὶ τέλειος νὰ εἶναι καὶ νὰ μὴ στέκεται σταθερά, ὅπως ἐὰν κάποιος τὰ γνωρίζη μὲν ὅλα, σαλεύεται ὅμως ἀκόμη· εἶναι δυνατὸ καὶ νὰ μὴ εἶναι τέλειος, ἀλλὰ νὰ στέκεται, ὅπως ἐὰν κάποιος γνωρίζη ἕνα μέρος, ἀλλὰ στέκεται

μὲν εἰδῇ, ἑστήκῃ δὲ βεβαίως. Ἀλλ' οὗτος ἀμφότερα εὔχεται, «ἵνα στῆτε», φησί, «τέλειοι».

Ὅρα ποῦ πάλιν αὐτοὺς ὑπέμνησε τοῦ περὶ τῶν ἀγγέλων λόγου, καὶ περὶ τοῦ βίου. «Καὶ πεπληρωμένοι», φησίν, «ἐν παντὶ θελήματι τοῦ Θεοῦ». Οὐ γὰρ ἁπλῶς ἀρκεῖ τὸ θέλημα ποιεῖν. Ὁ πεπληρωμένος οὐκ ἀφίησιν ἄλλο θέλημα εἶναι ἐν αὐτῷ, ἐπεὶ οὐ πεπλήρωται. «Μαρτυρῶ γὰρ αὐτῷ», φησίν, «ὅτι ἔχει ζῆλον πολύν». Καὶ ζῆλον, καὶ πολύν· ἀμφότερα ἐπιτάσεως· ὥσπερ καὶ αὐτός φησι Κορινθίοις γράφων, «Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ». «Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός». Οὗτός ἐστιν ὁ εὐαγγελιστής. Οὐ τοῦτον δὲ ταπεινῶν, ὕστερον τίθησιν, ἀλλ' ἐκεῖνον ἐπαίρει τὸν Ἐπαφρόδιτον. Εἰκὸς εἶναι καὶ ἄλλους καλουμένους τῷ ὀνόματι τούτῳ. «Καὶ Δημᾶς», φησίν. Εἰπὼν δέ, «Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρός», προσέθηκεν, «ὁ ἀγαπητός». Ἐγκώμιον καὶ τοῦτο οὐ μικρόν, ἀλλὰ καὶ σφόδρα μέγα, τὸ Παύλου εἶναι ἀγαπητόν. «Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφούς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν». Ὅρα πῶς αὐτοὺς συγκολλᾷ καὶ συνάπτει πρὸς ἑαυτούς, οὐ τῷ ἀσπάσασθαι μόνον, ἀλλὰ καὶ τῷ τὰς ἐπιστολὰς ἀντιδοῦναι. Εἶτα πάλιν χαρίζεται, κατ' ἰδίαν αὐτὸν προσαγορεύων. Ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ καὶ τοὺς ἄλλους εἰς τὸν αὐτὸν ἄγων ζῆλον. Οὐδὲ γὰρ μικρόν ἐστιν, ὅταν μὴ μετὰ τῶν λοιπῶν ἀριθμῆται. Ὅρα γοῦν πῶς δείκνυσι μέγαν τὸν ἄνδρα, εἴγε ἡ οἰκία αὐτοῦ ἐκκλησία ἦν.

«Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ». Ἐμοὶ δοκεῖ εἶναί τινα τῶν γραφέντων ἐκεῖ, ἃ καὶ τούτους ἐχρῆν ἀκοῦσαι. Καὶ τούτοις μείζων ἦν ἡ ὠφέλεια, ὅταν ἑτέρων ἐγκαλουμένων, τὰ οἰκεῖα ἁμαρτήματα ἐπιγινώσκωσι. «Καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε». Τινὲς λέγουσιν, ὅτι οὐχὶ τὴν Παύλου πρὸς αὐτοὺς ἀπεσταλμένην, ἀλλὰ τὴν παρ' αὐτῶν Παύλῳ· οὐ γὰρ εἶπε, τὴν πρὸς Λαοδικέας, ἀλλά, τὴν ἐκ Λαοδικείας, φησί, γραφεῖσαν. «Καὶ εἴπατε Ἀρχίππῳ· βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ ἵνα αὐτὴν πληροῖς». Τίνος ἕνεκεν οὐ γράφει πρὸς αὐτόν; Ἴσως

---

4. Β' Κορ. 11,2

σταθερά. Αὐτὸς ὅμως προσεύχεται καὶ γιὰ τὰ δύο, «γιὰ νὰ σταθῆτε», λέγει, «τέλειοι».

Πρόσεχε ποῦ πάλι ὑπενθύμισε σ' αὐτοὺς τὸ λόγο περὶ τῶν ἀγγέλων καὶ περὶ τῆς ζωῆς. «Καὶ νὰ εἶσθε πλήρεις», λέγει, «μὲ κάθε θέλημα τοῦ Θεοῦ». Γιατὶ δὲν φθάνει τὸ νὰ κάνωμε μόνο τὸ θέλημα. Ὅποιος εἶναι πλήρης δὲν ἀφήνει νὰ ὑπάρχη μέσα του ἄλλο θέλημα· γιατὶ διαφορετικὰ δὲν εἶναι πλήρης. «Γιατὶ σᾶς βεβαιώνω γι' αὐτόν», λέγει, «ὅτι ἔχει πολὺ ζῆλο». Καὶ ζῆλο, καὶ πολύ· καὶ τὰ δύο εἶναι ἰσχυρά, ὅπως καὶ ὁ ἴδιος λέγει στοὺς Κορινθίους γράφοντας, «Γιατὶ σᾶς ἀγαπῶ μὲ τὸ ζῆλο τοῦ Θεοῦ.[4] «Σᾶς ἀσπάζεται ὁ Λουκᾶς ὁ ἰατρός, ὁ ἀγαπητός». Αὐτὸς εἶναι ὁ εὐαγγελιστής. Δὲν ταπεινώνει αὐτὸν ἐπειδὴ τὸν ἀναφέρει τελευταῖο, ἀλλὰ ἐκεῖνον ἐξυψώνει, τὸν Ἐπαφρόδιτο. Εἶναι φυσικὸ νὰ ὀνομάζωνται καὶ ἄλλοι μὲ τὸ ὄνομα αὐτό. «Καὶ ὁ Δημᾶς», λέγει. Ἀφοῦ εἶπε, «Σᾶς ἀσπάζεται ὁ Λουκᾶς ὁ ἰατρός», ἐπρόσθεσε, «ὁ ἀγαπητός». Καὶ αὐτὸς δὲν εἶναι μικρὸς ἔπαινος, ἀλλὰ καὶ πολὺ μεγάλος, τὸ νὰ εἶναι δηλαδὴ ἀγαπητὸς τοῦ Παύλου. «Χαιρετήσατε τοὺς ἀδελφοὺς ποὺ κατοικοῦν στὴν Λαοδίκεια, καὶ τὸν Νυμφᾶ, καὶ τὴν ἐκκλησία ποὺ συνέρχεται στὸ σπίτι του». Πρόσεχε πῶς ἑνώνει καὶ συνδέει αὐτοὺς μεταξύ τους, ὄχι μόνο μὲ τὸ νὰ τοὺς χαιρετήσουν, ἀλλὰ καὶ μὲ τὸ νὰ ἀνταλλάξουν τὶς ἐπιστολές. Ἔπειτα πάλι δείχνει τὴν ἰδιαίτερη εὔνοιά του πρὸς αὐτόν, προσφωνώντας τον ἰδιαίτερα. Καὶ κάνει αὐτὸ ὄχι ἁπλῶς, ἀλλὰ γιὰ νὰ ὁδηγήση καὶ τοὺς ἄλλους στὸν ἴδιο ζῆλο. Γιατὶ οὔτε μικρὸ πρᾶγμα εἶναι, ὅταν δὲν ἀναφέρεται μαζὶ μὲ τοὺς ὑπολοίπους. Πρόσεχε λοιπὸν πῶς παρουσιάζει μεγάλο τὸν ἄνδρα, ἐφόσον βέβαια τὸ σπίτι του ἦταν ἐκκλησία.

«Καὶ ἀφοῦ ἀναγνωσθῆ μεταξύ σας ἡ ἐπιστολή μου αὐτή, φροντίσατε γιὰ νὰ ἀναγνωσθῆ καὶ στὴν ἐκκλησία τῶν Λαοδικέων». Μοῦ φαίνεται ὅτι ὑπῆρχαν μερικὰ ἀπὸ τὰ γραφέντα ἐκεῖ, τὰ ὁποῖα ἔπρεπε καὶ αὐτοὶ νὰ ἀκούσουν. Καὶ ἦταν σὲ αὐτοὺς πιὸ μεγάλη ἡ ὠφέλεια, ὅταν, ἐνῶ ἄλλοι κατηγοροῦνται, γνωρίζουν αὐτοὶ καλά, τὰ ἰδικά τους ἁμαρτήματα. «Καὶ τὴν ἐπιστολὴ ἀπὸ τὴν Λαοδίκεια, γιὰ νὰ τὴν διαβάσετε καὶ σεῖς». Μερικοὶ λέγουν, ὅτι ὄχι τὴν ἐπιστολὴ ποὺ ἔστειλε πρὸς αὐτοὺς ὁ Παῦλος, ἀλλὰ ἐκείνη ποὺ ἔστειλαν αὐτοὶ στὸν Παῦλο, γιατὶ δὲν εἶπε, τὴν ἐπιστολὴ πρὸς Λαοδικεῖς, ἀλλά, τὴν ἐπιστολὴ ποὺ ἐγγράφηκε, λέγει, ἀπὸ τὴν Λαοδίκεια. «Καὶ νὰ εἰπῆτε στὸν Ἄρχιππο· πρόσεχε τὴ διακονία, ποὺ παρέλαβες μὲ θέλημα τοῦ Κυρίου, γιὰ νὰ τὴν ἐκπληρώνης τέλεια». Γιὰ ποιὸ λόγο

οὐκ ἐδεῖτο, ἀλλὰ ψιλῆς μόνης ὑπομνήσεως, ὥστε σπουδαιότερος εἶναι. «Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου». Τοῦτο γνησιότητος καὶ φιλίας τεκμήριον, τὸ καὶ τὰ γράμματα ὁρᾶν, καὶ πάσχειν τι πρὸς ταῦτα. «Μνημονεύσετέ μου τῶν δεσμῶν». Βαβαί, πόση παράκλησις; Τοῦτο γὰρ ἱκανὸν εἰς πάντα αὐτοὺς προτρέψαι, καὶ γενναιοτέρους ποιῆσαι πρὸς τοὺς ἀγῶνας· οὐ μόνον δὲ γενναιοτέρους, ἀλλὰ καὶ οἰκειοτέρους αὐτοὺς ἐποίει. «Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν».

2. Μέγα ἐγκώμιον, καὶ μεῖζον ἢ τῶν ἄλλων ἁπάντων, τὸ λέγειν περὶ τοῦ Ἐπαφρᾶ, «Ὁ ἐξ ὑμῶν δοῦλος Χριστοῦ». Καὶ διάκονον αὐτὸν ὑπὲρ αὐτῶν φησιν, ὥσπερ καὶ ἑαυτὸν τῆς ἐκκλησίας λέγει διάκονον, ὡς ὅταν λέγῃ· «Ἧς ἐγενόμην ἐγὼ Παῦλος διάκονος». Εἰς τὸ αὐτὸ ἀξίωμα ἀναφέρει τὸν ἄνδρα, καὶ σύνδουλον ἀνωτέρω καλεῖ, καὶ ἐνταῦθα δοῦλον. «Ὁ ἐξ ὑμῶν», φησίν· ὡς πρὸς μητέρα διαλεγόμενος, καὶ λέγων, ὁ ἐκ τῆς γαστρὸς τῆς σῆς. Ἀλλὰ τοῦτο φθόνον ἂν ἔτεκε τὸ ἐγκώμιον. Διὰ τοῦτο οὐκ ἀπὸ τούτων αὐτὸν συνίστησι μόνον, ἀλλὰ καὶ ἐκ τῶν πρὸς αὐτούς· καὶ ἐκεῖ φθόνον λύει, καὶ ἐνταῦθα. «Πάντοτε», φησίν, «ἀγωνιζόμενος ὑπὲρ ὑμῶν»· οὐ νῦν μόνον παρ' ἡμῖν, ὥστε ἐπιδείξασθαι, οὐδὲ παρ' ὑμῖν μόνον, ὥστε ὑμῖν ἐπιδείξασθαι. Μεγάλην προθυμίαν ἔδειξε τῷ εἰπεῖν, «ἀγωνιζόμενος». Εἶτα, ἵνα μὴ δόξῃ κολακεύειν αὐτούς, ἐπήγαγεν, ὅτι «ζῆλον ἔχει πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει». Καὶ τό, «ἵνα στῆτε τέλειοι», καὶ τοῦτο οὐ κολακείας, ἀλλ' αἰδεσίμου διδασκάλου. Καὶ πεπληρωμένοι, φησί, καὶ τέλειοι. Τὸ μὲν ἔδωκε, τὸ δὲ εἶπεν ὑστερεῖν. Καὶ οὐκ εἶπεν, ἵνα μὴ σαλεύησθε, ἀλλ', «ἵνα στῆτε». Τὸ μέντοι παρὰ πολλῶν ἀσπάζεσθαι αὐτούς, ἀνακτᾶται αὐτούς, ὅταν μὴ μόνον οἱ οἰκεῖοι ἐξ αὐτῶν, ἀλλὰ καὶ ἕτεροι αὐτῶν μνημονεύωσι.

«Καὶ εἴπατε Ἀρχίππῳ· βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ». Μάλιστα αὐτοὺς αὐτῷ ὑποτάττει. Οὐκέτι γὰρ ἂν ἔχοιεν ἐγκαλεῖν ἐκείνῳ ἐπιτιμῶντι αὐτούς, ὅταν αὐτοὶ ὦσιν ἀναδεδεγμένοι τὸ πᾶν· ἐπὶ οὐκ ἔχει λόγον τοῖς μαθηταῖς περὶ τοῦ διδασκάλου λέγειν. Ἀλλ' ἐπιστομίζων αὐτούς, ταῦτα γράφει.

---

5. Κολ. 1,25
6. Κολ. 1,7

δὲν γράφει πρὸς αὐτόν; Ἴσως δὲν ἐχρειάζετο, ἀλλὰ μόνο ἁπλὴ ὑπενθύμισις, γιὰ νὰ γίνῃ πιὸ ἐργατικός. «Ὁ ἀσπασμὸς ἐγράφηκε μὲ τὸ δικό μου χέρι, τοῦ Παύλου». Αὐτὸ εἶναι ἀπόδειξις γνησιότητας καὶ φιλίας, τὸ νὰ βλέπουν δηλαδὴ καὶ τὰ γράμματα καὶ νὰ νιώθουν κάτι τὸ ξεχωριστὸ βλέποντας αὐτά. «Νὰ ἐνθυμῆσθε τὰ δεσμά μου». Πώ, πὼ πόση μεγάλη παρηγοριά; Γιατὶ αὐτὸ ἦταν ἱκανὸ νὰ τοὺς προτρέψῃ στὰ πάντα καὶ νὰ τοὺς κάμῃ πιὸ γενναίους γιὰ τοὺς ἀγῶνες· καὶ ὄχι μόνο τοὺς ἔκαμνε πιὸ γενναίους, ἀλλὰ καὶ πιὸ ἰδικούς του. «Εἴθε ἡ χάρις νὰ εἶναι μαζί σας. Ἀμήν».

2. Εἶναι μεγάλο τὸ ἐγκώμιο, καὶ μεγαλύτερο δὲ εἶναι αὐτὸ ποὺ λέγει γιὰ τὸν Ἐπαφρᾶ, ἀπὸ ἐκεῖνο ποὺ λέγει γιὰ ὅλους τοὺς ἄλλους, «Ὁ ὁποῖος εἶναι ἀπὸ σᾶς, δοῦλος τοῦ Χριστοῦ». Καὶ λέγει αὐτὸν διάκονο γιὰ χάρι αὐτῶν, ὅπως ἀκριβῶς καὶ τὸν ἑαυτό του λέγει διάκονο τῆς ἐκκλησίας, καθὼς ὅταν λέγῃ· «Τῆς ὁποίας ἔγινα ἐγὼ ὁ Παῦλος διάκονος»[5]. Ἀναφέρει τὸν ἄνδρα στὸ ἴδιο ἀξίωμα, καὶ σύνδουλο τὸν ἀποκαλεῖ παραπάνω[6], καὶ ἐδῶ δοῦλο. «Ὁ ὁποῖος εἶναι ἀπὸ σᾶς», λέγει· σὰν νὰ ὁμιλῇ πρὸς μητέρα καὶ λέγῃ, ὁ ὁποῖος εἶναι ἀπὸ τὴν ἰδική σου κοιλιά. Ἀλλὰ τὸ ἐγκώμιο αὐτὸ θὰ ἐπροκαλοῦσε φθόνο. Γι' αὐτὸ δὲν τὸν συνιστᾶ μόνο ἀπὸ αὐτά, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ κάνει γι' αὐτούς· καὶ ἐκεῖ διαλύει τὸ φθόνο, καὶ ἐδῶ. «Ὁ ὁποῖος πάντοτε», λέγει, «ἀγωνίζεται γιὰ σᾶς». Ὄχι μόνο τώρα ποὺ εἶναι κοντά μας, ὥστε νὰ κάνῃ ἐπίδειξι, οὔτε ὅταν εἶναι κοντά σας μόνο, ὥστε νὰ ἐπιδειχθῇ σὲ σᾶς. Ἔδειξε τὴν μεγάλη προθυμία του μὲ τὸ νὰ εἰπῇ «ὁ ὁποῖος ἀγωνίζεται». Ἔπειτα, γιὰ νὰ μὴ φανῇ ὅτι κολακεύει αὐτούς, ἐπρόσθεσε, ὅτι «ἔχει μεγάλο ἐνδιαφέρον γιὰ σᾶς καὶ τοὺς πιστοὺς ποὺ εἶναι στὴν Λαοδίκεια καὶ στὴν Ἱεράπολι». Καὶ τό, «γιὰ νὰ σταθῆτε τέλειοι», καὶ αὐτὸ δὲν εἶναι κολακεία, ἀλλὰ λόγος σεβαστοῦ διδασκάλου. Καὶ ἐντελῶς πλήρεις, λέγει, καὶ τέλειοι. Τὸ μὲν ἕνα τοὺς τὸ ἔδωσε, γιὰ τὸ ἄλλο δὲ εἶπε ὅτι ὑστεροῦν. Καὶ δὲν εἶπε, γιὰ νὰ μὴ σαλεύεσθε, ἀλλά, «γιὰ νὰ σταθῆτε». Τὸ νὰ χαιρετοῦν βέβαια αὐτοὺς πολλοί, δείχνει ὅτι κερδίζει τὴ φιλία τους, ὅταν δὲν τοὺς ἐνθυμοῦνται μόνο οἱ ἰδικοί τους ἀπὸ αὐτοὺς ἀλλὰ καὶ ἄλλοι.

«Καὶ νὰ εἰπῆτε στὸν Ἄρχιππο· πρόσεχε τὴ διακονία, ποὺ παρέλαβες μὲ θέλημα τοῦ Κυρίου». Κυρίως αὐτοὺς ὑποτάσσει στὸν Ἄρχιππο. Γιατὶ δὲν θὰ μποροῦν πιὰ νὰ κατηγοροῦν ἐκεῖνον ὅταν τοὺς ἐπιτιμᾶ, ὅταν αὐτοὶ ἔχουν παραδεχθῆ τὰ πάντα, ἐπειδὴ δὲν ὑπάρχει ἀφορμὴ στοὺς μαθητὲς γιὰ νὰ λέγουν γιὰ τὸ διδάσκαλό

«Εἴπατε», φησίν, «Ἀρχίππῳ· βλέπε». Φοβοῦντός ἐστι τοῦτο τὸ ῥῆμα πανταχοῦ, ὡς ὅταν λέγη, «Βλέπε τοὺς κύνας». «Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν»· «Βλέπετε μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι». Καὶ πανταχοῦ οὕτω φησίν ὅταν φοβῇ. «Βλέπε», φησί, τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς». Οὐδὲ ἀφίησιν αὐτὸν κύριον εἶναι, καθάπερ αὐτὸς ἔλεγεν· «Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω, εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι». «Ἵνα αὐτὴν πληροῖς»· διηνεκῶς κεχρημένος σπουδῇ. «Ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς». Πάλιν τό, «ἐν», διὰ Κυρίου, ἐστίν· αὐτός σοι ἔδωκε, φησίν, οὐχ ἡμεῖς. Κἀκείνους ὑποτάττει αὐτῷ, ὅταν δεικνύῃ παρὰ Θεοῦ αὐτὸν ἐγκεχειρισμένον. «Μνημονεύτέ μου τῶν δασμῶν. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν». Τὸν φόβον ἔλυσεν. Εἰ γὰρ ὁ διδάσκαλος ἐν δεσμοῖς, ἀλλ' ἡ χάρις αὐτὸν λύει. Καὶ τοῦτο τῆς χάριτος τὸ συγχωρεῖν αὐτὸν δεθῆναι· ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος, ὅτι «Ὑπέστρεφον οἱ ἀπόστολοι ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι». Καταξιωθῆναι γὰρ ὄντως ἐστί, καὶ τὸ ἀτιμασθῆναι καὶ τὸ δεθῆναι. Εἰ γὰρ ἐρώμενόν τις ἔχων, κέρδος ἡγεῖται τὸ δ' ἐκεῖνόν τι παθεῖν, πολλῷ μᾶλλον τὸ διὰ τὸν Χριστόν.

3. Μὴ τοίνυν ἀσχάλλωμεν περὶ τὰς θλίψεις διὰ Χριστόν, ἀλλὰ μνημονεύωμεν τῶν δεσμῶν Παύλου καὶ ἡμεῖς, καὶ τοῦτο ἔστω ἡμῖν προτροπή· οἷον, παραινεῖς τισι πένησι δοῦναι διὰ Χριστόν; ἀνάμνησον αὐτοὺς τῶν Παύλου δεσμῶν, καὶ σαυτὸν κἀκείνους ταλάνισον, εἰ ἐκεῖνος μὲν καὶ τὸ σῶμα ἐξέδωκε δεσμοῖς δι' αὐτὸν, σὺ δὲ οὐδὲ τροφῆς μεταδίδως. Ἐπήρθης ἐπὶ κατορθώμασι; μνημόνευσον τῶν Παύλου δεσμῶν, ὅτι οὐδὲν τοιοῦτον ἔπαθες, καὶ οὐκέτι ἐπαρθήσῃ. Ἐπεθύμησάς τινων τῶν τοῦ πλησίον; μνημόνευσον τῶν Παύλου δεσμῶν, καὶ ὄψει πῶς ἄτοπον

7. Φιλιπ. 3,2
8. Κολ. 2,8
9. Α' Κορ. 8,9
10. Α' Κορ. 9,17
11. Πράξ. 5,41

τους. Αὐτὰ τὰ γράφει γιὰ νὰ ἀποστομώση αὐτούς. «Νὰ εἰπῆτε», λέγει, «στὸν Ἄρχιππο· Πρόσεχε». Ἡ λέξη αὐτὴ πάντοτε δηλώνει τὸ φόβο ἐκείνου ποὺ τὴν λέγει, ὅπως ὅταν λέγη, «Προσέχετε τοὺς ψευτοδιδασκάλους ποὺ εἶναι σκύλοι»[7]· «Προσέχετε μήπως σᾶς ἐξαπατήση κανείς»[8]· «Προσέχετε μήπως ἡ ἐξουσία σας αὐτὴ γίνη ἐμπόδιο στοὺς ἀσθενεῖς κατὰ τὴν πίστι»[9]. Καὶ παντοῦ αὐτὸ λέγει, ὅταν φοβῆται. «Πρόσεχε», λέγει, «τὴ διακονία, ποὺ παρέλαβες μὲ θέλημα τοῦ Κυρίου, νὰ τὴν ἐκπληρώνης τέλεια». Οὔτε ἐπιτρέπει αὐτὸν νὰ εἶναι κύριος, ὅπως ἀκριβῶς ὁ ἴδιος ἔλεγε· «Ἐὰν βέβαια κάνω αὐτὸ μὲ τὴ θέλησί μου, ἔχω ἀμοιβή, ἐὰν ὅμως τὸ κάνω ὄχι ἀπὸ τὴ θέλησί μου, μοῦ τὸ ἔχει ἐμπιστευθῆ αὐτὸ κατ' οἰκονομία ὁ Κύριος»[10]. «Γιὰ νὰ ἐκπληρώνης αὐτήν»· συνέχεια νὰ φροντίζης. «Τὴν ὁποία παρέλαβες μὲ θέλημα τοῦ Κυρίου, γιὰ νὰ τὴν ἐκπληρώνης». Πάλι τό, «ἐν», ἀπὸ τὸν Κύριο, σημαίνει. Αὐτὸς σοῦ τὴν ἔδωσε, λέγει, ὄχι ἐμεῖς. Καὶ ἐκείνους ὑποτάσσει σ' αὐτόν, ὅταν καθιστᾶ φανερὸ ὅτι ὁ Θεὸς τοῦ ἔχει ἐμπιστευθῆ. «Νὰ ἐνθυμῆσθε τὰ δεσμά μου. Εἴθε ἡ χάρις νὰ εἶναι μαζί σας. Ἀμήν». Τὸ φόβο διέλυσε. Γιατὶ ἂν καὶ ὁ διδάσκαλος ἦταν φυλακισμένος, ἡ χάρις ὅμως διαλύει αὐτόν. Καὶ αὐτὸ ἦταν ἔργο τῆς χάριτος, τὸ νὰ ἐπιτρέψη νὰ φυλακισθῆ αὐτός· γιατὶ ἄκουε τὸν Λουκᾶ ποὺ λέγει, ὅτι «ἐπέστρεφαν οἱ ἀπόστολοι ἀπὸ τὸ συνέδριο μὲ μεγάλη χαρά, γιατὶ ἔγιναν ἄξιοι νὰ ἀτιμασθοῦν γιὰ χάρι τοῦ ὀνόματος τοῦ Χριστοῦ[11]. Γιατὶ ἀληθινὰ καταξίωσις εἶναι καὶ ἡ ἀτίμωσις καὶ ἡ φυλάκισις. Ἐὰν λοιπὸν ὅταν ἔχη κανείς κάποιον, ποὺ τὸν ἀγαπᾶ πολύ, θεωρῆ κέρδος τὸ νὰ πάθη κάτι γιὰ χάρι ἐκείνου, πολὺ περισσότερο εἶναι κέρδος τὸ νὰ πάθη γιὰ χάρι τοῦ Χριστοῦ.

3. Ἄς μὴ στενοχωρούμασθε λοιπὸν γιὰ τὶς θλίψεις μας ποὺ ὑπομένουμε γιὰ χάρι τοῦ Χριστοῦ, ἀλλ' ἂς ἐνθυμούμασθε τὰ δεσμὰ τοῦ Παύλου καὶ ἐμεῖς, καὶ αὐτὸ ἂς μᾶς εἶναι προτροπή· ὅπως γιὰ παράδειγμα, συμβουλεύεις σὲ κάποιους πτωχοὺς νὰ κάνουν ἐλεημοσύνη γιὰ χάρι τοῦ Χριστοῦ; ὑπενθύμισε αὐτοὺς τὰ δεσμὰ τοῦ Παύλου, καὶ ταλάνισε τὸν ἑαυτό σου καὶ ἐκείνους, ἀφοῦ ἐκεῖνος παρέδωσε καὶ τὸ σῶμα του στὰ δεσμὰ γιὰ χάρι αὐτοῦ, καὶ σὺ οὔτε τροφὴ δίνεις σὲ κάποιον. Ὑπερηφανεύθηκες γιὰ τὰ κατορθώματά σου; ἐνθυμήσου τὰ δεσμὰ τοῦ Παύλου, καὶ τὸ ὅτι τίποτε παρόμοιο δὲν ἔπαθες, καὶ δὲν θὰ ὑπερηφανευθῆς πιά. Ἐπεθύμησες ἀπὸ τὰ πράγματα τοῦ πλησίον; ἐνθυμήσου τὰ δεσμὰ τοῦ Παύλου καὶ θὰ ἰδῆς πῶς εἶναι παράλογο ἐκεῖνος νὰ κινδυνεύη καὶ ἐσὺ νὰ ζῆς μὲ

ἐκεῖνον μὲν ἐν κινδύνοις εἶναι, σὲ δὲ τρυφᾶν. Ἐπεθύμησας πάλιν τρυφῆς; ἐν νῷ λάβε τὸ δεσμωτήριον Παύλου· ἐκείνου μαθητὴς εἶ, ἐκείνου συστρατιώτης· πῶς ἔχει λόγον, τὸν μὲν συστρατιώτην ἐν δεσμοῖς εἶναι, σὲ δὲ ἐν τρυφῇ; Ἐν θλίψει γέγονας, ἐνόμισας ἐγκαταλελεῖφθαι; ἄκουε τῶν Παύλου δεσμῶν, καὶ ὄψει ὅτι τὸ ἐν θλίψει εἶναι οὐκ ἐγκαταλείψεώς ἐστι τεκμήριον. Θέλεις σηρικὰ φορεῖν ἱμάτια; μνημόνευε τῶν Παύλου δεσμῶν, καὶ ταῦτά σοι φανεῖται τῶν ῥακίων τῆς ἀποκαθημένης ἀτιμότερα τῶν βεβορβορωμένων. Θέλεις χρυσία περιθέσθαι; ἐν νῷ λάβε τὰ Παύλου δεσμά, καὶ σχοίνου παλαιᾶς οὐδὲν ἄμεινόν σοι δόξει ταῦτα διακεῖσθαι. Θέλεις διαθεῖναι τὰς τρίχας, καὶ καλὴ φαίνεσθαι; ἐννοήσον τὸν αὐχμὸν τοῦ Παύλου τὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἐκκαήσῃ πρὸς ἐκεῖνο τὸ κάλλος, καὶ τοῦτο ἐσχάτην ἡγήσῃ δυσείδειαν, καὶ στενάξεις πικρὸν ἐπιθυμοῦσα ἐκείνων τῶν δεσμῶν.

Θέλεις ἐπιτρίμματα καὶ ὑπογραφὰς ἑαυτῇ περιθεῖναι, καὶ ὅσα τοιαῦτα; ἐννόησον τὰ ἐκείνου δάκρυα· τριετίαν, νύκτα καὶ ἡμέραν οὐκ ἐπαύσατο δακρύων. Τούτῳ τῷ κόσμῳ καλλώπιζε τὴν παρειάν· ταῦτα τὰ δάκρυα λαμπρὰν αὐτὴν ἐργάζεται. Οὐ λέγω ἵνα ὑπὲρ τῶν ἄλλων δακρύῃς, βούλομαι μὲν γὰρ καὶ τοῦτο, ἀλλ' ἀνώτερόν σού ἐστι τοῦτο, ἀλλ' ὑπὲρ τῶν σῶν ἁμαρτημάτων τοῦτο παραινῶ ποιεῖν. Ἐκέλευσας δεσμευθῆναι παῖδα, καὶ ὠργίσθης καὶ παρωξύνθης; μνημόνευε τῶν Παύλου δεσμῶν, καὶ εὐθέως παύσεις τὴν ὀργήν· ἀναμνήσθητι ὅτι τῶν δεδεμένων ἡμεῖς, ἀλλ' οὐ τῶν δεόντων, τῶν συντετριμμένων τὴν καρδίαν, οὐ τῶν συντριβόντων. Διεχύθης, καὶ ἀνεκάγχασας μέγα; ἔννοιαν λάβε τῶν ἐκείνου ὀδυρμῶν, καὶ στενάξεις· πολλῷ σε λαμπροτέραν τὰ δάκρυα ταῦτα δείκνυσιν. Εἶδες τρυφῶντας καὶ ὀρχουμένους; μνημόνευσον αὐτοῦ τῶν δακρύων. Ποία πηγὴ τοσαῦτα ἀνέβλυσε νάματα, ὡς οἱ ὀφθαλμοὶ ἐκεῖνοι τὰ δάκρυα; Μνημονεύετέ μου, φησί, τῶν δακρύων, ὥσπερ τῶν δεσμῶν ἐνταῦθα. Καὶ εἰκότως ἐκείνοις ταῦτα εἶπεν ἡνίκα ἀπὸ τῆς Ἐφέσου αὐτοὺς μετεστείλατο εἰς τὴν Μίλητον· διδασκάλοις γὰρ ἔλεγεν· ὥστε ἐκείνους μὲν καὶ τὸ συναλγεῖν ἀπαιτεῖ, τούτους δὲ τὸ κινδυνεύειν μόνον.

Ποίαν βούλει παραβαλεῖν πηγὴν τοῖς δάκρυσι τούτοις; τὴν

---

12. Πράξ. 20,31

13. Βλ. Πράξ. 20,17 – 38· ὅπου ὁ λόγος τοῦ Παύλου πρὸς τοὺς πρεσβυτέρους τῆς Ἐφέσου.

ἀπολαύσεις. Ἐπεθύμησες πάλι τὶς ἀπολαύσεις; σκέψου τὴ φυλακὴ τοῦ Παύλου, ἐκείνου εἶσαι μαθητής, ἐκείνου εἶσαι συστρατιώτης. Πῶς δικαιολογεῖται, ὁ συστρατιώτης νὰ εἶναι φυλακισμένος καὶ ἐσὺ νὰ ζῆς μὲ ἀπολαύσεις; εὑρίσκεσαι σὲ θλίψεις, ἐνόμισες ὅτι ἔχεις ἐγκαταλειφθῆ; ἄκουε τὰ δεσμὰ τοῦ Παύλου, καὶ θὰ ἰδῆς ὅτι τὸ νὰ εὑρίσκεσαι σὲ θλίψεις δὲν εἶναι ἀπόδειξις ἐγκαταλείψεως. Θέλεις νὰ φορῆς μεταξωτὰ ροῦχα; νὰ θυμᾶσαι τὰ δεσμὰ τοῦ Παύλου καὶ αὐτὰ θὰ σοῦ φανοῦν φθηνότερα ἀπὸ τὰ ράκη τῆς αἱμορροούσης ποὺ ἔχουν γίνει ἀκάθαρτα. Θέλεις νὰ φορέσης χρυσὰ κοσμήματα; σκέψου τὰ δεσμὰ τοῦ Παύλου, καὶ θὰ σοῦ φανοῦν ὅτι δὲν εἶναι καθόλου καλύτερα ἀπὸ παλαιὰ ἁλυσίδα. Θέλεις νὰ περιποιηθῆς τὴν κόμη σου καὶ νὰ φαίνεσαι ὡραία; σκέψου τὴν ἀκαταστασία τῆς κόμης τοῦ Παύλου μέσα στὴ φυλακὴ καὶ θὰ παρακινηθῆς πρὸς ἐκείνη τὴν ὀμορφιὰ καὶ θὰ θεωρήσης αὐτὸ σὰν τὴν πιὸ χειρότερη ἀσχήμια καὶ θὰ κλάψης πικρὰ ἐπιθυμώντας ἐκεῖνα τὰ δεσμά.

Θέλεις νὰ περιποιῆσαι τὸν ἑαυτό σου μὲ καλλυντικὰ καὶ βαψίματα καὶ ὅλα τὰ παρόμοια; θυμήσου τὰ δάκρυα ἐκείνου· δὲν ἐσταμάτησε νὰ χύνη δάκρυα γιὰ τρία χρόνια, νύκτα καὶ ἡμέρα.[12] Ἔτσι νὰ στολίζης τὸ πρόσωπό σου, αὐτὰ τὰ δάκρυα τὸ καθιστοῦν ὄμορφο. Δὲν λέγω νὰ χύνης δάκρυα γιὰ τοὺς ἄλλους, θέλω βέβαια καὶ τοῦτο, ὅμως εἶναι ἀνώτερο ἀπὸ τὶς δυνάμεις σου, ἀλλὰ σὲ συμβουλεύω νὰ τὸ κάνης αὐτὸ γιὰ τὰ ἰδικά σου ἁμαρτήματα. Διέταξες νὰ φυλακισθῆ κάποιος δοῦλος; καὶ ὠργίσθηκες καὶ ἐνευρίασες πολύ; μνημόνευε τὰ δεσμὰ τοῦ Παύλου καὶ ἀμέσως θὰ σταματήσης τὴν ὀργή. Θυμήσου ὅτι ἐμεῖς εἴμασθε ἀπὸ τοὺς δεμένους, ὄχι ὅμως ἀπὸ ἐκείνους ποὺ δένουν, ἀπὸ ἐκείνους ποὺ εἶναι συντετριμμένοι ὡς πρὸς τὴν καρδιά, ὄχι ὅμως ἀπὸ ἐκείνους ποὺ συντρίβουν. Ἔγινες εὔθυμος καὶ ἐγέλασες μὲ θόρυβο πολύ; σκέψου τοὺς ὀδυρμοὺς ἐκείνου καὶ θὰ κλάψης· πολὺ πιὸ ὡραῖα σὲ δείχνουν τὰ δάκρυα αὐτά. Εἶδες νὰ διασκεδάζουν καὶ νὰ χορεύουν; ὑπενθύμισε σ' αὐτοὺς τὰ δάκρυά του. Ποιὰ πηγὴ ἀνέβλυσε τόσα νερά, ὅπως τὰ μάτια τοῦ Παύλου τὰ δάκρυα; Νὰ ἐνθυμῆσθε, λέγει ἀλλοῦ, τὰ δακρυά μου, ὅπως τὰ δεσμὰ ἐδῶ. Καὶ δικαιολογημένα εἶπε αὐτὰ σὲ ἐκείνους, ὅταν ἔστειλε ἀνθρώπους καὶ ἐπροσκάλεσε αὐτοὺς ἀπὸ τὴν Ἔφεσο στὴν Μίλητο, γιατὶ μιλοῦσε σὲ διδασκάλους.[12] Ὥστε ἀπὸ ἐκείνους ἀπαιτεῖ καὶ τὸ νὰ στενοχωροῦνται μαζὶ μὲ ἄλλους, ἀπὸ αὐτοὺς ὅμως μόνο τὸ νὰ κινδυνεύουν.

Ποιὰ πηγὴ θέλεις νὰ συγκρίνης μὲ τὰ δάκρυα αὐτά; ἐκείνη ποὺ

ἐν τῷ παραδείσῳ τὴν ποτίζουσαν τὴν γῆν ἅπασαν; Ἀλλ' οὐδὲν ἴσον ἐρεῖς· αὕτη γὰρ ἡ τῶν δακρύων πηγὴ ψυχὰς ἐπότιζεν, οὐ γῆν. Εἴ τις ἡμῖν δεδακρυμένον ἔδειξε Παῦλον καὶ στενάζοντα, οὐ πολλῷ ἦν βέλτιον ἰδεῖν, ἢ μυρίους χοροὺς φαιδρῶς ἐστεφανωμένους; Οὐ λέγω περὶ ὑμῶν, ἀλλ' εἴ τις ἀπὸ τοῦ θεάτρου καὶ τῆς σκηνῆς ἀποσπάσας τινὰ τῶν ἀκολάστων ἐκκαιόμενον καὶ βακχευόμενον τῷ τῶν σωμάτων ἔρωτι, ἐδείκνυ κόρην παρθένον ἐν τῷ τῶν σωμάτων ἔρωτι, ἐδείκνυ κόρην παρθένον ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τά τε ἄλλα νικῶσαν τὰς ὁμήλικας, καὶ τῇ ὄψει ὑπὲρ τὰ λοιπὰ μέλη, ὀφθαλμὸν ἔχουσαν μαλακὸν καὶ ἁπαλόν, ἐγκαθήμενον ἠρέμα, περιστρεφόμενον ἠρέμα, ὑγρόν, ἥμερον, γαληνὸν μειδιῶντα, καὶ πολλῇ μὲν περιεσταλμένον τῇ αἰδοῖ, πολλῇ δὲ τῇ χάριτι, βλεφαρίσι κυανοῖς κάτωθεν καὶ ἄνωθεν ἐστεφανωμένην, τὴν κόρην ἔμψυχον, ὡς εἰπεῖν, ἔχουσαν, λάμπον τὸ μέτωπον, κάτωθεν πάλιν τὴν παρειὰν εἰς ἀκριβῆ ἐρυθρότητα ἀφικνουμένην, μαρμάρου δίκην λείαν ὑποκειμένην, ὁμαλήν· εἶτά μοι ἔδειξε Παῦλον δακρύοντα, ταύτην ἂν ἀφεὶς ἐπεπήδησα τῇ τούτου θέᾳ· κάλλος γὰρ ἀπέλαμπεν ἀπὸ τούτων τῶν ὀφθαλμῶν πνευματικόν. Ἐκεῖνο μὲν γὰρ ποιεῖ ἐξίστασθαι νέων ψυχάς, ἐκκαίει καὶ φλέγει, τοῦτο δὲ τοὐναντίον καταστέλλει. Τοῦτο τοὺς ὀφθαλμοὺς ὡραιοτέρους τοὺς τῆς ψυχῆς ἐργάζεται, κατασπᾷ γαστέρα, φιλοσοφίας ἐμπίπλησι, συμπαθείας πολλῆς, καὶ ἀδαμαντίνην μαλάξαι δύναται ψυχήν. Τούτοις ἄρδεται ἡ ἐκκλησία, τούτοις ψυχαὶ φυτεύονται τοῖς δάκρυσι· κἂν πῦρ ᾖ, ταῦτα τὰ δάκρυα σβέσαι δύναται, καὶ αἰσθητὸν καὶ σωματικόν· ταῦτα τὰ δάκρυα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέννυσι.

Μνημονεύωμεν τοίνυν τῶν δακρύων αὐτοῦ, καὶ πάντων καταγελασόμεθα τῶν παρόντων. Ταῦτα ἐμακάριζεν ὁ Χριστὸς τὰ δάκρυα, λέγων· «Μακάριοι οἱ πενθοῦντες», καί, «Μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ γελάσονται». Τοιαῦτα καὶ Ἠσαΐας, καὶ Ἱερεμίας ἠφίει δάκρυα· καὶ ὁ μὲν ἔλεγεν, «Ἄφετέ με, πικρῶς κλαύσομαι»· ὁ δὲ ἔλεγε, «Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων;» ὡς οὐκ ἀρκούσης τῆς φυσικῆς. Οὐδὲν τῶν δακρύων τούτων ἥδιον· παντὸς γέλωτος ταῦτα

14. Ματθ. 5,4
15. Λουκᾶ 6,21
16. Ἠσ. 22,4
17. Ἱερ. 9,1

εἶναι στὸν παράδεισο καὶ ποτίζει ὅλη τὴ γῆ; Ἀλλὰ τίποτε τὸ ἰσάξιο δὲν θὰ εἰπῇς, γιατὶ αὐτὴ ἡ πηγὴ τῶν δακρύων ἐπότιζε τὶς ψυχές, ὄχι τὴ γῆ. Ἐὰν κάποιος μᾶς ἐπαρουσίαζε τὸν Παῦλο νὰ κλαίῃ καὶ νὰ στενάζῃ, δὲν θὰ ἦταν προτιμότερο νὰ ἰδοῦμε αὐτόν, παρὰ νὰ ἰδοῦμε πολλοὺς χορευτὲς ποὺ εἶναι φαιδρὰ στεφανωμένοι; Δὲν λέγω γιὰ σᾶς, ἀλλὰ ἐὰν κάποιος, ἀφοῦ ἀπὸ τὸ θέατρο καὶ τὴ σκηνὴ ἀπομακρύνῃ κάποιον ἀκόλαστο ποὺ φλογίζεται καὶ τρελλαίνεται ἀπὸ τὸν ἔρωτα τῶν σωμάτων, ἐπαρουσίαζε νεαρὸ κορίτσι στὸ ἄνθος τῆς ἡλικίας του ἀκριβῶς, νὰ ὑπερέχῃ καὶ στὰ ἄλλα ἀπὸ τὰ συνομήλικά του καὶ στὸ πρόσωπό του, πιὸ πολὺ ἀπὸ τὰ ὑπόλοιπα μέλη, νὰ ἔχῃ μάτια γλυκὰ καὶ ἀπαλά, ποὺ στέκωνται ἤρεμα, ποὺ περιστρέφονται μὲ ἠρεμία, ὑγρά, ἥμερα, ποὺ μειδιοῦν σεμνά, καὶ ποὺ στολίζονται μὲ πολλὴ ἐντροπή, ἀλλὰ καὶ μὲ πολλὴ χάρι, μὲ βλεφαρίδες μαῦρες ἀπὸ ἐπάνω καὶ ἀπὸ κάτω σὰν στεφάνια, μὲ τὴν κόρη κατὰ κάποιο τρόπο ζωηρή, μὲ καθαρὸ τὸ μέτωπο, ἀπὸ κάτω πάλι τὰ μάγουλα νὰ ἔχουν καθαρὸ κόκκινο χρῶμα, ἀπὸ κάτω σὰν μάρμαρο λεῖα, ὁμαλά, ἔπειτα ἐὰν μοῦ ἐπαρουσίαζε τὸν Παῦλο νὰ κλαίῃ, θὰ ἔτρεχα νὰ ἰδῶ αὐτόν, ἀφοῦ ἄφηνα ἐκεῖνο· γιατὶ ἀκτινοβολοῦσε πνευματικὴ ὀμορφιὰ ἀπὸ τὰ μάτια αὐτά. Διότι ἐκείνη μὲν ἡ ὀμορφιὰ ἐρεθίζει τὶς ψυχὲς τῶν νέων, τὶς καίει καὶ τὶς φλογίζει, αὐτὴ ὅμως ἀντίθετα τὶς καταπραΰνει. Αὐτὴ τὰ μάτια τῆς ψυχῆς τὰ καθιστᾶ πιὸ ὡραῖα, καταστρέφει τὴν κοιλιά, γεμίζει φιλοσοφία, συμπάθεια πολλή, καὶ μπορεῖ νὰ μαλακώσῃ τὴ σκληρὴ ψυχή. Μὲ αὐτὰ τὰ δάκρυα ποτίζεται ἡ ἐκκλησία, μὲ αὐτὰ φυτεύονται ψυχές· καὶ ἂν ἀκόμη ὑπάρχῃ πῦρ, αὐτὰ τὰ δάκρυα μποροῦν νὰ σβήσουν, καὶ πραγματικὸ καὶ σωματικό· αὐτὰ τὰ δάκρυα σβήνουν τὰ πυρωμένα βέλη τοῦ κακοῦ.

Ἂς ἐνθυμούμασθε λοιπὸν τὰ δάκρυά του, καὶ ἂς περιγελάσωμε τὰ παρόντα. Αὐτὰ τὰ δάκρυα ἐμακάριζε ὁ Χριστός, λέγοντας, «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν»[14], καί, «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ κλαίουν, γιατὶ αὐτοὶ θὰ γελάσουν»[15]. Παρόμοια δάκρυα ἔχυνε καὶ ὁ Ἠσαΐας καὶ ὁ Ἱερεμίας. Καὶ ὁ πρῶτος ἔλεγε, «Ἀφήσατέ με νὰ χύσω πικρὰ δάκρυα»[16], καὶ ὁ ἄλλος, «Ποιὸς θὰ δώσῃ στὸ κεφάλι μου νερό, καὶ στὰ μάτια μου πηγὲς δακρύων;»[17], ἐπειδὴ δὲν ἔφθανε ἡ φυσικὴ πηγή. Τίποτε δὲν εἶναι πιὸ γλυκὸ ἀπὸ τὰ δάκρυα αὐτά, ἀπὸ κάθε γέλιο αὐτὰ εἶναι γλυκύτερα. Γνωρίζουν ὅσοι πενθοῦν, πόση παρηγοριὰ ἔχει τὸ πρᾶγμα. Ἂς μὴ τὸ θεωροῦμε ὅτι εἶναι ἀνεπιθύμητο αὐτό, ἀλλὰ καὶ πάρα πολὺ ἐπιθυμητό, ὄχι γιὰ νὰ

ἡδύτερα. Ἴσασιν οἱ πενθοῦντες, πόσην ἔχει τὸ πρᾶγμα παραμυθίαν. Μὴ ἀπευκτὸν αὐτὸ εἶναι νομίζωμεν, ἀλλὰ καὶ σφόδρα εὐκτόν, οὐχ ὥστε ἑτέρους ἁμαρτάνειν, ἀλλ' ὥστε ἁμαρτανόντων αὐτῶν ἡμᾶς κατακλᾶσθαι. Τούτων μνημονεύωμεν τῶν δακρύων, τούτων τῶν δεσμῶν. Ἄρα καὶ ἐπὶ τὰ δεσμὰ δάκρυα κατέβαινεν· οὐκ ἠφίει δὲ αὐτὸν τῆς ἀπὸ τῶν δεσμῶν ἡδονῆς αἰσθάνεσθαι τῶν ἀπολλυμένων ὁ θάνατος, τῶν δεσμούντων. Καὶ γὰρ καὶ ὑπὲρ ἐκείνων ἤλγει· μαθητὴς γὰρ ἦν ἐκείνου τοῦ δακρύοντος τοὺς ἱερέας τῶν Ἰουδαίων, οὐχ ὅτι αὐτὸν ἔμελλον σταυροῦν, ἀλλ' ὅτι αὐτοὶ ἀπώλλυντο. Καὶ οὐκ αὐτὸς μόνος αὐτὸ ποιεῖ, ἀλλὰ καὶ τοὺς ἄλλους οὕτω παρακαλεῖ, λέγων· «Μὴ κλαίετε ἐπ' ἐμέ, θυγατέρες Ἰερουσαλήμ».

Εἶδον τὸν παράδεισον οὗτοι οἱ ὀφθαλμοί, εἶδον τὸν τρίτον οὐρανόν· ἀλλ' οὐ μακαρίζω αὐτοὺς τῆς θέας ταύτης ἕνεκεν οὕτως, ὡς τῶν δακρύων ἐκείνων, δι' ὧν εἶδον τὸν Χριστόν. Μακάριον μὲν ὄντως τοῦτο· καὶ γὰρ καὶ αὐτὸς ἐπ' αὐτῷ σεμνύνεται λέγων, «Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα;» ἀλλὰ μακαριώτερον τὸ δακρῦσαι οὕτως. Ἐκείνου πολλοὶ κεκοινωνήκασι τοῦ θεάματος, καὶ τοὺς μὴ κοινωνήσαντας μακαρίζει μᾶλλον ὁ Χριστὸς λέγων, «Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες»· τούτου δὲ οὐ πολλοὶ ἐπέτυχον. Εἰ γὰρ τὸ μένειν διὰ Χριστὸν ἐνταῦθα τοῦ ἀναλῦσαι πρὸς αὐτὸν ἀναγκαιότερον διὰ τὴν σωτηρίαν τῶν ἄλλων, ἄρα καὶ τοῦ ἰδεῖν αὐτὸν τὸ δι' αὐτοὺς στενάξαι ἀναγκαιότερον. Εἰ γὰρ τοῦ σὺν αὐτῷ εἶναι τὸ δι' αὐτὸν εἰς γέενναν εἶναι ποθεινότερον, καὶ τοῦ συνεῖναι αὐτῷ τὸ χωρίζεσθαι αὐτοῦ δι' αὐτὸν ποθεινότερον· τοῦτο γάρ ἐστιν ὅπερ ἔλεγεν, «Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ»· πολλῷ μᾶλλον καὶ τὸ δακρύειν δι' αὐτόν. «Οὐκ ἐπαυσάμην», φησί, «μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον». Διὰ τί; Οὐχὶ τοὺς κινδύνους δεδοικώς, ἀλλ' ὥσπερ ἄν τις ἀσθενοῦντι παρακαθήμενος, καὶ μὴ εἰδὼς τὸ τέλος, δακρύοι διὰ πόθον, δεδοικὼς μὴ ἐκπέσῃ τῆς ζωῆς, οὕτω καὶ αὐτός, ὅταν εἶδεν ἀσθενοῦντα, καὶ ἐπιπλῆξαι οὐκ ἴσχυσεν, ἐδάκρυε λοιπόν. Τοῦτο καὶ ὁ Χριστὸς ἐποίησεν, ἵνα κἂν τὰ δάκρυα αἰδεσθῶσιν· οἷον, ἡμάρτανέ τις; ἐπετίμα· κατέπτυεν αὐτοῦ ὁ ἐπιτιμώμενος, καὶ ἀπεπήδα; ἐδάκρυεν, ἵνα κἂν οὕτως ἐπισπάσηται.

18. Λουκᾶ 23,28
19. Α' Κορ. 9,1
20. Ἰω. 20,29
21. Δηλ. νὰ πεθάνῃ. Βλ. Φιλιπ 1,24
22. Ρωμ. 9,3
23. Πράξ. 20,31

ἁμαρτάνουν ἄλλοι, ἀλλὰ γιὰ νὰ στενοχωρηθοῦμε ἐμεῖς, ὅταν αὐτοὶ ἁμαρτάνουν. Ἂς μνημονεύωμε αὐτὰ τὰ δάκρυα, αὐτὰ τὰ δεσμά. Διότι καὶ στὰ δεσμὰ κατέβαιναν τὰ δάκρυα, καὶ δὲν ἄφηνε αὐτὸν νὰ αἰσθάνεται τὴν ἡδονὴ ἀπὸ τὰ δεσμὰ ἡ μεγάλη λύπη γι' αὐτοὺς ποὺ εἶχαν χαθῆ, γι' αὐτοὺς ποὺ τὸν ἐφυλάκιζαν. Γιατὶ πραγματικὰ καὶ γιὰ ἐκείνους ἐστενοχωρεῖτο, ἀφοῦ ἦταν μαθητὴς ἐκείνου ποὺ ἔχυνε δάκρυα γιὰ τοὺς ἱερεῖς τῶν Ἰουδαίων, ὄχι γιατὶ ἐπρόκειτο νὰ σταυρώσουν αὐτόν, ἀλλὰ γιατὶ αὐτοὶ ἐχάνονταν. Καὶ δὲν κάνει τοῦτο μόνο αὐτός, ἀλλὰ καὶ τοὺς ἄλλους ἔτσι παρακαλεῖ, λέγοντας, «Μὴ κλαῖτε γιὰ ἐμένα, γυναῖκες τῆς Ἰερουσαλήμ»[18].

Εἶδαν τὸν παράδεισο τὰ μάτια αὐτά, εἶδαν τὸν τρίτο οὐρανό. Ἀλλὰ δὲν τὰ μακαρίζω γιατὶ εἶδαν αὐτὰ τόσο, ὅσο γιὰ τὰ δάκρυα ἐκεῖνα, μὲ τὰ ὁποῖα εἶδαν τὸν Χριστό. Ἀληθινὰ εἶναι μακάριο αὐτό, γιατὶ καὶ ὁ ἴδιος ὑπερηφανεύεται γι' αὐτὸ λέγοντας, «Δὲν ἔχω ἰδεῖ τὸν Ἰησοῦ Χριστὸ τὸν Κύριό μας;»[19], ἀλλὰ εἶναι περισσότερο μακάριο τὸ νὰ κλάψη κανεὶς ἔτσι. Ἐκείνου τοῦ θεάματος ἔχουν γίνει πολλοὶ μέτοχοι, καὶ ἐκείνους ποὺ δὲν ἔγιναν μακαρίζει περισσότερο ὁ Χριστὸς λέγοντας, «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ δὲν εἶδαν, καὶ ἐπίστευσαν»[20]. Αὐτὸ ὅμως δὲν τὸ ἐπέτυχαν πολλοί. Ἀφοῦ λοιπὸν τὸ νὰ παραμένη στὴν παροῦσα ζωὴ γιὰ τὸν Χριστὸ εἶναι πιὸ ἀναγκαῖο γιὰ τὴ σωτηρία τῶν ἄλλων ἀπὸ τὸ νὰ μεταβῆ πλησίον του[21], ἄρα καὶ τὸ νὰ ὑποφέρη γι' αὐτοὺς εἶναι πιὸ ἀναγκαῖο ἀπὸ τὸ νὰ ἰδῆ τὸν Χριστό. Ἐὰν λοιπὸν τὸ νὰ εὑρίσκεται στὴν κόλασι γιὰ τὸν Χριστὸ εἶναι πιὸ ποθητὸ ἀπὸ τὸ νὰ εὑρίσκεται μαζὶ μὲ αὐτόν, καὶ τὸ νὰ ἀπομακρύνεται ἀπὸ αὐτὸν γιὰ χάρι του εἶναι πιὸ ποθητὸ ἀπὸ τὸ νὰ εἶναι μαζί του, γιατὶ αὐτὸ σημαίνει ἐκεῖνο ποὺ ἔλεγε, «θὰ ηὐχόμουν ἐγὼ νὰ γίνω ὁ ἴδιος ἀνάθεμα ἀπὸ τὸν Χριστό»[22], πολὺ περισσότερο καὶ τὸ νὰ ὑποφέρη γι' αὐτόν. «Δὲν ἐσταμάτησα», λέγει, «νὰ συμβουλεύω μὲ δάκρυα τὸν καθένα χωριστά»[23]. Γιατί; Ὄχι γιατὶ ἐφοβεῖτο τοὺς κινδύνους, ἀλλ' ὅπως ὅταν κανείς, ποὺ συμπαραστέκεται τὸν ἀσθενὴ καὶ δὲν γνωρίζει τὸ τέλος, κλαίη ἐξ αἰτίας τῆς μεγάλης ἀγάπης, ἐπειδὴ φοβεῖται μήπως πεθάνη, ἔτσι καὶ αὐτός, ὅταν ἔβλεπε ἀσθενὴ καὶ δὲν ἠμποροῦσε νὰ τὸν ἐπιπλήξη, στὴ συνέχεια ἔκλαιε. Αὐτὸ καὶ ὁ Χριστὸς ἔκαμε, γιὰ νὰ σεβασθοῦν τουλάχιστο τὰ δάκρυα· ὅπως, ἔκαμνε ἁμαρτίες κάποιος; τὸν ἐπιτιμοῦσε· τὸν ἐπεριφρονοῦσε ὁ ἐπιτιμώμενος καὶ ἀπεμακρύνετο; ἔχυνε δάκρυα, γιὰ νὰ τὸν προσελκύση τουλάχιστο μὲ αὐτὸν τὸν τρόπο.

4. Τούτων μνημονεύωμεν τῶν δακρύων· οὕτω τὰς θυγατέρας ἀνατρέφωμεν τὰς ἑαυτῶν, οὕτω τοὺς παῖδας, δακρύοντες ὅταν ἴδωμεν ἐν κακοῖς ὄντας. Ὅσαι ἐρᾶσθαι βούλονται, μνημονεύετε τῶν δακρύων Παύλου, καὶ στεναζέτωσαν· ὅσαι μακαρίζεσθε, ὅσαι ἐν θαλάμοις ἐστέ, ὅσαι ἐν ἡδονῇ, τούτων μνημονεύετε· ὅσοι ἐν πένθει, ἀλλάττεσθε δάκρυα δακρύων. Οὐ τοὺς τεθνεῶτας ἐκεῖνος ἐπένθει, ἀλλὰ τοὺς ἀπολλυμένους καὶ ζῶντας. Εἴπω καὶ ἕτερα δάκρυα; Καὶ Τιμόθεος ἔκλαιε· μαθητὴς γὰρ ἦν τούτου· διὸ καὶ γράφων αὐτῷ ἔλεγε· «Μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ». Πολλοὶ καὶ ἐξ ἡδονῆς ὀδύρονται. Οὕτω καὶ ἡδονῆς ἐστι τὸ πρᾶγμα, καὶ μάλιστα ἐπιτεταμένης· οὕτως οὐ φορτικὰ τὰ δάκρυα, ἀλλὰ καὶ ἐκείνων πολλῷ βελτίονα τὰ ἐξ ὀδύνης τοιαύτης τῶν δι' ἡδονὴν κοσμικήν. Ἄκουε τοῦ προφήτου λέγοντος· «Ἤκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου, ἤκουσε τῆς φωνῆς τῆς δεήσεώς μου». Ποῦ γὰρ οὐ χρήσιμον τὸ δάκρυον; ἐν εὐχαῖς, ἐν παραινέσεσιν; Ἡμεῖς αὐτὰ διαβάλλομεν, οὐκ εἰς ἃ δέδοται κεχρημένοι. Ὅταν ἀδελφὸν παρακαλῶμεν ἁμαρτάνοντα, κλαίειν δεῖ πενθοῦντα καὶ στενάζοντα· ὅταν παραινῶμέν τινι, ὁ δὲ μὴ προσέχῃ, ἀλλ' ἀπολλύηται, κλαίειν δεῖ.

Ταῦτα φιλοσοφίας τὰ δάκρυα· ὅταν μέντοι πένης τις γένηται, ὅταν ἐν νόσῳ ᾖ σωματικῇ, ὅταν ἀποθάνῃ, οὐκέτι· ταῦτα γὰρ οὐ δακρύων ἄξια. Ὥσπερ οὖν καὶ τὸν γέλωτα διαβάλλομεν, ἀκαίρως αὐτῷ κεχρημένοι, οὕτω καὶ τὰ δάκρυα, ἀκαίρως αὐτὰ μεταχειρίζοντες. Ἡ γὰρ ἑκάστου ἀρετὴ τότε φαίνεται, ὅταν πρὸς τὸ ἐπιτήδειον ἔργον ἄγηται, ὅταν δὲ πρὸς τὸ ἀλλότριον, οὐκέτι. Οἶον, ὁ οἶνος πρὸς εὐφροσύνην δέδοται, ἀλλ' οὐ πρὸς μέθην· ὁ ἄρτος πρὸς τροφήν, ἡ μίξις πρὸς παιδοποιΐαν. Ὥσπερ οὖν ταῦτα διαβέβληται, οὕτω καὶ τὰ δάκρυα. Ἐπεὶ κείσθω νόμος, ἐν αὐχαῖς μόναις καὶ παραινέσεσι κεχρῆσθαι τούτοις· καὶ ὅρα πῶς καὶ ποθεινὸν ἔσται τὸ πρᾶγμα. Οὐδὲν οὕτως ἀποσμήχει τὰ ἁμαρτήματα, ὡς δάκρυα. Καὶ ὄψιν ὡραίαν δείκνυσι καὶ ταύτην τὴν σωμα-

24. Β' Τιμ. 1,4
25. Ψαλμ. 6,8 – 9

4. Ἂς μνημονεύωμε τὰ δάκρυα αὐτά. Ἔτσι ἂς ἀνατρέφωμε τὶς θυγατέρες μας, ἔτσι τοὺς υἱούς μας, χύνοντας δάκρυα ὅταν ἰδοῦμε νὰ εὑρίσκωνται ἀνάμεσα σὲ κακά. Ὅσες ἐπιθυμοῦν νὰ τὶς ἀγαποῦν, ἂς ἐνθυμηθοῦν τὰ δάκρυα τοῦ Παύλου καὶ ἂς ἀναστενάζουν. Ὅσες σᾶς μακαρίζουν, ὅσες εἶσθε μέσα σὲ ὑπνοδωμάτια, ὅσες ἡδονίζεσθε, νὰ ἐνθυμῆσθε αὐτά. Ὅσοι πενθεῖτε, νὰ ἀνταλλάσσετε μεταξύ σας δάκρυα. Δὲν ἐπενθοῦσε ἐκεῖνος αὐτοὺς ποὺ εἶχαν πεθάνει, ἀλλ' αὐτοὺς ποὺ ἐνῶ ἦταν ζωντανοί, ὅμως εἶχαν χαθῆ. Νὰ ἀναφέρω καὶ ἄλλα δάκρυα; Καὶ ὁ Τιμόθεος ἔκλαιε, γιατὶ ἦταν μαθητὴς τοῦ Παύλου. Γι' αὐτὸ καὶ ὅταν ἔγραφε σ' αὐτὸν ἔλεγε· «Ἐνθυμοῦμαι τὰ δάκρυά σου, γιὰ νὰ γεμίσω ἀπὸ χαρά»[24]. Πολλοὶ ὀδύρονται καὶ ἀπὸ εὐχαρίστησι. Ἄρα τὰ δάκρυα περιέχουν καὶ εὐχαρίστησι, καὶ μάλιστα ὑπερβολικὴ εὐχαρίστησι. Συνεπῶς, τὰ δάκρυα δὲν εἶναι ἐνοχλητικά, ἀλλὰ αὐτὰ ποὺ προέρχονται ἀπὸ τέτοια ὀδύνη εἶναι πολὺ καλύτερα ἀπὸ ἐκεῖνα ποὺ χύνονται γιὰ τὴν κοσμικὴ ἡδονή. Ἄκουε τὸν προφήτη ποὺ λέγει· «Ἄκουσε ὁ Κύριος τὴ φωνὴ τοῦ θρήνου μου, ἄκουσε τὴ φωνὴ τῆς δεήσεώς μου»[25]. Ποῦ λοιπὸν δὲν εἶναι χρήσιμο τὸ δάκρυ; στὶς προσευχές, στὶς συμβουλές; Ἐμεῖς αὐτὰ κατηγοροῦμε, ὄχι ἐκεῖνα ποὺ ἐπιτρέπεται νὰ τὰ χρησιμοποιοῦμε. Ὅταν παρηγοροῦμε τὸν ἀδελφὸ ποὺ ἁμαρτάνει, πρέπει νὰ κλαῖμε μὲ θρήνους καὶ στεναγμούς. Ὅταν συμβουλεύωμε κάποιον καὶ αὐτὸς δὲν προσέχη, ἀλλὰ χάνεται, πρέπει νὰ κλαῖμε.

Αὐτὰ τὰ δάκρυα εἶναι δεῖγμα τῆς εὐσεβείας. Ὅταν λοιπὸν γίνη κάποιος πτωχός, ὅταν ἔχη ἀσθένεια σωματική, ὅταν πεθαίνη, δὲν πρέπει νὰ κλαῖμε, γιατὶ αὐτὰ δὲν εἶναι ἄξια γιὰ δάκρυα. Ὅπως ἀκριβῶς λοιπὸν κατηγοροῦμε καὶ τὸ γέλιο, ὅταν τὸ χρησιμοποιοῦμε σὲ ἀκατάλληλο χρόνο, ἔτσι κατηγοροῦμε καὶ τὰ δάκρυα ὅταν τὰ μεταχειριζώμασθε ἄκαιρα. Πράγματι ἡ ἀρετὴ τοῦ καθενὸς τότε φαίνεται, ὅταν φέρεται πρὸς τὸ κατάλληλο ἔργο, ὅταν ὅμως πρὸς τὸ ξένο, δὲν φαίνεται πιά. Ὅπως παραδείγματος χάρι, τὸ κρασὶ ἔχει δοθῆ γιὰ εὐχαρίστησι, ὄχι ὅμως γιὰ μέθη, τὸ ψωμὶ γιὰ τροφή, ἡ συνουσία γιὰ τὴ γέννησι τῶν παιδιῶν. Ὅπως λοιπὸν κατηγοροῦνται αὐτά, ὅταν κάνωμε κακὴ χρῆσι αὐτῶν, ἔτσι καὶ τὰ δάκρυα. Ὕστερα ἀπὸ αὐτὰ ἂς ἰσχύη νόμος, νὰ χρησιμοποιοῦμε αὐτὰ στὶς προσευχὲς μόνο καὶ στὶς συμβουλές. Καὶ πρόσεχε πῶς θὰ εἶναι καὶ ἐπιθυμητὸ τὸ πρᾶγμα. Τίποτε δὲν ἐξαλείφει ἔτσι τὰ ἁμαρτήματα, ὅπως τὰ δάκρυα. Καὶ αὐτὸ τὸ σωματικὸ πρόσωπο τὸ παρουσιάζουν ὡραῖο,

τικήν· πρὸς ἔλεον γὰρ ἐπισπᾶται τὸν ὁρῶντα, σεμνὴν ποιεῖ ἡμῖν αὐτήν. Οὐδὲν ἥδιον ὀφθαλμῶν δεδακρυμένων. Τὸ γὰρ εὐγενέστερον ἐν ἡμῖν μέλος καὶ ὡραιότερον καὶ τῆς ψυχῆς τοῦτό ἐστιν. Ἅτε οὖν ὡς αὐτὴν τὴν ψυχὴν ὁρῶντες ἀποδυρομένην, οὕτω καμπτόμεθα.

Ταῦτα ὑμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε ὑμᾶς μὴ γάμοις, μὴ ὀρχήμασι, μὴ χοροῖς παραγίνεσθαι σατανικοῖς. Ὅρα γὰρ τί εὗρεν ὁ διάβολος. Ἐπειδὴ τῆς σκηνῆς καὶ τῶν ἀσέμνων τῶν ἐκεῖ ἡ φύσις αὐτὴ τὰς γυναῖκας ἀπήγαγεν, εἰς τὴν γυναικωνῖτιν εἰσήγαγε τὰ τοῦ θεάτρου, μαλακοὺς λέγω καὶ πόρνας. Ταύτην τὴν λύμην ὁ τῶν γάμων ἐπεισήγαγε νόμος· μᾶλλον δὲ οὐχ ὁ τοῦ γάμου, μὴ γένοιτο, ἀλλὰ τῆς ἡμετέρας βλακείας. Τί ποιεῖς, ἄνθρωπε; οὐκ οἶδας τί πράττεις; Γυναῖκα ἄγῃ ἐπὶ σωφροσύνῃ καὶ παιδοποιΐᾳ· τί οὖν αἱ πόρναι βούλονται; Ἵνα ἡ εὐφροσύνη, φησί, γένηται μείζων. Καὶ μὴν ταῦτα οὐκ εὐφροσύνης, ἀλλὰ ἀφροσύνης. Ὑβρίζεις τὴν νύμφην, ὑβρίζεις τὰς κεκλημένας. Εἰ γὰρ τοιούτοις τέρπονται, ὕβρις τὸ πρᾶγμα. Εἰ τὸ γυναῖκας πόρνας ὁρᾶν ἀσχημονούσας φέρει τινὰ φιλοτιμίαν, διὰ τί μὴ καὶ τὴν νύμφην ἕλκεις, ἵνα κἀκείνη θεωρῇ; Πάντως ἄσχημον καὶ αἰσχρόν, μαλακοὺς ἄνδρας καὶ ὀρχουμένους, καὶ πᾶσαν τὴν πομπὴν τὴν σατανικὴν ἐπεισάγειν τῇ οἰκίᾳ.

«Μνημονεύετέ μου», φησί, «τῶν δεσμῶν». Δεσμός ἐστιν ὁ γάμος, δεσμὸς ὡρισμένος παρὰ Θεοῦ· λύσις ἡ πόρνη καὶ διάλυσις. Ἔξεστιν ἑτέροις φαιδρύνειν τὸν γάμον, οἷον τραπέζαις πληθούσαις, ἱματίοις· οὐ περικόπτω ταῦτα, ἵνα μὴ δόξω σφόδρα εἶναι ἄγριος· καίτοι ἤρκεσε τῇ Ῥεβέκκᾳ θέριστρον μόνον· ἀλλ' οὐ περικόπτω. Ἔξεστιν ἱματίοις φαιδρύνεσθαι, ἔξεστι παρουσίαις αἰδεσίμων ἀνδρῶν, αἰδεσίμων γυναικῶν. Τί τὰ ἐπιχάρματα ἐκεῖνα, τί τὰ τέρατα ἐπεισάγεις; Εἰπὲ ἃ ἀκούεις παρ' αὐτῶν. Ἀλλ' ἐρυθριᾷς εἰπεῖν; Σὺ ἐρυθριᾷς, κἀκείνους ἀναγκάζεις ποιεῖν; Εἰ καλόν, διὰ τί μὴ καὶ αὐτὸς ποιεῖς; εἰ δὲ αἰσχρόν, διὰ τί ἕτερον ἀναγκάζεις; Πάντα σωφροσύνης ἐμπεπλῆσθαι δεῖ, πάντα σεμνότητος, πάντα κοσμιότητος· τοὐναντίον δὲ ὁρῶ, σκιρτῶντας ὡς

γιατὶ προσελκύουν τὴ συμπάθεια ἐκείνου ποὺ τὸ βλέπει, τὸ κάνουν σεμνὸ σὲ μᾶς. Τίποτε δὲν εἶναι πιὸ εὐχάριστο ἀπὸ τὰ δακρυσμένα μάτια. Γιατὶ τὸ εὐγενέστερο σὲ μᾶς μέλος καὶ ὡραιότερο καὶ ἀπὸ τὴν ψυχὴ εἶναι αὐτό. Εἶναι λοιπὸν σὰν νὰ βλέπωμε νὰ θρηνολογῆ ἡ ἰδία ἡ ψυχή, καὶ γι' αὐτὸ τόσο πολὺ πονοῦμε.

Αὐτὰ δὲν ἔχουν λεχθῆ σὲ σᾶς ἁπλῶς, ἀλλὰ γιὰ νὰ μὴ παρευρίσκεσθε σὲ γάμους, σὲ χορούς, σὲ διασκεδάσεις τοῦ σατανᾶ. Γιατὶ πρόσεχε τί ἐπενόησε ὁ διάβολος. Ἐπειδὴ ἡ ἴδια ἡ φύσις τῆς σκηνῆς καὶ τῶν ἀσέμνων ποὺ λέγονται καὶ γίνονται ἐκεῖ ἀπεμάκρυνε τὶς γυναῖκες, εἰσήγαγε τὰ συμβαίνοντα στὸ θέατρο στὰ δωμάτια τῶν γυναικῶν, ἐννοῶ τοὺς κίναινους καὶ τὶς πόρνες. Αὐτὴν τὴν καταστροφὴ ἔφερε ἡ συνήθεια τῶν γάμων, καλύτερα ὅμως ὄχι τοῦ γάμου, μακριὰ μιὰ τέτοια σκέψις, ἀλλὰ τῆς ἰδικῆς μας βλακείας. Τί κάνεις, ἄνθρωπε; δὲν γνωρίζεις τί πράττεις; Νυμφεύεσαι γιὰ σωφροσύνη καὶ γέννησι παιδιῶν· τί λοιπὸν θέλουν οἱ πόρνες; Γιὰ νὰ γίνη ἡ εὐχαρίστησις πιὸ μεγάλη, λέγει. Καὶ ὅμως αὐτὰ δὲν εἶναι δείγματα εὐχαριστήσεως, ἀλλὰ παραφροσύνης. Προσβάλλεις τὴ νύφη, προσβάλλεις τὶς καλεσμένες. Γιατί, ἐὰν εὐχαριστοῦνται μὲ τέτοια, τὸ πρᾶγμα εἶναι προσβολή. Ἐὰν τὸ νὰ βλέπη κανεὶς πόρνες γυναῖκες νὰ ἀσχημονοῦν φέρη κάποια φιλοτιμία, γιατί δὲν ὁδηγεῖς καὶ τὴ νύφη, γιὰ νὰ βλέπη καὶ ἐκείνη; Ὁπωσδήποτε εἶναι ἄσχημο καὶ αἰσχρό, θηλυπρεπεῖς ἄνδρες καὶ χορευτές, καὶ ὅλη τὴν ἀκολουθία τοῦ σατανᾶ νὰ εἰσάγης στὸ σπίτι.

«Νὰ ἐνθυμῆσθε», λέγει, «τὰ δεσμά». Δεσμὸς εἶναι ὁ γάμος, δεσμὸς ποὺ ἔχει ὁρισθῆ ἀπὸ τὸν Θεό· ἡ πόρνη εἶναι διάλυσις καὶ κατάργησις τοῦ γάμου. Εἶναι δυνατὸ νὰ κάνωμε εὔθυμο τὸ γάμο μὲ ἄλλα, ὅπως μὲ πλούσια τραπέζια, ἐνδύματα· δὲν τὰ περιορίζω αὐτά, γιὰ νὰ μὴ φανῶ ὅτι εἶμαι πολὺ ἄγριος, ἂν καὶ στὴν Ρεβέκκα ἦταν ἀρκετὸ μόνο τὸ κάλυμμα τῆς κεφαλῆς της, ὅμως δὲν τὰ περιορίζω. Ἐπιτρέπεται νὰ εὐφραινώμασθε μὲ ροῦχα, ἐπιτρέπεται μὲ τὶς παρουσίες σεβαστῶν ἀνδρῶν, σεβαστῶν γυναικῶν. Γιατί δέχεσαι ἐκεῖνα ποὺ σιχαίνεται κανεὶς νὰ τὰ βλέπη, γιατί τὰ τερατουργήματα; Εἰπὲ ἐκεῖνα ποὺ ἀκούεις ἀπὸ αὐτούς. Ἀλλὰ κοκκινίζεις ἀπὸ ἐντροπὴ γιὰ νὰ τὰ εἰπῆς; Ἐσὺ κοκκινίζεις, καὶ ἀναγκάζεις ἐκείνους νὰ κάνουν αὐτά; Ἐὰν εἶναι καλό, γιατί καὶ ὁ ἴδιος δὲν τὰ κάνεις; ἐὰν ὅμως εἶναι αἰσχρό, γιατί ἀναγκάζεις ἄλλον; Τὰ πάντα πρέπει νὰ γεμίσουν ἀπὸ σωφροσύνη, τὰ πάντα ἀπὸ σεμνότητα, τὰ πάντα ἀπὸ κοσμιότητα. Ἀντίθετα ὅμως βλέπω νὰ σκιρτοῦν ὅπως οἱ καμῆλες,

αἱ κάμηλοι, ὡς αἱ ἡμίονοι. Τῇ παρθένῳ θάλαμος ἐπιτήδειον μόνον. Ἀλλὰ πενιχρά ἐστι, φησίν. Ἐπειδὴ πενιχρά ἐστι, καὶ κόσμιος ὀφείλει εἶναι· ἐχέτω τὸν τρόπον ἀντὶ πλούτου. Οὐκ ἔχει προῖκα ἐπιδοῦναι; τί αὐτὴν καὶ ἑτέρως εὐκαταφρόνητον ποιεῖς ἀπὸ τῆς ἀναστροφῆς;

Ἐπαινῶ ὅτι παρθένοι παραγίνονται τὴν ὁμήλικα τιμῶσαι, παραγίνονται γυναῖκες τὴν εἰς αὐτὰς καταταχθεῖσαν τιμῶσαι· καλῶς τοῦτο ὥρισται. Δύο γάρ εἰσιν οὗτοι χοροί, ὁ τῶν παρθένων, καὶ ὁ τῶν γεγαμημένων· αὗται παραδιδόασιν, ἐκεῖναι δέχονται· ἡ νύμφη μεταξὺ τούτων ἐστίν, οὔτε παρθένος, οὔτε γυνή· ἐκεῖθεν μὲν γὰρ ἐξέρχεται, ταύτης δὲ ἐπιβαίνει τῆς συμμορίας. Αἱ δὲ πόρναι διὰ τί; Δέον αὐτὰς ἐγκαλύπτεσθαι ὅταν γάμος ᾖ, δέον αὐτὰς κατορύττεσθαι· φθορὰ γὰρ γάμου πορνεία· ἡμεῖς δὲ ἄγομεν αὐτὰς εἰς γάμους. Καὶ ὅταν μέν τι ποιῆτε, καὶ μέχρι ῥήματος οἰωνίζεσθε τὰ ἐναντία· οἷον, ὅταν σπείρῃς, ὅταν ἀπαντλῇς τῶν ὑποληνίων τὸν οἶνον, τὰ ὀξίνην σημαίνοντα οὐδ' ἂν ἀποκρίνοιο, ἐνταῦθα δὲ σωφροσύνης γινομένης, ἐπεισάγετε τὴν ὀξίνην; τοῦτο γὰρ ἡ πόρνη. Ὅταν μύρον κατασκευάζητε, οὐδὲν δυσῶδες ἀφίετε πλησιάζειν. Μύρον ἐστὶν ὁ γάμος· τί τοίνυν τὴν τοῦ βορβόρου δυσωδίαν ἐπεισάγεις τῇ τοῦ μύρου κατασκευῇ; Τί λέγεις; ὀρχεῖται ἡ παρθένος, καὶ οὐκ αἰσχύνεται τὴν ὁμήλικα; Ταύτης γὰρ σεμνοτέραν αὐτὴν εἶναι δεῖ· ἐξ ἀγκάλης γε, οὐκ ἐκ παλαίστρας ἐξῆλθε. Φαίνεσθαι γὰρ ὅλως ἐν γάμοις τὴν παρθένον οὐ δεῖ. Οὐχ ὁρᾷς ἐν τοῖς βασιλείοις, ὅτι οἱ μὲν τετιμημένοι ἔνδον περὶ τὸν βασιλέα εἰσίν, οἱ δὲ ἄτιμοι ἔξω; Καὶ σὺ ἔνδον ἔσο περὶ τὴν νύμφην. Ἀλλὰ ἁγνὸς μένε ἐπὶ τῆς οἰκίας· μὴ ἐκπόμπευε τὴν παρθενίαν.

Παρέστηκεν ἑκάτερος ὁ χορός, ὁ μὲν οἵαν διδόασι δεικνύς, ὁ δὲ ἵνα ταύτην φυλάττωσι· τί καταισχύνεις τὴν παρθενίαν; Εἰ γὰρ σὺ τοιαύτη, τοιαῦτα καὶ περὶ ἐκείνης ὁ νυμφίος ὑποπτεύσει· εἰ σὺ ἐρᾶσθαι θέλεις, παντοπώλιδος καὶ λαχανοπώλιδος καὶ δημιουργοῦ ταῦτα. Οὐκ ἔστι ταῦτα αἰσχύνη; Αἰσχύνη ἐστὶ τὸ ἀσχημονεῖν, κἂν βασιλέως θυγάτηρ ᾖ. Μὴ γὰρ ἡ πενία κωλύει; μὴ γὰρ τὸ ἐπιτήδευμα; Κἂν δούλη τις ᾖ παρθένος, ἐν σωφροσύνῃ μενέ-

ὅπως τὰ θηλυκὰ μουλάρια. Στὴν παρθένο ταιριάζει μόνο τὸ σπίτι. Ὅμως εἶναι πτωχή, λέγει. Ἐπειδὴ εἶναι πτωχή, πρέπει νὰ εἶναι καὶ σεμνή· ἂς ἔχη τὸν τρόπο ζωῆς της ἀντὶ γιὰ πλοῦτο. Δὲν ἔχει προῖκα νὰ δώση; γιατί καὶ μὲ ἄλλο τρόπο περιφρονεῖς αὐτὴν μὲ τὸ νὰ τὴν ἀποκλείῃς ἀπὸ τὴ συναναστροφὴ μαζί σου;

Ἐπαινῶ τὸ ὅτι νεαρὰ κορίτσια προσέρχονται νὰ τιμήσουν τὴ φίλη τους, τὸ ὅτι προσέρχονται γυναῖκες νὰ τιμήσουν ἐκείνη ποὺ κατετάχθηκε σὲ αὐτές· καλῶς ἔχει ὁρισθῆ αὐτό. Γιατὶ δύο εἶναι αὐτὲς οἱ ὁμάδες, ἡ μία τῶν παρθένων καὶ ἡ ἄλλη τῶν ἐγγάμων γυναικῶν· αὐτὲς παραδίδουν, ἐκεῖνες ὑποδέχονται. Ἡ νύφη εἶναι ἀνάμεσα σὲ αὐτές, οὔτε παρθένος, οὔτε γυναῖκα, γιατὶ ἀπὸ ἐκεῖ ἐξέρχεται καὶ προχωρεῖ σ' αὐτὴν τὴν ὁμάδα. Οἱ πόρνες ὅμως γιατί προσέρχονται; Θὰ πρέπει νὰ σκεπάζουν τὸ πρόσωπό τους ὅταν γίνεται γάμος, θὰ πρέπει νὰ κρύβωνται αὐτές, γιατὶ ἡ πορνεία εἶναι φθορὰ τοῦ γάμου, ἀλλ' ἐμεῖς ὁδηγοῦμε αὐτὲς σὲ γάμους. Καὶ ὅταν μὲν κάμνετε κάτι, ὑπολογίζετε τὰ ἀντίθετα μὲ κάθε λεπτομέρεια· γιὰ παράδειγμα, ὅταν σπείρῃς, ὅταν βγάζῃς τὸ κρασὶ ἀπὸ τὰ δοχεῖα, δὲν θὰ ἦταν δυνατὸ μὲ κανένα τρόπο νὰ διαλέξεις αὐτὰ ποὺ ἔχουν ξυνὴ γεῦσι, ἐδῶ δέ, ποὺ πρόκειται γιὰ τὴ σωφροσύνη, εἰσάγετε τὴν ξινάδα; γιατὶ αὐτὸ εἶναι ἡ πόρνη. Ὅταν παρασκευάζετε τὸ μύρο, δὲν ἀφήνετε νὰ πλησιάζῃ τίποτε μὲ κακὴ ὀσμή. Ὁ γάμος εἶναι μύρο. Γιατὶ λοιπὸν εἰσάγεις τὴν κακὴ ὀσμὴ τοῦ βούρκου στὴν παρασκευὴ τοῦ μύρου; Τί λέγεις; χορεύει ἡ παρθένος καὶ δὲν ἐντρέπεται τὴ συνομήλικό της; Γιατὶ πρέπει νὰ εἶναι αὐτὴ πιὸ σεμνή· καθόσον βέβαια ἀπὸ ἀγκαλιὰ ἐξῆλθε, ὄχι ἀπὸ παλαίστρα. Δὲν πρέπει λοιπὸν καθόλου ἡ παρθένος νὰ παρουσιάζεται σὲ γάμους. Δὲν βλέπεις στὰ ἀνάκτορα, ὅτι ὅσοι ἔχουν ἀξίωμα εἶναι μέσα γύρω ἀπὸ τὸ βασιλέα, καὶ ὅσοι δὲν ἔχουν ἔξω; Καὶ σὺ νὰ εἶσαι μέσα γύρω ἀπὸ τὴ νύφη. Ἀλλὰ νὰ μένῃς ἁγνὸς στὸ σπίτι, νὰ μὴ διαπομπεύῃς τὴν παρθενία.

Παρευρίσκονται καὶ οἱ δύο χοροί, ὁ μὲν ἕνας γιὰ νὰ δείξη ποιὰ δίνει, ὁ ἄλλος δὲ γιὰ νὰ φυλάσσουν αὐτήν. Γιατί ἀτιμάζεις τὴν παρεθενία; Ἐὰν λοιπὸν εἶσαι τέτοια, παρόμοια θὰ ὑποθέση καὶ γιὰ ἐκείνη ὁ γαμβρός· ἐὰν θέλῃς νὰ ἀγαπᾶσαι, αὐτὰ ἁρμόζουν στὴν παντοπώλιδα καὶ λαχανοπώλιδα καὶ στὶς ἐργαζόμενες γυναῖκες. Δὲν εἶναι αὐτὰ ἐντροπή; Ἐντροπὴ εἶναι τὸ νὰ ἀσχημονῆ κάποια, ἔστω ἂν εἶναι θυγατέρα τοῦ βασλέως. Μήπως λοιπὸν ἐμποδίζει ἡ φτώχεια; μήπως λοιπὸν τὸ ἐπάγγελμα; Καὶ ἂν ἀκόμη κάποια δούλη

τω· «Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε δοῦλος, οὔτε ἐλεύθερος». Μὴ γὰρ θέατρόν ἐστιν ὁ γάμος; Μυστήριόν ἐστι, καὶ τύπος μεγάλου πράγματος· κἂν αὐτὸ μὴ αἰδῇ, αἰδέσθητι οὗ τύπος ἐστί. «Τὸ μυστήριον τοῦτο», φησί, «μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστόν, καὶ εἰς τὴν ἐκκλησίαν». Τῆς ἐκκλησίας τύπος ἐστὶ καὶ τοῦ Χριστοῦ, καὶ πόρνας εἰσάγεις; Ἂν τοίνυν, φησί, μήτε παρθένοι ὀρχῶνται, μήτε γεγαμημέναι, τίς ὀρχήσεται; Μηδείς· ποία γὰρ ὀρχήσεως ἀνάγκη; Ἐν τοῖς τῶν Ἑλλήνων μυστηρίοις αἱ ὀρχήσεις, ἐν δὲ τοῖς ἡμετέροις σιγὴ καὶ εὐκοσμία, αἰδὼς καὶ καταστολή. Μυστήριον τελεῖται μέγα· ἔξω αἱ πόρναι, ἔξω οἱ βέβηλοι. Πῶς μυστήριόν ἐστι; Συνέρχονται, καὶ ποιοῦσιν οἱ δύο ἕνα. Διὰ τί, ὅτε μὲν εἰσῄει, οὐκ ὄρχησις, οὐ κύμβαλα, ἀλλὰ πολλὴ σιγή, πολλὴ ἡσυχία, ὅταν δὲ συνίωσιν, οὐκ εἰκόνα ἄψυχον, οὐδὲ εἰκόνα τινὸς τῶν ἐπὶ γῆς, ἀλλ' αὐτοῦ ποιοῦντες τοῦ Θεοῦ, καὶ καθ ὁμοίωσιν, τοσοῦτον ἐπεισάγεις θόρυβον, καὶ ταράττεις τοὺς ὄντας καὶ αἰσχύνεις τὴν ψυχήν, καὶ θορυβεῖς;

Ἔρχονται ἓν σῶμα γενησόμενοι. Ἰδοὺ πάλιν ἀγάπης μυστήριον. Ἂν οἱ δύο μὴ γένωνται ἕν, οὐκ ἐργάζονται πολλούς, ἕως ἂν δύο μένωσιν· ὅταν δὲ εἰς ἑνότητα ἔλθωσι, τότε ἐργάζονται. Τί μανθάνομεν ἀπὸ τούτου; Ὅτι πολλὴ τῆς ἑνώσεως ἡ ἰσχύς. Τὸ εὐμήχανον τοῦ Θεοῦ τὸν ἕνα εἰς δύο διεῖλε παρὰ τὴν ἀρχήν, καὶ θέλων δεῖξαι ὅτι μετὰ τὸ διαιρεθῆναι καὶ εἷς μένει, οὐκ ἀφῆκεν ἕνα ἀρκεῖν πρὸς τὴν γέννησιν. Οὐ γάρ ἐστιν εἷς ὁ οὐδέπω, ἀλλ' ἥμισυ τοῦ ἑνός· καὶ δῆλον, ὅτι οὐ παιδοποιεῖ, καθάπερ καὶ πρότερον. Εἶδες τοῦ γάμου τὸ μυστήριον; Ἐποίησεν ἐξ ἑνὸς ἕνα, καὶ πάλιν τοὺς δύο τούτους ἕνα ποιήσας οὕτω ποιεῖ ἕνα· ὥστε καὶ νῦν ἐξ ἑνὸς τίκτεται ἄνθρωπος. Γυνὴ γὰρ καὶ ἀνὴρ οὐκ εἰσὶν ἄνθρωποι δύο, ἀλλ' ἄνθρωπος εἷς· καὶ παρὸν καὶ πολλαχόθεν αὐτὸ πιστώσασθαι, οἷον ἀπὸ τοῦ Ἰακώβου, ἀπὸ τῆς Μαρίας τῆς μητρὸς τοῦ Χριστοῦ, ἀπὸ τοῦ λέγειν, «Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς». Εἰ ὁ μὲν κεφαλή, ἡ δὲ σῶμα, πῶς δύο; Διὰ τοῦτο ἡ μὲν μαθητοῦ, ὁ δὲ διδασκάλου τάξιν ἀπέχει· ὁ μὲν ἄρχοντος, ἡ δὲ ἀρχομένης. Καὶ ἀπ' αὐτῆς δὲ τῆς τοῦ σώματος διαπλάσεως ἴδοι τις ἄν, ὅτι ἕν εἰσιν· ἀπὸ γὰρ τῆς πλευρᾶς γέγονε, καὶ ὥσπερ

26. Γαλ. 3,28
27. Ἐφ. 5,32
28. Γεν. 1,27

εἶναι παρθένος, ἂς παραμένη μὲ σωφροσύνη· «γιατὶ «Γιὰ τὸν Ἰησοῦ Χριστὸ δὲν ὑπάρχει οὔτε δοῦλος, οὔτε ἐλεύθερος»[26]. Μήπως δηλαδὴ εἶναι θέατρο ὁ γάμος; Μυστήριο εἶναι, καὶ τύπος μεγάλου πράγματος· καὶ ἂν αὐτὸ τὸ ἴδιο δὲν σέβεσαι, νὰ σεβασθῇς ἐκεῖνο τοῦ ὁποίου εἶναι τύπος. «Τὸ μυστήριο αὐτό», λέγει, «εἶναι μεγάλο· ἐγὼ δὲ λέγω ὅτι αὐτὸ ἀναφέρεται στὴν ἕνωσι τοῦ Χριστοῦ καὶ τῆς ἐκκλησίας»[27]. Εἶναι τύπος τῆς Ἐκκλησίας καὶ τοῦ Χριστοῦ, καὶ εἰσάγεις πόρνες; Ἂν λοιπόν, λέγει, δὲν πρέπει οὔτε παρθένοι νὰ χορεύουν, οὔτε ἔγγαμες γυναῖκες, ποιὸς θὰ χορέψη; Κανείς· γιατὶ ποιὰ ἀνάγκη ὑπάρχει γιὰ χορό; Στὰ μυστήρια τῶν Ἑλλήνων ἔχουν θέσι οἱ χοροί, ἐνῶ στὰ ἰδικά μας ἡ ἡσυχία καὶ ἡ εὐκοσμία, ἡ ἐντροπὴ καὶ ἡ συστολή. Μυστήριο τελεῖται μεγάλο· ἔξω οἱ πόρνες, ἔξω οἱ βέβηλοι. Πῶς εἶναι μυστήριο; Συνενώνονται καὶ κάνουν οἱ δύο ἕνα. Γιατί, ὅταν μὲν εἰσέρχεσαι, δὲν ὑπάρχει χορός, οὔτε κύμβαλα, ἀλλὰ μεγάλη σιγή, μεγάλη ἡσυχία, ὅταν ὅμως συνέρχωνται, χωρὶς νὰ κάνουν εἰκόνα ἄψυχο, οὔτε εἰκόνα κάποιου ἀπὸ τοὺς εὑρισκομένους ἐπάνω στὴ γῆ, ἀλλὰ αὐτοῦ τοῦ Θεοῦ καὶ σύμφωνα μὲ τὴν ὁμοίωσί του, δημιουργεῖς τόσο θόρυβο, καὶ διαταράσσεις τοὺς παρόντας, καὶ περιφρονεῖς τὴν ψυχὴ καὶ θορυβεῖς;

Ἔρχονται γιὰ νὰ γίνουν ἕνα σῶμα. Νὰ πάλι μυστήριο ἀγάπης. Ἐὰν οἱ δύο δὲν γίνουν ἕνα, δὲν κάνουν πολλούς, ἐν ὅσῳ θὰ μένουν δύο, ὅταν ὅμως ἑνωθοῦν, τότε κάνουν. Τί διδασκόμασθε ἀπὸ αὐτό; Ὅτι εἶναι μεγάλη ἡ δύναμις τῆς ἑνώσεως. Ἡ ἐφευρετικὴ σοφία τοῦ Θεοῦ διήρεσε τὸν ἕνα σὲ δύο ἀντίθετα ἀπὸ τὴν ἀρχή, καὶ θέλοντας νὰ δείξη ὅτι μετὰ τὴ διαίρεσι καὶ πάλι ἕνας μένει, δὲν ἐπέτρεψε νὰ εἶναι ἐπαρκὴς ὁ ἕνας γιὰ τὴ γέννησι παιδιῶν. Γιατὶ δὲν εἶναι ἕνας ποτέ, ἀλλὰ τὸ ἥμισυ τοῦ ἑνός· καὶ εἶναι φανερό, γιατὶ δὲν τεκνοποιεῖ, ὅπως ἀκριβῶς καὶ προηγουμένως. Εἶδες τὸ μυστήριο τοῦ γάμου; Ἀπὸ τὸν ἕνα ἔκαμε ἕνα, καὶ πάλι ἀφοῦ ἔκαμε ἕνα αὐτοὺς τοὺς δύο, ἔτσι κάνει ἕνα· ὥστε καὶ τώρα ἀπὸ τὸν ἕνα γεννᾶται ὁ ἄνθρωπος. Γιατὶ ἡ γυναῖκα καὶ ὁ ἄνδρας δὲν εἶναι δύο ἄνθρωποι, ἀλλὰ ἕνας ἄνθρωπος. Καὶ τώρα ἀκριβῶς καὶ ἀπὸ πολλὲς περιπτώσεις θὰ διαπιστώσετε αὐτό, ὅπως ἀπὸ τὸν Ἰάκωβο, ἀπὸ τὴν Μαρία τὴ μητέρα τοῦ Χριστοῦ, ἀπὸ τὰ λόγια, «Ἄνδρα καὶ γυναῖκα ἔκαμε αὐτούς»[28]. Ἐὰν ὅμως ὁ μὲν ἄνδρας εἶναι ἡ κεφαλή, ἡ δὲ γυναῖκα τὸ σῶμα, πῶς εἶναι δύο; Γι᾿ αὐτὸ ἡ γυναῖκα ἔχει τὴ θέσι τοῦ μαθητῆ καὶ ὁ ἄνδρας τοῦ διδασκάλου, αὐτὸς τοῦ ἄρχοντα καὶ ἐκείνη τῆς ὑπηκόου. Καὶ ἀπὸ αὐτὴ τὴ διάπλασι τοῦ σώματος θὰ μπορέση νὰ ἰδῇ κανείς, ὅτι

ἡμίτομα δύο.

Διὰ τοῦτο καὶ βοηθὸν καλεῖ, ἵνα δείξῃ ὅτι ἕν εἰσι· διὰ τοῦτο καὶ πατρὸς καὶ μητρὸς προτιμᾷ συνοίκησιν, ἵνα δείξῃ ὅτι ἕν εἰσι. Καὶ ὁ πατὴρ ὁμοίως χαίρει καὶ θυγατρὸς καὶ υἱοῦ γαμούντων, ὡς πρὸς οἰκεῖον μέλος ἐπειγομένου τοῦ σώματος· καὶ τοσαύτη δαπάνη γίνεται καὶ χρημάτων ἐλάττωσις, καὶ ὅμως οὐκ ἀνέχεται ἄγαμον περιορᾶν. Ὥσπερ γὰρ ἀπεσχισμένης αὐτῇ τῆς σαρκός, ἀτελὴς πρὸς παιδοποιΐαν ἑκάτερος, ἀτελής ἐστι πρὸς βίου σύστασιν τοῦ παρόντος ἑκάτερος. Διὰ τοῦτο καὶ ὁ προφήτης φησίν, «Ὑπόλειμμα πνεύματός σου». Πῶς δὲ καὶ γίνονται εἰς σάρκα μίαν; Καθάπερ χρυσοῦ τὸ καθαρώτατον ἂν ἀφέλῃς καὶ ἑτέρῳ ἀναμίξῃς χρυσῷ, οὕτω δὴ καὶ ἐνταῦθα, τὸ πιότατον καθάπερ τῆς ἡδονῆς χωνευούσης ἡ γυνὴ δεχομένη τρέφει καὶ θάλπει, καὶ τὰ παρ' ἑαυτῆς συνεισενεγκαμένη ἄνδρα ἀποδίδωσι. Καὶ γέφυρά τις ἐστὶ τὸ παιδίον. Ὥστε οἱ τρεῖς σάρξ γίνονται μία, τοῦ παιδὸς ἑκατέρωθεν ἑκατέρους συνάπτοντος. Ὥσπερ γὰρ εἰ δύο πόλεων οὐσῶν, καὶ ποταμοῦ διόλου διαιροῦντος, μία γίνεται πόλις, γεφύρας ἑκατέρωθεν ἁπτομένης, οὕτως ἐστὶν ἐνταῦθα, καὶ πλέον, ὅταν αὐτὴ ἡ γέφυρα ἐκ τῆς ἑκατέρων οὐσίας ᾖ ἐπὶ τῷ λόγῳ τούτῳ· ὡς τὸ σῶμα καὶ κεφαλὴ ἓν σῶμα· τῷ γὰρ τραχήλῳ διαιρεῖται· ἀλλ' οὐ διαιροῦνται μᾶλλον, ἢ συνάπτονται· μέσος γὰρ ὢν ἑκατέρους συνάγει. Καὶ ταὐτὸν γίνεται, ὥσπερ ἂν εἰ χορὸς διεσπασμένος τὸ μὲν ἓν αὐτοῦ μέρος ἐντεῦθεν λαβών, τὸ δὲ ἕτερον ἐκ τῆς δεξιᾶς, ἕνα ποιήσειεν· ἢ ὥσπερ ἂν συνεσταλμένοι ὦσιν οὗτοι, καὶ τὰς χεῖρας ἐκτείνοντες ἓν γίνονται· αἱ γὰρ χεῖρες ἐκταθεῖσαι, οὐκ ἀφιᾶσιν εἶναι δύο. Διὰ τοῦτο γοῦν καὶ ἀκριβῶς εἶπεν, οὐκ, ἔσονται μία σάρξ, ἀλλ', «εἰς σάρκα μίαν», τὴν τοῦ παιδὸς συναπτόμενοι. Τί οὖν, ὅταν παιδίον μὴ ᾖ, οὐκ ἔσονται δύο; Ἡ μίξις γὰρ τοῦτο ἐργάζεται, ἀνέχεε καὶ ἀνέμιξεν ἀμφοτέρων τὰ σώματα. Καὶ ὥσπερ εἰ εἰς ἔλαιον μύρον ἐμβαλών, τὸ πᾶν ἐποίησεν ἕν, οὕτω δὴ καὶ ἐνταῦθα.

5. Οἶδα ὅτι πολλοὶ αἰσχύνονται τοῖς λεγομένοις· καὶ τούτου αἴτιον, ὧν εἶπον ἡ ἀσέλγεια καὶ ἡ ἀκολασία. Τὸ οὕτω τοὺς γάμους γίνεσθαι, τὸ παραφθείρεσθαι, τὸ πρᾶγμα διέβαλεν· ἐπεὶ «Τίμιος

29. Ἐφ. 5,31

30. Μαλ. 2,15. Μὲ τὸ ὑπόλοιπο τοῦ ἐμφυσήματός του ὁ Θεὸς ἐδημιούργησε τὴ γυναῖκα.

εἶναι ἕνα, γιατὶ ἔχει γίνει ἀπὸ τὴν πλευρά, καὶ εἶναι σὰν δύο μισά.

Γι' αὐτὸ καὶ τὴν ὀνομάζει βοηθό, γιὰ νὰ δείξῃ ὅτι εἶναι ἕνα· γι' αὐτὸ καὶ ἀπὸ τὸν πατέρα καὶ ἀπὸ τὴ μητέρα προτιμᾶ τὴ συμβίωσι, γιὰ νὰ ἀποδείξῃ ὅτι εἶναι ἕνα[29]. Καὶ ὁ πατέρας ὅμοια χαίρει, ὅταν παντρεύωνται καὶ ἡ θυγατέρα καὶ ὁ υἱός του, ἐπειδὴ τὸ σῶμα ἔρχεται σὲ δικό του μέλος. Καὶ τόσα ἔξοδα γίνονται καὶ μείωσις τῶν χρημάτων, καὶ ὅμως δὲν ἀνέχεται νὰ τὸν βλέπῃ ἄγαμο. Γιατί, ὅπως μὲ τὸν τρόπο αὐτὸ ἔχει διαιρεθῆ ἡ σάρκα, εἶναι ἀτελὴς ὁ καθένας γιὰ τεκνοποιΐα, ὁ καθένας εἶναι ἀτελὴς γιὰ τὴ σύστασι τοῦ παρόντος βίου. Γι' αὐτὸ καὶ ὁ προφήτης λέγει, «Τὸ ὑπόλοιπο τοῦ ἐμφυσήματός σου»[30]. Πῶς ὅμως συνενώνονται σὲ ἕνα σῶμα; Ὅπως ἀκριβῶς ἂν ἀφαιρέσῃς τὸ καθαρώτατο μέρος τοῦ χρυσοῦ καὶ τὸ ἀνακατώσῃς μὲ ἄλλο χρυσό, ἔτσι λοιπὸν καὶ ἐδῶ, δεχόμενη ἡ γυναῖκα τὸ πιὸ ἐκλεκτό, σὰν ἡ ἡδονὴ νὰ τὸ χωνεύῃ, τρέφει καὶ θάλπει αὐτὸ καί, ἀφοῦ συνεισφέρῃ τὰ ἰδικά της, τὸ ἀποδίδει στὸν ἄνδρα. Καὶ τὸ παιδὶ εἶναι κάποια γέφυρα μεταξύ τους. Ὥστε οἱ τρεῖς γίνονται ἕνα σῶμα, καθὼς τὸ παιδὶ συνδέει καὶ ἀπὸ τὶς δύο μεριὲς τὸν καθένα. Γιατὶ ὅπως ἐὰν ὑπάρχουν δύο πόλεις καὶ τὶς διαιρεῖ ἐντελῶς κάποιος ποταμός, γίνεται μία πόλις, ἐὰν γέφυρα συνδέῃ τὸ ἕνα μέρος τῆς μιᾶς μὲ τὸ ἕνα μέρος τῆς ἄλλης, ἔτσι συμβαίνει καὶ ἐδῶ, καὶ πιὸ πολύ, ὅταν ἡ γέφυρα αὐτὴ εἶναι ἀπὸ τὴν ἴδια οὐσία τοῦ καθενὸς γιὰ τὸ σκοπὸ αὐτό· ὅπως τὸ σῶμα καὶ ἡ κεφαλὴ εἶναι ἕνα σῶμα, τὸ ὁποῖο βέβαια διαιρεῖται μὲ τὸν τράχηλο. Ἀλλὰ συνδέονται μᾶλλον, παρὰ διαιροῦνται· γιατὶ βρισκόμενος στὴ μέση ἑνώνει καὶ τὰ δύο. Καὶ τὸ ἴδιο συμβαίνει, ὅπως ἐὰν κάποιος χορός, ἐνῶ εἶναι χωρισμένος στὰ δύο, θελήσῃ νὰ λάβῃ τὸ ἕνα μέρος του ἀπὸ ἐδῶ καὶ τὸ ἄλλο ἀπὸ τὰ δεξιά, καὶ κάνῃ ἔτσι ἕνα· ἢ ὅπως ἐὰν εἶναι συγκεντρωμένοι αὐτοὶ καὶ ἁπλώνοντας τὰ χέρια γίνονται ἕνα, γιατὶ τὰ χέρια ποὺ ἔχουν ἁπλωθῆ, δὲν ἐπιτρέπουν νὰ εἶναι δύο. Γι' αὐτὸ λοιπὸν καὶ μὲ ἀκρίβεια εἶπε, δὲν θὰ εἶναι ἕνα σῶμα, ἀλλά, «σὲ σῶμα ἕνα», συνδεόμενοι δηλαδὴ μὲ τὸ σῶμα τοῦ παιδιοῦ. Τί λοιπόν, ὅταν δὲν ὑπάρχῃ παιδί, δὲν θὰ εἶναι δύο; Γιατὶ ἡ συνένωσις αὐτὸ κάνει, ἐπεκτείνει καὶ ἀναμιγνύει τὰ σώματα καὶ τῶν δύο. Καὶ ὅπως ὅταν βάλῃ κανεὶς μέσα στὸ λάδι μύρο, τὸ ἔκανε ὅλο ἕνα, ἔτσι λοιπὸν συμβαίνει καὶ ἐδῶ.

5. Γνωρίζω ὅτι πολλοὶ ἐντρέπονται μὲ τὰ λεγόμενα· καὶ ἡ αἰτία αὐτοῦ εἶναι ἡ ἀσέλγεια καὶ ἡ ἀκολασία ἐκείνων ποὺ ἀνέφερα. Τὸ νὰ γίνωνται ἔτσι οἱ γάμοι, τὸ νὰ ἀλλοιώνωνται δηλαδή, κατέστρεψε τὸ

ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος». Τί αἰσχύνῃ τῷ τιμίῳ; τί ἐρυθριᾷς ἐπὶ τῷ ἀμιάντῳ; Ταῦτα αἱρετικῶν ἐστι, ταῦτα τῶν τὰς πόρνας ἐπεισαγόντων. Διὰ τοῦτο αὐτὸν ἐκκαθαίρεσθαι βούλομαι, ὥστε ἐπὶ τὴν οἰκείαν εὐγένειαν ἀναγαγεῖν, ὥστε τῶν αἱρετικῶν ἐμφράξαι τὰ στόματα. Ὕβρισται τὸ τοῦ Θεοῦ δῶρον, ἡ ῥίζα τῆς ἡμετέρας γενέσεως· πολλὴ γὰρ περὶ τὴν ῥίζαν ἡ κόπρος καὶ ὁ βόρβορος. Τοῦτον οὖν ἐκκαθάρωμεν τῷ λόγῳ. Ἀνέχεσθε τοίνυν μικρόν, ἐπεὶ καὶ ὁ βόρβορον κατέχων δυσωδίας ἀνέχεται. Βούλομαι δεῖξαι ὅτι οὐ χρὴ ἐπὶ τούτοις αἰσχύνεσθαι, ἀλλὰ τούτοις οἷς ποιεῖτε· σὺ δὲ ἐπ' ἐκείνοις αἰσχύνεσθαι ἀφείς, τούτοις αἰσχύνῃ· οὐκοῦν τοῦ Θεοῦ καταγινώσκεις τοῦ οὕτω θεσπίσαντος. Εἴπω πῶς καὶ μυστήριον τῆς ἐκκλησίας ἐστίν; Ὥσπερ ὁ Χριστὸς ἦλθε πρὸς τὴν ἐκκλησίαν, ὥσπερ ἐξ αὐτοῦ γέγονε, καὶ αὐτῇ», φησίν, «ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν». Ὅτι δὲ ἐξ αὐτοῦ ἐσμεν, «Ἐκ τῶν μελῶν αὐτοῦ, καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ», φησί.

Ταῦτα δὴ πάντα ἐννοοῦντες, μὴ αἰσχύνωμεν τὸ τηλικοῦτον μυστήριον. Τύπος τῆς τοῦ Χριστοῦ παρουσίας ἐστὶν ὁ γάμος, σὺ δὲ μεθύεις; Εἰπέ μοι, εἰ εἰκόνα εἶδες τοῦ βασιλέως, ἆρα ἂν αὐτὴν ᾔσχυνας; Οὐδαμῶς. Δοκεῖ μὲν οὖν ἀδιάφορον εἶναι πρᾶγμα τὰ περὶ τὸν γάμον γινόμενα, ἔστι δὲ μεγάλων αἴτια κακῶν. Πάντα παρανομίας γέμει. «Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω», φησίν, «ἐκ τοῦ στόματος ὑμῶν»· πάντα δὲ ἐκεῖνα, αἰσχρότης καί μωρολογία καὶ εὐτραπελία, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἐπιτάσεως. Τέχνη γὰρ τὸ πρᾶγμά ἐστι, καὶ ἐγκώμια μεγάλα τοῖς αὐτὴν μετιοῦσι· τὰ ἁμαρτήματα τέχνη γέγονεν. Οὐχ ἁπλῶς αὐτὰ μετερχόμεθα, ἀλλὰ μετὰ σπουδῆς, μετὰ ἐπιστήμης· καὶ στρατηγεῖ λοιπὸν ὁ διάβολος τῶν αὐτοῦ ταγμάτων. Ὅπου γὰρ μέθη, ἀκολασία· ὅπου αἰσχρολογία, ὁ διάβολος πάρεστι τὰ παρ' ἑαυτοῦ εἰσφέρων. Τούτοις ἑστιώμενος, εἰπέ μοι, μυστήριον Χριστοῦ τελεῖς, καὶ τὸν διάβολον καλεῖς; Τάχα με φορτικὸν εἶναι νομίζετε. Καὶ γὰρ καὶ τοῦτο τῆς διαστροφῆς τῆς πολλῆς, ὅτι καὶ ὁ ἐπιτιμῶν γέλωτα ὀφλισκάνει ὡς αὐστηρός. Οὐκ ἀκούετε Παύλου

31. Ἑβρ. 13,4
32. Β' Κορ. 11,2
33. Ἐφ. 5,30
34. Ἐφ. 5,4

γάμο, ἐπειδὴ «Ὁ γάμος πρέπει νὰ εἶναι τιμημένος καὶ τὸ κρεββάτι τοῦ γάμου ἀμόλυντο»[31]. Γιατὶ ἐντρέπεσαι μὲ τὸν τιμημένο; γιατὶ κοκκινίζεις γιὰ τὸν ἀμόλυντο; Αὐτὰ εἶναι γνωρίσματα τῶν αἱρετικῶν, αὐτὰ εἶναι γνωρίσματα ἐκείνων ποὺ φέρουν τὶς πόρνες. Γι' αὐτὸ θέλω νὰ ἐξαγνίζεται αὐτός, ὥστε νὰ τὸν ἐπαναφέρω στὴν ἰδική του εὐγένεια, ὥστε νὰ ἀποστομώσω τοὺς αἱρετικούς. Ἔχει προσβληθῆ τὸ δῶρο τοῦ Θεοῦ, ἡ ρίζα τῆς ἰδικῆς μας ὑπάρξεως, γιατὶ ὑπάρχει πολλὴ κοπριὰ καὶ βοῦρκος γύρω ἀπὸ τὴ ρίζα. Ἂς καθαρίσωμε λοιπὸν αὐτὸν μὲ τὸ λόγο. Νὰ ὑπομένετε λοιπὸν λίγο, γιατὶ καὶ ἐκεῖνος ποὺ καθαρίζει τὸ βοῦρκο ἀνέχεται τὴ δυσωδία. Ἐπιθυμῶ νὰ δείξω ὅτι δὲν πρέπει νὰ ἐντρέπεσθε γι' αὐτά, ἀλλὰ γι' αὐτὰ ποὺ κάνετε. Ἐσὺ ὅμως ἀφοῦ ἐσταμάτησες νὰ ἐντρέπεσαι γιὰ ἐκεῖνα, ἐντρέπεσαι μὲ αὐτά. Ἑπομένως κατηγορεῖς τὸν Θεό, ποὺ ἔχει ὁρίσει αὐτὰ ἔτσι. Νὰ εἰπῶ πῶς εἶναι καὶ μυστήριο τῆς ἐκκλησίας; Ὅπως ἀκριβῶς ὁ Χριστὸς ἦλθε πρὸς τὴν ἐκκλησία, ὅπως ἀπὸ αὐτὸν συνεστήθη, καὶ συνῆλθε μὲ αὐτὴν σὲ πνευματικὴ συνουσία. Διότι λέγει, «Σᾶς ἠρραβώνισα μὲ ἕνα ἄνδρα γιὰ νὰ σᾶς παρουσιάσω παρθένο ἁγνή»[32]. Καὶ τὸ ὅτι ἀπὸ αὐτὸν προερχόμασθε, «Ἀπὸ τὰ μέλη του καὶ ἀπὸ τὴ σάρκα του καταγόμασθε», λέγει.

Κατανοώντας λοιπὸν ὅλα αὐτά, ἂς μὴ περιφρονοῦμε τὸ τόσο μεγάλο μυστήριο. Ὁ γάμος εἶναι τύπος τῆς παρουσίας τοῦ Χριστοῦ καὶ σὺ μεθᾶς; Εἰπέ μου, ἐὰν ἔβλεπες εἰκόνα τοῦ βασιλέως, ἄραγε θὰ τὴν ἐπεριφρονοῦσες; Ἀσφαλῶς ὄχι. Φαίνεται λοιπὸν τὰ ὅσα συμβαίνουν στὸ γάμο ὅτι εἶναι ἀδιάφορο πρᾶγμα, ἀλλ' ὅμως εἶναι αἰτίες μεγάλων κακῶν. Ὅλα εἶναι γεμᾶτα ἀπὸ παρανομία. «Αἰσχρότητα καὶ μωρολογία καὶ χυδαιολογία», λέγει, «ἂς μὴ βγαίνη ἀπὸ τὸ στόμα σας»[34]. Ὅμως ὅλα ἐκεῖνα εἶναι αἰσχρότητα, μωρολογία καὶ χυδαιολογία, καὶ ὄχι τυχαία, ἀλλὰ σὲ μεγάλο βαθμό. Γιατὶ τὸ πρᾶγμα εἶναι τέχνη, καὶ ἀποδίδονται μεγάλα ἐγκώμια σὲ ἐκείνους ποὺ ἀσκοῦν αὐτήν. Τὰ ἁμαρτήματα ἔχουν γίνει τέχνη. Δὲν τὰ διαπράττουμε αὐτὰ ἔτσι τυχαῖα, ἀλλὰ μὲ ἰδιαίτερη φροντίδα καὶ γνῶσι. Καὶ ὁ διάβολος πλέον διευθύνει σὰν στρατηγὸς τὰ τάγματά του. Γιατὶ ὅπου ὑπάρχει μέθη, ὑπάρχει ἀκολασία· ὅπου ὑπάρχει αἰσχρολογία, εἶναι ὁ διάβολος παρὼν εἰσάγοντας τὰ ἰδικά του. Εὐωχούμενος μὲ αὐτούς, εἰπέ μου, τελεῖς μυστήριο τοῦ Χριστοῦ καὶ προσκαλεῖς τὸ διάβολο; Ἴσως μὲ νομίζετε ἐνοχλητικό. Ἀλλὰ καὶ αὐτὸ εἶναι ἀποτέλεσμα τῆς μεγάλης διαστροφῆς, γιατὶ καὶ ἐκεῖνος ποὺ ἐκτιμᾶ τὸ γέλιο καταδικάζεται σὰν αὐστηρός. Δὲν ἀκοῦτε τὸν Παῦλο ποὺ

λέγοντος, «Πᾶν ὅ,τι ἂν ποιῆτε, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε»; ὑμεῖς δὲ εἰς δυσφημίαν καὶ ἀδοξίαν. Οὐκ ἀκούετε τοῦ προφήτου λέγοντος, «Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ»; ὑμεῖς δὲ διαχεῖσθε.

Μὴ γὰρ οὐκ ἔστι καὶ ἥδεσθαι, καὶ μετὰ ἀσφαλείας; Βούλει μελῶν ἀκοῦσαι καλῶν; Μάλιστα μὲν οὐδὲ ἔδει, πλὴν συγκαταβαίνω, εἰ βούλει· μὴ τῶν σατανικῶν ἀκούσῃς, ἀλλὰ τῶν πνευματικῶν. Βούλει χορεύοντας ἰδεῖν; Ἐάν ταῦτα ἀπελάσῃς, ἐλεύσεται καὶ ὁ Χριστὸς εἰς τούτους τοὺς γάμους· τοῦ δὲ Χριστοῦ παρόντος, καὶ ὁ τῶν ἀγγέλων πάρεστι χορός. Ἂν θέλῃς, καὶ νῦν θαύματα ἐργάζεται, καθάπερ καὶ τότε· ποιήσει καὶ νῦν τὸ ὕδωρ οἶνον, καὶ πολλῷ θαυμασιώτερον· τὴν διάχυσιν ἐπιτρέψει, τὴν διαρρέουσαν καὶ ψυχρὰν ἐπιθυμίαν, καὶ ἐπὶ τὴν πνευματικὴν μεταστήσει. Τοῦτό ἐστιν ἐξ ὕδατος οἶνον ποιῆσαι. Ἔνθα αὐλησταί, οὐδαμοῦ ὁ Χριστός· ἀλλὰ κὰν εἰσέλθῃ, τὸ πρῶτον ἐκβάλλει τούτους, καὶ τότε θαυματουργεῖ. Τί τῆς σατανικῆς πομπῆς ἀηδέστερον, ἔνθα ἄναρθρα πάντα, ἔνθα πάντα ἄσημα; ἂν δέ τι καὶ ἄναρθρον, πάλιν πάντα αἰσχρά, πάντα ἀηδῆ.

6. Οὐδὲν τῆς ἀρετῆς ἥδιον, οὐδὲν κοσμιότητος γλυκύτερον, οὐδὲν σεμνότητος ποθεινότερον. Ποιείτω τις γάμους, οἵους ἐγὼ λέγω, καὶ ὄψεται τὴν ἡδονήν· ποίους δὲ γάμους, προσέχετε. Πρῶτον μὲν ἄνδρα ζήτει τῇ παρθένῳ ὄντως ἄνδρα καὶ προστάτην, ὡς σώματι μέλλων ἐπιθήσειν κεφαλήν, ὡς οὐκ ἀνδράποδον, ἀλλὰ θυγατέρα αὐτῷ μέλλων παραδώσειν. Μὴ χρήματα ζήτει, μὴ γένους λαμπρότητα, μὴ πατρίδος μέγεθος, πάντα ταῦτα περιττά, ἀλλὰ ψυχῆς εὐλάβειαν, ἐπιείκειαν, τὴν ἀληθῆ σύνεσιν, τοῦ Θεοῦ τὸν φόβον, εἰ βούλει μεθ' ἡδονῆς τὸ θυγάτριον ζῆν. Πλουσιώτερον γὰρ ζητοῦσα, οὐ μόνον αὐτὴν οὐκ ὠφελήσεις, ἀλλὰ καὶ βλάψεις, δούλην ἀντ' ἐλευθέρας ποιοῦσα. Οὐ τοσαύτην γὰρ ἀπὸ τῶν χρυσίων καρπώσεται τὴν ἡδονήν, ὅσην ἀπὸ τοῦ δουλεύειν τὴν ἀηδίαν. Ἀλλὰ μὴ ζήτει ταῦτα, ἀλλὰ μάλιστα μὲν ὁμότιμον· εἰ δὲ μὴ δυνατόν, πενέστερον μᾶλλον, ἢ εὐπορώτερον, εἴγε μὴ ἀποδόσθαι δεσπότῃ, ἀλλ' ἐκδοῦναι ἀνδρὶ

---

35. Α΄ Κορ. 10,31
36. Ψαλμ. 2,2

λέγει, «Ό,τιδήποτε καὶ ἂν κάμνετε, εἴτε τρώγετε, εἴτε πίνετε, εἴτε κάμνετε κάτι ἄλλο, τὰ πάντα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ»;[35] ἐσεῖς ὅμως τὰ κάμνετε γιὰ νὰ τὸν δυσφημίσετε καὶ νὰ μὴ τὸν δοξάσετε. Δὲν ἀκοῦτε τὸν προφήτη ποὺ λέγει, «Νὰ ὑπηρετήσετε τὸν Κύριο μὲ φόβο καὶ νὰ χαίρεσθε αὐτὸν μὲ τρόμο»[36]; ἐσεῖς ὅμως εἶσθε διαχυτικοί.

Μήπως λοιπὸν δὲν εἶναι δυνατὸ καὶ νὰ διασκεδάζωμε καὶ μὲ ἀσφάλεια; Θέλεις νὰ ἀκούσης καλὰ τραγούδια; Βέβαια δὲν ἔπρεπε καθόλου, πλὴν ὅμως δείχνω συγκατάβασι, ἐὰν θέλης· μὴ ἀκούσης τὰ σατανικά, ἀλλὰ τὰ πνευματικά. Θέλεις νὰ ἰδῆς χορευτές; βλέπε τὸ χορὸ τῶν ἀγγέλων. Καὶ πῶς εἶναι δυνατό, λέγει, νὰ τὰ ἰδοῦμε; Ἐὰν ἀπομακρύνης αὐτά, θὰ ἔλθη καὶ ὁ Χριστὸς στοὺς γάμους αὐτούς· καὶ ὅταν ὁ Χριστὸς εἶναι παρών, παρευρίσκεται καὶ ὁ χορὸς τῶν ἀγγέλων. Ἂν θέλης, καὶ τώρα θὰ κάμη θαύματα, ὅπως ἀκριβῶς καὶ τότε· θὰ κάμη καὶ τώρα τὸ νερὸ κρασὶ καὶ πολὺ καλύτερο· θὰ μεταβάλη τὴ διαχυτικότητα, τὴ ἀσθενῆ καὶ τὴν ψυχρὴ ἐπιθυμία, καὶ θὰ τὴν καταστήση πνευματική. Αὐτὸ σημαίνει νὰ κάμη κρασὶ ἀπὸ νερό. Ὅπου ὑπάρχουν οἱ μουσικοί, δέν παρευρίσκεται ὁ Χριστός, ἀλλὰ καὶ ἂν εἰσέλθη, πρῶτα ἀπομακρύνει αὐτούς, καὶ ὕστερα θαυματουργεῖ. Τί εἶναι ἀηδέστερο ἀπὸ τὴ σατανικὴ τελετή, ὅπου τὰ πάντα εἶναι ἀσαφῆ, ὅπου τὰ πάντα ἀκατάληπτα; καὶ ἂν ὑπάρχη καὶ κάτι σαφές, πάλι τὰ πάντα εἶναι αἰσχρά, τὰ πάντα ἀηδῆ.

6. Τίποτε δὲν εἶναι πιὸ εὐχάριστο ἀπὸ τὴν ἀρετή, τίποτε πιὸ γλυκὸ ἀπὸ τὴν κοσμιότητα, τίποτε πιὸ περιπόθητο ἀπὸ τὴ σεμνότητα. Ἂς κάμη κανεὶς γάμους, τέτοιους ποὺ ἐγὼ λέγω, καὶ θὰ ἰδῆ τὴ χαρά· ποιοὺς ὅμως γάμους, νὰ προσέχετε. Πρῶτα νὰ ζητῆς ἄνδρα γιὰ τὴν κόρη, πραγματικὰ ἄνδρα καὶ προστάτη, σὰν νὰ πρόκειται νὰ θέσης ἐπὶ τοῦ σώματος κεφαλή, σὰν νὰ πρόκειται νὰ παραδώσης σ' αὐτὸν ὄχι δοῦλο, ἀλλὰ θυγατέρα. Μὴ ζητῆς χρήματα, οὔτε ἔνδοξο γένος, οὔτε μεγάλη πατρίδα, ὅλα αὐτὰ εἶναι περιττά, ἀλλὰ τὴν εὐλάβεια τῆς ψυχῆς, τὴν ἐπιείκεια, τὴν ἀληθινὴ σύνεσι, τὸ φόβο τοῦ Θεοῦ, ἐὰν θέλης ἡ θυγατέρα σου μὲ χαρὰ νὰ ζῆ. Γιατὶ ζητώντας πλουσιώτερο, ὄχι μόνο αὐτὴν δὲν θὰ ὠφελήσης, ἀλλὰ καὶ θὰ τὴν βλάψης, καθιστώντας αὐτὴν δούλη ἀντὶ γιὰ γυναῖκα ἐλεύθερη. Γιατὶ δὲν θὰ ἀπολαύση τόση χαρὰ ἀπὸ τὰ χρυσὰ κοσμήματα, ὅση ἀηδία ἀπὸ τὸ νὰ ὑπηρετῆ τὴν ἀηδία. Ὅμως νὰ μὴ ζητῆς αὐτά, ἀλλὰ πρὸ πάντων ἰσάξιό της, ἐὰν δὲ δὲν εἶναι δυνατό, καλύτερα πτωχότερο, παρὰ πλουσιώτερο, ἐὰν φυσικὰ δὲν θέλης νὰ δώσης τὴ θυγα-

βούλει τὴν θυγατέρα. Ὅταν ἀκριβῶς ἐξετάσῃς τἀνδρὸς τὴν ἀρετήν, καὶ μέλλῃς ἐκδιδόναι, παρακάλεσον τὸ Χριστὸν παραγενέσθαι· οὐ γὰρ ἐπαισχυνθήσεται· μυστήριόν ἐστι τῆς αὐτοῦ παρουσίας. Μάλιστα μὲν οὖν καὶ τότε παρακάλει, ὥστε μνηστῆρα τοιοῦτον δοῦναι.

Μὴ γένῃ τοῦ παιδὸς τοῦ Ἀβραὰμ χείρων, ὃς εἰς τοσαύτην ἀποδημίαν πεμπόμενος, εἶδεν ἔνθα χρὴ καταφυγεῖν· διὸ καὶ πάντων ἐπέτυχεν. Ὅταν περιεργάζῃ καὶ ζητῇς τὸν ἄνδρα, εὔχου· εἰπὲ τῷ Θεῷ, ὃν ἂν σὺ θέλῃς οἰκονόμησον· ἐγχείρισον αὐτῷ τὸ πρᾶγμα, καὶ τιμηθεὶς ταύτῃ παρὰ σοῦ τῇ τιμῇ ἀμείψεταί σε. Δύο δὴ ποιεῖν χρή, αὐτῷ τε ἐγχειρίζειν, καὶ τοιοῦτον ζητεῖν, οἷον αὐτὸς βούλεται κόσμιον. Ὅταν οὖν τοὺς γάμους ποιῇς, μὴ περιέλθῃς οἰκίας, κάτοπτρα καὶ ἱμάτια χρωμένη· οὐ γὰρ πρὸς ἐπίδειξιν τὸ πρᾶγμά ἐστιν, οὐδὲ εἰς πομπὴν εἰσάγεις τὸ θυγάτριον· ἀλλὰ φαιδρύνουσα τὴν οἰκίαν τοῖς ἐνοῦσι, κάλει γείτονας καὶ φίλους καὶ συγγενεῖς. Ὅσους ἂν οἶδας ἐπιεικεῖς, τούτους κάλει, καὶ τοῖς οὖσιν ἐπαρκεῖσθαι παραίνει. Μηδεὶς τῶν ἀπὸ τῆς ὀρχήστρας παρέστω· ἐκεῖ γὰρ δαπάνη περιττὴ καὶ ἄσχημος· κάλεσον τὸν Χριστὸν πρὸ τῶν ἄλλων ἁπάντων. Οἶδας διά τίνος αὐτὸν καλέσεις; «Ὃς ἂν ποιήσῃ» φησίν, «ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε». Μὴ νομίσῃς τὸ πρᾶγμα δυσάρεστον εἶναι, τὸ πένητας καλεῖν διὰ τὸν Χριστόν· δυσάρεστόν ἐστι πόρνας καλεῖν. Τὸ γὰρ πένητας καλεῖν, τοῦτο ἀφορμὴ τοῦ πλούτου, ἐκεῖνο δὲ ἀνατροπῆς.

Κόσμει τὴν νύμφην μὴ τούτοις τοῖς κοσμίοις τοῖς ἀπὸ τοῦ χρυσοῦ, ἀλλ' ἐπιεικείᾳ καὶ αἰδοῖ καὶ τοῖς συνήθεσιν ἱματίοις, ἀντὶ παντὸς κόσμου χρυσοῦ καὶ ἐμπλεγμάτων τὸ ἐρυθριᾶν, τὸ αἰσχύνεσθαι περιθεῖσα, καὶ τὸ μὴ ζητεῖν ἐκεῖνα. Μηδεὶς ἔστω θόρυβος, μηδεμία ταραχή· καλείσθω ὁ νυμφίος, δεχέσθω τὴν παρθένον. Τὰ ἄριστα καὶ τὰ δεῖπνα μὴ μέθης ἔστω πλήρη, ἀλλὰ πλησμονῆς μεθ' ἡδονῆς. Ὅρα πόσα ἐκ τούτου καλά, ὅταν ἴδωμεν τὰ ἐκείνων· ἐκ δὲ τῶν νῦν γινομένων γάμων, εἴγε γάμους, ἀλλὰ μὴ

37. Ματθ. 25,40

τέρα σου σὲ δεσπότη, ἀλλὰ νὰ τὴν παραδώσης σὲ ἄνδρα. Ὅταν ἐξετάσης μὲ ἀκρίβεια τὴν ἀρετὴ τοῦ ἄνδρα, καὶ πρόκειται νὰ παραδώσης τὴ θυγατέρα σου, παρακάλεσε τὸν Χριστὸ νὰ ἔλθη, γιατὶ δὲν θὰ ἀρνηθῆ, μυστήριο εἶναι τῆς παρουσίας του. Πρὸ παντὸς λοιπὸν τότε νὰ παρακαλῆς, ὥστε νὰ δώση τέτοιο μνηστῆρα.

Μὴ γίνης χειρότερος ἀπὸ τὸν υἱὸ τοῦ Ἀβραάμ, ὁ ὁποῖος ἀποστελλόμενος σὲ τόση μεγάλη ἀποδημία, ἐγνώριζε ὅπου ἔπρεπε νὰ καταφύγη· γι' αὐτὸ καὶ ἐπέτυχε ὅλα. Ὅταν ἐξετάζης καὶ ζητῆς τὸν ἄνδρα, νὰ προσεύχεσαι· εἰπὲ στὸν Θεό, ὅποιον θέλεις ἐσὺ δῶσε. Ἀνάθεσε σ' αὐτὸν τὴν ὑπόθεσι, καὶ ἐπειδὴ τὸν ἐτίμησες μὲ αὐτὴν τὴν τιμὴ θὰ σὲ ἀνταμείψη. Δύο λοιπὸν πρέπει νὰ κάμνης, καὶ νὰ ἀναθέτης αὐτὸ σ' αὐτόν, καὶ νὰ ζητῆς τέτοιον ἄνδρα, ὅπως αὐτὸς θέλει σεμνό. Ὅταν λοιπὸν κάνης τοὺς γάμους, νὰ μὴ περιφέρεσαι σὲ σπίτια, χρησιμοποιώντας καθρέπτες καὶ ἐπιδεικτικὰ ροῦχα. Γιατὶ τὸ πρᾶγμα δὲν εἶναι γιὰ ἐπίδειξι, οὔτε σὲ πομπὴ ὁδηγεῖ τὴ θυγατέρα σου, ἀλλὰ γιὰ νὰ προκαλέσης χαρὰ στὸ σπίτι μὲ αὐτοὺς ποὺ εἶναι μέσα σ' αὐτό, νὰ προσκαλῆς τοὺς γείτονες, τοὺς φίλους καὶ τοὺς συγγενεῖς. Ὅσους καλοὺς θὰ γνωρίζης, αὐτοὺς νὰ προσκαλῆς, καὶ σ' αὐτοὺς ποὺ εἶναι παρόντες νὰ συμβουλεύης νὰ ἀρκοῦνται σ' αὐτά. Κανεὶς ἂς μὴ παρευρίσκεται ἀπὸ τοὺς μουσικοὺς τῆς ὀρχήστρας, γιατὶ αὐτοὶ εἶναι ἔξοδα περιττὰ καὶ ἄσχημα. Κάλεσε πρὶν ἀπὸ ὅλους τοὺς ἄλλους τὸν Χριστό. Γνωρίζεις διὰ μέσου τίνος θὰ τὸν καλέσης; «Ὅποιος θὰ κάμη κάτι», λέγει, «σ' ἕνα ἀπὸ τοὺς μικροὺς αὐτούς, εἶναι σὰν νὰ τὸ ἔκαμε σὲ ἐμένα»[37]. Μὴ νομίσης ὅτι εἶναι δυσάρεστο πρᾶγμα, τὸ νὰ προσκαλῆς τοὺς πτωχοὺς γιὰ τὸν Χριστό· δυσάρεστο εἶνα τὸ νὰ προσκαλῆς τὶς πόρνες. Γιατὶ τὸ νὰ προσκαλῆς τοὺς πτωχούς, εἶναι ἀφορμὴ τοῦ πνευματικοῦ πλούτου, ἐκεῖνο ὅμως ἀφορμὴ καταστροφῆς.

Στόλιζε τὴ νύφη ὄχι μὲ αὐτὰ τὰ στολίδια ἀπὸ χρυσό, ἀλλὰ μὲ τὴν ἐπιείκεια, μὲ τὸ σεβασμὸ καὶ μὲ τὰ συνηθισμένα ροῦχα· ἀντὶ γιὰ ὅλα τὰ χρυσὰ κοσμήματα καὶ φιλοτεχνήματα νὰ τῆς φορέσης τὴ συστολή, τὴν ἐντροπὴ καὶ τὸ νὰ μὴ ἐπιζητῆ ἐκεῖνα. Ἂς μὴ γίνεται κανένας θόρυβος, καμμία ἀταξία. Ἂς προσκαλῆται ὁ γαμβρὸς καὶ ἂς δέχεται τὴν κόρη. Τὰ γεύματα καὶ τὰ δεῖπνα ἂς μὴ εἶναι γεμᾶτα ἀπὸ οἰνοπνευματώδη ποτά, ἀλλὰ ἀπὸ ἄφθονα ἀγαθὰ μαζὶ μὲ χαρά. Πρόσεχε πόσα καλὰ προέρχονται ἀπὸ αὐτό, ὅταν ἰδοῦμε αὐτὰ ποὺ κάμνουν ἐκεῖνοι, καὶ πόσα κακὰ ἀπὸ τοὺς γάμους ποὺ γίνονται τώρα, ἂν φυσικὰ πρέπει γάμους νὰ ὀνομάζωμε αὐτά, ἀλλ' ὄχι τελε-

πομπὰς αὐτὰ δεῖ καλεῖν, ὅσα τὰ κακά. Διελύθησαν αἱ παστάδες, καὶ εὐθέως μέριμνα καὶ φόβος, μή τι παραπέσῃ τῶν κεχρημένων, καὶ διαδέχεται τὴν ἡδονὴν ἀθυμία ἀφόρητος. Ἀλλ' αὕτη μὲν τῆς κηδεστρίας ἡ ἀγωνία· μᾶλλον δὲ οὐδὲ αὐτὴ ἀπήλλακται ἡ νύμφη· τὰ γοῦν μετὰ ταῦτα αὐτῆς τῆς νύμφης ἐστὶν ἅπαντα. Τὸ γὰρ ὁρᾶν καταλυόμενα ἅπαντα, ἀθυμίας ὑπόθεσις, τὸ ὁρᾶν ἔρημον τὴν οἰκίαν. Ἐκεῖ ὁ Χριστός, ἐνταῦθα ὁ Σατανᾶς· ἐκεῖ ἄδεια, ἐνταῦθα φροντίς· ἐκεῖ ἡδονή, ἐνταῦθα λύπη· ἐκεῖ δαπάνη, ἐνταῦθα οὐδὲν τοιοῦτον· ἐκεῖ ἀσχημοσύνη, ἐνταῦθα εὐκοσμία· ἐκεῖ φθόνος, ἐνταῦθα ἀφθονία· ἐκεῖ μέθη, ἐνταῦθα νῆψις, ἐνταῦθα σωτηρία, ἐνταῦθα σωφροσύνη.

Ταῦτα δὴ πάντα ἐννοοῦντες, στήσωμεν τὸ κακὸν μέχρι τούτου, ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τές. Διελύθησαν οἱ νυφικοὶ θάλαμοι, καὶ ἀμέσως φροντίδα καὶ φόβος, μήπως παραπέση κάτι χρήσιμο, καὶ διαδέχεται τὴ χαρὰ ἀφόρητος λύπη. Ἀλλὰ ἡ ἀγωνία αὐτὴ εἶναι τῆς πεθερᾶς, μᾶλλον δὲ οὔτε ἡ ἴδια ἡ νύφη ἔχει ἀπαλλαγὴ ἀπὸ αὐτήν· ὅλα πλέον ποὺ ἀκολουθοῦν ὕστερα ἀφοροῦν τὴν ἴδια τὴ νύφη. Γιατὶ τὸ νὰ βλέπη τὰ πάντα νὰ διαλύωνται, τὸ νὰ βλέπη ἔρημο τὸ σπίτι εἶναι ἀφορμὴ λύπης. Ἐκεῖ ὁ Χριστός, ἐδῶ ὁ Σατανᾶς. Ἐκεῖ ὑπάρχει ἀσφάλεια, ἐδῶ φροντίδες· ἐκεῖ χαρά, ἐδῶ λύπη· ἐκεῖ ἔξοδα, ἐδῶ τίποτε τέτοιο· ἐκεῖ ἀπρέπεια, ἐδῶ εὐπρέπεια· ἐκεῖ φθόνος, ἐδῶ ἔλλειψις φθόνου· ἐκεῖ μέθη, ἐδῶ ἐγκράτεια, ἐδῶ σωτηρία, ἐδῶ σωφροσύνη.

Κατανοώντας λοιπὸν αὐτά, ἂς σταματήσωμε τὸ κακὸ μέχρι τὸ σημεῖο αὐτό, γιὰ νὰ ἀρέσωμε στὸν Θεὸ καὶ νὰ ἀξιωθοῦμε νὰ ἐπιτύχωμε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθῆ σὲ αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΟΜΙΛΙΑ Α΄

(Α΄ Θεσ. 1,1–7)

«Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη. Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν».

1. Τί δήποτε Ἐφεσίοις μὲν ἐπιστέλλων, καὶ τὸν Τιμόθεον ἔχων μεθ' ἑαυτοῦ, οὐχὶ συνέταξεν ἑαυτῷ, καίτοι γνωριζόμενον παρ' αὐτοῖς καὶ θαυμαζόμενον· «Τὴν γὰρ δοκιμὴν αὐτοῦ γινώσκετε», φησίν, «ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσε», καὶ πάλιν, «Ὅτι οὐδένα ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει», ἐνταῦθα δὲ συντάττει αὐτὸν ἑαυτῷ; Ἐμοὶ δοκεῖ ὅτι ἔμελλεν αὐτὸν πέμπειν εὐθέως, καὶ περιττὸν ἦν ἐπιστέλλειν τὸν τὰ γράμματα καταληψόμενον· φησὶ γάρ, «Τοῦτον μὲν ἐλπίζω πέμψαι ἐξαυτῆς». Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἐπανελθὼν ἦν εὐθέως, ὥστε εἰκότως ἐπέστελλεν· «Ἄρτι γὰρ ἐλθόντος Τιμοθέου», φησί, «πρὸς ἡμᾶς ἀφ' ὑμῶν». Διὰ τί δὲ αὐτοῦ προτίθησι τὸν Σιλουανόν, καίτοι μυρία αὐτῷ μαρτυρῶν ἀγαθά, καὶ πάντων αὐτὸν προτιθείς; Ἴσως μὲν ἀξιοῦντος τοῦτο κατὰ πολλὴν ταπεινοφροσύνην, καὶ παρακαλοῦντος. Ἐπειδὴ γὰρ τὸν διδάσκαλον ἑώρα οὕτω ταπεινοφρονοῦντα, ὡς τὸν μαθητὴν ἑαυτῷ συντάττειν, πολλῷ μᾶλλον αὐτὸς ἂν τοῦτο ἐζήτησε, καὶ ἐπέδραμε. «Παῦλος» γάρ, φησί, «καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων». Οὐδὲν ἐνταῦθα περὶ ἑαυτοῦ τίθησιν, οὐχ 'ὁ ἀπόστολος', οὐχ 'ὁ δοῦλος'. Ἐμοὶ δοκεῖ διὰ τὸ νεοκατηχήτους

---

1. Φιλιπ. 2, 22.20
2. Φιλ. 2,23
3. Α΄ Θεσ. 3,6

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΟΜΙΛΙΑ Α΄
(Α΄ Θεσ. 1,1–7)

«Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος πρὸς τὴν ἐκκλησία τῶν Θεσσαλονικέων, τὴν ἑνωμένη μὲ τὸν Θεὸ Πατέρα καὶ τὸν Κύριο Ἰησοῦ Χριστό. Εἴθε νὰ εἶναι σὲ σᾶς χάρις καὶ εἰρήνη. Εὐχαριστοῦμε πάντοτε τὸν Θεὸ γιὰ σᾶς, ὅσες φορὲς σᾶς ἐνθυμούμασθε στὶς προσευχές μας, ἀδιάκοπα μνημονεύοντας τὸ ἔργο τῆς πίστεώς σας καὶ τὸν κόπο τῆς ἀγάπης σας καὶ τὴν ὑπομονὴ τῆς ἐλπίδας σας στὸν Κύριό μας τὸν Ἰησοῦ Χριστό, ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας».

1. Γιατί τέλος πάντων ὅταν ἔγραφε πρὸς τοὺς Ἐφεσίους καὶ εἶχε μαζί του τὸν Τιμόθεο, δὲν τὸν ἀνέφερε ὁ Παῦλος μαζὶ μὲ τὸν ἑαυτό του, ἂν καὶ τὸν ἐγνώριζαν αὐτοὶ καὶ τὸν ἐθαύμαζαν, διότι λέγει, «Τὸ δοκιμασμένο χαρακτήρα του τὸν γνωρίζετε, γιατὶ ὡς τέκνο πρὸς πατέρα ἐδούλευσε μαζί μου», καὶ πάλι, «Γιατὶ δὲν ἔχω κανένα ὁμόμυψο, ὁ ὁποῖος μὲ εἰλικρίνεια θὰ φροντίση γιὰ τὶς ὑποθέσεις σας»[1], ἐδῶ ὅμως ἀναφέρει αὐτὸν μαζὶ μὲ τὸν ἑαυτό του; Μοῦ φαίνεται ὅτι ἐπρόκειτο νὰ στείλη αὐτὸν ἀμέσως καὶ ἦταν περιττὸ νὰ γράφη γι' αὐτὸν ποὺ θὰ μετέφερε τὰ γράμματα, γιατὶ λέγει, «Αὐτὸν δὲ ἐλπίζω νὰ τὸν στείλω ἀμέσως».[2] Ἐδῶ ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ μόλις εἶχε ἐπανέλθει, καὶ ἑπομένως ὀρθῶς τὸν ἀνέφερε στὴν ἐπιστολή· γιατὶ λέγει, «Τώρα, ὅταν μᾶς ἦλθε ἀπὸ σᾶς ὁ Τιμόθεος»[3]. Γιατί ὅμως ἀναφέρει πρὶν ἀπὸ αὐτὸν τὸν Σιλουανό, ἂν καὶ ἐπιβεβαιώνει ἄπειρα ἀγαθὰ γι' αὐτὸν καὶ τὸν προτιμᾶ ἀπὸ ὅλους; Ἴσως ἐκεῖνος νὰ τοῦ ἐζήτησε αὐτὸ μὲ πολλὴ ταπεινοφροσύνη καὶ νὰ τὸν παρακάλεσε γι' αὐτό. Ἐπειδὴ δηλαδὴ ἔβλεπε τὸ διδάσκαλο νὰ εἶναι τόσο ταπεινόφρων, ὥστε νὰ ἀναφέρη τὸ μαθητὴ μαζὶ μὲ τὸν ἑαυτό του, πολὺ περισσότερο θὰ μποροῦσε νὰ τὸ ζητήση αὐτὸ ὁ Τιμόθεος, καὶ αὐτὸς πρόθυμα τὸ δέχθηκε. Διότι λέγει, «Ὁ Παῦλος καὶ ὁ Σιλουανὸς καὶ ὁ Τιμόθεος, πρὸς τὴν ἐκκλησία τῶν Θεσσαλονικέων». Τίποτε δὲν ἀναφέρει ἐδῶ γιὰ τὸν ἑαυτό του, οὔτε 'ὁ ἀπόστολος', οὔτε 'ὁ δοῦλος'. Ἐγὼ νομίζω γιὰ τὸ λόγο

εἶναι τοὺς ἄνδρας, καὶ μηδέπω αὐτοῦ πεῖραν εἰληφέναι, οὐ τίθησι τὸ ἀξίωμα· καὶ ἀρχὴ δὲ τοῦ κηρύγματος ἔτι ἦν τοῦ πρὸς αὐτούς.

«Τῇ ἐκκλησίᾳ», φησί, «Θεσσαλονικέων»· καλῶς. Καὶ γὰρ εἰκὸς ἦν ὀλίγους εἶναι καὶ οὐδέπω συνεστάναι· διὰ τοῦτο αὐτοὺς παραμυθεῖται διὰ τοῦ ὀνόματος τῆς ἐκκλησίας· ἔνθα γὰρ πολὺς παρεληλύθει χρόνος, καὶ τὸ τῆς ἐκκλησίας σύστημα πολὺ ἦν, οὐ τίθησι τοῦτο. Ἐπειδὴ δὲ ὄνομα πλήθους ἐστίν, ὡς τὰ πολλά, τὸ τῆς ἐκκλησίας ὄνομα, καὶ συστήματος ἤδη συγκεκροτημένου, διὰ τοῦτο αὐτοὺς οὕτω καλεῖ. «Ἐν Θεῷ», φησί, «Πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ». «Τῇ ἐκκλησίᾳ», φησί, «Θεσσαλονικέων τῇ ἐν Θεῷ». Ἰδοὺ πάλιν τό, ἐν, ἐπὶ τοῦ Πατρός, καὶ ἐπὶ τοῦ Υἱοῦ. Πολλαὶ γὰρ ἐκκλησίαι καὶ Ἰουδαϊκαὶ καὶ Ἑλληνικαὶ ἦσαν, ἀλλὰ τῇ ἐν Θεῷ, φησί. Μέγα τὸ ἀξίωμα, καὶ οὐ ἴσον οὐδέν, εἰ ἐν Θεῷ ἐστι. Γένοιτο τοίνυν καὶ ταύτην τὴν ἐκκλησίαν οὕτω καλεῖσθαι· δέδοικα δὲ μὴ μακρὰν ᾖ τῆς προσηγορίας ταύτης. Εἴ τις γὰρ ἁμαρτίας εἴη δοῦλος, οὐ δύναται λέγεσθαι ἐν Θεῷ. Εἴ τις μὴ κατὰ Θεὸν περιπατεῖ, οὐ δύναται λέγεσθαι ἐν Θεῷ.

2. «Χάρις ὑμῖν καὶ εἰρήνη». Εἶδες εὐθὺς ἀπὸ ἐγκωμίων τὸ προοίμιον τῆς ἐπιστολῆς; «Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν». Τὸ γὰρ εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ αὐτῶν, μαρτυροῦντός ἐστιν αὐτοῖς πολλὴν προκοπήν, ὅταν μὴ μόνον ἐπαινῶνται αὐτοί, ἀλλὰ καὶ Θεὸς εὐχαριστῆται, ὡς αὐτὸς ἐργασάμενος τὸ πᾶν. Διδάσκει δὲ αὐτοὺς καὶ μετριάζειν, μονονουχὶ λέγων, ὅτι τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστιν τὸ πᾶν. Τὸ μὲν οὖν εὐχαριστεῖν τῶν κατορθωμάτων ἕνεκεν, τὸ δὲ μεμνῆσθαι αὐτῶν ἐπὶ τῶν προσευχῶν, τῆς ἀγάπης τῆς πρὸς αὐτούς. Εἶτα, ὅπερ πολλαχοῦ ποιεῖ, οὐ μόνον ἐπὶ τῶν προσευχῶν φησι μεμνῆσθαι, ἀλλὰ καὶ χωρὶς τῶν εὐχῶν. «Ἀδιαλείπτως», φησί, «μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν». Τὸ «ἀδιαλείπτως μνημονεύοντες», ἤτοι μνη-

---

4. Ἡ ἐκκλησία τῶν Θεσσαλονικέων ἱδρύθηκε ἀπὸ τὸν Παῦλο κατὰ τὴ Β΄ ἀποστολική του ὁδοιπορία (Πράξ. 17,1 – 10). Ἡ πρώτη ἐκκλησία περιέλαβε λίγους Ἰουδαίους, πολλοὺς ὅμως ἀπὸ τοὺς προσηλύτους καὶ ἀπὸ τοὺς ἐθνικοὺς καὶ ἀπὸ τὶς γυναῖκες.

ὅτι εἶναι αὐτοὶ νέοι στὴν πίστι καὶ δὲν ἔχουν γνωρίσει ἀκόμη αὐτόν, γι' αὐτὸ δὲν ἀναφέρει τὸ ἀξίωμα. Ἄλλωστε ἦταν ἀρχὴ ἀκόμη τοῦ κηρύγματος πρὸς αὐτούς.

«Στὴν ἐκκλησία», λέγει, «τῶν Θεσσαλονικέων»[4]. Καλῶς εἶπε. Καθόσον φυσικὸ ἦταν νὰ εἶναι λίγοι καὶ νὰ μὴ εἶχαν συνδεθῆ μέχρι τώρα, γι' αὐτὸ δὲ καὶ προτρέπει αὐτοὺς μὲ τὸ ὄνομα τῆς ἐκκλησίας. Ὅπου ὅμως εἶχε περάσει πολὺς χρόνος καὶ τὸ σύνολο τῶν μελῶν τῆς ἐκκλησίας ἦταν μεγάλο, δὲν ἀναφέρει αὐτό. Ἐπειδὴ ὅμως τὸ ὄνομα τῆς ἐκκλησίας σημαίνει πλῆθος, ὡς ἐπὶ τὸ πλεῖστο, καὶ σύνολο ποὺ ἔχει ἤδη συγκροτηθῆ, γι' αὐτὸ ὀνομάζει αὐτοὺς ἔτσι. «Τὴν ἑνωμένη μὲ τὸν Θεὸ Πατέρα», λέγει, «καὶ τὸν Κύριο Ἰησοῦ Χριστό». Πρὸς τὴν ἐκκλησία, λέγει, τῶν Θεσσαλονικέων, τὴν ἑνωμένη μὲ τὸν Θεό. Νὰ πάλι τό, «ἐν», λέγεται γιὰ τὸν Πατέρα καὶ γιὰ τὸν Υἱό. Γιατὶ ὑπῆρχαν πολλὲς ἐκκλησίες, καὶ ἰουδαϊκὲς καὶ ἑλληνικές, ἀλλά, λέγει, τὴν ἑνωμένη μὲ τὸν Θεό. Μεγάλο τὸ ἀξίωμα καὶ τοῦ ὁποίου τίποτε δὲν εἶναι ἰσάξιο, ἐὰν εἶναι ἑνωμένος κανεὶς μὲ τὸν Θεό. Εἴθε λοιπὸν καὶ ἡ ἐκκλησία αὐτὴ ἔτσι νὰ καλῆται, φοβᾶμαι ὅμως μήπως ἀπέχει πολὺ ἀπὸ τὴν ὀνομασία αὐτή. Γιατὶ ἐὰν εἶναι κανεὶς δοῦλος τῆς ἁμαρτίας, δὲν μπορεῖ νὰ λέγεται ὅτι εἶναι ἑνωμένος μὲ τὸν Θεό. Ἐὰν κανεὶς δὲν συμπεριφέρεται σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, δὲν μπορεῖ νὰ λέγεται ὅτι εἶναι ἑνωμένος μὲ τὸν Θεό.

2. «Εἴθε νὰ εἶναι σὲ σᾶς χάρις καὶ εἰρήνη». Εἶδες ἀμέσως ἀπὸ τοὺς ἐπαίνους τὸ προοίμιο τῆς ἐπιστολῆς; «Εὐχαριστοῦμε πάντοτε τὸν Θεὸ γιὰ ὅλους ἐσᾶς, ὅσες φορὲς σᾶς ἐνθυμούμασθε στὶς προσευχές μας». Τὸ νὰ εὐχαριστοῦν λοιπὸν τὸν Θεὸ γι' αὐτούς, μαρτυρεῖ γι' αὐτοὺς μεγάλη προκοπή, ὅταν δὲν ἐπαινοῦνται αὐτοὶ μόνο, ἀλλὰ καὶ ὁ Θεὸς εὐχαριστεῖται, ἐπειδὴ αὐτὸς ἔκαμε τὰ πάντα. Καὶ διδάσκει αὐτοὺς νὰ εἶναι καὶ μετριόφρονες, καὶ σχεδὸν εἶναι σὰν νὰ λέγη, ὅτι τὰ πάντα εἶναι ἔργα τῆς δυνάμεως τοῦ Θεοῦ. Τὸ νὰ εὐχαριστοῦν λοιπὸν τὸν Θεὸ εἶναι ἀποτέλεσμα τῶν κατορθωμάτων του, τὸ νὰ ἐνθυμοῦνται δὲ αὐτοὺς στὶς προσευχές τους εἶναι ἀποτέλεσμα τῆς ἀγάπης πρὸς αὐτούς. Ἔπειτα, αὐτὸ ποὺ κάνει σὲ πολλὲς περιπτώσεις, λέγει ὅτι δὲν τοὺς ἐνθυμοῦνται μόνο στὶς προσευχές, ἀλλὰ καὶ ἐκτὸς ἀπὸ τὶς προσευχές. «Ἀδιάκοπα», λέγει, «μνημονεύοντας τὸ ἔργο τῆς πίστεώς σας καὶ τὸν κόπο τῆς ἀγάπης καὶ τὴν ὑπομονὴ τῆς ἐλπίδας τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας». Τὸ «ἀδιάκοπα μνημονεύοντας»

μονεύοντες ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρός, ἢ τοῦ κόπου τῆς ἀγάπης μνημονεύοντες τοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ἢ ἁπλῶς, τὸ ἀδιαλείπτως μνημονεύοντες ὑμῶν.

Ἐκεῖνο μὲν γάρ, ἵνα μὴ νομίσῃς ἁπλῶς τό, «ἀδιαλείπτως μνημονεύοντες ὑμῶν», εἰρῆσθαι, ἐπήγαγεν, «ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν»· τοῦτο δέ, ἐπειδὴ οὐδεὶς ἐπῄνει τῶν ἀνθρώπων τὰ γινόμενα, οὐδεὶς μισθὸν ἀπεδίδου, ἔμπροσθεν τοῦ Θεοῦ, φησί, κάμνετε. Τί ἐστι, «τοῦ ἔργου τῆς πίστεως»; Ὅτι οὐδὲν ὑμῶν παρέκλινε τὴν ἔνστασιν· τοῦτο γὰρ ἔργον πίστεως. Εἰ πιστεύεις, πάντα πάσχε· εἰ δὲ μὴ πάσχεις, οὐ πιστεύεις. Μὴ γὰρ οὐ τοιαῦτά ἐστι τὰ ἐπηγγελμένα, ὡς καὶ μυρίους θανάτους πείσεσθαι τὸν πιστεύοντα ἂν ἑλέσθαι; Οὐρανῶν βασιλεία πρόκειται, καὶ ἀθανασία, καὶ ζωὴ αἰώνιος. Ὁ τοίνυν πιστεύων, πάντα πείσεται. Ἄρα ἡ πίστις διὰ τῶν ἔργων δείκνυται. Εἰκότως ἄν τις εἶπεν, οὐχ ἁπλῶς, ἀλλὰ διὰ τῶν ἔργων αὐτὴν ἐπεδείξασθε, διὰ τῆς ἐνστάσεως, διὰ τῆς προθυμίας. «Καὶ τοῦ κόπου τῆς ἀγάπης». Ποῖος κόπος τὸ φιλεῖν; Τὸ φιλεῖν ἁπλῶς οὐδὲ εἷς κόπος· τὸ δὲ γνησίως φιλεῖν κόπος πολύς. Ὅταν γάρ, εἰπέ μοι, μυρία κινῆται τῆς ἀγάπης ἡμᾶς ἀφελκύσαι βουλόμενα, ἡμεῖς δὲ πρὸς πάντα ἀντιτείνωμεν, οὐχὶ κόπος ἐστί; Τί γὰρ οὐκ ἔπαθον οὗτοι, ὥστε μὴ ἀποστῆναι τῆς ἀγάπης; οὐχὶ ἐπὶ τὸν ὑποδοχέα Παύλου ἦλθον οἱ πολεμοῦντες τῷ κηρύγματι, καὶ μὴ εὑρόντες αὐτόν, ἔσυρον τὸν Ἰάσονα ἐπὶ τοὺς πολιτάρχας; Μικρὸς οὗτος κόπος, εἰπέ μοι, μηδέπω τῶν σπερμάτων παγέντων, τοσοῦτον χειμῶνα, τοσούτους φέρειν πειρασμούς; Καὶ ἱκανὰ αὐτὸν ἀπῄτησαν.

«Καὶ ἱκανά», φησί, «δούς, ἐξέπεμψε τὸν Παῦλον». Μικρὸν τοῦτο, εἰπέ μοι; οὐχὶ ἑαυτὸν ἀντ' ἐκείνου τῷ κινδύνῳ ὑπέθηκε; Τοῦτο κόπον φησὶν ἀγάπης, ὅτι οὕτω προσεδέθησαν. Καὶ ὅρα· πρῶτον ἐκείνων λέγει τὰ κατορθώματα, καὶ τότε τὰ ἑαυτοῦ, ἵνα μὴ δόξῃ μεγαληγορεῖν, μηδὲ προλήψει φιλεῖν αὐτούς. «Καὶ τῆς ὑπομονῆς», φησίν. Οὐ γὰρ πρὸς ἕνα χρόνον ὁ διωγμὸς ἐκεῖνος, ἀλλὰ διαπαντός· οὐδὲ τῷ διδασκάλῳ μόνον Παύλῳ ἐπολέμουν, ἀλλὰ καὶ τοῖς μαθητευομένοις. Εἰ γὰρ πρὸς ἐκείνους οὕτω δι-

---

5. Πράξ. 17,5 – 9

σημαίνει, ἢ μνημονεύοντας ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα, ἢ μνημονεύοντας τὸν κόπο τῆς ἀγάπης ποὺ κάνετε ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας, ἢ ἁπλῶς σημαίνει μνημονεύοντας ἀδιάκοπα ἐσᾶς.

Γιὰ νὰ μὴ νομίσης δηλαδὴ ὅτι ἔχει λεχθῆ τυχαῖα τό, «μνημονεύοντας ἐσᾶς ἀδιάκοπα», ἐπρόσθεσε, «ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας», αὐτὸ δὲ ἐπειδὴ κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν ἐπαινοῦσε τὰ κατορθώματά τους, κανεὶς δὲν ἀνταπέδιδε μισθό, ἐνώπιον τοῦ Θεοῦ, λέγει, καταπονεῖσθε. Τί σημαίνει, «τὸ ἔργο τῆς πίστεως»; Ὅτι τίποτε δὲν ἐλύγισε τὴν ἀντίστασί σας· γιατὶ αὐτὸ εἶναι ἔργο πίστεως. Ἐὰν πιστεύης, νὰ ὑποφέρης τὰ πάντα, ἐὰν ὅμως δὲν ὑποφέρης, δὲν πιστεύεις. Μήπως δηλαδὴ δὲν εἶναι τέτοια αὐτὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ, ὥστε νὰ ἔφθανε ἐκεῖνος ποὺ πιστεύει καὶ νὰ προτιμήση νὰ ὑποστῆ μυρίους θανάτους γι' αὐτά; Ἔχει ὁρισθῆ σὰν βραβεῖο ἡ βασιλεία τῶν οὐρανῶν, ἡ ἀθανασία καὶ ἡ αἰώνιος ζωή. Ἐκεῖνος λοιπὸν ποὺ πιστεύει, θὰ ὑποστῆ τὰ πάντα. Εὔλογα θὰ ἔλεγε κανείς, ἐφανερώσατε τὴν πίστι σας ὄχι ἔτσι ἁπλά, ἀλλὰ μὲ τὰ ἔργα, μὲ τὴν ἀντίστασί σας, μὲ τὴν προθυμία σας. «Καὶ τὸν κόπο τῆς ἀγάπης». Ποιὸς κόπος τὸ νὰ ἀγαπᾶ κάποιος; Τὸ νὰ ἀγαπᾶ ἁπλῶς δὲν εἶναι κανένας κόπος, τὸ νὰ ἀγαπᾶ ὅμως γνήσια εἶναι μεγάλος κόπος. Γιατὶ ὅταν, εἰπέ μου, πολλὰ κινοῦνται ποὺ θέλουν νὰ μᾶς ἀποσπάσουν ἀπὸ τὴν ἀγάπη, καὶ ἐμεῖς ἐναντιωνώμασθε πρὸς ὅλα αὐτά, δὲν εἶναι κόπος; Τί λοιπὸν δὲν ἔπαθαν αὐτοί, γιὰ νὰ μὴ ἀπομακρυνθοῦν ἀπὸ τὴν ἀγάπη; δὲν ἦλθαν σὲ ἐκεῖνο ποὺ ἐφιλοξενοῦσε τὸν Παῦλο οἱ ἐχθροὶ τοῦ κηρύγματος καί, ἐπειδὴ δὲν ηὗραν τὸν Παῦλο, ἔσυραν μὲ βία τὸν Ἰάσονα στοὺς ἄρχοντες τῆς πόλεως;[5] Εἶναι μικρὸς αὐτὸς ὁ κόπος, εἰπέ μου, ἐνῶ ὁ σπόρος τοῦ κηρύγματος δὲν εἶχε ἀκόμη φυτευθῆ, νὰ ὑπομένουν τόσο μεγάλη συμφορά, τόσες δοκιμασίες; Καὶ ἐζήτησαν ἀπὸ αὐτὸν ἀρκετὲς ἐγγυήσεις.

«Καὶ ἀφοῦ ἔδωσε ἀρκετὲς ἐγγυήσεις», λέγει, «ἀπέστειλε τὸν Παῦλο». Εἶναι μικρὸ αὐτό; εἰπέ μου, δὲν ἔθεσε σὲ κίνδυνο τὸν ἑαυτό του στὴ θέσι ἐκείνου. Αὐτὸ ὀνομάζει κόπο τῆς ἀγάπης, γιατὶ ἔτσι ἐστερεώθηκαν στὴν πίστι. Καὶ πρόσεχε· πρῶτα λέγει τὰ κατορθώματα ἐκείνων καὶ ὕστερα τὰ δικά του, γιὰ νὰ μὴ φανῆ ὅτι καυχᾶται, οὔτε ὅτι ἀπὸ προκατάληψι ἀγαπᾶ αὐτούς. «Καὶ τὴν ὑπομονή», λέγει. Γιατὶ ὁ διωγμὸς ἐκεῖνος δὲν εἶχε γίνει γιὰ ἕνα χρονικὸ διάστημα, ἀλλὰ γιὰ πάντα, οὔτε ἐπολεμοῦσαν τὸν διδάσκαλο μόνο, ἀλλὰ καὶ τοὺς μαθητές του. Ἐὰν λοιπὸν ἐσυμπεριφέροντο ἔτσι

έκειντο τοὺς θαύματα ἐργαζομένους, τοὺς αἰδεσίμους, τί οἴει πρὸς τοὺς συνοικοῦντας αὐτοῖς, καὶ συμπολίτας, καὶ ἀθρόον ἀποστάντας; Ὅπερ οὖν αὐτοῖς καὶ μαρτυρεῖ, λέγων, ὅτι «Μιμηταὶ ἐγένεσθε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ». «Καὶ τῆς ἐλπίδος», φησί, «τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν». Ταῦτα γὰρ πάντα ἀπὸ πίστεως γίνεται καὶ ἐλπίδος. Ὥστε οὐ τὴν ἀνδρείαν αὐτῶν μόνον ἐδήλου τὰ γενόμενα, ἀλλ' ὅτι καὶ μετὰ πληροφορίας ἐπίστευον τοῖς ἀποκειμένοις ἐπάθλοις. Διὰ γὰρ τοῦτο συνεχώρει ὁ Θεὸς εὐθέως γενέσθαι διωγμούς, ἵνα μή τις εἴπῃ, ὅτι ἁπλῶς καὶ κολακείᾳ τὸ κήρυγμα συνίστατο, καὶ ἵνα τὸ θερμὸν αὐτῶν δειχθῇ, καὶ ὅτι οὐ πεισμονὴ ἀνθρωπίνη, ἀλλὰ Θεοῦ δύναμις ἦν ἡ τὰς τῶν πιστευόντων ψυχὰς πείθουσα ὥστε καὶ πρὸς θανάτους μυρίους παρεσκευάσθαι· ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ εὐθέως κατὰ βάθους τὸ κήρυγμα ἐπεπήγει καὶ εἱστήκει ἀκλινές.

3. «Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν, ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη πρὸς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν Πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς». Τί «εἰδότες»; Ὅπως ἐγενήθημεν ἐν ὑμῖν. Ἐνταῦθα καὶ τῶν αὐτοῦ κατορθωμάτων ἅπτεται, ἀλλ' ἐπεσκιασμένως· βούλεται γὰρ πρότερον τοῖς ἐκείνων ἐγκωμίοις ἐπεξελθεῖν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ᾔδειν μὲν ὅτι τῶν γενναίων ἦτε καὶ μεγάλων ἀνδρῶν, ὅτι τῶν ἐκλεκτῶν· διὰ τοῦτο καὶ ἡμεῖς πάντα ὑπομένομεν δι' ὑμᾶς. Τὸ γάρ, «οἷοι ἐγενήθημεν ἐν ὑμῖν», τοῦτό ἐστι δηλοῦντος, ὅτι μετὰ πολλῆς προθυμίας καὶ πολλῆς σφοδρότητος ἕτοιμοι τὰς ψυχὰς ἡμῶν ἐκδοῦναι δι' ὑμᾶς· καὶ τούτου δὲ οὐχ ἡμῖν χάρις, ἀλλ' ὑμῖν, ὅτι ἐκλεκτοὶ ἦτε. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· «Καὶ ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς». Ὑπὲρ γὰρ τῶν τοῦ Θεοῦ ἀγαπητῶν τί οὐκ ἂν τις πάθοι; Καὶ εἰπὼν τὸ αὐτοῦ, μονονουχί φησιν· εἰ γὰρ καὶ ἀγαπητοὶ καὶ ἐκλεκτοί, φησί, πάντα εἰκότως ὑπομένομεν. Οὐ γὰρ δὴ τὸ ἐπαινεῖν αὐτοὺς ἐρρώννυε μόνον, ἀλλὰ καὶ τὸ ὑπομιμνήσκειν, ὅτι καὶ αὐτοὶ τῆς ἐκείνων προθυμίας ἀντίρροπον ἀνδρείαν ἐπεδείξαντο, φησί.

«Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς Πνεύματος ἁγίου».

---

6. Α΄ Θεσ. 2,14
7. Β΄ Τιμ. 2,10

πρὸς ἐκείνους ποὺ ἔκαναν θαύματα, τοὺς σεβαστούς, πῶς νομίζεις θὰ ἐσυμπεριφέροντο πρὸς αὐτοὺς ποὺ ἦσαν συγκάτοικοί τους, καὶ συμπολῖτες τους, καὶ ποὺ ἀπεστάτησαν ἀπὸ τὴ θρησκεία τους ἀμέσως; Αὐτὸ λοιπὸν καὶ ἐπιβεβαιώνει γι' αὐτούς, λέγοντας, ὅτι «Ἐγίνατε μιμητὲς τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ποὺ εἶναι στὴν Ἰουδαία»[6]. «Καὶ τῆς ἐλπίδας», λέγει, «τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας». Αὐτὰ λοιπὸν ὅλα γίνονται ἀπὸ πίστι καὶ ἐλπίδα. Ὥστε ὄχι μόνο τὴν ἀνδρεία αὐτῶν ἐφανέρωναν τὰ συμβάντα, ἀλλὰ ὅτι ἐπίστευαν μὲ βεβαιότητα στὰ προκείμενα ἔπαθλα. Γιατὶ γι' αὐτὸ ἐπέτρεπε ὁ Θεὸς νὰ γίνουν ἀμέσως διωγμοί, γιὰ νὰ μὴ εἰπῇ κανείς, ὅτι ἐδιατηρεῖτο ἁπλῶς καὶ ἀπὸ κολακεία τὸ κήρυγμα, καὶ γιὰ νὰ ἀποδειχθῇ ὁ ζῆλος αὐτῶν, καὶ ὅτι δὲν ἦταν ἡ πειστικότητα τῶν ἀνθρώπων, ἀλλὰ ἡ δύναμις τοῦ Θεοῦ ποὺ ἔπειθε τὶς ψυχὲς τῶν πιστῶν, ὥστε νὰ εἶναι προετοιμασμένοι καὶ γιὰ πολλοὺς κινδύνους, πρᾶγμα ποὺ δὲν θὰ ἐγίνετο, ἐὰν τὸ κήρυγμα δὲν εἶχε ἀμέσως φυτευθῇ σὲ βάθος καὶ δὲν εἶχε σταθεροποιηθῇ.

3. «Γνωρίζοντας, ἀδελφοὶ ἀγαπημένοι ἀπὸ τὸν Θεό, τὴν ἐκλογή σας, γιατὶ τὸ εὐαγγέλιο δὲν τὸ ἐκηρύξαμε σὲ σᾶς μὲ λόγο μόνο, ἀλλὰ καὶ μὲ δύναμι καὶ μὲ Πνεῦμα ἅγιο καὶ μὲ βεβαιότητα πολλή· καθὼς γνωρίζετε πῶς συμπεριφερθήκαμε μεταξὺ σας γιὰ νὰ σᾶς ὠφελήσωμε». Τί «γνωρίζοντας»; Πῶς συμπεριφερθήκαμε μεταξὺ σας. Ἐδῶ ἅπτεται καὶ τὰ ἰδικά του κατορθώματα, ἀλλὰ μὲ ἀσάφεια, γιατὶ θέλει προηγουμένως νὰ τελειώσῃ μὲ τὰ ἐγκώμια ἐκείνων. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐγνώριζα ὅτι ἦσθε ἀπὸ τοὺς γενναίους καὶ μεγάλους ἄνδρες, ὅτι ἦσθε ἀπὸ τοὺς ἐκλεκτούς· γι' αὐτὸ καὶ ἐμεῖς ὑπομένομε ὅλα γιὰ νὰ σᾶς ὠφελήσωμε. Γιατὶ τό, «οἷοι ἐγενήθημεν ἐν ὑμῖν», αὐτὸ φανερώνει, ὅτι μὲ πολλὴ προθυμία καὶ μὲ πολὺ ζῆλο εἴμασθε ἕτοιμοι νὰ δώσωμε τὶς ψυχές μας γιὰ σᾶς· καὶ ἡ χάρις αὐτοῦ δὲν εἶναι γιὰ μᾶς, ἀλλὰ γιὰ σᾶς, ἐπειδὴ ἦσθε ἐκλεκτοί. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει, «Καὶ πάσχω αὐτὰ γιὰ τοὺς ἐκλεκτούς»[7]. Γιὰ τοὺς ἀγαπητοὺς τοῦ Θεοῦ λοιπὸν τί δὲν θὰ ἤθελε νὰ πάθῃ κανείς; Καὶ ἀφοῦ εἶπε τὸ δικό του, σχεδὸν εἶναι σὰν νὰ λέγῃ αὐτό· Ἐφόσον λοιπὸν εἶσθε ἀγαπητοὶ καὶ ἐκλεκτοί, λέγει, ὅλα δικαιολογημένα τὰ ὑπομένομε. Γιατὶ βέβαια δὲν ἐνδυνάμωνε αὐτοὺς μόνο ὁ ἔπαινος, ἀλλὰ καὶ ἡ ὑπενθύμισις, λέγει, ὅτι καὶ αὐτοὶ ἐπέδειξαν ἀνδρεία ἴση μὲ τὴν προθυμία ἐκείνων.

«Καὶ ἐσεῖς ἐγίνατε μιμηταί μας καὶ τοῦ Κυρίου, ἐπειδὴ ἐδεχθήκατε τὸ κήρυγμα ἀνάμεσα σὲ πολλὴ θλίψι, μὲ τὴ χαρὰ τοῦ ἁγίου

Βαβαί, πόσον τὸ ἐγκώμιον· οἱ μαθηταὶ ἐξαίφνης ἐγένοντο διδάσκαλοι· οὐκ ἤκουσαν μόνον τὸν λόγον, ἀλλὰ καὶ πρὸς αὐτὴν ἔφθασαν τὴν κορυφὴν τῷ Παύλῳ. Ἀλλ' οὐδὲν τοῦτό ἐστιν· ὅρα γὰρ πῶς αὐτοὺς ἀνάγει λέγων· «Μιμηταὶ ἐγένεσθε τοῦ Κυρίου». Πῶς; «Δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς Πνεύματος ἁγίου». Οὐχ ἁπλῶς μετὰ θλίψεως, ἀλλὰ μετὰ πολλῆς θλίψεως. Καὶ ἔνεστι τοῦτο ἀπὸ τῶν Πράξεων τῶν ἀποστολικῶν μαθεῖν, πῶς ἐπήγειραν τὸν διωγμὸν ἐπ' αὐτούς. Καὶ πάντας, φησί, τοὺς πολιτάρχας ἐτάραξαν, καὶ τὴν πόλιν ἀνεπτέρωσαν κατ' αὐτῶν. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ἐθλίβητε μὲν καὶ ἐπιστεύσατε, ἀλγοῦντες δέ, ἀλλὰ καὶ χαίροντες. Ὅπερ καὶ οἱ ἀπόστολοι ἐποίουν, «Χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι». Τὸ γὰρ θαυμαστόν, τοῦτό ἐστιν· εἰ καὶ ὅτι οὐδὲ ἐκεῖνο μικρόν, τὸ φέρειν ὁπωσδήποτε θλίψεις· τοῦτο δὲ ἤδη τὴν ἀνθρωπίνην φύσιν ὑπερβαινόντων ἦν, καὶ ὥσπερ ἀπαθὲς σῶμα ἐχόντων. Πῶς δὲ μιμηταὶ τοῦ Κυρίου ἐγένοντο; Ὅτι καὶ αὐτὸς πολλὰ παθήματα ὑπέμεινεν· ἀλλ' ἔχαιρεν· ἑκὼν γὰρ ἐπὶ τοῦτο ἤρχετο. Δι' ἡμᾶς ἑαυτὸν ἐκένωσεν, ἔμελλεν ἐμπτύεσθαι καὶ ῥαπίζεσθαι καὶ σταυροῦσθαι· καὶ οὕτως ἔχαιρε ταῦτα πάσχων, ὡς τῷ Πατρὶ λέγειν, «Δόξασόν με».

«Μετὰ χαρᾶς», φησί, «Πνεύματος ἁγίου». Ἵνα μή τις εἴπῃ, πῶς θλίψεως λέγεις; πῶς χαρᾶς; πῶς ἀμφότερα ἔνι συνελθεῖν; ἐπήγαγε· «μετὰ χαρᾶς Πνεύματος ἁγίου». Ἡ θλῖψις ἐν τοῖς σωματικοῖς, καὶ ἡ χαρὰ ἐν τοῖς πνευματικοῖς. Πῶς; Τὰ μὲν γινόμενα, λυπηρά· τὰ δὲ ἐξ αὐτῶν, οὐκέτι· οὐ γὰρ ἀφίησι τὸ πνεῦμα. Ὥστε ἔνεστι καὶ πάσχοντα μὴ χαίρειν, ὅταν ὑπὲρ ἁμαρτημάτων τις πάσχῃ· καὶ μαστιζόμενον ἥδεσθαι, ὅταν διὰ τὸν Χριστόν τις πάσχῃ. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χαρά· ἀντὶ τῶν δοκούντων εἶναι ἀνιαρῶν, ἐξάγει τὴν ἡδονήν. Ἔθλιψαν ὑμᾶς, φησίν, ἐδίωξαν, ἀλλ' οὐκ ἀφῆκεν ὑμᾶς τὸ Πνεῦμα οὐδὲ ἐν ἐκείνοις· ὥσπερ ἐν πυρὶ ἐδροσίζοντο οἱ παῖδες οἱ τρεῖς, οὕτω καὶ ὑμεῖς ἐν ταῖς θλίψεσιν. Ἀλλ' ὥσπερ ἐκεῖ οὐ τῆς τοῦ πυρὸς φύσεως τὸ δροσίζειν, ἀλλὰ τοῦ Πνεύματος τοῦ διασυρίζοντος, οὕτω καὶ ἐνταῦθα· οὐ γὰρ τῆς φύσεως τῆς θλίψεως τὸ τὴν χαρὰν τίκτειν, ἀλλὰ τοῦ

8. Πράξ. 17,5 – 9
9. Πράξ. 5,41
10. Ἰω. 17,5

Πνεύματος». Πώ, πώ, πόσο μεγάλος εἶναι ὁ ἔπαινος. Οἱ μαθητὲς ἔγιναν ξαφνικὰ διδάσκαλοι, δὲν ἄκουσαν μόνο τὸ κήρυγμα, ἀλλὰ καὶ ἔφθασαν στὴν ἴδια κορυφὴ μὲ τὸν Παῦλο. Ὅμως τίποτε δὲν εἶναι αὐτό, γιατὶ πρόσεχε πῶς ἐξυψώνει αὐτοὺς λέγοντας· «Ἐγίνατε μιμηταὶ τοῦ Κυρίου». Πῶς; «Ἐπειδὴ ἐδεχθήκατε τὸ κήρυγμα ἀνάμεσα σὲ θλίψι πολλή, μὲ τὴ χαρὰ τοῦ ἁγίου Πνεύματος». Ὄχι ἁπλῶς μὲ θλίψι, ἀλλὰ μὲ πολλὴ θλίψι. Καὶ εἶναι δυνατὸ νὰ πληροφορηθοῦμε αὐτὸ ἀπὸ τὶς Πράξεις τῶν Ἀποστόλων, πῶς ἤγειραν διωγμὸ ἐναντίον αὐτῶν [8]. Καὶ ἀνεστάτωσαν, λέγει, ὅλους τοὺς ἄρχοντες τῆς πόλεως καὶ ἐξεσήκωσαν τὴν πόλι ἐναντίον τους. Καὶ δὲν μπορεῖ νὰ εἰπῆ κανείς, ὅτι σᾶς ἐστενοχώρησαν μὲν καὶ ἐπιστεύσατε, ὅμως μὲ θλίψι, ἀλλὰ καὶ μὲ χαρά. Αὐτὸ ἀκριβῶς ἔκαμναν καὶ οἱ ἀπόστολοι, «Χαίρονταν γιατὶ ἀξιώθηκαν νὰ ἀτιμασθοῦν γιὰ χάρι τοῦ ὀνόματος αὐτοῦ»[9]. Γιατὶ τὸ ἀξιοθαύμαστο εἶναι αὐτό· ἂν καὶ δὲν εἶναι πικρὸ πράγμα τὸ νὰ ὑπομένουν θλίψεις μὲ ὁποιοδήποτε τρόπο, αὐτὸ ὅμως ἦταν κάτι ἀπὸ ἐκεῖνα ποὺ ξεπερνοῦν ἤδη τὴ φύσι τοῦ ἀνθρώπου καὶ εἶναι σὰν νὰ εἶχαν ἀπαθὲς σῶμα. Πῶς ὅμως ἔγιναν μιμηταὶ τοῦ Κυρίου; Ἐπειδὴ καὶ αὐτὸς ὑπέφερε πολλὰ παθήματα· ἀλλ' ἔνιωθε χαρὰ γιατὶ μὲ τὴ θέλησί του ἐβάδιζε πρὸς αὐτά. Ἐκένωσε τὸν ἑαυτό του γιὰ μᾶς, δὲν ἐδίστασε νὰ δεχθῆ ἐμπτυγμούς, ραπίσματα καὶ νὰ σταυρωθῆ· καὶ τόσο πολὺ χαιρόταν πάσχοντας αὐτά, ὥστε νὰ λέγη στὸν Πατέρα του, «Δόξασέ με»[10].

«Μὲ τὴ χαρά», λέγει, «τοῦ ἁγίου Πνεύματος». Γιὰ νὰ μὴ εἰπῆ κανείς, πῶς λέγεις μὲ θλίψι; πῶς μὲ χαρά; πῶς εἶναι δυνατὸ νὰ συνδεθοῦν καὶ τὰ δύο; ἐπρόσθεσε· «μὲ τὴ χαρὰ τοῦ ἁγίου Πνεύματος». Ἡ θλίψις στὰ σωματικὰ καὶ ἡ χαρὰ στὰ πνευματικά. Πῶς; Τὰ γεγονότα βέβαια προκαλοῦν λύπη, τὸ ἀποτέλεσμα ὅμως αὐτῶν ὄχι, γιατὶ δὲν ἀφήνει τὸ Πνεῦμα. Ὥστε εἶναι δυνατὸ καὶ ὅταν πάσχη κανεὶς νὰ μὴ χαίρεται, ὅταν πάσχη γιὰ τὰ ἁμαρτήματά του, καὶ ὅταν μαστιγώνεται νὰ εὐχαριστῆται, ὅταν πάσχη γιὰ τὸν Χριστό. Γιατὶ τέτοια εἶναι ἡ χαρὰ τοῦ Πνεύματος· στὴ θέσι ἐκείνων ποὺ φαίνονται ὅτι εἶναι δυσάρεστα, προβάλλει τὴν εὐχαρίστησι. Σᾶς ἐστενοχώρησαν, λέγει, σᾶς ἐδίωξαν, ἀλλὰ δὲν σᾶς ἐγκατέλειψε τὸ Πνεῦμα οὔτε σὲ ἐκείνη τὴν κατάστασι· ὅπως τὰ τρία παιδιὰ ἐδροσίζονταν μέσα στὴ φωτιά, ἔτσι καὶ σεῖς μέσα στὶς θλίψεις. Ἀλλὰ ὅπως ἐκεῖ ἡ δροσιὰ δὲν ἦταν ἔργο τῆς φύσεως τῆς φωτιᾶς, ἀλλὰ τοῦ Πνεύματος ποὺ διέλυε τὴ φωτιά, ἔτσι καὶ ἐδῶ. Γιατὶ δὲν εἶναι γνώρισμα τῆς φύσεως τῆς θλίψεως τὸ νὰ προκαλῆ τὴ χαρά, ἀλλὰ τοῦ νὰ πάσχη

διὰ τὸν Χριστὸν πάσχειν, καὶ τοῦ Πνεύματος τοῦ δροσίζοντος, καὶ διὰ τῆς καμίνου τῶν πειρασμῶν ἐν ἀνέσει ποιοῦντος. «Μετὰ χαρᾶς», φησίν, οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς· τοῦτο γάρ ἐστι Πνεύματος ἁγίου.

«Ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ». Καὶ μὴν ἐν ὑστέρῳ ἦλθε πρὸς αὐτούς· ἀλλ' οὕτως ἐλάμψατε, φησίν, ὡς τῶν προλαβόντων γενέσθαι διδάσκαλοι. Καὶ τοῦτο ἀποστολικόν. Οὐ γὰρ εἶπεν, ὥστε τύπους γενέσθαι πρὸς τὸ πιστεῦσαι, ἀλλὰ τοῖς ἤδη πιστεύουσι τύπος ἐγένεσθε· πῶς δεῖ πιστεύειν εἰς Θεὸν ὑμεῖς ἐδιδάξατε, οἱ ἀπὸ προοιμίων εἰς τοὺς ἀγῶνας ἐμβάντες. «Καὶ ἐν τῇ Ἀχαΐᾳ», φησί· τουτέστι, τῇ Ἑλλάδι. Ὁρᾷς ὅσον ἐστὶ προθυμία; ὅτι χρόνου οὐ δεῖται, οὐδὲ μελλήσεως, οὐδὲ ἀναβολῆς· ἀλλ' ἀρκεῖ παραστῆσαι μόνον ἑαυτόν, καὶ πάντα ἤνυσται. Οὕτω γοῦν ὕστερον προσελθόντες τῷ κηρύγματι, τῶν πρώτων ἐγένοντο διδάσκαλοι.

4. Μηδεὶς οὖν ἀπογινωσκέτω, κἂν πολὺν ἀναλώσας χρόνον μηδὲν ἐργασάμενος ᾖ· ἔνεστιν αὐτῷ καὶ διὰ μικροῦ τοσοῦτον ἐργάσασθαι, ὅσον οὐδὲ ἐν τῷ ἔμπροσθεν χρόνῳ. Εἰ γὰρ ὁ μηδέπω πιστεύσας τοσοῦτον ἔλαμψεν ἐν ἀρχῇ, πολλῷ μᾶλλον οἱ ἤδη πιστεύσαντες. Μηδεὶς πάλιν τοῦτο ἐννοῶν ῥᾳθυμείτω, μαθὼν ὅτι ἐξὸν ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀνακτήσασθαι· τὸ γὰρ μέλλον ἄδηλον, καὶ κλέπτης ἐστὶν ἡ ἡμέρα τοῦ Κυρίου, ἀθρόον ἡμῖν καθεύδουσιν ἐπιτιθεμένη. Ἀλλ' ἐὰν μὴ καθεύδωμεν, οὐχ ὡς κλέπτης ἡμῖν ἐπιθήσεται, οὐδὲ ἀπαρασκευάστους ἀπάξει. Ἐὰν γὰρ γρηγορῶμεν καὶ νήφωμεν, οὐκέτι ἡμῖν ὡς κλέπτης ἐπιθήσεται, ἀλλ' ὡς ἄγγελος βασιλικὸς καλῶν ἡμᾶς ἐπὶ τὰ ἡτοιμασμένα ἡμῖν ἀγαθά· ἂν δὲ καθεύδωμεν, ὡς κλέπτης ἐφίσταται. Μηδεὶς τοίνυν καθευδέτω, μηδεὶς ἀργὸς ἔστω πρὸς ἀρετήν· τοῦτο γάρ ἐστιν ὕπνος. Οὐκ ἴστε, ὅταν καθεύδωμεν, πῶς οὐκ ἔστιν ἐν ἀσφαλεῖ τὰ ἡμέτερα, πῶς εὐεπιβούλευτα; ὅταν δὲ γρηγορῶμεν, οὐ δεῖ τοσαύτης ἡμῖν φυλακῆς. Ὅταν καθεύδωμεν, καὶ μετὰ πολλῆς φυλακῆς ἀπολλύμεθα πολλάκις· καὶ θύραι καὶ μο-

κανεὶς γιὰ χάρι τοῦ Χριστοῦ καὶ τοῦ Πνεύματος ποὺ δροσίζει καὶ κάνει νὰ αἰσθάνεται κανεὶς ἄνεσι μέσα στοὺς πειρασμοὺς τῆς καμίνου. «Μὲ χαρά», λέγει, ὄχι τυχαία, ἀλλὰ πολλή, γιατὶ αὐτὸ εἶναι τὸ γνώρισμα τοῦ ἁγίου Πνεύματος.

«Ὥστε νὰ γίνετε ἐσεῖς παράδειγμα σὲ ὅλους ἐκείνους ποὺ πιστεύουν στὴν Μακεδονία καὶ Ἀχαΐα». Καὶ τελευταῖα βέβαια ἦλθε πρὸς αὐτούς, ἀλλὰ ἔτσι ἐλάμψατε, λέγει, ὥστε νὰ γίνετε διδάσκαλοι ἐκείνων ποὺ προηγήθηκαν στὴν ἀποδοχὴ τῆς πίστεως. Καὶ αὐτὸ εἶναι γνώρισμα τοῦ ἀποστόλου. Γιατὶ δὲν εἶπε, ὥστε νὰ γίνετε παράδειγμα γιὰ νὰ πιστεύσουν ἄλλοι, ἀλλὰ ἐγίνατε παράδειγμα σὲ ὅσους ἤδη πιστεύουν. Πῶς πρέπει νὰ πιστεύῃ κανεὶς στὸν Θεό, ἐσεῖς τὸ ἐδιδάξατε, ποὺ ἀπὸ τὴν ἀρχὴ εἰσήλθατε στοὺς ἀγῶνες. «Καὶ στὴν Ἀχαΐα», λέγει· δηλαδή, στὴν Ἑλλάδα. Βλέπεις πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ προθυμία; γιατὶ δὲν χρειάζεται οὔτε χρόνο, οὔτε προετοιμασία, οὔτε ἀναβολή, ἀλλὰ φθάνει νὰ διαθέσῃ κανεὶς τὸν ἑαυτό του μόνο καὶ ὅλα ἔχουν πραγματοποιηθῆ. Ἔτσι λοιπὸν αὐτοί, ἐνῶ προσῆλθαν τελευταῖα στὸ κήρυγμα, ἔγιναν διδάσκαλοι τῶν πρώτων.

4. Κανεὶς λοιπὸν ἂς μὴ ἀπελπίζεται, καὶ ἂν ἀκόμη δὲν ἔκαμε τίποτε, ἐνῶ ἐξόδευσε πολὺ χρόνο. Εἶναι δυνατὸ καὶ σὲ ἐλάχιστο χρόνο νὰ κάνῃ τόσα πολλά, ὅσα δὲν ἔκαμε οὔτε στὸν προηγούμενο χρόνο. Γιατί, ἐὰν ἐκεῖνος ποὺ δὲν ἐπίστευσε ἀκόμη διέπρεψε τόσο πολὺ στὴν ἀρχή, πολὺ περισσότερο θὰ διαπρέψουν ἐκεῖνοι ποὺ ἤδη ἐπίστευσαν. Κανεὶς πάλι σκεπτόμενος αὐτὸ ἂς μὴ ἀδιαφορῆ, ἐπειδὴ ἐγνώρισε ὅτι εἶναι δυνατὸ σὲ σύντομο χρόνο νὰ ἐπιτύχῃ τὸ πᾶν. Γιατὶ τὸ μέλλον εἶναι ἀβέβαιο καὶ ἡ ἡμέρα τοῦ Κυρίου εἶναι κλέπτης καὶ ἐπιτίθεται ξαφνικὰ ἐνῶ ἐμεῖς κοιμώμασθε. Ἀλλ' ἐὰν δὲν κοιμώμασθε, δὲν θὰ μᾶς ἐπιτεθῆ σὰν κλέπτης, οὔτε θὰ μᾶς συλλάβῃ νὰ εἴμασθε ἀπροετοίμαστοι. Γιατί, ἐὰν ἀγρυπνοῦμε καὶ εἴμασθε προσεκτικοί, δὲν θὰ μᾶς ἐπιτεθῆ πλέον σὰν κλέπτης, ἀλλὰ σὰν ἄγγελος τοῦ Βασιλέως, προσκαλῶντας μας στὰ ἀγαθὰ ποὺ εἶναι ἑτοιμασμένα γιὰ χάρι μας· ἂν ὅμως κοιμώμασθε, ἔρχεται σὰν κλέπτης. Ἂς μὴ κοιμᾶται λοιπὸν κανείς, ἂς μὴ εἶναι κανεὶς ἀδρανὴς γιὰ τὴν ἀρετή, γιατὶ αὐτὸ εἶναι ὕπνος. Δὲν γνωρίζετε, ὅταν κοιμώμασθε, πῶς δὲν εἶναι σὲ ἀσφάλεια τὰ ἰδικά μας, πῶς εὔκολα ἐπιβουλεύονται; ὅταν ὅμως ἀγρυπνοῦμε, δὲν χρειάζεται νὰ τὰ φυλάσσωμε τόσο πολύ. Ὅταν κοιμώμασθε, καὶ μὲ πολλὴ φρούρησι καταστρεφόμασθε πολλὲς φορές· ὑπάρχουν θύρες καὶ μοχλοὶ καὶ

χλοὶ καὶ φύλακες καὶ προφύλακες, καὶ ἐπεισῆλθεν ὁ κλέπτης. Τί δὴ ταῦτα λέγω; Ὅτι ἂν γρηγορῶμεν, οὐ δεησόμεθα τῆς ἑτέρων βοηθείας· ἂν δὲ καθεύδωμεν, οὐδὲν ἡμᾶς ἡ ἑτέρων ὀνήσει βοήθεια, ἀλλὰ καὶ μετ' ἐκείνης ἀπολλύμεθα.

Καλὸν εὐχῆς ἀπολαύειν τῆς τῶν ἁγίων, ἀλλ' ὅταν καὶ αὐτοὶ ἐνεργοὶ ὦμεν. Καὶ τί μοι δεῖ, φησίν, εὐχῆς τῆς παρ' ἑτέρου, ὅταν ἐνεργὸς ὦ; Καὶ μὴν μὴ καταστήσῃς σαυτὸν ἐν χρείᾳ· οὐδὲ γὰρ ἐγὼ βούλομαι· ἀλλ' ἀεὶ ἐν χρείᾳ ἐσμέν, ἐὰν εὖ φρονῶμεν. Παῦλος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; (καίτοιγε τῶν εὐχομένων οὐκ ὄντων ἀξίων αὐτοῦ, μᾶλλον δὲ οὐδὲ ἴσων), καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; Πέτρος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; («Εὐχὴ γὰρ ἦν», φησίν, «ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ») καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; Διὰ τοῦτό σοι δεῖ, ἐπειδὴ νομίζεις μηδὲν δεῖσθαι. Κἂν ὡς Παῦλος γένῃ, χρείαν ἔχεις εὐχῆς. Μὴ ὕψου σαυτόν, ἵνα μὴ ταπεινωθῇς. Ἀλλ' ὅπερ ἔφην, ἂν μὲν ἐνεργοὶ ὦμεν καὶ αὐτοί, ἀνύουσι καὶ αἱ ὑπὲρ ἡμῶν εὐχαί. Ἄκουε Παύλου λέγοντος· «Οἶδα» γάρ, φησίν, «ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ»· καὶ πάλιν, «Ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν». Καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; Ἂν δὲ ἀργῶμεν, οὐδεὶς ἡμᾶς ὀνῆσαι δυνήσεται. Τί ὠφέλησεν Ἱερεμίας τοὺς Ἰουδαίους; οὐχὶ τρίτον προσῆλθε τῷ Θεῷ, καὶ τὸ τρίτον ἤκουσε, «Μὴ προσεύχου, μηδὲ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσκούσομαί σου»; Τί ὠφέλησε τὸν Σαοὺλ ὁ Σαμουήλ; οὐχὶ μέχρις ἐσχάτης ἡμέρας ἐπένθει περὶ αὐτοῦ, οὐχ ἁπλῶς ηὔχετο μόνον; Τί ὠφέλησε τοὺς Ἰσραηλίτας; οὐχὶ ἔλεγεν, «Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν διαλιπόντα εὐχόμενον ὑπὲρ ὑμῶν»; οὐχὶ πάντες ἀπώλοντο;

Οὐδὲν οὖν ὠφελοῦσι, φησίν, αἱ εὐχαί; Ὠφελοῦσι καὶ μεγάλα, ἀλλ' ὅταν καὶ ἡμεῖς πράττωμέν τι. Συμπράττουσι μὲν γὰρ αἱ εὐχαὶ καὶ βοηθοῦσι· συμπράττει δέ τις τῷ πράττοντι, καὶ βοηθεῖ τῷ καὶ αὐτῷ ἐργαζομένῳ· ἂν δὲ ἀργὸς μένῃς, οὐδὲν μέγα ὠφε-

11. Πράξ. 12,5
12. Φιλιπ. 1,19
13. Β' Κορ. 1,11
14. Ἱερ. 7,16
15. Α' Βασ. 12,13

φύλακες καὶ προφυλακές, καὶ ὁ κλέπτης εἰσῆλθε. Γιατὶ λοιπὸν τὰ λέγω αὐτά; Γιατί, ἂν ἐπαγρυπνοῦμε, δὲν θὰ χρειασθοῦμε τὴ βοήθεια τῶν ἄλλων, ἂν ὅμως κοιμώμασθε, δὲν θὰ μᾶς ὠφελήση καθόλου ἡ βοήθεια τῶν ἄλλων, ἀλλὰ καὶ μαζὶ μὲ ἐκείνη θὰ καταστραφοῦμε.

Εἶναι καλὸ νὰ ἀπολαμβάνωμε τὴν προσευχὴ τῶν ἁγίων, ἀλλὰ ὅταν καὶ ἐμεῖς εἴμασθε ἐνεργητικοί. Καὶ τί μοῦ χρειάζεται, λέγει, ἡ προσευχὴ τοῦ ἄλλου, ὅταν εἶμαι ἐνεργητικός; Καὶ βέβαια νὰ μὴ καταστήσης τὸν ἑαυτό σου σὲ ἀνάγκη, γιατὶ οὔτε ἐγὼ τὸ θέλω, ἀλλὰ πάντοτε εἴμασθε σὲ ἀνάγκη, ἐὰν σκεπτώμασθε ὀρθά. Ὁ Παῦλος δὲν εἶπε, 'τί μοῦ χρειάζεται ἡ προσευχή; (ἂν καὶ βέβαια οἱ προσευχόμενοι δὲν ἦταν ἰσάξιοι αὐτοῦ, ἢ καλύτερα οὔτε ἴσοι) καὶ σὺ λέγεις, τί μοῦ χρειάζεται ἡ προσευχή τους; Ὁ Πέτρος δὲν εἶπε, τί μοῦ χρειάζεται ἡ προσευχή τους; Διότι, λέγει, «Προσευχὴ γινόταν μακριὰ ἀπὸ τὴν ἐκκλησία πρὸς τὸν Θεὸ γιὰ τὴ διάσωσι αὐτοῦ»[11], καὶ σὺ λέγεις, τί μοῦ χρειάζεται ἡ προσευχή τους; Γι' αὐτὸ σοῦ χρειάζεται, ἐπειδὴ νομίζεις ὅτι δὲν ἔχεις καμμία ἀνάγκη. Καὶ ἂν ἀκόμη γίνης ὅπως ὁ Παῦλος, ἔχεις ἀνάγκη ἀπὸ τὴν προσευχὴ ἄλλων. Μὴ ὑψώνεσαι, γιὰ νὰ μὴ ταπεινωθῆς. Ἀλλὰ ὅπως εἶπα, ἂν εἴμασθε καὶ ἐμεῖς ἐνεργητικοί, ὠφελοῦν καὶ οἱ προσευχὲς ποὺ γίνονται γιὰ μᾶς. Ἄκουε τὸν Παῦλο ποὺ λέγει, «Γιατὶ γνωρίζω», λέγει, «ὅτι αὐτὸ θὰ ἀποβῆ σὲ σωτηρία μου μὲ τὴν ἰδική σας δέησι καὶ τὴ βοήθεια τοῦ Πνεύματος τοῦ Ἰησοῦ Χριστοῦ»[12]· καὶ πάλι, «Ὥστε τὸ χάρισμα σὲ μᾶς ἀπὸ πολλὰ πρόσωπα νὰ ἐκφρασθῆ μὲ πολλὲς εὐχαριστίες γιὰ χάρι μας»[13]. Καὶ σὺ λέγεις, τί μοῦ χρειάζεται ἡ προσευχή; Ἂν ὅμως μένωμε ἀδρανεῖς, κανεὶς δὲν μπορεῖ νὰ μᾶς ὠφελήση. Τί ὠφέλησε ὁ Ἱερεμίας τοὺς Ἰουδαίους; δὲν προσῆλθε τρεῖς φορὲς στὸν Θεό, καὶ τὴν τρίτη ἄκουσε, «Μὴ προσεύχεσαι, οὔτε νὰ ζητᾶς γιὰ τὸ λαὸ αὐτόν, γιατὶ δὲν θὰ σὲ ἀκούσω»;[14] Τί ὠφέλησε ὁ Σαμουὴλ τὸν Σαούλ; δὲν ἐστενοχωρεῖτο γι' αὐτὸν μέχρι τὴν τελευταία ἡμέρα, δὲν προσευχόταν ἁπλῶς μόνο; Τί ὠφέλησε τοὺς Ἰσραηλίτες; δὲν ἔλεγε, «Ἐγὼ ὅμως εἴθε νὰ μὴ συμβῆ νὰ ἁμαρτήσω σταματώντας νὰ μεσιτεύω γιὰ σᾶς»;[15] δὲν κατεστράφηκαν ὅλοι;

Τίποτε λοιπὸν δὲν ὠφελοῦν, λέγει, οἱ προσευχές; Ὠφελοῦν καὶ μάλιστα πολύ, ἀλλὰ ὅταν καὶ ἐμεῖς κάμνουμε κάτι. Γιατὶ οἱ προσευχὲς συμπράττουν καὶ βοηθοῦν· συμπράττει ὅμως κανεὶς μὲ αὐτὸν ποὺ ἐνεργεῖ καὶ βοηθεῖ αὐτὸν ποὺ καὶ ὁ ἴδιος ἐργάζεται· ἂν

ληθήσῃ. Ἐπεὶ εἰ ἴσχυον εὐχαὶ ἀργοῦντας ἡμᾶς εἰσαγαγεῖν εἰς τὴν βασιλείαν, διὰ τί μὴ πάντες Ἕλληνες γίνονται Χριστιανοί; οὐχὶ ὑπὲρ παντὸς τοῦ κόσμου εὐχόμεθα; οὐχὶ καὶ Παῦλος τοῦτο ἐποίει; οὐχὶ πάντας ἀξιοῦμεν ἐπιστραφῆναι; Διὰ τί οἱ πονηροὶ μὴ γίνονται χρηστοί, ἐὰν μὴ παρ' ἑαυτῶν τι εἰσενέγκωσι; Μεγάλα τοίνυν ὠφελοῦσιν αἱ εὐχαί, ὅταν καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. Βούλει μαθεῖν ὅσα ὠφέλησαν εὐχαί; Ἐννόει μοι τὸν Κορνήλιον, τὴν Ταβιθάν. Ἄκουε δὲ καὶ τοῦ Ἰακὼβ λέγοντος πρὸς τὸν Λάβαν· «Εἰ μὴ ὁ φόβος τοῦ πατρός μου ἦν μοι, νῦν ἄν με κενὸν ἐξαπέστειλας». Ἄκουε δὲ καὶ τοῦ Θεοῦ πάλιν λέγοντος· «Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ Δαυῒδ τὸν παῖδά μου». Ἀλλὰ πότε; Ἐπὶ Ἐζεκίου τοῦ δικαίου ὄντος. Ἐπεὶ εἴγε ἴσχυον εὐχαὶ καὶ ἐπὶ τῶν σφόδρα πονηρῶν, διὰ τί μή, καὶ ὅτε ὁ Ναβουχοδονόσορ ἦλθεν, εἶπε τοῦτο ὁ Θεός, ἀλλ' ἐξέδωκε τὴν πόλιν; Ἐπειδὴ μεῖζον ἴσχυσεν ἡ πονηρία. Πάλιν αὐτὸς οὗτος ὁ Σαμουὴλ ηὔξατο ὑπὲρ τῶν Ἰσραηλιτῶν, καὶ ἤνυσεν· ἀλλὰ πότε; Ὅτε καὶ αὐτοὶ εὐηρέστουν, τότε ἐτροπώσαντο τοὺς ἐχθρούς.

Καὶ τίς χρεία, φησί, τῆς παρ' ἑτέρου εὐχῆς, ὅταν ἐγὼ εὐαρεστῶ; Μηδέποτε τοῦτο εἴπῃς, ἄνθρωπε. Χρεία, καὶ πολλῆς χρεία εὐχῆς. Ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος περὶ τῶν φίλων τοῦ Ἰώβ· «Καὶ προσεύξεται», φησί, «περὶ ὑμῶν, καὶ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία»· ἐπειδὴ ἥμαρτον μέν, οὐχ ἁμαρτίαν δὲ μεγάλην. Ἀλλ' αὐτὸς οὗτος ὁ δίκαιος ὁ σώσας τοὺς φίλους αὐτοῦ τότε ἀπὸ εὐχῆς, ἐν τῷ καιρῷ τῷ Ἰουδαϊκῷ οὐκ ἠδυνήθη σῶσαι τοὺς Ἰουδαίους ἀπολλυμένους. Καὶ ἵνα μάθῃς, ἄκουε τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου· «Ἂν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ, οὐκ ἐξελοῦνται τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας»· ἐπειδὴ ὑπερίσχυσεν ἡ κακία· καὶ πάλιν, «Ἐὰν στῇ Μωϋσῆς, καὶ Σαμουήλ.» Καὶ ὅρα πῶς πρὸς τοὺς δύο προφήτας τοῦτο λέγεται ἐπειδὴ ἀμφότεροι ἠξίωσαν ὑπὲρ αὐτῶν, καὶ οὐκ ἐπέτυχον. Καὶ γὰρ ὁ Ἰεζεκιὴλ φησιν, «Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ;»· εἶτα δεικνὺς ὅτι δικαίως τοῦτο ποιεῖ, δείκνυσιν αὐτῷ τὰ ἁμαρτή-

---

16. Πράξ. 10,1 – 43.9,36 – 42
17. Γεν. 31,42
18.. Δ' Βασ. 19,34
19. *Ἐζεκίας*· ἀπὸ τοὺς πιὸ ἐπιφανεῖς βασιλεῖς τοῦ Ἰούδα (716 – 687 π.Χ.). Ἐκυβέρνησε μὲ σύνεσι παρὰ τὸ ὅτι στὶς ἡμέρες του συνέβηκαν σοβαρὲς πολιτικὲς καὶ στρατιωτικὲς ἐξελίξεις καὶ ἀναταραχές. Ἐπεχείρησε θρησκευτικὴ μεταρρύ-

ὅμως μένης ἀργός, δὲν θὰ ὠφεληθῆς σὲ τίποτε σπουδαῖο. Γιατὶ ἐὰν εἶχαν τὴ δύναμι οἱ προσευχὲς νὰ μᾶς ὁδηγήσουν στὴ βασιλεία τῶν οὐρανῶν, ἐνῶ δὲν ἐργαζόμασθε ἐμεῖς, γιατί δὲν γίνονται ὅλοι οἱ Ἕλληνες Χριστιανοί; δὲν προσευχόμασθε γιὰ ὅλο τὸν κόσμο; δὲν ἔκαμε καὶ ὁ Παῦλος αὐτό; δὲν ἔχομε τὴν ἀπαίτησι νὰ ἐπανέλθουν ὅλοι στὸν Θεό; Γιατί οἱ κακοὶ δὲν γίνονται ἀγαθοί, ἐὰν δὲν προσφέρουν τίποτε ἀπὸ τὸν ἑαυτό τους; Πολὺ λοιπὸν ὠφελοῦν οἱ προσευχές, ὅταν καὶ ἐμεῖς προσφέρωμε αὐτὸ ποὺ ἐξαρτᾶται ἀπὸ ἐμᾶς. Θέλεις νὰ μάθης πόσο ὠφέλησαν οἱ προσευχές; Σκέψου, παρακαλῶ, τὸν Κορνήλιο, τὴν Ταβιθά[16]. Ἀκόμη ἄκουε τὸν Ἰακὼβ ποὺ ἔλεγε πρὸς τὸν Λάβαν· «Ἐὰν ὁ φόβος τοῦ πατέρα μου δὲν ἦταν μὲ τὸ μέρος μου, θὰ μὲ εἶχες ἐξαποστείλει μὲ ἄδεια χέρια»[17]. Ἐπίσης ἄκουε καὶ τὸν Θεὸν ποὺ λέγει, «Θὰ ὑπερασπίσω τὴν πόλι αὐτὴν γιὰ μένα, καὶ γιὰ τὸν Δαυΐδ τὸν υἱό μου»[18]. Ἀλλὰ πότε; Ἐπὶ βασιλέως Ἐζεκίου ποὺ ἦταν δίκαιος[19]. Διότι ἐὰν εἶχαν δύναμι οἱ προσευχὲς καὶ ὅταν οἱ βασιλεῖς ἦταν πολὺ κακοί, γιατί καὶ ὅταν ἦλθε ὁ Ναβουχοδονόσορ[20], δὲν εἶπε αὐτὸ ὁ Θεός, ἀλλὰ παρέδωσε τὴν πόλι; Ἐπειδὴ ὑπερίσχυσε ἡ κακία. Πάλι ὁ ἴδιος ὁ Σαμουὴλ ἐπροσευχήθηκε γιὰ τοὺς Ἰσραηλίτες, καὶ ὠφέλησε[21]· ἀλλὰ πότε; Ὅταν καὶ οἱ ἴδιοι ἦταν εὐάρεστοι στὸν Θεό· διότι τότε κατετρόπωσαν τοὺς ἐχθρούς.

Καὶ τί μοῦ χρειάζεται, λέγει, ἡ προσευχὴ τοῦ ἄλλου, ὅταν ἐγὼ εἶμαι εὐάρεστος στὸ Θεό; Ποτὲ νὰ μὴ τὸ εἰπῆς αὐτό, ἄνθρωπε. Ὑπάρχει ἀνάγκη, καὶ μάλιστα ἀνάγκη ἀπὸ πολλὴ προσευχή. Γιατὶ ἄκουε τὸν Θεὸ ποὺ λέγει γιὰ τοὺς φίλους τοῦ Ἰώβ· «Καὶ θὰ προσευχηθῆ», λέγει, «γιὰ σᾶς, καὶ θὰ συγχωρηθῆ ἡ ἁμαρτία σας»[22], ἐπειδὴ ἔκαμαν ἁμαρτία, ὄχι ὅμως μεγάλη. Ὅμως αὐτὸς ὁ ἴδιος ὁ δίκαιος, ὁ ὁποῖος ἔσωσε τότε τοὺς φίλους του ἀπὸ τὴν προσευχή, κατὰ τὴν κρίσι τοῦ ἰουδαϊκοῦ λαοῦ δὲν θὰ ἠμποροῦσε νὰ σώση τοὺς Ἰουδαίους ἀπὸ τὴν καταστροφή. Καὶ γιὰ νὰ μάθης, ἄκουε τὸν Θεὸ ποὺ λέγει μὲ τὸ στόμα τοῦ προφήτου· «Ἂν ἔλθη ἀκόμη ὁ Νῶε καὶ ὁ Ἰὼβ καὶ ὁ Δανιήλ, δὲν θὰ σώσουν οὔτε τοὺς υἱούς, οὔτε τὶς θυγατέρες τους»[23], ἐπειδὴ ὑπερίσχυσε ἡ κακία· καὶ πάλι, «Ἐὰν ἔλθη ὁ Μωϋσῆς καὶ ὁ Σαμουήλ»[24]. Καὶ πρόσεξε πῶς λέγεται αὐτὸ πρὸς τοὺς δύο προφῆτες, ἐπειδὴ καὶ οἱ δύο ἐζήτησαν χάρι γι' αὐτοὺς καὶ δὲν ἐπέτυχαν. Γιατὶ καὶ ὁ Ἰεζεκιὴλ λέγει, «Ἀλλοίμονο, Κύριε, θὰ ἐξολοθρεύσης ὅ,τι ἀπομένει ἀπὸ τὸ Ἰσραήλ;»[25]. Ἔπειτα γιὰ νὰ δείξη ὁ Θεὸς ὅτι τὸ κάμνει αὐτὸ δίκαια, φανερώνει σ' αὐτὸν τὰ ἁμαρτή-

ματα αὐτῶν· καὶ δεικνὺς ὅτι οὐκ αὐτοῦ καταφρονῶν οὐ δέχεται τὴν ὑπὲρ αὐτῶν ἰκεσίαν, ἰκανὰ μὲν οὖν, φησί, καὶ ταῦτά σε πεῖσαι ὅτι οὐ καταφρονῶν σου, ἀλλὰ διὰ τὰς ἁμαρτίας αὐτῶν τὰς πολλὰς οὐ δέχομαι τὴν ἰκετηρίαν, ἀλλ' ὅμως ἐπάγει καὶ λέγει, «Ἐὰν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ».

Καὶ εἰκότως ἐκείνῳ μᾶλλον ταῦτα λέγει, ἐπειδὴ ὁ πολλὰ παθὼν αὐτός ἐστιν. Εἰπές μοι, φησίν, ἐπὶ βολβίτων φαγεῖν, καὶ ἔφαγον· εἰπές μοι, καὶ ἐξυράμην· εἰπές μοι, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ ἐκοιμήθην· εἰπές μοι δι' ὀπῆς ἐξελθεῖν βασταζόμενον, καὶ ἐξῆλθον· ἔλαβές μου τὴν γυναῖκα, καὶ εἰπές μοι μὴ πενθῆσαι, καὶ οὐκ ἐπένθησα, ἀλλ' ἤνεγκα γενναίως· μυρία ἕτερα εἰργασάμην δι' αὐτούς· ἐγώ σε ἀξιῶ ὑπὲρ αὐτῶν, καὶ οὐ πείθῃ; οὐκ ἐπειδὴ καταφρονῶ σου, φησί, τοῦτο ποιῶ, ἀλλὰ κἂν Νῶε, κἂν Ἰώβ, κἂν Δανιὴλ ᾖ, καὶ ὑπὲρ υἱῶν ἀξιῶσι καὶ θυγατέρων, οὐ πείθομαι. Καὶ τῷ Ἰερεμίᾳ πάλιν ἐλάττονα μὲν πάσχοντι ἀπὸ τῶν τοῦ Θεοῦ προσταγμάτων, πλείονα δὲ ἀπὸ τῆς αὐτῶν πονηρίας, τί φησιν; «Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσι;». Ναί, φησί, ποιοῦσιν· ἀλλὰ δι' ἐμὲ ποίησον. Διὰ τοῦτό φησι πρὸς αὐτόν· «Ἐὰν στῇ Μωϋσῆς, καὶ Σαμουήλ»· ὁ πρῶτος νομοθέτης, ὁ πολλάκις αὐτοὺς ἐξελόμενος κινδύνων, ὁ εἰπών, «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον».

Εἰ τοίνυν οὗτος ἦν νῦν, καὶ ταῦτα ἔλεγεν, οὐκ ἂν ἐπέτυχε· καὶ εἰ Σαμουὴλ πάλιν, ὁ καὶ αὐτὸς ἐξελόμενος αὐτούς, ὁ ἐκ πρώτης ἡλικίας θαυμασθείς. Πρὸς μὲν γὰρ ἐκεῖνον εἶπον, ὅτι ὡσανεὶ φίλος πρὸς φίλον, οὕτω διειλέχθην, καὶ οὐ δι' αἰνιγμάτων· πρὸς δὲ τοῦτον εἶπον, ὅτι ἐν πρώτῃ ἡλικίᾳ ὤφθην αὐτῷ, καὶ διὰ τοῦτον δυσωπηθεὶς ἀποκλεισθεῖσαν τὴν προφητείαν ἀνέῳξα. «Καὶ γὰρ ἦν», φησί, «ῥῆμα τίμιον, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα». Ἐὰν οὗτοι τοίνυν στῶσιν, οὐδὲν ὀνήσουσι. Καὶ περὶ τοῦ Νῶέ φησι, «Δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ»· καὶ περὶ τοῦ Ἰώβ, «Ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής»· καὶ περὶ τοῦ Δανιήλ, ὃν καὶ Θεὸν ἐνόμισαν· «καὶ οὐκ ἐξελοῦνται, φησίν, υἱοὺς αὐτῶν καὶ θυγατέρας».

θμισι μὲ σκοπὸ τὴν ἀναζωογόνησι τῆς ἰσραηλιτικῆς θρησκείας.

20. *Ναβουχοδονόσορ ὁ Β'·* στὴν ἐποχή του (605 – 562 π.Χ) ἡ βαβυλωνιακὴ αὐτοκρατορία ἔφθασε στὸν κολοφῶνα τῆς δυνάμεώς της. Ὑπῆρξε ἰδιοφυὴς στρατηλάτης, ἱκανώτατος πολιτικὸς καὶ μεγαλεπήβολος οἰκοδόμος. Τὸ 587 ἐκυρί-

ματά τους. Καὶ γιὰ νὰ δείξη ὅτι δὲν δέχεται τὴν ἱκεσία του γι' αὐτοὺς ὄχι ἐπειδὴ περιφρονεῖ αὐτόν, λέγει, εἶναι ἱκανὰ λοιπὸν καὶ αὐτὰ νὰ σὲ πείσουν, ὅτι ὄχι ἐπειδὴ σὲ περιφρονῶ, ἀλλὰ γιὰ τὶς πολλὲς ἁμαρτίες αὐτῶν δὲν δέχομαι τὴν ἱκεσία σου, ἀλλὰ ὅμως προσθέτει καὶ λέγει, «Ἐὰν ἔλθη ὁ Νῶε, καὶ ὁ Ἰώβ, καὶ ὁ Δανιήλ».

Καὶ δικαιολογημένα προτιμᾶ νὰ τὰ εἰπῆ αὐτὰ σὲ ἐκεῖνον, ἐπειδὴ αὐτὸς εἶναι ποὺ ἔπαθε πολλά. Μοῦ εἶπες, λέγει, νὰ φάγω ἐπάνω σὲ κοπριὰ βοδιῶν καὶ ἔφαγα· μοῦ εἶπες, καὶ ἐξυρίσθηκα· μοῦ εἶπες, καὶ ἐκοιμήθηκα σὲ ἕνα πλευρό· μοῦ εἶπες νὰ φύγω ἀπὸ ὀπὴ τοίχου σηκώνοντας τὰ πράγματά μου, καὶ ἔφυγα· πῆρες τὴ γυναῖκα μου, καὶ μοῦ εἶπες νὰ μὴ πενθήσω, καὶ δὲν ἐπένθησα, ἀλλ' ὑπέφερα αὐτὸ μὲ γενναιότητα· ἄπειρα ἄλλα ἔκαμα γι' αὐτούς· ἐγὼ ζητῶ κάτι γι' αὐτοὺς ἀπὸ σένα, καὶ δὲν πείθεσαι; Ὄχι ἐπειδὴ σὲ περιφρονῶ, ἀπαντᾶ ὁ Θεός, τὸ κάμνω αὐτό, ἀλλ' εἴτε ἔλθει ὁ Νῶε, εἴτε ὁ Ἰώβ, εἴτε ὁ Δανιήλ, καὶ ζητήσουν κάτι γιὰ τοὺς υἱοὺς καὶ τὶς θυγατέρες τους, δὲν πείθομαι. Καὶ στὸν Ἰερεμία πάλι ποὺ ἔπασχε λιγώτερα ἀπὸ τὶς προσταγὲς τοῦ Θεοῦ καὶ περισσότερα ἀπὸ τὴν κακία αὐτῶν, τί λέγει; «Ἢ δὲν βλέπεις τί κάνουν αὐτοί;»[26] Ναί, λέγει, κάνουν, ἀλλὰ γιὰ χάρι μου κάμε αὐτό. Γι' αὐτὸ λέγει πρὸς αὐτόν, «Ἐὰν ὁ Μωϋσῆς καὶ ὁ Σαμουήλ». Ὁ Μωϋσῆς, ὁ ὁποῖος ἦταν ὁ πρῶτος νομοθέτης, αὐτὸς ποὺ πολλὲς φορὲς ἔσωσε ἀπὸ κινδύνους αὐτούς, ὁ ὁποῖος εἶπε, «Ἐὰν μὲν συγχωρήσης τὸ ἁμάρτημά τους, συγχώρεσέ το, διαφορετικά, ἐξάλειψε καὶ μένα»[27].

Ἐὰν λοιπὸν ἦταν αὐτὸς τώρα καὶ ἔλεγε αὐτά, δὲν θὰ κατώρθωνε τίποτε. Καὶ ὁ Σαμουὴλ ἐὰν ἦταν πάλι, ποὺ καὶ αὐτὸς τοὺς ἔσωσε καὶ ποὺ ἐθαυμάσθηκε ἀπὸ μικρὴ ἡλικία, δὲν θὰ ἔκαμε τίποτε. Γιατὶ γιὰ μὲν τὸν Μωϋσῆ τὸ εἶπα αὐτό, ἐπειδὴ συνωμίλησα μαζί του σὰν φίλος πρὸς φίλο καὶ ὄχι μὲ ὑπαινιγμούς. Γιὰ τὸν Σαμουὴλ τὸ εἶπα, ἐπειδὴ ἐφανερώθηκα σ' αὐτὸν κατὰ τὴ μικρή του ἡλικία καὶ ἐπειδὴ ἐσεβάσθηκα αὐτὸν ἐπέτρεψα τὴν προφητεία ποὺ τὴν εἶχα ἐμποδίσει. «Καθόσον ὁ λόγος», λέγει, «ἦταν τίμιος καὶ δὲν ἦταν κάποιο ὅραμα ξεχωριστό»[28]. Ἐὰν λοιπὸν ἔλθουν αὐτοί, καθόλου δὲν θὰ ὠφελήσουν. Καὶ γιὰ τὸν Νῶε λέγει, «Ἦταν δίκαιος, τέλειος ἀνάμεσα στοὺς συγχρόνους του»[29]· καὶ γιὰ τὸν Ἰώβ, «Ἦταν ἄμεμπτος, δίκαιος, ἀληθής, θεοσεβής»[30]· καὶ γιὰ τὸν Δανιήλ, τὸν ὁποῖο ἐνόμισαν καὶ θεό. «Καὶ δὲν θὰ σώσουν», λέγει, «τοὺς υἱοὺς καὶ τὶς θυγατέρες τους».

Ταῦτα τοίνυν εἰδότες, μήτε καταφρονῶμεν τῶν εὐχῶν τῶν ἁγίων, μήτε τὸ πᾶν αὐταῖς ἐπιρρίπτωμεν, τοῦτο μέν, ἵνα μὴ ῥᾳθυμῶμεν καὶ εἰκῇ ἐνεδρευώμεθα, ἐκεῖνο δέ, ἵνα μὴ πολλοῦ κέρδους ἐκπέσωμεν· ἀλλὰ καὶ παρακαλῶμεν εὔχεσθαι ὑπὲρ ἡμῶν καὶ χεῖρα ὀρέγειν, καὶ αὐτοὶ ἐχώμεθα τῆς ἀρετῆς· ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ευσε καὶ κατέστρεψε τὰ Ἱεροσόλυμα. Ἡ Π.Δ. μᾶς δίνει σπουδαῖες πληροφορίες γι' αὐτόν.

21. Α' Βασ. 7,2 – 14
22. Ἰὼβ 42,8
23. Ἰεζ. 14,16
24. Ἰερ. 15,1
25. Ἰεζ. 9,8
26. Ἰερ. 7,17
27. Ἐξ. 32,32
28. Α' Βασ. 3,1
29. Γεν. 6,9
30. Ἰὼβ 1,1

Γνωρίζοντας λοιπὸν αὐτά, οὔτε νὰ περιφρονοῦμε τὶς προσευχὲς τῶν ἁγίων, οὔτε νὰ ἀποδίδωμε σὲ αὐτὲς τὰ πάντα· πρῶτα γιὰ νὰ μὴ ἀδιαφοροῦμε καὶ ἐξαπατώμασθε χωρὶς λόγο, καὶ ὕστερα γιὰ νὰ μὴ ἐκπέσωμε ἀπὸ τὴ μεγάλη ὠφέλεια. Ἀντίθετα ἂς παρακαλοῦμε νὰ προσεύχωνται γιὰ μᾶς καὶ νὰ μᾶς προσφέρουν βοήθεια καὶ ἐμεῖς ἂς ἐπιδιώκωμε τὴν ἀρετή, γιὰ νὰ μπορέσωμε νὰ ἐπιτύχωμε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθῆ γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ παντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄

(Α΄ Θεσ. 1,8–2,8)

«Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης».

1. Καθάπερ μύρον εὐῶδες τὴν εὐωδίαν οὐκ ἐν ἑαυτῷ συγκλεῖσαν ἔχει, ἀλλὰ πόρρωθεν ἀφίησι, καὶ τὸν ἀέρα ἀναχρῶσαν τῆς ὀσμῆς, οὕτως ἐνίησι καὶ τὰς τῶν πλησίον αἰσθήσεσιν, οὕτω δὴ καὶ οἱ γενναῖοι καὶ θαυμαστοὶ ἄνδρες οὐκ ἐν ἑαυτοῖς τὴν ἀρετὴν συγκλείσαντες ἔχουσιν, ἀλλὰ πολλοὺς διὰ τῆς φήμης αὐτῶν ὠφελοῦσι καὶ ἀμείνους ἐργάζονται. Ὅπερ οὖν καὶ τότε γεγένηται. Διὰ τοῦτο ἔλεγεν· «Ὥστε ὑμᾶς τύπους γενέσθαι πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ». «Ἀφ' ὑμῶν» γάρ, φησίν, «ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε». Τῆς μὲν οὖν παιδεύσεως τοὺς πλησίον πάντας ἐνεπλήσατε, τοῦ δὲ θαύματος τὴν οἰκουμένην· τὸ γάρ, «ἐν παντὶ τόπῳ», τοῦτό ἐστι. Καὶ οὐκ εἶπε, διατεθρύληται ἡ πίστις ὑμῶν, ἀλλ', «ἐξήχηται»· ὥσπερ σάλπιγγος λαμπρὸν ἠχούσης ὁ πλησίον ἅπας πληροῦται τόπος, οὕτω λαμπρὰ τῆς ὑμετέρας ἀνδρείας ἡ φήμη, καθάπερ ἐκείνη σαλπίζουσα, ἱκανὴ τὴν οἰκουμένην ἐμπλῆσαι, καὶ πᾶσι τοῖς πανταχοῦ μετὰ τῆς ἴσης ἠχῆς προσπεσεῖν. Τὰ γὰρ μεγάλα τῶν πραγμάτων ἔνθα μὲν ἂν γένηται, λαμπρότε-

---

1. Α΄ Θεσ. 1,7

ΟΜΙΛΙΑ Β´
(Α´ Θεσ. 1,8–2,8)

«Γιατὶ ἀπὸ σᾶς ἔχει ἀκουσθῆ ἔντονα ὁ λόγος τοῦ Κυρίου, ὄχι μόνο στὴν Μακεδονία καὶ στὴν 'Αχαΐα, ἀλλὰ καὶ σὲ κάθε τόπο ἔχει φθάσει ἡ πρὸς τὸν Θεὸ πίστι σας, ὥστε νὰ μὴ χρειάζεται νὰ εἰποῦμε ἐμεῖς τίποτε. Γιατὶ αὐτοὶ διηγοῦνται γιὰ μᾶς πῶς ἤλθαμε πρὸς ἐσᾶς καὶ πῶς ἐσεῖς ἐπεστρέψατε ἀπὸ τὰ εἴδωλα στὸν Θεό, γιὰ νὰ δουλεύετε σὲ Θεὸ ζωντανὸ καὶ ἀληθινό, καὶ νὰ περιμένετε τὸν Υἱό του ἀπὸ τοὺς οὐρανούς, τὸν ὁποῖο ἀνέστησε ἐκ τῶν νεκρῶν, δηλαδὴ τὸν 'Ιησοῦ, ὁ ὁποῖος μᾶς σώζει ἀπὸ τὴν ὀργὴ ποὺ πρόκειται νὰ ἔλθῃ».

1. Ὅπως ἀκριβῶς ἕνα γεμᾶτο ἀπὸ εὐωδία ἄρωμα δὲν φυλάσσει μέσα του τὴν εὐωδία, ἀλλὰ ἀπὸ μακριὰ τὴν ἀφήνει καὶ ἀφοῦ γεμίσῃ τὸν ἀέρα μὲ τὴ μυρωδιά του, τὴν στέλνει καὶ στὶς αἰσθήσεις τῶν πλησίον, ἔτσι λοιπὸν καὶ οἱ γενναῖοι καὶ θαυμαστοὶ ἄνδρες δὲν φυλάσσουν μέσα τους τὴν ἀρετή, ἀλλὰ μὲ τὴ φήμη τους πολλοὺς ὠφελοῦν καὶ τοὺς κάνουν πιὸ καλούς. Αὐτὸ ἀκριβῶς λοιπὸν ἔχει γίνει καὶ τότε. Γι' αὐτὸ ἔλεγε, «Ὥστε νὰ γίνετε ἐσεῖς παραδείγματα σὲ ὅλους ποὺ πιστεύουν στὴν Μακεδονία καὶ στὴν 'Αχαΐα»[1]. «Γιατὶ ἀπὸ σᾶς», λέγει, «ἔχει ἀκουσθῆ ὁ λόγος τοῦ Κυρίου, ὄχι μόνο στὴν Μακεδονία καὶ στὴν 'Αχαΐα, ἀλλὰ καὶ σὲ κάθε τόπο ἔχει φθάσει ἡ πρὸς τὸν Θεὸ πίστι σας». 'Εγεμίσατε λοιπὸν ὅλους μὲν τοὺς πλησίον ἀπὸ τὴν πίστι σας, τὴν δὲ οἰκουμένη ἀπὸ τὸ θαῦμα· γιατὶ τὸ «σὲ κάθε τόπο», αὐτὸ σημαίνει. Καὶ δὲν εἶπε, ἔχει διαδοθῆ ἡ πίστις σας, ἀλλὰ «ἔχει ἀκουσθῆ». Ὅπως ἀκριβῶς ὅταν ἠχῇ καθαρὰ ἡ σάλπιγγα, γεμίζει ὅλος ὁ γειτονικὸς χῶρος ἀπὸ τὸν ἦχο, ἔτσι εἶναι λαμπερὴ ἡ φήμη τῆς ἰδικῆς σας ἀνδρείας, ὅπως ἐκείνη ὅταν σαλπίζῃ, καὶ εἶναι ἱκανὴ νὰ γεμίσῃ τὴν οἰκουμένη καὶ νὰ φθάσῃ μὲ ἴση ἔντασι σὲ ὅλους ποὺ κατοικοῦν παντοῦ. Γιατὶ τὰ μεγάλα πράγματα ὅπου καὶ ἂν συμβαίνουν, διαδίδονται καθαρώτερα, ἂν ὅμως συμβαίνουν μα-

ρον ᾄδεται, πόρρω δέ, ᾄδεται μέν, οὐχ οὕτω δέ· ἐφ' ὑμῶν δὲ οὐχ οὕτως, ἀλλ' ἠχὴ εὔσημος πανταχοῦ τῆς γῆς ἐξελήλυθε.

Καὶ πόθεν, φησίν, ὅτι οὐκ ἦν ὑπερβολῆς τὰ ῥήματα; Καὶ γὰρ τὸ ἔθνος τοῦτο τὸ τῶν Μακεδόνων πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἐπίσημον ἦν, καὶ πανταχοῦ ᾔδετο Ῥωμαίων μᾶλλον· καὶ Ῥωμαῖοι διὰ τοῦτο θαυμαστοί, ὅτι τούτους εἶλον. Ἃ γὰρ ὁ Μακεδόνων βασιλεὺς εἰργάσατο, πάντα ὑπερέβαινε λόγον, ἀπὸ μικρᾶς μὲν ὁρμηθεὶς πόλεως, τὴν δὲ οἰκουμένην καταλαβών. Διὰ τοῦτο καὶ πτηνὴν πάρδαλιν αὐτὸν ὁρᾷ ὁ προφήτης, τὸ τάχος καὶ τὸ σφοδρὸν καὶ τὸ πυρῶδες καὶ τὸ ἄφνω που διαπτῆναι τὴν οἰκουμένην μετὰ τροπαίων καὶ νίκης δηλῶν. Λέγουσι δέ, ὅτι καὶ φιλοσόφου τινὸς ἀκούσας λέγοντος, ὅτι ἄπειροι κόσμοι εἰσί, πικρὸν ἐστέναξεν, εἴγε ἀπείρων ὄντων, μηδὲ ἑνός που κεκράτηκεν· οὕτως ἦν μεγαλόφρων καὶ μεγαλόψυχος, καὶ πανταχοῦ ᾔδετο. Τῇ γοῦν τοῦ βασιλέως φήμῃ συνανῄει καὶ ἡ τοῦ ἔθνους δόξα· Ἀλέξανδρος γὰρ ὁ Μακεδὼν ἐλέγετο. Ὥστε εἰκότως καὶ τὰ ἐκεῖ γενόμενα πανταχοῦ ᾄδεσθαι· τῶν γὰρ ἐπισήμων οὐδὲν δύναται λαθεῖν. Οὐχ ἧττον οὖν ἢ τὰ Ῥωμαίων τὰ Μακεδόνων ἦν. Τοῦτο δὲ καὶ ἀπὸ τῆς σφοδρότητος αὐτῶν γέγονεν. Ὥσπερ γὰρ περὶ ἐμψύχου τινὸς διαλεγόμενος, οὕτως εἶπεν, «ἐξελήλυθεν»· οὕτως ἦν σφοδρὰ καὶ ἐνεργής.

«Ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν», φησί, «λαλεῖν τι. Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς». Οὐ περιμένουσιν ἀκοῦσαι παρ' ἡμῶν, ἀλλὰ τοὺς παρόντας καὶ τεθεαμένους τὰ ὑμέτερα κατορθώματα, οἱ μὴ παρόντες μηδὲ τεθεαμένοι προλαμβάνουσιν· οὕτω δήλη πανταχοῦ γέγονε ταῖς ἀκοαῖς. Οὐκοῦν οὐ δεησόμεθα τὰ ὑμέτερα διηγούμενοι, εἰς ζῆλον αὐτοὺς ἀγαγεῖν τὸν ἴσον· ἃ γὰρ αὐτοὺς ἐχρῆν παρ' ἡμῶν ἀκούειν, ταῦτα αὐτοὶ προλαβόντες λέγουσι. Καίτοιγε πολλαχοῦ ἐπὶ τῶν τοιούτων φθόνος ἐστίν· ἀλλ' ἡ ὑπερβολὴ καὶ τοῦτον ἐνίκησε, καὶ αὐτοὶ κήρυκές εἰσι τῶν ἡμετέρων ἄθλων. Καίτοιγε ἀπολιμπανόμενοι, οὐδὲ οὕτω σιγῶσιν, ἀλλὰ ἀπιστῆσαι. Τί ἐστιν, «ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς»; Ὅτι κινδύνων ἔγεμεν, ὅτι

2. Ἡ ἱστορία τῶν Μακεδόνων ἀρχίζει κατὰ τὸ 700 π.Χ. Ἱδρυτὴς τοῦ κράτους θεωρεῖται ὁ Περδίκκας Α΄. Ἡ ἐπέκτασις τοῦ κράτους ἔγινε στὰ χρόνια τοῦ Ἀλκέτα (568 – 540 π.Χ.), τοῦ Ἀμύντα Α΄ (540 – 498 π.Χ.) καὶ Ἀλεξάνδρου Α΄ (498 – 454 π.Χ.). Γιὰ τὴν ἐκπολιτιστικὴ ἀνόρθωσι τοῦ κράτους εἰργάσθηκαν οἱ βασιλεῖς Ἀρχέλαος (413 – 399 π.Χ.) καὶ Περδίκκας Γ΄ (365 – 359 π.Χ.). Ἡ μεγάλη

κριά, διαδίδονται βέβαια, ὄχι ὅμως ἔτσι· σὲ σᾶς ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ λαμπρὴ φωνὴ ἔχει φθάσει σὲ ὅλα τὰ σημεῖα τῆς γῆς.

Καὶ πῶς, λέγει, δὲν εἶναι ὑπερβολικὰ τὰ λόγια αὐτά; Εἶναι ἀλήθεια ὅτι τοῦτο τὸ ἔθνος τῶν Μακεδόνων[2] ἦταν ὀνομαστὸ πρὶν ἀπὸ τὴν παρουσία τοῦ Χριστοῦ καὶ παντοῦ ἐξυμνεῖτο περισσότερο ἀπὸ τοὺς Ρωμαίους· καὶ οἱ Ρωμαῖοι γι' αὐτὸ εἶναι θαυμαστοί, ἐπειδὴ κατέβαλαν αὐτούς. Γιατὶ αὐτὰ ποὺ ἔκαμε ὁ βασιλεὺς τῶν Μακεδόνων, ὑπερβαίνουν κάθε νοῦ, ἀφοῦ ἐξεκίνησε ἀπὸ μικρὴ πόλι καὶ ἐκυρίευσε τὴν οἰκουμένη. Γι' αὐτὸ καὶ ὁ προφήτης βλέπει αὐτὸν σὰν φτερωτὴ λεοπάρδαλι, δηλώνοντας τὴν ταχύτητα, τὴν ὁρμή, τὴν ἀποτελεσματικότητα καὶ τὸ αἰφνιδιαστικὸ κατὰ κάποιο τρόπο πέταγμά του ἐπάνω ἀπὸ τὴν οἰκουμένη μὲ τρόπαια καὶ νίκες. Ἀκόμη λέγουν, ὅτι ὅταν ἄκουσε κάποιο φιλόσοφο νὰ λέγῃ, ὅτι ὑπάρχουν ἄπειροι κόσμοι, ἐστέναξε πικρά, διότι, ἐνῶ ὑπάρχουν ἄπειροι, δὲν ἔγινε βέβαια κυρίαρχος οὔτε ἑνὸς κόσμου· τόσο πολὺ ὑπερήφανος καὶ μεγαλόψυχος ἦταν καὶ παντοῦ ἐξυμνεῖτο. Μὲ τὴ φήμη βέβαια τοῦ βασιλέως ἐσυμβάδιζε καὶ ἡ δόξα τοῦ ἔθνους, γιατὶ ὀνομαζόταν Ἀλέξανδρος ὁ Μακεδών. Ὥστε ἦταν ἑπόμενο καὶ τὰ συμβάντα ἐκεῖ νὰ διαδίδονταν παντοῦ, γιατὶ ἀπὸ τὰ σπουδαῖα πράγματα τίποτε δὲν μπορεῖ νὰ μείνῃ ἀπαρατήρητο. Δὲν ἦταν λοιπὸν τὰ πράγματα τῶν Μακεδόνων κατώτερα ἀπὸ τῶν Ρωμαίων. Αὐτὸ ὅμως ἔχει γίνει καὶ ἀπὸ τὴν ὁρμητικότητα αὐτῶν. Γιατὶ σὰν νὰ ἔλεγε γιὰ κάτι ἔμψυχο, ἔτσι εἶπε «ἔχει φθάσει». Ἔτσι ἦταν ὁρμητικὴ καὶ ἐνεργητικὴ ἡ πίστις αὐτῶν.

«Ὥστε νὰ μὴ χρειάζεται», λέγει, «νὰ εἰποῦμε ἐμεῖς τίποτε. Γιατὶ αὐτοὶ ἀναφέρουν γιὰ μᾶς πῶς ἤλθαμε πρὸς σᾶς». Δὲν περιμένουν νὰ ἀκούσουν ἀπὸ μᾶς, ἀλλὰ ἐκείνους ποὺ ἦταν παρόντες καὶ εἶχαν ἰδῆ τὰ κατορθώματά σας τοὺς προλαβαίνουν ἐκεῖνοι ποὺ ἦταν ἀπόντες καὶ οὔτε τὰ εἶχαν ἰδῆ. Ἔτσι ἔχει γίνει ἡ φήμη σας παντοῦ ξακουστή. Ἑπομένως δὲν θὰ χρειασθοῦμε νὰ διηγούμασθε τὰ ἰδικά σας ἔργα, γιὰ νὰ ὁδηγήσωμε αὐτοὺς σὲ παρόμοιο ζῆλο, γιατὶ ἐκεῖνα ποὺ ἔπρεπε νὰ ἀκούουν ἀπὸ μᾶς, αὐτοὶ τὰ διακηρύσσουν πρὶν ἀπὸ μᾶς. Ἂν καὶ βέβαια πολλὲς φορὲς σὲ τέτοια πράγματα ὑπάρχει φθόνος, ἀλλὰ ἡ ὑπερβολὴ ἐνίκησε καὶ αὐτόν, καὶ εἶναι αὐτοὶ κήρυκες τῶν ἰδικῶν σας κατορθωμάτων. Καὶ μολονότι βέβαια ὑστεροῦν ἔναντί σας, ὅμως οὔτε ἔτσι σιωποῦν, ἀλλὰ προλαβαίνουν. Καὶ ἐφόσον εἶναι τέτοιοι δὲν εἶναι δυνατὸ μᾶς λέγουν νὰ ἀπιστήσουν. Τί σημαίνει, «πῶς ἤλθαμε πρὸς ἐσᾶς»; Ὅτι ἡ ἐπί-

θανάτων μυρίων, ὅτι τούτων οὐδὲν ὑμᾶς ἐτάραττεν, ἀλλ', ὡς οὐδενὸς γενομένου, οὕτως ἡμῶν εἴχεσθε· ὡς οὐδὲν παθόντες κακόν, ἀλλ' ὡς μυρίων ἀπολαύσαντες ἀγαθῶν, οὕτως ἡμᾶς ἐδέξασθε μετὰ ταῦτα. Δευτέρα γὰρ ἦν εἴσοδος αὕτη. Ἀπῆλθον εἰς Βέροιαν, ἐδιώχθησαν· καὶ μετὰ ταῦτα ἐλθόντας αὐτοὺς οὕτως ἐδέξαντο, ὡς τιμηθέντας παρ' αὐτῶν, ὥστε καὶ τὴν ψυχὴν αὐτῶν ὑπὲρ αὐτῶν ἔθηκαν. Τὸ οὖν, «ὁποίαν εἴσοδον ἔσχομεν», συμπεπλεγμένον ἐστί, καὶ τούτων μέν, καὶ αὐτῶν ἐγκώμιον· ἀλλ' αὐτὸς τοῦτο ἔτρεψεν εἰς τὸ αὐτῶν.

«Καὶ πῶς ἐπεστρέψατε», φησί, «πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ». Τουτέστιν, ὅτι εὐκόλως, ὅτι μετὰ πολλῆς τῆς σφοδρότητος, ὅτι οὐκ ἐδεήθητε πολλῆς πραγματείας. «Εἰς τὸ δουλεύειν», φησί, «Θεῷ ζῶντι καὶ ἀληθινῷ». Ἐνταῦθα καὶ παραίνεσιν εἰσήγαγεν, ὅπερ ἐστὶν ἀνεπαχθέστερον. «Καὶ ἀναμένειν», φησί, «τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης». «Καὶ ἀναμένειν», φησί, «τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν», τὸν ἐσταυρωμένον, τὸν ταφέντα, τοῦτον ἐκ τῶν οὐρανῶν ἀναμένειν. Καὶ πῶς ἐκ τῶν οὐρανῶν; «Ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν». Εἶδες ὁμοῦ πάντα, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν, καὶ τὴν δευτέραν παρουσίαν, τὴν κρίσιν, τὴν τῶν δικαίων ἀνταπόδοσιν, τὴν τῶν πονηρῶν τιμωρίαν; «Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς», φησίν, «ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης». Τοῦτο καὶ παραμυθία, καὶ παράκλησις, καὶ προτροπή. Εἰ γὰρ ἤγειρεν ἐκ τῶν νεκρῶν, καὶ ἐν οὐρανῷ ἐστι, καὶ ἐκεῖθεν ἔρχεται, καὶ τούτῳ ἐπιστεύσατε· οὐ γὰρ ἄν, εἰ μὴ τούτῳ ἐπιστεύσατε, τοσαῦτα ἐπάθετε· ἱκανὴ παραμυθία καὶ ταῦτα. Δώσουσι, φησίν, οὗτοι δίκην, ὅπερ οὖν καὶ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ φησι, καὶ ὑμεῖς παραμυθίαν οὐ μικράν. «Καὶ ἀναμένειν», φησί, «τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν». Τὰ μὲν δεινὰ ἐν χερσί, τὰ δὲ χρηστὰ ἐν μελλήσει, ὅταν ὁ Χριστὸς ἀπὸ τῶν οὐρανῶν ἔλθῃ. Ὅρα πόσης δεῖται ἐλπίδος· ὅτι ὁ σταυρωθεὶς ἠγέρθη, ὅτι ἀνελήφθη εἰς τοὺς οὐρανούς, ὅτι ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς.

2. «Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς

ἀκμὴ ὅμως τοῦ κράτους τῶν Μακεδόνων συμπίπτει μὲ τὴ βασιλεία τοῦ Φιλίππου Β΄ (359 – 336 π.Χ.) καὶ τοῦ υἱοῦ του Ἀλεξάνδρου Γ΄ τοῦ Μεγάλου (336 – 323 π.Χ.). Τὰ πρόσφατα εὑρήματα τῆς Βεργίνας ἀποδεικνύουν πολλὰ πολιτιστικὰ καὶ ἄλλα στοιχεῖα τῶν Μακεδόνων.

3. Β΄ Θεσ. 1,8.9

σκεψίς μας ἦταν γεμάτη ἀπὸ κινδύνους, ὅτι ἦταν γεμάτη ἀπὸ πολλὲς θλίψεις, ὅτι τίποτε ἀπὸ αὐτὰ δὲν σᾶς ἐνοχλοῦσε, ἀλλά, σὰν νὰ μὴ ἔγινε τίποτε, ἔτσι μᾶς ἀκολουθούσατε· σὰν νὰ μὴ ἐπάθατε τίποτε, ἀλλὰ σὰν νὰ ἀπολαύσατε πάρα πολλὰ ἀγαθά, ἔτσι μᾶς ἐδεχθήκατε ὕστερα ἀπὸ αὐτά. Γιατὶ αὐτὴ ἡ ἐπίσκεψις ἦταν δεύτερη. Ἔφυγαν στὴν Βέροια, ἐδιώχθηκαν· καὶ ὕστερα ἀπὸ αὐτά, ἀφοῦ ἦλθαν ἔτσι τοὺς ἐδέχθηκαν, σὰν νὰ ἐτιμήθηκαν ἀπὸ αὐτούς, ὥστε καὶ τὴν ψυχή τους παρέδωσαν γιὰ χάρι αὐτῶν. Τὸ «πῶς ἤλθαμε» λοιπὸν εἶναι σύνθετο, εἶναι ἐγκώμιο καὶ ἐκείνων καὶ αὐτῶν, ἀλλ' αὐτὸς μετέτρεψε αὐτὸ σὲ ἐγκώμιο αὐτῶν.

«Καὶ πῶς ἐπεστρέψατε», λέγει, «ἀπὸ τὰ εἴδωλα στὸν Θεό, γιὰ νὰ δουλεύετε σὲ Θεὸ ζωντανὸ καὶ ἀληθινό». Δηλαδή, ὅτι συνέβηκε αὐτὸ εὔκολα, ὅτι μὲ πολὺ ζῆλο, ὅτι δὲν ἐχρειασθήκατε πολλὴ ἐργασία. «Γιὰ νὰ δουλεύετε», λέγει, «σὲ Θεὸ ζωντανὸ καὶ ἀληθινό». Ἐδῶ εἰσήγαγε καὶ παραίνεσι, πρᾶγμα ποὺ εἶναι πιὸ ἐλαφρύ. «Καὶ νὰ περιμένετε», λέγει, «τὸν Υἱό του ἀπὸ τοὺς οὐρανούς, τὸν ὁποῖο ἀνέστησε ἀπὸ τοὺς νεκρούς, δηλαδὴ τὸν Ἰησοῦ, ὁ ὁποῖος μᾶς σώζει ἀπὸ τὴν ὀργὴ ποὺ πρόκειται νὰ ἔλθη». «Καὶ νὰ περιμένετε», λέγει, «τὸν Υἱὸ του ἀπὸ τοὺς οὐρανούς», δηλαδὴ αὐτὸν ποὺ ἐσταυρώθηκε, αὐτὸν ποὺ ἐτάφηκε αὐτὸν νὰ περιμένετε ἀπὸ τοὺς οὐρανούς. Καὶ πῶς νὰ τὸν περιμένουν ἀπὸ τοὺς οὐρανούς; «Τὸν ὁποῖο ἀνέστησε ἐκ τῶν νεκρῶν». Εἶδες πῶς ἀνέφερε ὅλα μαζί, καὶ τὴν ἀνάστασι καὶ τὴν ἀνάληψι καὶ τὴ δευτέρα παρουσία, τὴν κρίσι, τὴν ἀνταπόδοσι τῶν δικαίων, τὴν τιμωρία τῶν πονηρῶν; «Τὸν Ἰησοῦ, ὁ ὁποῖος μᾶς σώζει», λέγει, «ἀπὸ τὴν ὀργὴ ποὺ πρόκειται νὰ ἔλθη». Αὐτὸ εἶναι καὶ παρηγοριὰ καὶ παράκλησις καὶ προτροπή. Ἐὰν λοιπὸν τὸν ἀνέστησε ἀπὸ τοὺς νεκροὺς καὶ εἶναι στὸν οὐρανὸ καὶ ἀπὸ ἐκεῖ ἔρχεται, καὶ σὲ αὐτὸ ἐπιστεύσατε· γιατὶ δὲν θὰ ἐπαθαίνατε τόσα πολλά, ἐὰν δὲν ἐπιστεύατε σ' αὐτό. Ἀρκετὴ παρηγοριὰ ἀποτελοῦν καὶ αὐτά. Θὰ τιμωρηθοῦν, λέγει, αὐτοί, πρᾶγμα ποὺ λέγει καὶ στὴ Β΄ πρὸς Θεσσαλονικεῖς ἐπιστολή του,[3] καὶ ἐσεῖς θὰ ἔχετε παρηγοριὰ μεγάλη. «Καὶ νὰ περιμένετε», λέγει, «τὸν Υἱό του ἀπὸ τοὺς οὐρανούς». Τὰ δεινὰ ἔρχονται ἀμέσως, τὰ ἀγαθὰ ὅμως ἀργότερα, ὅταν ἔλθη ὁ Χριστὸς ἀπὸ τοὺς οὐρανούς. Πρόσεχε πόση ἐλπίδα χρειάζεται· ὅτι δηλαδὴ ἐκεῖνος ποὺ ἐσταυρώθηκε, ἀναστήθηκε, ὅτι ἀνελήφθηκε στοὺς οὐρανούς, ὅτι ἔρχεται νὰ κρίνη τοὺς ζωντανοὺς καὶ τοὺς νεκρούς.

2. «Γιατὶ ἐσεῖς οἱ ἴδιοι γνωρίζετε, ἀδελφοί, ὅτι ἡ ἐπίσκεψίς μας

ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν, ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι». Μεγάλα μὲν καὶ τὰ ὑμέτερα· πλὴν ἀλλ' οὐδὲ ἡμεῖς ἀνθρωπίνῳ λόγῳ ἐχρησάμεθα. Ἀλλ' ὅπερ ἄνω φησί, τοῦτο καὶ ἐνταῦθα, ὅτι ἀμφοτέρωθεν δείκνυται τὸ κήρυγμα οἷόν ἐστιν, ἀπό τε τῶν σημείων, ἀπό τε τῆς τῶν κηρυττόντων προαιρέσεως, ἀπό τε τῆς τῶν δεχομένων θερμότητος καὶ σπουδῆς. «Αὐτοὶ γὰρ οἴδατε», φησί, «τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε»· τουτέστιν, ὅτι οὐκ ἀνθρωπίνη, οὐδὲ ἡ τυχοῦσα. Ἀπὸ γὰρ κινδύνων ὄντες μεγάλων καὶ θανάτων καὶ πληγῶν, εὐθέως εἰς κινδύνους ἐνεπέσομεν. «Ἀλλὰ προπαθόντες», φησί, «καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν». Ὁρᾷς πῶς πάλιν τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ; «Λαλῆσαι, φησί, πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι». Οὐκ ἔστιν εἰπεῖν, ὅτι ἐκεῖ μὲν ἐκινδυνεύσαμεν, ἐνταῦθα δὲ οὔ· ἴστε καὶ ὑμεῖς ὅσος ὁ κίνδυνος, μεθ' ὅσης ἀγωνίας ἐγενόμεθα πρὸς ὑμᾶς. Ὅπερ καὶ πρὸς Κορινθίους φησὶ γράφων, ὅτι «Ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς».

«Ἡ γὰρ παράκλησις ἡμῶν», φησίν, «οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ, ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν». Ὁρᾷς ὅτι, ὅπερ ἔφην, ἀπὸ τῆς ἐνστάσεως αὐτῶν ποιεῖται τεκμήριον τοῦ θεῖον εἶναι τὸ κήρυγμα; Οὐ γὰρ ἄν, οὐδὲ ἀναπνεῦσαι διδόντας ἡμῖν. Ὑμεῖς ἐν θλίψει, ἡμεῖς ἐν θλίψει. Τί ποτ' οὖν ἐστιν, εἰ μή τι τῶν μελλόντων διήγειρεν ἡμᾶς, εἰ μὴ ἐπεπείσμεθα ὅτι ἐλπίς ἐστιν ἀγαθή; Τίς γὰρ ἂν ἕλοιτο ὑπὲρ τῶν ἐνταῦθα τοσαῦτα ὑπομένειν, καὶ βίον ἐναγώνιον ζῆν, καὶ κινδύνων γέμοντα; τίνα γὰρ ἂν πείσαιεν; αὐτὰ γὰρ ταῦτα οὐχ ἱκανὰ θορυβῆσαι τοὺς μαθητάς, ὅταν τοὺς διδασκάλους ὁρῶσιν ἐν κινδύνοις; Ἀλλ' οὐχ ὑμεῖς τοῦτο πεπόνθατε. «Ἡ γὰρ παράκλησις ἡμῶν»,

4. Α΄ Κορ. 2,3

σὲ σᾶς δὲν ὑπῆρξε χωρὶς ἀποτελέσματα, ἀλλὰ ἂν καὶ προηγουμένως ἐπάθαμε πολλὰ καὶ ὑβρισθήκαμε στοὺς Φιλίππους, καθὼς γνωρίζετε, ἐδείξαμε θάρρος, ποὺ μᾶς ἐνέπνεε ἡ ἕνωσίς μας μὲ τὸν Θεό, γιὰ νὰ κηρύξωμε σὲ σᾶς τὸ εὐαγγέλιο τοῦ Θεοῦ ὕστερα ἀπὸ μεγάλο ἀγῶνα». Εἶναι βέβαια μεγάλα τὰ ἰδικά σας κατορθώματα, ἀλλ' ὅμως οὔτε ἐμεῖς δὲν ἐμεταχειρισθήκαμε ἀνθρώπινο λόγο. Ἀλλὰ αὐτὸ ποὺ εἶπε παραπάνω, αὐτὸ καὶ ἐδῶ λέγει, ὅτι καὶ ἀπὸ τὰ δύο μέρη ἀποδεικνύεται ποιὸ εἶναι τὸ κήρυγμα, δηλαδὴ καὶ ἀπὸ τὰ θαύματα, καὶ ἀπὸ τὴν προαίρεσι ἐκείνων ποὺ κηρύσσουν, καὶ ἀπὸ τὸ ζῆλο καὶ τὸ ἐνδιαφέρον ἐκείνων ποὺ τὸ δέχονται. «Γιατὶ ἐσεῖς οἱ ἴδιοι γνωρίζετε», λέγει, «ὅτι ἡ ἐπίσκεψίς μας σὲ σᾶς δὲν ὑπῆρξε μάταια»· δηλαδή, ὅτι δὲν ἦταν συνηθισμένη σὲ ἀνθρώπους, οὔτε τυχαία. Γιατὶ προερχόμενοι ἀπὸ μεγάλους κινδύνους καὶ θλίψεις καὶ συμφορές, ἀμέσως ἐπεριπέσαμε σὲ νέους κινδύνους. «Ἀλλὰ ἂν καὶ προηγουμένως ἐπάθαμε πολλά», λέγει, «καὶ ὑβρισθήκαμε στοὺς Φιλίππους, καθὼς γνωρίζετε, ἐδείξαμε θάρρος, ποὺ μᾶς τὸ ἐνέπνεε ἡ ἕνωσίς μας μὲ τὸν Θεό». Βλέπεις πῶς πάλι ἀναθέτει στὸν Θεὸ τὰ πάντα; «Γιὰ νὰ κηρύξωμε», λέγει, «τὸ εὐαγγέλιο τοῦ Θεοῦ σὲ σᾶς μὲ μεγάλο ἀγῶνα». Δὲν εἶναι δυνατὸ νὰ εἰποῦμε, ὅτι ἐκεῖ ἐκινδυνεύσαμε, ἐδῶ ὅμως ὄχι. Γνωρίζετε καὶ σεῖς πόσο μεγάλος ἦταν ὁ κίνδυνος, μὲ πόση ἀγωνία ἤλθαμε πρὸς ἐσᾶς. Αὐτὸ καὶ πρὸς τοὺς Κορινθίους λέγει, γράφοντας, ὅτι «Ἦλθα πρὸς ἐσᾶς χωρὶς δύναμι καὶ μὲ φόβο καὶ τρόμο πολύ»[4].

«Γιατὶ ἡ προτροπή μας», λέγει, «δὲν προήρχετο ἀπὸ πλάνη, οὔτε ἀπὸ ἀνηθικότητα, οὔτε εἶχε σχέσι μὲ δόλο, ἀλλ' ἐπειδὴ ἔχομε κριθῆ ἄξιοι ἀπὸ τὸν Θεό, ὕστερα ἀπὸ δοκιμασία, νὰ μᾶς ἐμπιστευθῆ τὸ εὐαγγέλιο, γι' αὐτὸ κηρύσσομε, ὄχι γιὰ νὰ ἀρέσωμε σὲ ἀνθρώπους, ἀλλὰ στὸν Θεό, ὁ ὁποῖος ἐξετάζει τὶς καρδιές μας». Βλέπεις ὅτι, ὅπως προαναφέρα, ἀπὸ τὴν ἀντίστασι αὐτῶν ἀποδεικνύει ὅτι τὸ κήρυγμα εἶναι θεϊκό; Γιατί, ἐὰν δὲν συνέβαινε αὐτό, ἐὰν ἦταν ἀπάτη, δὲν θὰ ὑπομέναμε τόσο πολλοὺς κινδύνους, χωρὶς νὰ μᾶς παρέχουν ἀνακούφισι. Ἐσεῖς μέσα στὶς θλίψεις, καὶ ἐμεῖς μέσα στὶς θλίψεις. Τί τέλος πάντων λοιπὸν συμβαίνει, ἐὰν δὲν μᾶς ἐπαρακινοῦσε τίποτε μελλοντικό, ἐὰν δὲν εἴχαμε πεισθῆ ὅτι ὑπάρχει ἐλπίδα ἀγαθή; Ποιὸς λοιπὸν θὰ ἐπροτιμοῦσε νὰ ὑποφέρη τόσα πολλὰ γιὰ χάρι τῶν ἀγαθῶν τῆς παρούσης ζωῆς, καὶ νὰ ζῆ μία ζωὴ μὲ ἀγῶνες καὶ γεμάτη ἀπὸ κινδύνους; γιατὶ ποιὸν θὰ ἔπειθαν; αὐτὰ δηλαδὴ τὰ ἴδια δὲν ἦταν σὲ θέσι νὰ θορυβήσουν τοὺς μαθητές, βλέποντας τοὺς διδασκάλους μέσα στοὺς κινδύνους; Ἀλλ' ἐσεῖς

τουτέστιν, ἡ διδαχή, «οὐκ ἐκ πλάνης». Οὐκ ἔστι δόλος, φησί, τὸ πρᾶγμα, οὐδὲ ἀπάτη, ἵνα ἐνδῶμεν· οὐκ ἔστιν ὑπὲρ μυσαρῶν πραγμάτων, οἷον γοήτων καὶ μάγων καὶ ἀκαθαρσίας, φησίν· οὔτε ἐν δόλῳ, οὔτε ἐπὶ στάσει τινί, ὅπερ ὁ Θευδᾶς ἐποίησεν· «Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ». Ὁρᾷς, ὅτι οὐκ ἔστι κενοδοξία;

«Ἀλλὰ τῷ Θεῷ», φησί, «τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν». Οὐδὲν πρὸς ἀρέσκειαν ἀνθρώπων πράττομεν, φησί· τίνος γὰρ ἕνεκεν ταῦτα ἂν ἐπράξαμεν; Ἔπειτα ἐπαινέσας αὐτούς, λέγει, οὐχ ὡς ἀνθρώποις θέλοντες ἀρέσαι, οὔτε τὰς παρὰ ἀνθρώπων ἐπιζητοῦντες τιμάς· «Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον». Εἰ μὴ εἶδε παντὸς ἀπηλλαγμένους βιωτικοῦ, οὐκ ἂν ἡμᾶς εἵλετο. Καθὼς οὖν ἐδοκίμασε, τοιοῦτοι μένομεν, ὡς δεδοκιμασμένοι ὑπὸ τοῦ Θεοῦ. Πόθεν ἡμᾶς ἐδοκίμασε καὶ ἐπίστευσε τὸ εὐαγγέλιον; Δόκιμοι ἐφάνημεν τῷ Θεῷ, οὕτω μένομεν. Τῆς ἀρετῆς ἡμῶν τεκμήριον τὸ πιστευθῆναι τὸ εὐαγγέλιον· οὐκ ἄν, εἴ τι φαῦλον ἐν ἡμῖν ἦν, ὁ Θεὸς ἡμᾶς ἐδοκίμασε. Τὸ δέ, ἐδοκίμασεν, ἐνταῦθα οὐχὶ ἐρεύνης ἐστίν· ἀλλ' ὅπερ ἡμεῖς ἀπὸ τοῦ δοκιμάσαι πράττομεν, τοῦτο αὐτὸς χωρὶς δοκιμῆς. Τουτέστιν, ὥσπερ ἡμᾶς εὗρε δοκίμους καὶ ἐπίστευσεν, οὕτω λαλοῦμεν· ὥσπερ εἰκὸς τοὺς ὑπὸ τοῦ Θεοῦ δοκιμασθέντας καὶ πιστευθέντας ἀξίους εἶναι τοῦ εὐαγγελίου, οὕτω λαλοῦμεν, «οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες»· τουτέστιν, οὐ δι' ὑμᾶς ταῦτα πάντα ποιοῦμεν.

Ἐπειδὴ προλαβὼν αὐτοὺς ἐπῄνεσεν, ἵνα μὴ εἰς ὑποψίαν τὸν λόγον ἀγάγῃ, φησίν· «Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, Θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι». «Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν», φησί· τουτέστιν, οὐκ ἐκολακεύσαμεν, ὅπερ ἐστὶ τῶν ἀπατώντων, τῶν βουλομένων κατασχεῖν καὶ κρατῆσαι. Οὐκ ἔστιν εἰπεῖν ὅτι ἐκολακεύ-

---

5. Πράξ. 5,36

δὲν ἔχετε πάθει αὐτό. «Γιατὶ ἡ προτροπή μας», δηλαδή, ἡ διδασκαλία, «δὲν προέρχεται ἀπὸ πλάνη». Δὲν εἶναι δόλος, λέγει, τὸ πρᾶγμα, οὔτε ἀπάτη, γιὰ νὰ φοβηθοῦμε· δὲν εἶναι γιὰ βδελυρὰ πράγματα, ὅπως γιὰ γόητες καὶ μάγους καὶ ἀνηθικότητα, λέγει· οὔτε ἔχει σχέσι μὲ δόλο, οὔτε πρόκειται γιὰ κάποια στάσι, ὅπως ἔκαμε ὁ Θευδᾶς[5]. «Ἀλλ' ἐπειδὴ ἔχομε δοκιμασθῆ ἀπὸ τὸν Θεὸ καὶ μᾶς ἔχει ἐμπιστευθῆ τὸ εὐαγγέλιο, γι' αὐτὸ κηρύσσομε, ὄχι γιὰ νὰ ἀρέσωμε σὲ ἀνθρώπους, ἀλλὰ στὸν Θεό». Βλέπεις, ὅτι δὲν εἶναι ματαιοδοξία;

«Ἀλλὰ στὸν Θεό», λέγει, «ὁ ὁποῖος ἐξετάζει τὶς καρδιές μας». Τίποτε, λέγει, δὲν κάνομε γιὰ νὰ ἀρέση στοὺς ἀνθρώπους· γιὰ ποιὸ λοιπὸν λόγο θὰ ἐκάναμε αὐτά; Ἔπειτα, ἀφοῦ τοὺς ἐπήνεσε, λέγει, ὄχι ἐπειδὴ θέλομε νὰ ἀρέσωμε σὲ ἀνθρώπους, οὔτε ἐπειδὴ ἐπιζητοῦμε τὶς τιμὲς ἀπὸ τοὺς ἀνθρώπους, «Ἀλλ' ἐπειδὴ ἔχομε δοκιμασθῆ ἀπὸ τὸν Θεὸ καὶ μᾶς ἔχει ἐμπιστευθῆ τὸ εὐαγγέλιο». Ἐὰν δὲν ἔβλεπε, ὅτι ἔχομε ἀπαλλαγῆ ἀπὸ κάθε βιωτικὸ πρᾶγμα, δὲν θὰ μᾶς ἐξεχώριζε. Ὅπως λοιπὸν μᾶς ἐδοκίμασε, τέτοιοι ἀκριβῶς παραμένομε, σὰν δοκιμασμένοι ἀπὸ τὸν Θεό. Ἀπὸ ποῦ μᾶς ἐδοκίμασε καὶ μᾶς ἐμπιστεύθηκε τὸ εὐαγγέλιο; Ἔχομε ἀποδειχθῆ ἄξιοι στὸν Θεό, καὶ τέτοιοι παραμένομε. Ἀπόδειξις τῆς ἀρετῆς μας εἶναι τὸ ὅτι μᾶς ἐμπιστεύθηκε τὸ εὐαγγέλιο. Δὲν θὰ μᾶς ἐδοκίμαζε ὁ Θεός, ἐὰν ὑπῆρχε μέσα μας κάτι τὸ φαῦλο. Τὸ «ἐδοκίμασε» ἐδῶ δεν ἔχει τὴν ἔννοια τῆς προσεκτικῆς ἐξετάσεως, ἀλλὰ ἐκεῖνο ποὺ ἐμεῖς πράττομε ὕστερα ἀπὸ δοκιμή, αὐτὸ κάνει αὐτὸς χωρὶς δοκιμή. Δηλαδή, ὅπως μᾶς εὑρῆκε δοκιμασμένους καὶ μᾶς ἐμπιστεύθηκε, ἔτσι κηρύσσομε· σαν ἐκείνους φυσικὰ ποὺ τοὺς ἐδοκίμασε καὶ τοὺς ἐμπιστεύθηκε ὁ Θεός, ὅτι εἶναι ἄξιοι τοῦ Εὐαγγελίου, ἔτσι κηρύσσομε, «ὄχι μὲ σκοπὸ νὰ ἀρέσωμε σὲ ἀνθρώπους». Δηλαδὴ δὲν τὰ κάνομε ὅλα αὐτὰ γιὰ σᾶς.

Ἐπειδὴ προκαταβολικὰ τοὺς ἐπήνεσε, γιὰ νὰ μὴ ὁδηγήση τὸ λόγο σὲ ὑπόνοια, λέγει· «Γιατὶ οὔτε ὡμιλήσαμε ποτὲ μὲ κολακεῖες, καθὼς γνωρίζετε, οὔτε μὲ τὸ πρόσχημα τῆς πλεονεξίας, ὁ Θεὸς εἶναι μάρτυς, οὔτε ζητώντας τὴ δόξα ἀπὸ τοὺς ἀνθρώπους, οὔτε ἀπὸ σᾶς, οὔτε ἀπὸ ἄλλους, ἂν καὶ μπορούσαμε, σὰν ἀπόστολοι τοῦ Χριστοῦ ποὺ εἴμασθε, νὰ εἴχαμε καὶ ἀπαιτήσεις». «Γιατὶ οὔτε ἐχρησιμοποιήσαμε ποτὲ κολακεία», λέγει· δηλαδή, δὲν ἐκολακεύσαμε, πρᾶγμα ποὺ εἶναι χαρακτηριστικὸ ἐκείνων ποὺ ἐξαπατοῦν, ἐκείνων ποὺ θέλουν νὰ ἐξουσιάσουν καὶ νὰ ἐπικρατήσουν. Δὲν μπορεῖ νὰ

σαμεν, ἵνα κρατήσωμεν, οὐδὲ ὅτι χρημάτων ἕνεκεν ἐπὶ τοῦτο ἥκομεν. Τούτου λοιπόν, ὅπερ ἦν δῆλον, αὐτοὺς καλεῖ μάρτυρας· εἰ ἐκολακεύσαμεν, ὑμεῖς οἴδατε, φησίν· ὅπερ δὲ ἄδηλον ἦν, τό, εἰ τρόπῳ πλεονεξίας, Θεὸν καλεῖ μάρτυρα. «Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι»· τουτέστιν, οὔτε τιμὰς ἐπιζητοῦντες, καὶ κομπάζοντες, καὶ δορυφορούμενοι. Καίτοι εἰ καὶ τοῦτο εἰργασάμεθα, οὐδὲν ἀλλότριον ἐποιοῦμεν· εἰ γὰρ παρὰ βασιλέων ἀποστελλόμενοί τινες ὅμως εἰσὶν ἐν τιμῇ, πολλῷ μᾶλλον ἡμεῖς. Καὶ οὐκ εἶπεν ὅτι ἠτιμάσθημεν, οὐδὲ ὅτι οὐκ ἀπελαύσαμεν τιμῆς, ὅπερ ἦν ὀνειδίζοντος αὐτούς· ἀλλ', οὐκ ἐζητήσαμεν.

Οἱ τοίνυν, ἐξὸν ζητῆσαι, μὴ ζητήσαντες, καὶ τοῦ κηρύγματος τοῦτο ἀπαιτοῦντος, πῶς δόξης ἕνεκέν τι πράττομεν; Καίτοιγε εἰ καὶ ἐζητήσαμεν, οὐδὲ οὕτως ἦν ἔγκλημα· εἰκὸς γὰρ τοὺς παρὰ Θεοῦ πρὸς ἀνθρώπους ἀποσταλέντας, ὡσανεὶ ἀπὸ τοῦ οὐρανοῦ νῦν ἥκοντας πρέσβεις, πολλῆς ἀπολαῦσαι τιμῆς. Ἀλλ' ἐκ περιουσίας ἡμεῖς οὐδὲν τούτων πράττομεν, ἵνα τὰ τῶν ἐναντίων ἐμφράξωμεν στόματα. Καὶ οὐκ ἔνι εἰπεῖν ὅτι πρὸς μὲν ὑμᾶς οὕτω, πρὸς δὲ ἑτέρους οὐχ οὕτως· οὕτω γὰρ καὶ Κορινθίοις γράφων ἔλεγεν· «Ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει»· καὶ πάλιν, «Ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος»· καὶ πάλιν, «Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην». Δείκνυσι κἀκεῖ, ὅτι σφόδρα ταπεινὸς ἦν, ἀπὸ τοῦ τοσαῦτα παθεῖν. Ἐνταῦθα δὲ καὶ περὶ χρημάτων φησί, «δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι».

3. «Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα· οὕτως ὁμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ

---

6. Β' Κορ. 11,20
7. Β' Κορ. 10,10
8. Β' Κορ. 12,13

εἰπῆ κανεὶς ὅτι ἐκολακεύσαμε, γιὰ νὰ ἐπικρατήσωμε, οὔτε ὅτι ἐχρησιμοποιήσαμε τὴν κολακεία μὲ σκοπὸ τά χρήματα. Στὴ συνέχεια καλεῖ μάρτυρες γι' αὐτό, ποὺ ἦταν φανερό, αὐτοὺς τοὺς ἴδιους· ἐὰν ἐκολακεύσαμε, ἐσεῖς τὸ γνωρίζετε, λέγει· γιὰ ἐκεῖνο ὅμως ποὺ δὲν ἦταν φανερό, τό, ἐὰν ἐκηρύξαμε μὲ τὸ πρόσχημα τῆς πλεονεξίας, καλεῖ μάρτυρα τὸν Θεό. «Οὔτε ζητώντας τὴ δόξα ἀπὸ τοὺς ἀνθρώπους, οὔτε ἀπὸ σᾶς, οὔτε ἀπὸ ἄλλους, ἂν καὶ μπορούσαμε νὰ ἔχουμε ἀπαιτήσεις, σὰν ἀπόστολοι τοῦ Χριστοῦ ποὺ εἴμασθε». Δηλαδή, δὲν ἐπιζητοῦμε οὔτε τιμές, οὔτε καὶ ὑπερηφανευόμασθε, οὔτε καὶ ἔχομε δορυφόρους. Μολονότι βέβαια, ἂν ἐκάμναμε αὐτό, δὲν θὰ ἐκάμναμε τίποτε τὸ παράδοξο, γιατί, ἐὰν κάποιοι, ποὺ εἶναι ἀπεσταλμένοι τῶν βασιλέων, ἀπολαμβάνουν ὁπωσδήποτε τιμές, πολὺ περισσότερο πρέπει νὰ ἀπολαμβάνωμε ἐμεῖς. Καὶ δὲν εἶπε ὅτι ἐπεριφρονηθήκαμε, οὔτε ὅτι δὲν ἀπελαύσαμε τιμή, πρᾶγμα ποὺ ἦταν προσβλητικὸ γι' αὐτούς, ἀλλά, δὲν ἐπεζητήσαμε τιμές.

Ἐμεῖς λοιπὸν ποὺ, ἂν καὶ ἐπετρέπετο νὰ ζητήσωμε κάτι, δὲν ἐζητήσαμε, ἂν καὶ τὸ κήρυγμα ἀπαιτοῦσε αὐτό, πῶς πράττομε κάτι γιὰ νὰ ἀποκτήσωμε δόξα; Ἂν καὶ βέβαια, ἐὰν ἐζητούσαμε, δὲν θὰ ἦταν αὐτὸ κατηγορία· γιατὶ εἶναι φυσικὸ ἐκεῖνοι ποὺ ἀπὸ τὸν Θεὸ ἐστάλθηκαν πρὸς τοὺς ἀνθρώπους, σὰν πρέσβεις ἐρχόμενοι τώρα ἀπὸ τὸν οὐρανό, νὰ ἀπολαύσουν πολλὲς τιμές. Ἀλλὰ ἀπὸ ἀνωτερότητα ἐμεῖς δὲν κάνομε τίποτε ἀπὸ αὐτά, γιὰ νὰ κλείσωμε τὰ στόματα τῶν ἀντιπάλων. Καὶ δὲν μπορεῖ κανεὶς νὰ εἰπῆ ὅτι σὲ σᾶς λέγω αὐτὰ καὶ σὲ ἄλλους διαφορετικά. Γιατὶ καὶ ὅταν ἔγραφε πρὸς τοὺς Κορινθίους τὰ ἴδια ἔλεγε· «Γιατὶ ἀνέχεσθε, ἐὰν κάποιος σᾶς καταδουλώνη, ἐὰν κάποιος σᾶς κατατρώγη, ἐὰν κάποιος σᾶς ἐκμεταλλεύεται, ἐὰν κάποιος συμπεριφέρεται ἀπέναντί σας μὲ ὑπερηφάνεια, ἐὰν κάποιος σᾶς κτυπᾶ στὸ πρόσωπο»[6]· καὶ πάλι, «Ἡ δὲ σωματική μου ἐμφάνισις εἶναι ἀσθενὴς καὶ ὁ λόγος μου ἀσήμαντος»[7]· καὶ πάλι, «Συγχωρήσατέ μου τὴν ἀδικία αὐτήν»[8]. Ἀποδεικνύει καὶ ἐκεῖ, ὅτι ἦταν πάρα πολὺ ταπεινός, ἐπειδὴ ἔπαθε τόσα πολλά. Ἐδῶ ὅμως τὸ λέγει καὶ γιὰ χρήματα τό, «ἂν καὶ μποροῦμε νὰ εἴμασθε βάρος σας σὰν ἀπόστολοι τοῦ Χριστοῦ».

3. «Ἀλλὰ ὑπήρξαμε πρᾶοι μεταξύ σας, ὅπως ἡ παραμάννα ποὺ διατρέφει τὰ παιδιά της. Ἐπειδὴ λοιπὸν ἐτρέφαμε μεγάλη ἀγάπη γιὰ σᾶς, εἴχαμε τὴ διάθεσι νὰ σᾶς προσφέρωμε ὄχι μόνο τὸ εὐαγγέλιο τοῦ Θεοῦ, ἀλλὰ καὶ τὶς ψυχές μας, γιατὶ μᾶς εἴχατε γίνει ἀγαπη-

τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε». «Ἀλλ' ἐγενήθημεν», φησίν, «ἤπιοι»· οὐδὲν φορτικὸν οὐδὲ ἐπαχθές, οὐδὲν βαρὺ οὐδὲ κόμπον ἔχον ἐπεδειξάμεθα. Καὶ τό, «ἐν μέσῳ ὑμῶν», ὡς ἂν εἴποι τις, ὡς εἷς ἐξ ὑμῶν, οὐχὶ τὴν ἄνω λαβόντες λῆξιν. «Ὡς ἐὰν τροφός», φησί, «θάλπῃ τὰ ἑαυτῆς τέκνα». Οὕτω δεῖ τὸν διδάσκαλον εἶναι. Μὴ ἡ τροφὸς κολακεύει, ἵνα δόξης τύχῃ; μὴ χρήματα αἰτεῖ παρὰ τῶν παίδων τῶν μικρῶν; μὴ βαρεῖα αὐτοῖς ἐστι καὶ φορτική; οὐχὶ μᾶλλον τῶν μητέρων τούτοις εἰσὶ προσηνεῖς; Ἐνταῦθα τὴν φιλοστοργίαν δείκνυσιν. «Οὕτω», φησίν, «ὁμειρόμενοι ὑμῶν»· οὕτως ὑμῖν προσδεδέμεθα, φησί· καὶ οὐ μόνον οὐδὲν λαμβάνομεν, ἀλλ' εἰ δεῖ καὶ τὰς ψυχὰς μεταδοῦναι, οὐκ ἂν παρῃτησάμεθα. Τοῦτο οὖν, εἰπέ μοι, ἀνθρωπίνης διανοίας; καὶ τίς οὕτως ἀνόητος, ὡς τοῦτο εἰπεῖν;

«Εὐδοκοῦμεν», φησί, «μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς». Ὥστε τοῦτο μεῖζον ἐκείνου. Καὶ τί τὸ κέρδος; ἀπὸ μὲν γὰρ τοῦ εὐαγγελίου, κέρδος· τὸ δὲ τὴν ψυχὴν δοῦναι, κατὰ τὴν δυσκολίαν μεῖζον ἐκείνου. Οὐ γάρ ἐστιν ἴσον κηρῦξαι, καὶ ψυχὴν δοῦναι· ἐκεῖνο μὲν γὰρ τιμιώτερον, τοῦτο δὲ πλείονος δυσκολίας ἦν. Ἐβουλόμεθα, φησίν, εἴ γε ἐνῆν, καὶ τὰς ψυχὰς εἰς ὑμᾶς κενῶσαι. Καὶ τοῦτο ἂν ἠθελήσαμεν· εἰ γὰρ μὴ ἠθελήσαμεν, οὐδ' ἂν τὴν ἀνάγκην ὑπεμείναμεν. Ἐπεὶ οὖν ἐπῄνεσε καὶ ἐπαινεῖ, διὰ τοῦτό φησιν, ὅτι οὐ χρήματα ζητοῦντες, οὐ κολακεύοντες ὑμᾶς, οὐ δόξης ἐφιέμενοι, ταῦτα ποιοῦμεν. Ὅρα γάρ· πολλὰ ἦσαν ἀθλήσαντες, καὶ παραδόξως ἔδει αὐτοὺς ἐπαινεθῆναι καὶ θαυμασθῆναι, ὥστε στερροτέρους γενέσθαι· εἶχεν ὁ ἔπαινος ὑποψίαν. Διὰ τοῦτο ταῦτα πάντα φησίν, ἀποκρουόμενος τὴν ὑποψίαν. Καὶ τοὺς κινδύνους δὲ λέγει· καὶ πάλιν, ἵνα μὴ νομισθῇ διὰ τοῦτο τοὺς κινδύνους λέγειν, ὡς κάμνων ὑπὲρ αὐτῶν, καὶ ὀφείλων τιμηθῆναι παρ' αὐτῶν, ὑπὲρ τούτου πάλιν· ἔδει γὰρ αὐτὸν εἰπεῖν τοὺς κινδύνους· ἐπήγαγε· «Διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε»· τὰς ψυχὰς ἡδέως ἂν ὑμῖν ἐδώκαμεν, ὅτι σφόδρα ὑμῖν προσεδέθημεν. Τὸ μὲν οὖν εὐαγγέλιον, ἐπειδὴ ὁ Θεὸς ἐκέλευσε, καταγγέλλομεν·

τοί». «Ἀλλὰ ὑπήρξαμε», λέγει, «πρᾶοι». Δὲν ἐπαρουσιάσαμε τίποτε τὸ ἐνοχλητικό, οὔτε τὸ δυσάρεστο, οὔτε τὸ βαρύ, οὔτε κάτι ποὺ περιεῖχε μεγάλη καύχησι. Καὶ τό, «ἀνάμεσα σὲ σᾶς», ὅπως θὰ μποροῦσε νὰ εἰπῆ κανείς, σὰν ἕνας ἀπὸ σᾶς, χωρὶς νὰ ἔχωμε λάβει ἀπὸ τὸν Θεὸ τὸν κλῆρο αὐτόν. «Ὡσὰν παραμάννα», λέγει, «ποὺ διατρέφει τὰ παιδιά της». Ἔτσι πρέπει νὰ εἶναι ὁ διδάσκαλος. Μήπως ἡ παραμάννα κολακεύει, γιὰ νὰ ἐπιτύχη δόξα; μήπως ζητεῖ χρήματα ἀπὸ τὰ μικρὰ παιδιά; μήπως εἶναι σὲ αὐτὰ σκληρὴ καὶ ἐνοχλητική; δὲν εἶναι μαλακὲς στὰ μικρὰ παιδιὰ περισσότερο ἀπὸ τὶς μητέρες; Ἐδῶ δείχνει τὴ φιλοστοργία. «Ἐπειδή», λέγει, «σᾶς ἀγαπούσαμε τόσο πολύ». Τόσο πολὺ ἔχομε συνδεθῆ μαζί σας, λέγει, καὶ ὄχι μόνο δὲν λαμβάνομε τίποτε, ἀλλὰ ἂν χρειαζόταν καὶ τὶς ψυχές μας νὰ σᾶς δώσωμε, δὲν θὰ ἀπεφεύγαμε νὰ τὸ κάνωμε καὶ αὐτό. Αὐτὸ λοιπόν, εἰπέ μου, εἶναι γνώρισμα ἀνθρώπινης σκέψεως; καὶ ποιὸς εἶναι τόσο ἀνόητος, ὥστε νὰ εἰπῆ αὐτό;

«Εἴμασθε πρόθυμοι», λέγει, «νὰ σᾶς μεταδώσωμε, ὄχι μόνο τὸ εὐαγγέλιο τοῦ Θεοῦ, ἀλλὰ καὶ νὰ σᾶς δώσουμε καὶ τὶς ψυχές μας». Ὥστε αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ ἐκεῖνο. Καὶ ποιὸ εἶναι τὸ κέρδος; γιατὶ ἀπὸ τὸ εὐαγγέλιο βέβαια ὑπάρχει κέρδος· τὸ νὰ δώσουν ὅμως τὴν ψυχή τους, εἶναι δυσκολώτερο ἀπὸ ἐκεῖνο. Γιατὶ δὲν εἶναι τὸ ἴδιο τὸ νὰ κηρύξουν καὶ τὸ νὰ δώσουν τὴν ψυχή τους· γιατὶ ἐκεῖνο μὲν ἦταν τιμιώτερο, αὐτὸ ὅμως δυσκολώτερο. Ἠθέλαμε, λέγει, ἂν βέβαια ἦταν δυνατό, νὰ σᾶς προσφέρωμε καὶ τὶς ψυχές μας. Καὶ αὐτὸ θὰ τὸ ἠθέλαμε· γιατί, ἐὰν δὲν τὸ ἠθέλαμε, δὲν θὰ ἦταν ἀνάγκη νὰ ὑποβαλλόμασθε σὲ δοκιμασίες. Ἐπειδὴ λοιπὸν τοὺς ἐπήνεσε καὶ τοὺς ἐπαινεῖ, γι᾽ αὐτὸ λέγει, ὅτι δὲν τὰ κάμνομε αὐτὰ ζητώντας χρήματα, οὔτε γιὰ νὰ σᾶς κολακεύσωμε, οὔτε γιατὶ ἐπιδιώκομε δόξα. Πρόσεχε λοιπόν· εἶχαν ἐπιτελέσει μεγάλα κατορθώματα καὶ ἔπρεπε μὲ ἐντελῶς ἰδιαίτερο τρόπο νὰ τοὺς ἐπαινέση καὶ νὰ τοὺς θαυμάση, ὥστε νὰ γίνουν πιὸ σταθεροί· ὁ ἔπαινος ὅπως περιεῖχε ὑπόνοια. Γι᾽ αὐτὸ λέγει ὅλα αὐτά, γιὰ νὰ ἀπομακρύνη τὴν ὑπόνοια. Καὶ τοὺς κινδύνους ὅμως ἀναφέρει. Καὶ πάλι, γιὰ νὰ μὴ νομισθῆ ὅτι γι᾽ αὐτὸ ἀναφέρει τοὺς κινδύνους, γιὰ ὄφελός του πάλι, σὰν τάχα νὰ κοπιάζη γι᾽ αὐτοὺς καὶ πρέπει νὰ τιμηθῆ ἀπὸ αὐτούς, γι᾽ αὐτὸ ἐπειδὴ ἔπρεπε νὰ ἀναφέρη τοὺς κινδύνους, ἐπρόσθεσε· «Γιατὶ μᾶς εἴχατε γίνει ἀγαπητοί». Θὰ σᾶς ἐδίναμε εὐχαρίστως τὶς ψυχές μας, ἐπειδὴ ἔχομε συνδεθῆ πάρα πολὺ μὲ σᾶς. Τὸ μὲν λοιπὸν εὐαγγέλιο,

τοσοῦτον δὲ ὑμᾶς φιλοῦμεν, ὅτι εἰ ἐνῆν, καὶ τὰς ψυχὰς ἂν ἐδώκαμεν.

4. Οὕτω δεῖ φιλεῖν τὸν φιλοῦντα, ὡς, εἰ καὶ τὴν ψυχὴν αἰτηθῇ, καὶ δυνατὸν ᾖ, μὴ κωλῦσαι. Οὐ λέγω, αἰτηθῇ, ἀλλ' ὥστε αὐτὸν ἐπιτρέχειν τῇ τοιαύτῃ δόσει. Οὐδὲν γάρ, οὐδὲν τῆς τοιαύτης ἀγάπης γλυκύτερον γένοιτ' ἄν· οὐδὲν ἐκεῖ λυπηρὸν συμπεσεῖται. Ὄντως, «Φίλος πιστὸς φάρμακον ζωῆς»· ὄντως, «φίλος πιστὸς σκέπη κραταιά». Τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος; πόσην μὲν οὐκ ἂν ἐμποιήσειεν ἡδονήν; πόσην δὲ ὠφέλειαν; πόσην δὲ ἀσφάλειαν; Κἂν μυρίους θησαυροὺς εἴπῃς, οὐδὲν ἀντάξιον γνησίου φίλου. Καὶ τὰ αὐτῆς πρῶτον εἴπωμεν τῆς φιλίας πόσην ἔχει τὴν ἡδονήν. Γάννυται ὁρῶν αὐτὸν καὶ διαχεῖται, συμπλέκεται συμπλοκὴν αὐτῷ τινα κατὰ τὴν ψυχὴν ἄρρητον ἔχουσαν τὴν ἡδονήν· κἂν ἀναμνησθῇ μόνον αὐτοῦ, διανέστη τῇ διανοίᾳ καὶ ἀνεπτερώθη. Περὶ τῶν φίλων λέγω τῶν γνησίων, τῶν ὁμοψύχων, τῶν αἱρουμένων καὶ ὑπεραποθανεῖν, τῶν θερμῶς φιλούντων. Μή μοι τοὺς ἁπλῶς φίλους ἐννοοῦντες, τοὺς κοινωνοὺς τῶν τραπεζῶν καὶ ἀπὸ προσηγορίας φίλους, νομίζετε τὸν λόγον ἐλέγχεσθαι. Εἴ τις ἔχει φίλον οἷον λέγω, ἐπιγνώσεται τὰ ῥήματα· κἂν ἴδῃ τοῦτον καθ' ἑκάστην ἡμέραν, οὐκ ἐμπίπλαται· ταῦτα αὐτῷ ἐπεύχεται, ἅπερ καὶ ἑαυτῷ.

Οἶδα ἐγώ τινα, ὃς ὑπὲρ φίλου τοὺς ἁγίους ἄνδρας παρακαλῶν, παρεκάλει εὔχεσθαι πρότερον ὑπὲρ αὐτοῦ, καὶ τότε ὑπὲρ ἑαυτοῦ. Τοσοῦτόν ἐστι φίλος ἀγαθός, ὡς καὶ τόπους καὶ χρόνους φιλεῖσθαι δι' αὐτόν. Καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων ἄνθος ἀπορρεῖ εἰς τοὺς πλησίον τόπους, οὕτω καὶ οἱ φίλοι, οἷς ἂν παραγένωνται τόποις, τὴν ἑαυτῶν χάριν ἀφιᾶσι. Καὶ πολλάκις χωρὶς φίλων ἐπιστάντες τοῖς τόποις ἐκείνοις, ἐδακρύσαμεν τῶν ἡμερῶν ἀναμνησθέντες, ἐν αἷς συνεγενόμεθα, καὶ ἐστενάξαμεν. Οὐκ ἔνι τῷ λόγῳ παραστῆσαι τὴν ἡδονὴν ὅσην ἐντίθησι συνουσία φίλων· μόνοι δὲ οἱ πεῖραν ἔχοντες ἴσασι. Καὶ χάριν αἰτῆσαι, καὶ χάριν λαβεῖν ἀνυπόπτως παρὰ φίλου ἔνι. Ὅταν ἡμῖν ἐπιτάττωσι, τότε αὐτοῖς χάριν ἴσμεν· ὅταν ὀκνῶσι, τότε ἀλύομεν.

---

9. Σοφ. Σειρ. 6,16.14

ἐπειδὴ διέταξε ὁ Θεός, τὸ κηρύσσομε, τόσο πολὺ ὅμως σᾶς ἀγαπᾶμε, ὥστε ἐὰν ἦταν δυνατό, θὰ ἐδίναμε καὶ τὶς ψυχές μας.

4. Ἔτσι πρέπει νὰ ἀγαπᾶ ἐκεῖνος ποὺ ἀγαπᾶ, ὥστε, ἐὰν τοῦ ζητηθῆ νὰ δώση καὶ τὴν ψυχή του καὶ εἶναι δυνατό, νὰ μὴ διστάση νὰ τὸ κάνη. Δὲν λέγω, νὰ τοῦ ζητηθῆ αὐτό, ἀλλὰ νὰ εἶναι ὁλοπρόθυμος σὲ μία τέτοια διάθεσι τῆς ψυχῆς του. Γιατὶ τίποτε, τίποτε δὲν θὰ μποροῦσε νὰ ὑπάρξη γλυκύτερο ἀπὸ μιὰ τέτοια ἀγάπη· δὲν θὰ συμβῆ ἐκεῖ τίποτε τὸ λυπηρό. Πράγματι, «Ὁ πιστὸς φίλος εἶναι τὸ φάρμακο τῆς ζωῆς»· πράγματι, «ὁ πιστὸς φίλος εἶναι προστασία ἰσχυρή»[9]. Γιατὶ τί δὲν θὰ ἔκαμε ὁ γνήσιος φίλος; πόση εὐχαρίστησι δὲν θὰ ἐπροκαλοῦσε; καὶ πόση ὠφέλεια; καὶ πόση ἀσφάλεια; Καὶ ἂν ἀκόμη ἀναφέρης ἀμέτρητους θησαυρούς, τίποτε δὲν εἶναι ἰσάξιο τοῦ γνησίου φίλου. Καὶ ἂς εἰποῦμε πρῶτα τὰ γνωρίσματα αὐτῆς τῆς φιλίας, πόση εὐχαρίστησι περιέχει. Λάμπει ἀπὸ χαρὰ βλέποντας αὐτὸν καὶ γίνεται εὐχάριστος, συνδέεται πρὸς αὐτὸν μὲ μία τέτοια ψυχικὴ σύνδεσι, ἡ ὁποία δημιουργεῖ τόση χαρά, ποὺ δὲν μπορεῖ νὰ λεχθῆ· καὶ μόνο νὰ θυμηθῆ αὐτόν, ἐξυψώνεται ἡ σκέψις του καὶ ἐμψυχώνεται. Ἐννοῶ τοὺς γνησίους φίλους, τοὺς ὁμοψύχους, γιὰ ἐκείνους ποὺ προτιμοῦν νὰ πεθάνουν γιὰ ἄλλους, ποὺ ἀγαποῦν θερμά. Μή, παρακαλῶ, σκεπτόμενοι τοὺς ἁπλοὺς φίλους, τοὺς συνδαιτυμόνας στὰ τραπέζια καὶ τοὺς κατ᾽ ὄνομα μόνον φίλους νομίζετε ὅτι δὲν εἶναι συνετὰ τὰ λόγια μου αὐτά. Ἐὰν κανεὶς ἔχη φίλο τέτοιο ποὺ λέγω, θ᾽ ἀντιληφθῆ τὰ λόγια μου· καὶ ἂν ἀκόμη τὸν βλέπη κάθε ἡμέρα, δὲν τὸν χορταίνει· εὔχεται γι᾽ αὐτὸν τὰ ἴδια ποὺ εὔχεται καὶ γιὰ τὸν ἑαυτό του.

Γνωρίζω ἐγὼ κάποιον, ὁ ὁποῖος παρακαλώντας τοὺς ἁγίους γιὰ φίλο του, τοὺς ἐπαρακαλοῦσε νὰ προσεύχωνται πρῶτα γι᾽ αὐτὸν καὶ ὕστερα γιὰ τὸν ἑαυτό του. Τόσο εἶναι ὁ φίλος ἀγαθός, ὥστε ἐξ αἰτίας αὐτοῦ νὰ ἀγαπῶνται καὶ τόποι καὶ χρόνοι. Γιατὶ ὅπως τὰ λαμπερὰ σώματα σκορπίζουν λαμπρότητα στοὺς γύρω τόπους, ἔτσι καὶ οἱ φίλοι, στοὺς τόπους ποὺ παρευρίσκονται, σκορπίζουν τὴ δική τους χάρι. Καὶ πολλὲς φορὲς ποὺ εὑρεθήκαμε στοὺς τόπους ἐκείνους χωρὶς τοὺς φίλους μας, ἐδακρύσαμε, ἐπειδὴ ἐθυμηθήκαμε τὶς ἡμέρες ἐκεῖνες τῆς ἐκεῖ συναναστροφῆς μας καὶ ἀναστενάξαμε. Δὲν εἶναι δυνατὸ νὰ παραστήσω μὲ τὰ λόγια πόση χαρὰ χαρίζει ἡ συντροφιὰ τῶν φίλων· τὸ γνωρίζουν μόνο ἐκεῖνοι ποὺ τὸ ἔχουν δοκιμάσει. Εἶναι δυνατὸ ἀπὸ τὸ φίλο καὶ χάρι νὰ ζητήση κανείς, καὶ νὰ λάβη χάρι σὲ ἀνύποπτο χρόνο. Ὅταν μᾶς ζητοῦν κάτι

Οὐδὲν ἔχομεν ὅπερ μὴ ἐκείνων ἐστί. Πάντων πολλάκις τῶν ἐνταῦθα καταφρονοῦντες, δι' ἐκείνους οὐ βουλόμεθα ἀπελθεῖν ἐντεῦθεν· καὶ τοῦ φωτὸς ἐκεῖνοι ποθεινότεροι. Καὶ γὰρ ὄντως καὶ τοῦ φωτὸς αὐτοῦ ποθεινότερος φίλος· τὸν γνήσιον λέγω. Καὶ μὴ θαυμάσῃς· βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον, ἢ φίλων ἀποστερηθῆναι· βέλτιον ἐν σκότῳ διάγειν, ἢ φίλων εἶναι χωρίς. Καὶ πῶς, ἐγὼ λέγω. Ὅτι πολλοὶ τὸν ἥλιον ὁρῶντες ἐν σκότῳ εἰσί, φίλων δὲ εὐποροῦντες, οὐδ' ἂν ἐν θλίψει γένωνται· περὶ φίλων λέγω τῶν πνευματικῶν, τῶν οὐδὲν προτιμώντων φιλίας. Τοιοῦτος Παῦλος ἦν, καὶ τὴν ψυχὴν ἡδέως ἐδίδου τὴν ἑαυτοῦ, καὶ μὴ αἰτηθείς, καὶ εἰς γέενναν ἡδέως ἐνέπιπτεν. Οὕτω χρὴ φιλεῖν διαθέσει πεπυρωμένῃ.

Βούλομαι ὑπόδειγμα δοῦναι φιλίας· πατέρας καὶ υἱοὺς ὑπερβαίνουσι φίλοι, φίλοι οἱ κατὰ Χριστόν. Μὴ γάρ μοι τοὺς νῦν εἴπῃς, ὅτε μετὰ τῶν ἄλλων καὶ τοῦτο ἀπέστη τὸ καλόν· ἀλλ' ἐννόησον ἐπὶ τῶν ἀποστόλων, οὐ λέγω τοὺς κορυφαίους, ἀλλ' αὐτοὺς τοὺς πεπιστευκότας. «Πάντων ἦν», φησίν, «ἡ ψυχὴ καὶ ἡ καρδία μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι· καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν». Οὐκ ἦν τὸ ἐμὸν καὶ τὸ σόν. Τοῦτό ἐστι φιλία, ἵνα μὴ τὰ αὐτοῦ ἑαυτοῦ τις νομίζῃ, ἀλλὰ τοῦ πλησίον, τὰ δὲ αὐτοῦ ἀλλότρια· ἵνα οὕτω φείδηται τῆς ἐκείνου ψυχῆς, ὡς τῆς ἑαυτοῦ, κἀκεῖνος ὁμοίως. Καὶ ποῦ δυνατόν, φησί, τοιοῦτον εὑρεθῆναι; Ἐπειδὴ μὴ βουλόμεθα· δυνατὸν γάρ. Εἰ μὴ δυνατὸν ἦν, οὐδ' ἂν ἐπέταξεν ὁ Χριστός, οὐκ ἂν τοσαῦτα περὶ ἀγάπης διελέχθη. Μέγα φιλία, καὶ πόσον μέγα, οὐδεὶς ἂν δύναιτο μαθεῖν, οὔτε παραστῆσαι λόγος, πλὴν τῆς πείρας αὐτῆς.

Τοῦτο τὰς αἱρέσεις εἰργάσατο, τοῦτο τοὺς Ἕλληνας ποιεῖ Ἕλληνας εἶναι. Ὁ φιλῶν οὐκ ἐπιτάττειν βούλεται οὐδὲ ἄρχειν, ἀλλὰ χάριν ἔχει μᾶλλον ἀρχόμενος καὶ ἐπιταττόμενος· χαρίζεσθαι βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν· φιλεῖ γάρ, καὶ ὡς οὐκ ἐμπλήσας αὐτοῦ τὴν ἐπιθυμίαν, οὕτω διάκειται. Οὐχ οὕτως εὖ πάσχων τέρπεται, ὡς εὖ ποιῶν· βούλεται γὰρ κατέχειν αὐτὸν

---

10. Πράξ. 4,32.35

τότε τοὺς ὀφείλομε εὐγνωμοσύνη, ὅταν διστάζουν τότε στενοχωρούμασθε πολύ. Τίποτε δὲν ἔχομε ποὺ δὲν εἶναι δικό τους. Πολλὲς φορές, ἐνῶ περιφρονοῦμε ὅλα τὰ ἐδῶ ἀγαθά, δὲν θέλομε νὰ ἀπέλθωμε ἀπὸ ἐδῶ ἐξ αἰτίας ἐκείνων, οἱ ὁποῖοι εἶναι πιὸ ποθητοὶ καὶ ἀπὸ τὸ φῶς. Γιατὶ πραγματικὰ ὁ φίλος εἶναι πιὸ ποθητὸς καὶ ἀπὸ τὸ φῶς αὐτό, ἐννοῶ τὸ γνήσιο φίλο. Καὶ μὴ ἀπορήσης· γιατὶ εἶναι καλύτερο σὲ μᾶς νὰ σβήση ὁ ἥλιος, παρὰ νὰ στερηθοῦμε τοὺς φίλους· εἶναι καλύτερο νὰ ζοῦμε στὸ σκοτάδι, παρὰ νὰ εἴμασθε χωρὶς φίλους. Καὶ πῶς εἶναι καλύτερο, θὰ σᾶς τὸ εἰπῶ ἐγώ. Πολλοὶ δηλαδὴ ἂν καὶ βλέπουν τὸν ἥλιο, εὑρίσκονται μέσα σὲ σκοτάδι, ἂν ὅμως ἔχουν πολλοὺς φίλους, δὲν θὰ εὑρεθοῦν σὲ θλίψι. Ὁμιλῶ γιὰ τοὺς φίλους τοὺς πνευματικούς, οἱ ὁποῖοι δὲν προτιμοῦν τίποτε ἀπὸ τὴ φιλία. Τέτοιος ἦταν ὁ Παῦλος καὶ τὴν ψυχή του εὐχαρίστως ἔδινε, καὶ χωρὶς νὰ τὸ ζητήση κανείς, καὶ πρόθυμα ἔπεφτε μέσα στὴ γέεννα. Ἔτσι πρέπει νὰ ἀγαπᾶ κανεὶς μὲ διάθεσι πολὺ θερμή.

Θέλω νὰ σᾶς δώσω ὑπόδειγμα φιλίας. Ξεπερνοῦν τοὺς πατέρες καὶ τοὺς υἱοὺς οἱ φίλοι, οἱ φίλοι ποὺ ἀκολουθοῦν τὴ διδασκαλία τοῦ Χριστοῦ. Γιατὶ μὴ μοῦ εἰπῆς αὐτοὺς τοὺς σημερινοὺς φίλους, ποὺ μαζὶ μὲ τὰ ἄλλα ἔφυγε καὶ αὐτὸ τὸ καλό, ἀλλὰ σκέψου ἐπὶ τῆς ἐποχῆς τῶν ἀποστόλων, δὲν λέγω τοὺς κορυφαίους, ἀλλὰ αὐτοὺς ποὺ εἶχαν πιστεύσει. «Ὅλων ἦταν», λέγει, «ἡ ψυχὴ καὶ ἡ καρδιὰ μία, καὶ κανεὶς δὲν ἔλεγε ὅτι καὶ τὸ ἐλάχιστο ἀπὸ τὰ ὑπάρχοντά του ἦταν δικό του· καὶ ἐμοιράζετο στὸν καθένα, σύμφωνα μὲ τὴν ἀνάγκη ποὺ εἶχε»[10]. Δὲν ὑπῆρχε τὸ δικό μου καὶ τὸ δικό σου. Αὐτὸ σημαίνει φιλία, γιὰ νὰ μὴ νομίζη κανεὶς ὅτι τὰ δικά του εἶναι δικά του, ἀλλὰ τοῦ πλησίον, καὶ τὰ δικά του ξένα· γιὰ νὰ φροντίζη ἔτσι τὴν ψυχὴ ἐκείνου, ὅπως τὴν ἰδική του, καὶ ἐκεῖνος ὁμοίως. Καὶ ποῦ εἶναι δυνατό, λέγει, νὰ εὑρεθῆ τέτοιος φίλος; Ἐπειδὴ δὲν θέλομε· γιατὶ εἶναι δυνατό. Ἐὰν δὲν ἦταν δυνατό, οὔτε ὁ Χριστὸς θὰ διέταζε αὐτό, οὔτε θὰ ἔλεγε τόσα πολλὰ γιὰ τὴν ἀγάπη. Εἶναι μεγάλο ἀγαθὸ ἡ φιλία καὶ πόσο μεγάλο, κανεὶς δὲν θὰ μπορέση νὰ τὸ μάθη, οὔτε νὰ τὸ παραστήση λόγος, ἐκτὸς ἀπὸ τὴν ἴδια τὴν πεῖρα.

Αὐτὸ ἔκαμε τὶς αἱρέσεις, αὐτὸ κάνει τοὺς Ἕλληνες νὰ εἶναι Ἕλληνες. Ὅποιος ἀγαπᾶ δὲν θέλει νὰ διατάσση οὔτε νὰ ἐξουσιάζη, ἀλλὰ αἰσθάνεται εὐγνωμοσύνη περισσότερο ὅταν ἐξουσιάζεται καὶ διατάσσεται· θέλει περισσότερο νὰ χαρίζη, παρὰ νὰ τὸν εὐγνωμονοῦν, γιατὶ ἀγαπᾶ, καί, ἐπειδὴ δὲν ἱκανοποίησε πλήρως τὴν ἐπιθυ-

μᾶλλον, ἢ ὀφείλειν αὐτῷ· μᾶλλον δὲ καὶ ὀφείλειν αὐτῷ βούλεται, καὶ ὀφειλέτην αὐτὸν ἔχειν· καὶ βούλεται χαρίζεσθαι, καὶ οὐ βούλεται δοκεῖν χαρίζεσθαι, ἀλλ' ὀφειλέτην αὐτὸν εἶναι. Τάχα πολλοὺς ὑμῶν ἀγνοεῖν οἶμαι τὸ εἰρημένον. Καὶ ἄρχειν βούλεται εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν, ἀλλ' ἀποδιδόναι· ὅπερ καὶ ὁ Θεὸς ἐποίησεν ἐπὶ τῶν ἀνθρώπων. Ἔμελλε τὸν Υἱὸν αὐτοῦ χαρίζεσθαι ὑπὲρ ἡμῶν· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, ἀλλ' ὀφείλειν ἡμῖν, προσέταξε τῷ Ἀβραὰμ δοῦναι τὸν υἱὸν αὐτοῦ, ἵνα μέγα ποιῶν, μηδὲν δόξῃ μέγα ποιεῖν. Ὅταν μὲν γὰρ μὴ ᾖ φιλία, καὶ ὀνειδίζομεν τὰς εὐεργεσίας, καὶ τὰς μικρὰς ἐπαίρομεν· ὅταν δὲ φιλία ᾖ, καὶ κρύπτομεν αὐτάς, καὶ τὰς μεγάλας μικρὰς βουλόμεθα δεικνύναι, ἵνα μὴ δόξωμεν ὀφειλέτην ἔχειν τὸν φιλούμενον, ἀλλ' αὐτοὶ αὐτῷ ὀφειλέται εἶναι ἐν τῷ ὀφειλέτην ἔχειν αὐτόν.

Οἶδα ὅτι οὐδὲ συνιᾶσιν οἱ πολλοὶ τὸ λεγόμενον· τὸ δὲ αἴτιον, περὶ πράγματος διαλέγομαι τὸν οὐρανὸν οἰκοῦντος νῦν. Ὥσπερ οὖν, εἰ περί τινος ἔλεγον φυτοῦ ἐν Ἰνδίᾳ τικτομένου, οὗ μηδεὶς μηδὲ πεῖραν ἔλαβεν, οὐκ ἂν ἴσχυσεν ὁ λόγος παραστῆσαι, κἂν εἰ μηρία εἶπον· οὕτω καὶ νῦν ὅσα ἂν εἴπω, εἰκῇ ἐρῶ· οὐδεὶς ἐπιστῆσαι δυνήσεται. Ἐν οὐρανῷ πεφύτευται τοῦτο τὸ φυτόν, κλάδους ἔχον οὐ μαργαρίτας βριθομένους, ἀλλὰ βίον ἐνάρετον πολλῷ τούτων ἡδίω. Ποίαν βούλει εἰπεῖν ἡδονήν, καὶ αἰσχράν, καὶ σεμνήν; Ἀλλὰ πάσας ὑπερβάλλει ἡ τῆς φιλίας, κἂν τὴν τοῦ μέλιτος εἴπῃς. Τοῦτο μὲν γὰρ προσκορὲς γίνεται· φίλος δὲ οὐδέποτε, ἕως ἂν ᾖ φίλος, ἀλλὰ μᾶλλον αὔξεται ἡ ἐπιθυμία, καὶ κόρον οὐδέποτε λαμβάνει ἡ ἡδονή. Καὶ τῆς παρούσης ζωῆς φίλος ἡδύτερος· πολλοὶ γοῦν μετὰ τὴν τῶν φίλων τελευτὴν οὐκ ηὔξαντο ζῆσαι λοιπόν. Μετὰ φίλου καὶ ὑπερορίαν τις ἂν ἐνέγκοι, χωρὶς φίλου οὐδὲ τὴν αὐτοῦ οἰκῆσαι ἕλοιτο ἄν· μετὰ φίλου καὶ πενία φορητόν, τούτου δὲ ἄνευ, καὶ ὑγεία καὶ πλοῦτος ἀφόρητον. Ἄλλον ἑαυτὸν ἔχει. Ἀποπνίγομαι ὅτι οὐ δύναμαι ἐπὶ παραδεί-

μία του, συμπεριφέρεται μὲ τὸν τρόπο αὐτόν. Δὲν εὐχαριστεῖται τόσο ὅταν εὐεργετῆται, ὅσο ὅταν εὐεργετῆ. Γιατὶ θέλει νὰ τοῦ ὀφείλη αὐτὸς περισσότερο, παρὰ νὰ ὀφείλη σ' αὐτόν, ἢ καλύτερα θέλει καὶ νὰ ὀφείλη σὲ αὐτὸν καὶ νὰ τὸν ἔχη ὀφειλέτη· καὶ θέλει νὰ χαρίζη καὶ δὲν θέλει νὰ φαίνεται ὅτι χαρίζει, ἀλλὰ ὅτι εἶναι αὐτὸς ὀφειλέτης. Ἴσως πολλοὶ ἀπὸ σᾶς, νομίζω, ὅτι δὲν γνωρίζετε αὐτὸ ποὺ ἔχει λεχθῆ. Καὶ θέλει νὰ ἀρχίζη τὴν εὐεργεσία, καὶ νὰ μὴ φαίνεται ὅτι ἀρχίζει, ἀλλὰ ὅτι ἀνταποδίδει, πρᾶγμα ποὺ ἔκαμε καὶ ὁ Θεὸς στὴν περίπτωσι τῶν ἀνθρώπων. Ἐπρόκειτο νὰ χαρίση τὸν Υἱό του γιὰ χάρι μας, ὅμως γιὰ νὰ μὴ φανῆ ὅτι τὸν χαρίζει ἀλλὰ ὅτι μᾶς ὀφείλει αὐτόν, ἐπρόσταξε στὸν Ἀβραὰμ νὰ δώση τὸν υἱό του, ὥστε, ἐνῶ ἔκανε μεγάλο ἔργο, νὰ φανῆ ὅτι δὲν ἔκανε τίποτε τὸ μεγάλο. Γιατί, ὅταν δὲν ὑπάρχη φιλία, καὶ τὶς εὐεργεσίες κατηγοροῦμε, καὶ τὶς μικρὲς τὶς μεγαλώνομε. Ὅταν ὅμως ὑπάρχη φιλία καὶ τὶς εὐεργεσίες ἀποκρύπτομε, καὶ τὶς μεγάλες θέλομε νὰ παρουσιάζωμε μικρές, γιὰ νὰ μὴ φανοῦμε ὅτι ἔχομε ὀφειλέτη ἐκεῖνον ποὺ ἀγαπᾶμε, ἀλλὰ ὅτι ἐμεῖς οἱ ἴδιοι εἴμασθε ὀφειλέτες σὲ αὐτὸν μὲ τὸ ὅτι τὸν ἔχομε ὀφειλέτη.

Γνωρίζω ὅτι δὲν καταλαβαίνουν οἱ πολλοὶ τὰ λεγόμενα, καὶ ἡ αἰτία εἶναι ὅτι ὁμιλῶ γιὰ πρᾶγμα ποὺ κατοικεῖ τώρα στὸν οὐρανό. Ὅπως λοιπόν, ἐὰν ἔλεγα γιὰ κάποιο φυτὸ ποὺ φύεται στὴν Ἰνδία, ποὺ δὲν τὸ ἐγνώρισε κανείς, δὲν θὰ ἠμποροῦσε νὰ τὸ παραστήση ὁ λόγος, καὶ ἂν ἀκόμη ἔλεγα ἄπειρα λόγια, ἔτσι καὶ τώρα ὅσα καὶ ἂν εἰπῶ, θὰ τὰ εἰπῶ στὰ χαμένα, γιατὶ κανεὶς δὲν θὰ μπορέση νὰ τὸ κατανοήση. Στὸν οὐρανὸ εἶναι φυτευμένο αὐτὸ τὸ φυτὸ καὶ ἔχει κλαδιὰ ὄχι κατάφορτα μαργαριτάρια, ἀλλὰ τὸν ἐνάρετο βίο ποὺ εἶναι πολὺ περισσότερο εὐχάριστος ἀπὸ αὐτά. Ποιά ἡδονὴ θέλεις νὰ συγκρίνης, καὶ ἀπὸ τὴν αἰσχρή, καὶ ἀπὸ τὴ σεμνή; Ἀλλὰ ὅλες τὶς ξεπερνᾶ ἡ ἡδονὴ τῆς φιλίας, καὶ ἂν ἀκόμη ἀναφέρης τὴν εὐχαρίστησι ποὺ προκαλεῖ τὸ μέλι. Γιατὶ αὐτὸ γίνεται βαρετό, ὁ φίλος ὅμως ποτέ, ἐν ὅσω θὰ εἶναι φίλος, ἀλλὰ περισσότερο αὐξάνει ἡ ἐπιθυμία καὶ ποτὲ δὲν χορταίνεται ἡ ἡδονή. Καὶ ἀπὸ τὴν παροῦσα ζωὴ εἶναι πιὸ εὐχάριστος ὁ φίλος. Πολλοὶ λοιπὸν μετὰ τὸ θάνατο τῶν φίλων δὲν ἐπεθυμοῦσαν νὰ ζήσουν στὴ συνέχεια. Μαζὶ μὲ τὸ φίλο καὶ τὴν ξενιτειὰ θὰ ὑπέμενε κανείς, χωρὶς φίλο οὔτε στὴ δική του πατρίδα θὰ ἐπροτιμοῦσε νὰ διαμείνη. Μαζὶ μὲ τὸ φίλο καὶ ἡ φτώχεια ὑποφέρεται, χωρὶς αὐτὸν ὅμως καὶ ἡ ὑγεία καὶ ὁ πλοῦτος εἶναι ἀνυπόφορα. Ἄλλον ἑαυτὸ ἔχει. Στενοχωροῦμαι πολὺ ἐπειδὴ δὲν μπορῶ νὰ ὁμιλήσω μὲ παράδειγμα, γιατὶ ἀλήθεια θὰ σᾶς ἔκανα

γματος εἰπεῖν· ἢ γὰρ ἂν ἐγνώρισα ὅτι πολλῷ ἐλάττονα τοῦ δέοντος τὰ εἰρημένα. Καὶ ταῦτα μὲν ἐνταῦθα· παρὰ δὲ Θεοῦ τοσοῦτος μισθὸς τῆς φιλίας, ὅσος οὐδὲ ἔστιν εἰπεῖν.

Μισθὸν ἡμῖν δίδωσιν, ἵνα φιλῶμεν ἀλλήλους, οὗ μισθὸν ὀφείλομεν πράγματος· εὖξαι, φησί, καὶ λάβε μισθόν, ὑπὲρ οὗ μισθὸν ὀφείλομεν, ὅτι αἰτοῦμεν τὰ ἀγαθά· ὑπὲρ οὗ αἰτεῖς, φησί, λάβε μισθόν· νήστευσον, καὶ λάβε μισθόν· γενοῦ ἐνάρετος, καὶ λάβε μισθόν, καίτοι μισθὸν ὀφείλων. Ἀλλ' ὥσπερ οἱ πατέρες, ὅταν ἐναρέτους ποιήσωσι τοὺς παῖδας, τότε αὐτοῖς καὶ μισθὸν διδόασιν· ὀφειλέται γάρ εἰσιν, ὅτι αὐτοὺς ἐν ἡδονῇ κατέστησαν· οὕτω καὶ ὁ Θεός. Μισθόν, φησί, λάβε, ἂν ἐνάρετος γένῃ· εὐφραίνεις γὰρ τὸν πατέρα, καὶ τούτου σοι ὀφείλω μισθόν· ἂν δὲ κακός, οὐκέτι· παροξύνεις γὰρ τὸν γεννήσαντα. Μὴ δὴ παροξύνωμεν τὸν Θεόν, ἀλλ' εὐφραίνωμεν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γνωστὸ ὅτι αὐτὰ ποὺ ἔχουν λεχθῆ εἶναι πολὺ μικρότερα ἀπὸ ὅ,τι ἔπρεπε νὰ εἶναι. Καὶ αὐτὰ βέβαια συμβαίνουν ἐδῶ, ἀπὸ τὸν Θεὸ ὅμως εἶναι τόσο μεγάλος ὁ μισθὸς τῆς φιλίας, ὅσος ποὺ οὔτε μπορεῖ κανεὶς νὰ τὸν περιγράψη.

Μᾶς δίνει μισθό, γιὰ νὰ ἀγαπᾶμε ὁ ἕνας τὸν ἄλλο, γιὰ τὸ ὁποῖο ὀφείλομε μισθό. Προσευχήσου, λέγει, καὶ πάρε μισθό, γιὰ ἐκεῖνο γιὰ τὸ ὁποῖο ὀφείλομε μισθό, ἐπειδὴ ζητοῦμε τὰ ἀγαθά. Γι' αὐτὸ ποὺ ζητεῖς, λέγει, πάρε μισθό· νήστευσε, καὶ πάρε μισθό· γίνε ἐνάρετος, καὶ πάρε μισθό, ἂν καὶ ὀφείλεις μισθό. Ἀλλ' ὅπως οἱ πατέρες, ὅταν κάνουν ἐνάρετα τὰ παιδιά τους, τότε δίνουν σὲ αὐτὰ μισθό, γιατὶ εἶναι ὀφειλέτες, ἐπειδὴ εὐχαριστήθηκαν αὐτοί, ἔτσι ἐνεργεῖ καὶ ὁ Θεός. Μισθό, λέγει, πάρε, ἂν γίνης ἐνάρετος, γιατὶ εὐχαριστεῖς τὸν πατέρα καὶ ἐξ αἰτίας αὐτοῦ σοῦ ὀφείλω μισθό· ἂν ὅμως γίνης κακός, δὲν θὰ πάρης, γιατὶ ἐξοργίζεις ἐκεῖνον ποὺ σὲ ἐγέννησε. Ἂς μὴ ἐξοργίζωμε λοιπὸν τὸν Θεό, ἀλλὰ ἂς τὸν εὐχαριστοῦμε, γιὰ νὰ ἐπιτύχωμε τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ΄

(Α΄ Θεσ. 2,9–3,4)

«Μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ. Ὑμεῖς μάρτυρες καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν· καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι, καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλέσαντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν».

1. Τὸν διδάσκαλον οὐδὲν ἐπαχθῶς χρὴ ποιεῖν τῶν εἰς σωτηρίαν τῶν μαθητῶν συντεινόντων. Εἰ γὰρ ὁ μακάριος Ἰακὼβ νυκτὸς καὶ ἡμέρας κατεκόπτετο εἰς τὴν τῶν ποιμνίων φυλακήν, πολλῷ μᾶλλον τὸν τὰς ψυχὰς ἐμπεπιστευμένον, κἂν ἐπίμοχθον ἔργον ᾖ, κἂν εὐτελές, πάντα δεῖ ποιεῖν, πρὸς ἓν ὁρῶντα μόνον, τὴν σωτηρίαν τῶν μαθητευομένων, καὶ τὴν ἐκεῖθεν δόξαν ἐγγινομένην τῷ Θεῷ. Ὅρα γοῦν, καὶ ὁ Παῦλος, κήρυξ ἄνθρωπος, ἀπόστολος τῆς οἰκουμένης, τοιαύτην τιμὴν ἐπανηρημένος, εἰργάζετο ταῖς χερσὶ πρὸς τὸ μὴ ἐπιβαρῆσαι τοὺς μαθητευομένους. «Μνημονεύετε» γάρ, φησίν, «ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον». Εἶπε προλαβών, ὅτι «Δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι», ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησίν· «Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; Οὕτω καὶ ὁ Χριστὸς διέταξε τοὺς τὸ εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ εὐαγγελίου ζῆν». Ἀλλ' ἐγώ, φησίν, οὐκ ἠθέλησα, ἀλλ' ἐκοπίων. Καὶ οὐχ ἁπλῶς εἰργάζετο, ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. Ὅρα γοῦν τί φησι· «Μνημονεύετε γάρ»· οὐκ εἶπε, τὰς εὐεργεσίας τὰς παρ' ἐμοῦ, ἀλλά, «τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον».

---

1. Α΄ Θεσ. 2,6
2. Α΄ Κορ. 9,13.14

ΟΜΙΛΙΑ Γ΄
(Α΄ Θεσ. 2,9–3,4)

«Γιατὶ ἐνθυμεῖσθε, ἀδελφοί, τὸν κόπο μας καὶ τὸ μόχθο μας. Γιατὶ νύχτα καὶ ἡμέρα εἰργαζόμασθε γιὰ νὰ μὴ δώσωμε βάρος σὲ κανένα ἀπὸ σᾶς καὶ ἐκηρύξαμε σὲ σᾶς τὸ εὐαγγέλιο τοῦ Θεοῦ. Ἐσεῖς εἶσθε μάρτυρες καὶ ὁ Θεός, ὅτι ἐσυμπεριφερθήκαμε σὲ σᾶς ποὺ πιστεύετε μὲ σεβασμὸ καὶ δίκαια καὶ ἄμεμπτα. Καθὼς βέβαια γνωρίζετε, πῶς τὸν καθένα ἀπὸ σᾶς, ὅπως ὁ πατέρας τὰ παιδιά του, σᾶς προτρέπαμε, σᾶς παρηγορούσαμε καὶ ζητούσαμε νὰ συμπεριφέρεσθε ὅπως ἀξίζει στὸν Θεό, ὁ ὁποῖος σᾶς ἐκάλεσε στὴν ἰδική του βασιλεία καὶ δόξα».

1. Ὁ διδάσκαλος δὲν πρέπει μὲ ἐπιβάρυνσι νὰ κάνη τίποτε ἀπὸ ἐκεῖνα ποὺ συμβάλλουν στὴ σωτηρία τῶν μαθητῶν. Γιατὶ ἐὰν ὁ μακάριος Ἰακὼβ νύκτα καὶ ἡμέρα ἐκοπίαζε πολὺ φυλάσσοντας τὰ ποίμνια, πολὺ περισσότερο ἐκεῖνος ποὺ τοῦ ἔχουν ἐμπιστευθῆ ψυχές, εἴτε εἶναι κουραστικὸ ἔργο, εἴτε εἶναι εὔκολο, πρέπει νὰ κάνη τὰ πάντα, ἀποβλέποντας πρὸς ἕνα μόνο πρᾶγμα, δηλαδὴ τὴ σωτηρία τῶν μαθητῶν καὶ τὴ δόξα ποὺ ἀπὸ ἐκεῖ γίνεται στὸν Θεό. Πρόσεχε λοιπόν, καὶ ὁ Παῦλος, ποὺ ἦταν κήρυκας, ἀπόστολος τῆς οἰκουμένης, ποὺ εἶχε ἀναλάβει τέτοιο ἀξίωμα, ἐργαζόταν μέ τὰ χέρια του γιὰ νὰ μὴ ἐπιβαρύνη τοὺς μαθητές του. «Γιατὶ ἐνθυμεῖσθε», λέγει, «ἀδελφοί, τὸν κόπο μας καὶ τὸ μόχθο μας». Εἶπε προηγουμένως, ὅτι «Ἂν καὶ μποροῦμε νὰ εἴμασθε βάρος, ὡς ἀπόστολοι τοῦ Χριστοῦ»[1], πρᾶγμα ποὺ καὶ στὴν πρὸς Κορινθίους ἐπιστολὴ λέγει· «Δὲν γνωρίζετε ὅτι ἐκεῖνοι ποὺ ἐργάζονται στὴ λατρεία τοῦ ἱεροῦ, τρώγουν ἀπὸ τὰ προσφερόμενα στὸ ναό; Ἔτσι καὶ ὁ Χριστὸς διέταξε γιὰ ἐκείνους ποὺ κηρύσσουν τὸ εὐαγγέλιο, νὰ ζοῦν ἀπὸ τὸ εὐαγγέλιο»[2]. Ἐγὼ ὅμως, λέγει, δὲν ἠθέλησα, ἀλλὰ ἐκοπίαζα. Καὶ δὲν ἐργαζόταν ἁπλῶς, ἀλλὰ μὲ πολλὴ προθυμία. Πρόσεχε λοιπὸν τί λέγει· «Γιατὶ ἐνθυμεῖσθε»· δὲν εἶπε, τὶς εὐεργεσίες ποὺ σᾶς ἔκαμα, ἀλλά «τὸν κόπο μας καὶ τὸ μόχθο μας».

«Νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, οὕτως ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ». Κορινθίοις δὲ ἕτερόν φησιν· «Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον εἰς τὴν ὑμῶν διακονίαν». Καίτοι καὶ ἐκεῖ εἰργάζετο· ἀλλ' οὐκ ἀνέμνησε τούτου, ἀλλ' ἕτερον ἔθηκε πληκτικώτερον· ὡς ἂν εἰ ἔλεγεν, ὅτι παρ' ἑτέρων ἐτράφην ὑμῖν ὑπηρετῶν. Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τί; «Νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι». Καὶ ἐκεῖ μέν φησι, «Καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθείς, οὐ κατενάρκησα οὐδενός», καί, «Ἔλαβον ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν», ἐνταῦθα δὲ δείκνυσιν ἐν πενίᾳ ὄντας τοὺς ἄνδρας. Διὰ τοῦτο συνεχῶς αὐτοὺς παραφέρει μάρτυρας· «Ὑμεῖς» γάρ, φησί, «μάρτυρες, καὶ ὁ Θεός». Ἀξιόπιστος ὁ Θεός, ἀλλὰ τοῦτο αὐτοὺς μάλιστα ἐπληροφόρει· ἐκεῖνο μὲν γὰρ ἄδηλον τοῖς ἀγνοοῦσι. Μὴ γὰρ ζήτει εἰ Παῦλος ἦν ὁ ταῦτα λέγων· ἐκ πολλοῦ τοῦ περιόντος βούλεται αὐτοὺς πληροφορεῖν. Διὰ τοῦτό φησιν, «Ὑμεῖς μάρτυρες καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν». Ἔδει αὐτοὺς πάλιν ἐπαινεῖν· διὰ τοῦτο ταῦτα προτίθησιν, ἃ ἦν ἱκανὰ αὐτοὺς πεῖσαι. Ὁ γὰρ ἐν χρείᾳ, φησίν, ἐκεῖ καταστὰς καὶ μὴ λαβών, πολλῷ μᾶλλον νῦν».

«Ὡς ὁσίως», φησί, «καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν· καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι». Ἀνωτέρω τὸ τῆς ἀναστροφῆς εἰπών, ἐνταῦθα τὸ τῆς ἀγάπης φησίν· ὃ μᾶλλον ἦν ἢ τῆς προστασίας. Καὶ τοῦ ἀτύφου τὸ εἰρημένον· «Ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι, καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν». Ὅτε φησί, «καὶ διαμαρτυρόμενοι», τότε πατέρων μέμνηται· ἀλλ' εἰ καὶ διεμαρτυράμεθα, καὶ τοῦτο οὐ σφοδρῶς, ἀλλ' ὡς πατέρες. «Ὡς ἕνα ἕκαστον ὑμῶν». Βαβαί, ἐν τοσούτῳ πλήθει μηδένα παραλιπεῖν, μὴ μικρόν, μὴ μέγαν, μὴ πλούσιον, μὴ πένητα. «Παρακαλοῦντες», φησί, πρὸς τὸ φέρειν· «καὶ παραμυθούμενοι καὶ διαμαρτυρόμενοι». «Παρακαλοῦντες»· οὐκ ἄρα

3. Β' Κορ. 11,8
4. Πράξ. 18,3· ὡς γνωστὸ ὁ Παῦλος ἦταν σκηνοποιός.

«Γιατὶ νύχτα καὶ ἡμέρα ἐργαζόμασθε γιὰ νὰ μὴ γίνουμε βάρος σὲ κανένα ἀπὸ σᾶς καὶ ἔτσι ἐκηρύξαμε σὲ σᾶς τὸ εὐαγγέλιο τοῦ Θεοῦ». Στοὺς Κορινθίους ὅμως ἄλλο λέγει· «Ἐλαφυραγώγησα ἄλλες ἐκκλησίες καὶ ἔλαβα τὴ διατροφή μου γιὰ νὰ ὑπηρετήσω ἐσᾶς»[3]. Ἂν καὶ ἐκεῖ εἰργάζετο [4], ὅμως δὲν ὑπενθύμισε αὐτό, ἀνέφερε ἄλλο πιὸ ἐνοχλητικὸ γι' αὐτούς· σὰν νὰ ἔλεγε, ὅτι ἀπὸ ἄλλους ἔλαβα τροφὴ ἂν καὶ ὑπηρετῶ ἐσᾶς. Ἐδῶ ὅμως δὲν λέγει τὸ ἴδιο, ἀλλὰ τί; «Νύχτα καὶ ἡμέρα ἐργαζόμασθε». Καὶ ἐκεῖ μὲν λέγει, «Καὶ ὅταν ἤμουν παρὼν ἀνάμεσά σας καὶ ἐδοκίμασα στερήσεις, δὲν ἐπεβάρυνα κανένα», καὶ «Ἔλαβα τὴ διατροφή μου γιὰ νὰ ὑπηρετήσω ἐσᾶς», ἐδῶ ὅμως δείχνει ὅτι οἱ ἄνδρες ἦταν σὲ κατάστασι φτώχειας. Γι' αὐτὸ συνέχεια αὐτοὺς παρουσιάζει μάρτυρες, γιατὶ λέγει· «Ἐσεῖς εἶσθε μάρτυρες καὶ ὁ Θεός». Εἶναι ἀξιόπιστος ὁ Θεός, ἀλλ' αὐτὸ ἐπληροφοροῦσε κυρίως αὐτούς, γιατὶ ἐκεῖνο δὲν ἦταν φανερὸ σὲ ἐκείνους ποὺ δὲν τὸ ἐγνώριζαν. Μὴ ἐξετάζης λοιπὸν ἐὰν ὁ Παῦλος ἦταν ἐκεῖνος ποὺ λέγει αὐτά· ἀπὸ πολλὴ ὑπεροχὴ θέλει νὰ πληροφορῆ αὐτούς. Γι' αὐτὸ λέγει, «Ἐσεῖς εἶσθε μάρτυρες καὶ ὁ Θεός, ὅτι ἐσυμπεριφερθήκαμε σὲ σᾶς ποὺ πιστεύετε μὲ σεβασμὸ καὶ δίκαια καὶ ἄμεμπτα». Ἔπρεπε πάλι νὰ ἐπαινῆ αὐτούς, γι' αὐτὸ προτάσσει αὐτά, τὰ ὁποῖα ἦταν ἱκανὰ νὰ τοὺς πείσουν. Γιατὶ ἐγὼ ὁ ὁποῖος, λέγει, εὑρέθηκα ἐκεῖ σὲ κατάστασι ἀνάγκης καὶ δὲν ἔλαβα, πολὺ περισσότερο δὲν θὰ λάβω τώρα.

«Ὅτι ἐσυμπεριφερθήκαμε σὲ σᾶς ποὺ πιστεύετε», λέγει, «μὲ σεβασμὸ καὶ δίκαια καὶ ἄμεμπτα. Καθὼς βέβαια γνωρίζετε, ὅτι ἐφερθήκαμε στὸν καθένα ἀπὸ σᾶς, ὅπως ὁ πατέρας πρὸς τὰ παιδιὰ του, προτρέποντάς σας καὶ παρηγορώντας σας». Ἀφοῦ εἶπε παραπάνω γιὰ τὸ θέμα τῆς διατροφῆς ἐδῶ ὁμιλεῖ γιὰ τὴν ἀγάπη, ποὺ ἦταν σπουδαιότερο ἀπὸ τὴν προστασία. Καὶ τὰ λόγια αὐτὰ εἶναι ἀπαλλαγμένα ἀπὸ ὑπερηφάνεια. «Ὅπως ὁ πατέρας τὰ παιδιά του, προτρέποντάς σας καὶ παρηγορώντας σας καὶ διαμαρτυρόμενοι πρὸς ἐσᾶς γιὰ νὰ συμπεριφερθῆτε ὅπως ἀξίζει στὸν Θεό, ὁ ὁποῖος σᾶς ἐκάλεσε στὴν ἰδική του βασιλεία καὶ δόξα». Ὅταν λέγη, «καὶ διαμαρτυρόμενοι», τότε ὑπενθυμίζει τοὺς πατέρες· ἀλλὰ ἂν καὶ διαμαρτυρόμασθε, δὲν ἐκάμναμε αὐτὸ βίαια, ἀλλὰ σὰν πατέρες. «Τὸν καθένα ἀπὸ σᾶς ξεχωριστά». Πώ, πώ, μέσα σὲ τόσο πλῆθος νὰ μὴ παραλείπη κανένα, οὔτε μικρό, οὔτε μεγάλο, οὔτε πλούσιο, οὔτε μικρό. «Προτρέποντας», λέγει, γιὰ νὰ ὑπομένετε· «καὶ παρηγορώντας καὶ διαμαρτυρόμενοι μὲ ἐπιμονή». «Προτρέποντας»·

δόξαν ἐζήτουν· «καὶ μαρτυρόμενοι»· οὐκ ἄρα ἐκολάκευον. «Εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν». Ὅρα πάλιν πῶς διηγούμενος, καὶ διδάσκει καὶ παραμυθεῖται. Εἰ γὰρ εἰς βασιλείαν ἐκάλεσε, εἰ γὰρ εἰς δόξαν ἐκάλεσε, πάντα δεῖ φέρειν. Παρακαλοῦμεν, οὐχ ἵνα ἡμῖν χαρίσησθέ τι, ἀλλ' ἵνα ἐπιτύχητε τῆς βασιλείας τῶν οὐρανῶν.

2. «Διὸ καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλά, καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν». Οὐκ ἔστιν εἰπεῖν, φησίν, ὅτι ἡμεῖς μὲν ἀμέμπτως πάντα πράττομεν, ὑμεῖς δὲ ἀνάξια τῆς ἡμετέρας ἀναστροφῆς ἐποιήσατε παρ' ὑμῖν· οὐ γὰρ ὡς ἀνθρώπων ἀκούοντες ἡμῶν, ἀλλ' ὡς αὐτοῦ τοῦ Θεοῦ παραινοῦντος, οὕτω προσείχετε. Πόθεν δῆλον; Ὥσπερ γὰρ τὸ μὴ ἐν κολακείᾳ, μηδὲ ἐν κενοδοξίᾳ κηρῦξαι ἀπὸ τῶν οἰκείων πειρασμῶν δείκνυσι, καὶ τῆς ἐκείνων μαρτυρίας, καὶ ὧν ἔπραττεν· οὕτω καὶ τὸ ἐκείνους ὀρθῶς δέξασθαι τὸν λόγον, ἀπὸ τῶν πειρασμῶν. Πόθεν γάρ, φησίν, εἰ μὴ ὡς τοῦ Θεοῦ λέγοντος ἠκούετε, τοιούτους ἐφέρετε κινδύνους; Καὶ ὅρα τὸ ἀξίωμα. «Ὑμεῖς» γάρ, φησί, «μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν «Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος».

«Ὑμεῖς» γάρ, φησί, «μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν ἐν τῇ Ἰουδαίᾳ». Πολλὴ ἡ παραμυθία. Οὐδὲν γάρ, φησί, θαυμαστὸν εἰς ὑμᾶς ταῦτα πράττειν αὐτούς, ὅπου γε καὶ εἰς τοὺς συμφυλέτας αὐτῶν. Καὶ τοῦτο δὲ τοῦ τὸ κήρυγμα εἶναι ἀληθὲς οὐ μικρὸν τεκμήριον, ὅπου γε καὶ Ἰουδαῖοι πάντα ἠνέσχοντο ὑπομεῖναι. «Ὅτι καὶ ὑμεῖς τὰ αὐτά,», φησίν, «ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων». Ἔχει

ἄρα δὲν ἐζητοῦσαν δόξα. «Καὶ διαμαρτυρόμενοι»· ἄρα δὲν ἐκολάκευαν. «Γιὰ νὰ συμπεριφερθῆτε ἐσεῖς ὅπως ἀξίζει στὸν Θεό, ὁ ὁποῖος σᾶς ἐκάλεσε στὴν ἰδική του βασιλεία καὶ δόξα». Πρόσεχε πάλι πῶς καθὼς διηγεῖται καὶ διδάσκει καὶ παρηγορεῖ. Γιατὶ ἐὰν σᾶς ἐκάλεσε στὴ βασιλεία, ἐὰν σᾶς ἐκάλεσε στὴ δόξα, πρέπει νὰ ὑποφέρετε τὰ πάντα. Σᾶς προτρέπομε, ὄχι νὰ μᾶς χαρίσετε κάτι, ἀλλὰ γιὰ νὰ ἐπιτύχετε τὴ βασιλεία τῶν οὐρανῶν.

2. «Γι' αὐτὸ καὶ ἐμεῖς εὐχαριστοῦμε τὸν Θεὸ ἀκατάπαυστα, γιατί, ἀφοῦ ἀκούσατε πρόθυμα ἀπὸ μᾶς τὸ λόγο τοῦ Θεοῦ, ἐδεχθήκατε ὄχι λόγο ἀνθρώπων, ἀλλά, καθὼς πραγματικὰ εἶναι, λόγο Θεοῦ, ὁ ὁποῖος καὶ ἐνεργεῖ σὲ σᾶς ποὺ τὸν πιστεύετε». Δὲν εἶναι δυνατὸ νὰ εἰποῦμε, λέγει, ὅτι ἐμεῖς μὲν κάνομε τὰ πάντα ἄψογα, ἐνῶ ἐσεῖς ἐνεργήσατε ἀνάξια τῆς παραμονῆς μας σὲ σᾶς. Γιατὶ δὲν μᾶς ἀκούατε σὰν ἀνθρώπους, ἀλλὰ σὰν ὁ ἴδιος ὁ Θεὸς νὰ ἐσυμβούλευε, ἔτσι ἐπροσέχατε. 'Απὸ ποῦ εἶναι φανερό; Γιατὶ ὅπως ἀκριβῶς ἀποδεικνύει τὸ ὅτι δὲν ἐκήρυξαν μὲ κολακεία οὔτε μὲ ματαιοδοξία ἀπὸ τοὺς ἰδικούς του κινδύνους καὶ ἀπὸ τὴ μαρτυρία ἐκείνων καὶ ἀπὸ ἐκεῖνα ποὺ ἔπραττε, ἔτσι ἀπὸ τοὺς κινδύνους ἀποδεικνύει καὶ τὸ ὅτι ἐδέχθηκαν ἐκεῖνοι ὀρθῶς τὸ λόγο. Γιατὶ πῶς, λέγει, ἐὰν δὲν μᾶς ἀκούατε σὰν νὰ ὡμιλοῦσε ὁ Θεός, ὑπομένετε τέτοιους κινδύνους; Καὶ πρόσεχε τὸ ἀξίωμα. Γιατὶ λέγει, «Σεῖς ἐγίνατε μιμητές, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ποὺ εἶναι στὴν 'Ιουδαία, μὲ τὴ βοήθεια τοῦ 'Ιησοῦ Χριστοῦ, ἐπειδὴ καὶ σεῖς ἐπάθατε τὰ ἴδια ἀπὸ τοὺς ὁμοεθνεῖς σας, ὅπως καὶ ἐκεῖνοι ἀπὸ τοὺς 'Ιουδαίους, οἱ ὁποῖοι ἐθανάτωσαν καὶ τὸν Κύριο 'Ιησοῦ καὶ τοὺς ἰδικούς τους προφῆτες, καὶ ἐμᾶς κατεδίωξαν καὶ στὸν Θεὸ δὲν ἀρέσουν καὶ εἶναι ἐνάντιοι σὲ ὅλους τοὺς ἀνθρώπους· αὐτοὶ μᾶς ἐμποδίζουν νὰ κηρύξωμε στοὺς ἐθνικοὺς γιὰ νὰ σωθοῦν, καὶ ἔτσι συμπληρώνουν κάθε φορὰ τὶς ἁμαρτίες τους. Ἔφθασε ὅμως ἐπάνω σὲ αὐτοὺς ἡ ὀργὴ γιὰ νὰ ἐπιφέρῃ τὸ τέλος τους».

«Γιατὶ ἐσεῖς», λέγει, «ἐγίνατε μιμητὲς τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ποὺ εἶναι στὴν 'Ιουδαία». Εἶναι μεγάλη ἡ παρηγοριά. Γιατὶ δὲν εἶναι καθόλου παράδοξο, λέγει, νὰ κάνουν αὐτὰ σὲ σᾶς αὐτοί, ἀφοῦ βέβαια τὰ κάνουν καὶ στοὺς ὁμοεθνεῖς τους. Καὶ αὐτὸ ὅμως δὲν εἶναι μικρὴ ἀπόδειξις τοῦ ὅτι εἶναι ἀληθινὸ τὸ κήρυγμα, ἀφοῦ βέβαια καὶ οἱ 'Ιουδαῖοι ἐδέχθηκαν νὰ ὑπομείνουν τὰ πάντα. «Γιατὶ καὶ σεῖς τὰ ἴδια», λέγει, «ἐπάθατε ἀπὸ τοὺς ὁμοεθνεῖς σας, ὅπως ἀκριβῶς καὶ ἐκεῖνοι ἀπὸ τοὺς 'Ιουδαίους». Περιέχει κάτι περισσό-

τι πλέον τὸ εἰπεῖν, κἀκεῖνοι. «Ἐν τῇ Ἰουδαίᾳ», φησί. Δείκνυσιν ὅτι ἤδοντο πανταχοῦ, ὡς ἀθλήσαντες. Λέγει οὖν, ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε. Καὶ τί θαυμαστὸν πάλιν, εἰ καὶ εἰς ὑμᾶς, ὅπου γε καὶ εἰς τὸν δεσπότην τοιαῦτα ἐτόλμων; Ὁρᾷς, πῶς αὐτὸ εἰσήγαγε μεγάλην ἔχον παραμυθίαν; Καὶ συνεχῶς τοῦτο στρέφει, καὶ ἐν πάσαις σχεδὸν εὕροι τις ἂν αὐτὸ ταῖς ἐπιστολαῖς ἀκριβῶς ἐξετάζων, πῶς ἐν τοῖς πειρασμοῖς ἀεὶ τὸν Χριστὸν παραφέρει διαφόρως. Ὅρα γοῦν, καὶ ἐνταῦθα κατηγορῶν τῶν Ἰουδαίων, εἰς ἀνάμνησιν αὐτοὺς φέρει τοῦ δεσπότου, καὶ τῶν τοῦ δεσπότου παθημάτων· οὕτως οἶδε μεγίστην παραμυθίαν ἔχον τὸ πρᾶγμα. «Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων», φησίν. Ἀλλ' ἠγνόησαν αὐτὸν ἴσως. Μάλιστα μὲν οὖν ᾔδεσαν. Τί οὖν; οὐχὶ καὶ τοὺς ἰδίους προφήτας ἀπέκτειναν καὶ ἐλιθοβόλησαν, ὧν καὶ τὰ τεύχη περιφέρουσι; Καὶ ταῦτα οὐκ ἀληθείας ἕνεκεν διεπράξαντο. Οὐκ ἄρα παραμυθία μόνον ἐστὶν ἐπὶ τοῖς πειρασμοῖς, ἀλλὰ καὶ ὑπόμνησις τοῦ μὴ νομίζειν ὅτι δι' ἀλήθειαν ταῦτα ποιοῦσι, καὶ διὰ τοῦτο θορυβεῖσθαι. «Καὶ ἡμᾶς», φησίν, «ἐκδιωξάντων». Καὶ ἡμεῖς, φησί, μυρία δεινὰ πεπόνθαμεν.

«Καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσι». «Πᾶσιν ἀνθρώποις», φησίν, «ἐναντίων». Πῶς; Εἰ γὰρ τῇ οἰκουμένῃ δεῖ λαλῆσαι, οὗτοι δὲ κωλύουσι, κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί. Τὸν Χριστὸν ἐφόνευσαν, τοὺς προφήτας, τὸν Θεὸν ὑβρίζουσι, κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί, ἡμᾶς ἐλαύνουσι τοὺς ἐπὶ σωτηρίᾳ παραγενομένους· τί θαυμαστόν, εἰ καὶ εἰς ὑμᾶς τοιαῦτα ἐπεδείξαντο, ὅπου γε καὶ ἐν τῇ Ἰουδαίᾳ; «Κωλυόντων ἡμᾶς», φησί, «τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσι». Βασκανίας ἄρα ἐστὶ τὸ τὴν τῶν πάντων ἐμποδίζειν σωτηρίαν. «Εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος». Τί ἐστιν, «εἰς τέλος»; Οὐκέτι τοιαῦτά ἐστιν οἷα τὰ πρότερα, οὐκέτι ἐπάνοδος, οὐκέτι πέρας· ἀλλ' ἐγγὺς ἐφέστηκεν ἡ ὀργή. Πόθεν δῆλον; Ἀπὸ τούτου, ἀφ' οὗ προεῖπεν ὁ Χριστός. Οὐ γὰρ τοῦτο μόνον ἔχει παραμυθίαν τὸ κοινωνοὺς τῶν θλίψεων

5. Ματθ. 25,31 – 46

τερο τὸ νὰ εἰπῆ, καὶ ἐκεῖνοι. «Στὴν Ἰουδαία», λέγει. Ἀποδεικνύει ὅτι ἐξυμνοῦνταν παντοῦ, ἐπειδὴ εἶχαν ἀγωνισθῆ. Λέγει λοιπόν, ὅτι καὶ σεῖς ἐπάθατε τὰ ἴδια. Καὶ ποιὸ εἶναι τὸ παράδοξο πάλι, ἐὰν καὶ σὲ σᾶς ἔκαναν τὰ ἴδια, ἀφοῦ βέβαια ἐτολμοῦσαν παρόμοια καὶ στὸν Κύριο; Βλέπεις, πῶς ἀνέφερε αὐτὸ ποὺ παρέχει μεγάλη παρηγοριά; Καὶ συνέχεια αὐτὸ ἀναφέρει, καὶ θὰ μπορέση νὰ συναντήση κανεὶς αὐτὸ σὲ ὅλες σχεδὸν τὶς ἐπιστολές του ἂν τὶς ἐξετάζη μὲ προσοχή, πῶς στοὺς κινδύνους πάντοτε παρουσιάζει τὸν Χριστὸ μὲ διαφορετικὸ τρόπο. Πρόσεχε λοιπόν, καὶ ἐδῶ κατηγορώντας τοὺς Ἰουδαίους, ὑπενθυμίζει σὲ αὐτοὺς τὸν Κύριο καὶ τὰ παθήματα τοῦ Κυρίου. Τόσο μεγάλη παρηγορία γνωρίζει ὅτι παρέχει αὐτὸ τὸ πρᾶγμα. «Οἱ ὁποῖοι ἐθανάτωσαν καὶ τὸν Κύριο», λέγει. Ἀλλ᾽ ἴσως δὲν ἐγνώρισαν αὐτόν. Πολὺ καλὰ βέβαια τὸν ἐγνώρισαν. Τί λοιπόν; δὲν ἐθανάτωσαν καὶ ἐλιθοβόλησαν καὶ τοὺς δικούς τους προφῆτες, τῶν ὁποίων καὶ τὰ βιβλία περιφέρουν; Καὶ αὐτὰ δὲν τὰ ἔπραξαν στὸ ὄνομα τῆς ἀληθείας. Δὲν εἶναι ἐπομένως μόνο παρηγορία γιὰ τοὺς κινδύνους, ἀλλὰ καὶ ὑπενθύμισις τοῦ νὰ μὴ νομίζουν ὅτι γιὰ τὴν ἀλήθεια κάνουν αὐτά, καὶ γι᾽ αὐτὸ πρέπει νὰ θορυβοῦνται. «Οἱ ὁποῖοι», λέγει, «κατεδίωξαν καὶ ἐμᾶς». Καὶ ἐμεῖς, λέγει, ἔχομε πάθει πάρα πολλὰ κακά.

«Οἱ ὁποῖοι δὲν ἀρέσουν καὶ στὸν Θεὸ καὶ εἶναι ἐνάντιοι σὲ ὅλους τοὺς ἀνθρώπους καὶ μᾶς ἐμποδίζουν νὰ κηρύξωμε στοὺς ἐθνικοὺς γιὰ νὰ σωθοῦν». «Οἱ ὁποῖοι», λέγει, «εἶναι ἐνάντιοι σὲ ὅλους τοὺς ἀνθρώπους». Μὲ ποιὸ τρόπο; Γιατὶ ἐὰν πρέπει νὰ κηρύξουν στὴν οἰκουμένη, αὐτοὶ ὅμως ἐμποδίζουν, εἶναι κοινοὶ ἐχθροὶ τῆς οἰκουμένης. Ἐθανάτωσαν τὸν Χριστό, τοὺς προφῆτες, ὑβρίζουν τὸν Θεό, εἶναι κοινοὶ ἐχθροὶ τῆς οἰκουμένης, ἐμᾶς ἐκδιώκουν ποὺ ἤλθαμε γιὰ τὴ σωτηρία τους. Τί τὸ παράδοξο, ἐὰν καὶ σὲ σᾶς ἔδειξαν τέτοια διαγωγή, ἀφοῦ βέβαια ἔδειξαν καὶ στὴν Ἰουδαία; «Οἱ ὁποῖοι μᾶς ἐμποδίζουν», λέγει, «νὰ κηρύξωμε στοὺς ἐθνικούς, γιὰ νὰ σωθοῦν». Ἐπομένως εἶναι ἀπόδειξις φθόνου τὸ νὰ ἐμποδίζουν τὴ σωτηρία ὅλων. «Ὥστε νὰ συμπληρώσουν τὶς ἁμαρτίες τους πάντοτε». Ἔφθασε ὅμως ἐπάνω τους ἡ ὀργὴ γιὰ τὸ τέλος τους». Τί σημαίνει, «γιὰ τὸ τέλος»; Δὲν εἶναι πιὰ αὐτὰ τέτοια ὅπως τὰ προηγούμενα, δὲν ὑπάρχει πιὰ ἐπιστροφή, δὲν ὑπάρχει πιὰ τέλος, ἀλλὰ πλησιάζει ἡ ὀργὴ τοῦ Θεοῦ. Ἀπὸ ποῦ γίνεται φανερό; Ἀπὸ ἐκεῖνο ποὺ προεῖπε ὁ Χριστός[5]. Γιατὶ δὲν ἀποτελεῖ αὐτὸ μόνο παρηγοριὰ τὸ νὰ λάβουν συμμετόχους τῶν θλίψεών τους, ἀλλὰ καὶ

λαβεῖν, ἀλλὰ καὶ τὸ τοὺς θλίβοντας ἀκοῦσαι τιμωρουμένους. Εἰ δὲ ἡ ἀναβολὴ λυπεῖ, παραμυθείσθω τὸ μηκέτι ἀνανεύειν αὐτούς. Μᾶλλον δὲ καὶ τὴν ἀναβολὴν συνέστειλε τῷ εἰπεῖν, «ἡ ὀργή», δεικνὺς πάλαι ὀφειλομένην καὶ προωρισμένην καὶ προφητευομένην.

3. «Ἡμεῖς δέ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ». Οὐκ εἶπε, χωρισθέντες. Εἶπεν ἀνωτέρω περὶ τῆς κολακείας, δεικνὺς ὅτι οὐ κολακεύει, ὅτι οὐ ζητεῖ δόξαν· λέγει ἐνταῦθα περὶ τῆς ἀγάπης. Ἐπειδὴ εἶπεν ἀνωτέρω, «ὡς πατὴρ τέκνα», «ὡς τροφός», ἐνταῦθα ἕτερόν φησιν, «ἀπορφανισθέντες», ὅπερ ἐστὶ παίδων πατέρας ζητούντων. Καὶ μὴν ἐκεῖνοι ἀπωρφανίσθησαν. Οὔ, φησίν, ἀλλ' ἡμεῖς. Εἰ γάρ τις τὸν πόθον ἐξετάσειε, καθάπερ παιδία μικρὰ ἀπροστάτευτα, ἄωρον ὀρφανίαν ὑποστάντα, ἐν πολλῷ πόθῳ τῶν γονέων εἰσίν, οὐ διὰ τὴν φύσιν μόνον αὐτήν, ἀλλὰ καὶ διὰ τὴν ἐρημίαν· οὕτω δὴ καὶ ἡμεῖς. Ἐκ τούτου καὶ τὴν ἀθυμίαν αὐτοῦ δείκνυσιν, ἐν ᾗ ἦν διὰ τὸν χωρισμόν. Καὶ ταῦτα, φησίν, οὐκ ἔνι εἰπεῖν, ὅτι πολὺν χρόνον ἀνεμείναμεν, ἀλλά, «πρὸς καιρόν», καὶ ταῦτα, «προσώπῳ, οὐ καρδίᾳ»· ἀεὶ γὰρ ὑμᾶς ἔχομεν ἐν τῇ διανοίᾳ. Ὅρα ὅση ἡ ἀγάπη· καίτοι ἔχων αὐτοὺς διαπαντὸς ἐν καρδίᾳ, καὶ τὴν κατ' ὄψιν ἐζήτει παρουσίαν. Μή μοι λέγε τὴν περιττὴν φιλοσοφίαν· τοῦτο ἀληθῶς θερμῆς ἀγάπης, τὸ καὶ ἰδεῖν καὶ ἀκοῦσαι καὶ εἰπεῖν, καὶ πολλὰ ἂν τοῦτο συμβάλλοιτο.

«Περισσοτέρως», φησίν, «ἐσπουδάσαμεν». Τί ἐστι, «περισσοτέρως»; Ἢ τοῦτό ἐστιν εἰπεῖν, ὅτι σφόδρα ὑμῶν ἐξεχόμεθα, ἢ ὡς εἰκὸς ἦν, ὥραν ἀπολειφθέντες ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν. Ὅρα τὸν μακάριον Παῦλον, ὅταν δι' ἑαυτοῦ μὴ δύνηται πληροῦν αὐτοῦ τὸν πόθον, δι' ἑτέρων τοῦτο ποιοῦντα· ὥσπερ ὅτε πρὸς Φιλιππησίους τὸν Τιμόθεον πέμπει, καὶ πρὸς Κορινθίους πάλιν τὸν αὐτόν, δι' ἑτέρων αὐτοῖς συγγινόμενος, ὅταν μὴ δύνηται δι' ἑαυτοῦ. Ἐρώμενος γὰρ ἦν μανικός τις καὶ ἀκάθεκτος, καὶ ἀκαρτέρητος περὶ φιλίαν. «Διὸ ἠθελήσαμεν ἐλθεῖν

---

6. Α' Θεσ. 2,5 – 6
7. Α' Θεσ. 2,7

τὸ νὰ ἀκούσουν ὅτι τιμωροῦνται ἐκεῖνοι ποὺ προκαλοῦν θλίψι. Ἐὰν ὅμως ἡ ἀναβολὴ προξενῇ λύπη, ἂς παρηγορῇ τὸ ὅτι δὲν ἐπιστρέφουν πίσω πιὰ αὐτοί. Καλύτερα ὅμως καὶ τὴν ἀναβολὴ ἐπεριόρισε μὲ τὸ νὰ εἰπῇ, «ἡ ὀργή», ἀποδεικνύοντας ὅτι ἀπὸ παλαιὰ ὀφείλεται καὶ ἔχει προαποφασισθῆ καὶ προφητευθῆ.

3. «Ἐμεῖς ὅμως, ἀπὸ τὴ στιγμὴ ποὺ ἐγίναμε προσωρινὰ ὀρφανοὶ ἀπὸ σᾶς, μὲ τὸ σῶμα, ὄχι μὲ τὴν καρδιά, ἐπροσπαθήσαμε πάρα πολὺ νὰ ἰδοῦμε τὸ πρόσωπό σας μὲ μεγάλη ἐπιθυμία». Δὲν εἶπε, ἀπὸ τὴ στιγμὴ ποὺ ἐχωρισθήκαμε ἀπὸ σᾶς. Εἶπε παραπάνω γιὰ τὴν κολακεία, γιὰ νὰ δείξῃ ὅτι δὲν κολακεύει, ὅτι δὲν ἐπιζητεῖ τὴ δόξα[6]. Ἐδῶ ὁμιλεῖ γιὰ τὴν ἀγάπη. Ἐπειδὴ εἶπε παραπάνω, «ὅπως ὁ πατέρας τὰ παιδιά του», «ὅπως ἡ παραμάννα»[7], ἐδῶ λέγει ἄλλο, «ὅταν ἐγίναμε ὀρφανοί», πρᾶγμα ποὺ εἶναι χαρακτηριστικὸ τῶν παιδιῶν ὅταν ζητοῦν τοὺς πατέρες τους. Καὶ ὅμως ἐκεῖνοι εἶχαν γίνει ὀρφανοί. Ὄχι, λέγει, ἀλλὰ ἐμεῖς. Ἐὰν λοιπὸν θὰ ἤθελε νὰ ἐξετάσῃ κανεὶς τὸν πόθο, ὅπως ἀκριβῶς τὰ μικρὰ ἀπροστάτευτα παιδιά, ὅταν γίνουν πρόωρα ὀρφανά, ἐπιθυμοῦν πάρα πολὺ τοὺς γονεῖς τους, ὄχι μόνο ἐξ αἰτίας τῆς φύσεως, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς μοναξιᾶς τους, ἔτσι λοιπὸν σᾶς ἐπιθυμοῦμε καὶ ἐμεῖς. Ἀπὸ αὐτὸ δείχνει καὶ τὴ λύπη του, στὴν ὁποία εὑρίσκετο ἐξ αἰτίας τοῦ χωρισμοῦ. Καὶ αὐτά, λέγει, δὲν εἶναι δυνατὸ νὰ εἰποῦμε, ὅτι ἐπεριμέναμε πολὺ χρόνο, ἀλλὰ «προσωρινά», καὶ αὐτὰ «μὲ τὸ σῶμα, ὄχι μὲ τὴν καρδιά μας», γιατὶ πάντοτε σᾶς ἔχομε στὸ νοῦ μας. Πρόσεχε πόση εἶναι ἡ ἀγάπη. Ἂν καὶ εἶχε αὐτοὺς παντοτινὰ μέσα στὴν καρδιά του, ἐζητοῦσε καὶ τὴν προσωπικὴ παρουσία τους. Μὴ μοῦ λέγῃς τὴν περιττὴ φιλοσοφία· αὐτὸ ἀληθινὰ εἶναι δεῖγμα θερμῆς ἀγάπης, τὸ νὰ τοὺς ἰδῇ καὶ νὰ τοὺς ἀκούσῃ καὶ νὰ τοὺς μιλήσῃ, πρᾶγμα ποὺ θὰ ἠμποροῦσε νὰ συμβάλλῃ σὲ πολλά.

«Πάρα πολύ», λέγει, «ἐπροσπαθήσαμε». Τί σημαίνει «πάρα πολύ»; Ἢ εἶναι δυνατὸ νὰ ἐννοῇ αὐτό, ὅτι ἐπιδιώκομε πάρα πολὺ τὴ συναναστροφή σας ἢ ὅπως ἦταν φυσικό, ἀφοῦ ἐχωρισθήκαμε ἀπὸ σᾶς πρὸς στιγμὴ ἐπροσπαθήσαμε πάρα πολὺ νὰ ἰδοῦμε τὸ πρόσωπό σας. Πρόσεξε ὅτι ὁ μακάριος Παῦλος, ὅταν δὲν μπορῇ μόνος του νὰ ἱκανοποιήσῃ τὸν πόθο του, κάνει αὐτὸ μὲ ἄλλους, ὅπως ὅταν στέλνῃ πρὸς τοὺς Φιλιππησίους τὸν Τιμόθεο, καὶ πρὸς τοὺς Κορινθίους πάλι τὸν ἴδιο, ἐρχόμενος σὲ ἐπαφὴ μὲ αὐτοὺς διὰ μέσου ἄλλων, ὅταν δὲν μπορῇ μόνος του. Γιατὶ ἦταν ἕνας ἐραστὴς μανιώδης καὶ ἀσυγκράτητος καὶ ἀνυπόμονος γιὰ τὴν ἀγάπη. «Γι'

πρὸς ὑμᾶς»· ὅπερ ἐστὶν ἀγάπης. Καίτοιγε ἐνταῦθα οὐδεμίαν ἑτέραν χρείαν φησίν, ἀλλ' ἵνα ἴδωμεν ὑμᾶς. «Ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ καὶ δίς· καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς». Τί λέγεις; ὁ Σατανᾶς ἐγκόπτει; Ναί· οὐ γὰρ Θεοῦ τοῦτο ἔργον ἦν. Ἐπὶ μὲν γὰρ Ῥωμαίων τοῦτό φησιν, ὅτι ὁ Θεὸς ἐκώλυσε· καὶ ἀλλαχοῦ φησιν ὁ Λουκᾶς, ὅτι τὸ Πνεῦμα διεκώλυσεν αὐτοὺς ἐλθεῖν εἰς τὴν Ἀσίαν· καὶ ἐπὶ Κορινθίων τοῦ Πνεύματός φησιν εἶναι τὸ ἔργον· ἐνταῦθα δὲ μόνον τοῦ Σατανᾶ. Τίνα δὲ λέγει ἐγκοπὴν τοῦ Σατανᾶ; Πειρασμούς τινας ἀπροσδοκήτους καὶ σφοδρούς. «Γενομένης γὰρ αὐτῷ, φησίν, ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων», κατείχετο ἐν τῇ Ἑλλάδι τρεῖς μῆνας. Ἕτερον δέ ἐστιν οἰκονομίας ἕνεκεν παραμένειν καὶ ἑκόντα. Ἐκεῖ μὲν γάρ φησι· «Διὸ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις», καί, «Φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον»· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ τί; Ὅτι ὁ Σατανᾶς ἐνέκοψεν.

«Ἐγὼ μέν», φησί, «Παῦλος, καὶ ἅπαξ καὶ δίς». Ὅρα πῶς φιλοτιμεῖται καὶ ἐγκαλλωπίζεται, θέλων δεῖξαι, ὅτι μάλιστα πάντων αὐτοὺς ἐφίλει. Τό, «ἐγὼ μὲν Παῦλος», ἀντὶ τοῦ, εἰ καὶ μὴ οἱ ἄλλοι, φησί. Κἀκεῖνοι μὲν γὰρ ἤθελον, ἐγὼ δὲ καὶ ἐπεχείρησα. «Τίς γὰρ ἡμῖν ἐλπίς, ἢ χαρά, ἢ στέφανος καυχήσεως; Ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ»; Μακεδόνες εἰσίν, εἰπέ μοι, ἡ ἐλπίς σου, ὦ μακάριε Παῦλε; Οὐχ οὗτοι μόνοι, φησί· διὰ τοῦτο ἐπήγαγεν· «ἢ οὐχὶ καὶ ὑμεῖς»; «Τίς γάρ ἐστιν ἡμῖν», φησίν, «ἐλπίς, ἢ χαρά, ἢ στέφανος καυχήσεως»; Ἆρα ἐπιγινώσκετε τὰ ῥήματα γυναικῶν ὄντα πάνυ διαθερμαινομένων τοῖς σπλάγχνοις, πρὸς παιδία μικρὰ διαλεγομένων;

«Καὶ στέφανος», φησί, «καυχήσεως». Οὐ γὰρ ἤρκει τὸ στέφανος ὄνομα δεῖξαι τὴν λαμπρότητα, ἀλλὰ καί, «καυχήσεως». Πόσης πυρώσεως τοῦτο; Οὐκ ἄν ποτε μήτηρ, οὐδὲ πατήρ, εἴγε ὁμοῦ συνῆλθον, καὶ τὸν ἑαυτῶν ἀνέμιξαν πόθον, ἠδυνήθησαν δεῖξαι ἰσόρροπον ὄντα τῷ Παύλου τὸν ἑαυτῶν πόθον. «Χαρά», φησί, «καὶ στέφανός μου»· μᾶλλον ἐφ' ὑμῖν, φησίν, ἀγάλλομαι, ἢ

---

8. Ρωμ. 1,13· 15,22
9. Πράξ. 16,6
10. Πράξ. 20,3
11. Ρωμ. 15,23
12. Β΄ Κορ. 1,23

αὐτὸ ἐθελήσαμε νὰ ἔλθωμε πρὸς συνάντησί σας», πρᾶγμα ποὺ εἶναι ἀπόδειξις ἀγάπης. Ἂν καὶ βεβαίως ἐδῶ δὲν ἀναφέρει καμμία ἄλλη ἀνάγκη, ἀλλὰ γιὰ νὰ σᾶς ἰδοῦμε. «Ἐγὼ ὁ Παῦλος καὶ μία καὶ δύο φορές, καὶ μᾶς ἠμπόδισε ὁ Σατανᾶς». Τί λέγεις; ὁ Σατανᾶς ἐμποδίζει; Ναί, γιατὶ αὐτὸ δὲν ἦταν ἔργο τοῦ Θεοῦ. Γιατὶ στὴν περίπτωσι τῶν Ρωμαίων αὐτὸ λέγει, ὅτι ὁ Θεὸς ἠμπόδισε[8]. Καὶ ἀλλοῦ λέγει ὁ Λουκᾶς, ὅτι τὸ ἅγιο Πνεῦμα ἠμπόδισε αὐτοὺς νὰ ἔλθουν στὴν Ἀσία[9]. Καὶ στὴν περίπτωσι τῶν Κορινθίων λέγει ὅτι τὸ ἔργο εἶναι τοῦ ἁγίου Πνεύματος. Καὶ ἐδῶ μόνο λέγει ὅτι εἶναι ἔργο τοῦ Σατανᾶ. Ποιό ὅμως ἐμπόδιο τοῦ Σατανᾶ ἐννοεῖ; Κάποιους κινδύνους ποὺ ἦταν ἀπροσδόκητοι καὶ ὑπερβολικοί. «Ἐπειδὴ λοιπὸν ἔγινε ἐναντίον του, λέγει ὁ Λουκᾶς, ἐπιβουλὴ τῶν Ἰουδαίων»[10], ἐκρατεῖτο στὴν Ἑλλάδα τρεῖς μῆνες. Καὶ ἄλλο εἶναι ὅτι παραμένει γιὰ λόγους οἰκονομίας καὶ ἄλλο μὲ τὴ θέλησί του. Γιατὶ ἐκεῖ λέγει· «Γι' αὐτὸ ἐπειδὴ δὲν ἔχω πιὰ στὰ μέρη αὐτὰ τόπο»[11], καί, «Ἐπειδὴ σᾶς λυποῦμαι δὲν ἦλθα ἀκόμη στὴν Κόρινθο»[12]. Ἐδῶ ὅμως δὲν λέγει τίποτε τέτοιο, ἀλλὰ τί; Ὅτι ὁ Σατανᾶς ἠμπόδισε.

«Ἐγώ», λέγει, «ὁ Παῦλος, καὶ μία καὶ δύο φορές». Πρόσεχε πῶς εἶναι φιλόδοξος καὶ ὑπερηφανεύεται, θέλοντας νὰ δείξη, ὅτι περισσότερο ἀπὸ ὅλους ἀγαποῦσε αὐτούς. Τὸ «ἐγὼ βέβαια ὁ Παῦλος», τὸ λέγει ἀντὶ τοῦ, καὶ ἂν ἀκόμη, λέγει, οἱ ἄλλοι δὲν ἤθελαν. Γιατὶ καὶ ἐκεῖνοι ἤθελαν, ἐγὼ ὅμως καὶ ἐπεχείρησα. «Γιατὶ ποιά εἶναι ἡ ἐλπίδα μας ἢ ἡ χαρά μας ἢ ὁ στέφανος τῆς καυχήσεώς μας; Ἢ δὲν εἶσθε καὶ σεῖς ἐνώπιον τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ στὴν παρουσία του»; Οἱ Μακεδόνες εἶναι, εἰπέ μου, μακάριε Παῦλε, ἡ ἐλπίδα σου; Ὄχι μόνο αὐτοί, λέγει· γι' αὐτὸ ἐπρόσθεσε, «ἢ δὲν εἶσθε καὶ σεῖς;». «Γιατὶ ποιὰ εἶναι, λέγει, ἡ ἐλπίδα μας ἢ ἡ χαρά μας ἢ ὁ στέφανος τῆς καυχήσεώς μας;». Ἄραγε ἀναγνωρίζετε τὰ λόγια γυναικῶν ὅταν ὑπερβολικὰ θερμαίνωνται μὲ τὰ σπλάγχνα τους καὶ ὁμιλοῦν πρὸς μικρὰ παιδιά;

«Καὶ ὁ στέφανος», λέγει, «τῆς καυχήσεως». Δὲν ἦταν δηλαδὴ ἀρκετὸ τὸ ὄνομα στέφανος νὰ δείξη τὴ λαμπρότητα, ἀλλὰ ἐπρόσθεσε καί, «τῆς καυχήσεως». Πόσου μεγάλου πόθου ἀπόδειξις εἶναι αὐτό. Δὲν θὰ ἠμποροῦσαν ποτὲ οὔτε ἡ μητέρα, οὔτε ὁ πατέρας, ἂν βέβαια ἐσυγκέντρωναν καὶ ἀνεμείγνυαν τὸν ἰδικό τους πόθο, νὰ δείξουν ὅτι ὁ ἰδικός τους πόθος εἶναι ἰσοδύναμος μὲ τὸν πόθο τοῦ Παύλου. «Ἡ χαρά», λέγει, «καὶ ὁ στέφανός μου». Περισσότερο γιὰ σᾶς, λέγει, ὑπερηφανεύομαι, παρὰ γιὰ τὸ στέφανο.

ἐπὶ στεφάνῳ. Ἐννόησον γὰρ ὅσον ἐστὶν ἐκκλησίαν ὁλόκληρον παρεῖναι φυτευθεῖσαν καὶ ῥιζωθεῖσαν ὑπὸ Παύλου. Τίς οὐκ ἂν ἐπὶ τοσαύτῃ πολυπαιδίᾳ καὶ εὐπαιδίᾳ ἀγάλλοιτο; Ὥστε οὐδὲ τοῦτο κολακείας ἐστίν. Οὐ γὰρ εἶπεν, ὑμεῖς, ἀλλά, «καὶ ὑμεῖς», μετὰ τῶν ἄλλων. «Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά».

4. «Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι». Ἀντὶ τοῦ, εἱλόμεθα. «Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ». Καὶ τοῦτο οὐ τὸν Τιμόθεον ἐπαίρων, φησίν, ἀλλ' αὐτοὺς τιμῶν, ὅτι τὸν συνεργὸν καὶ διάκονον τοῦ εὐαγγελίου· ὡς ἂν εἰ ἔλεγεν, ἀποσπάσαντες ἀπὸ τῶν ἔργων ἐπέμψαμεν πρὸς ὑμᾶς τὸν διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. «Εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν, τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις». Τί δὴ ἐνταῦθά φησιν; Ἐπειδὴ τῶν διδασκάλων οἱ πειρασμοὶ θορυβοῦσι τοὺς μαθητάς, τότε δὲ πολλοῖς περιέπεσε πειρασμοῖς, ὡς καὶ αὐτός φησιν, ὅτι «ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς», ἀεὶ τοῦτο λέγων· καὶ ἅπαξ, φησί, καὶ δεύτερον ἠθέλον ἐλθεῖν, καὶ οὐκ ἴσχυσα, ὃ πολλῆς βίας ἦν· εἰκὸς δὲ τοῦτο θορυβῆσαι αὐτούς· οὐ γὰρ οὕτως ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς, ὡς ἐπὶ τῶν οἰκείων θορυβεῖται πειρασμῶν στρατιώτης, ὡς ὅταν τὸν στρατηγὸν ἴδῃ βεβλημένον· «εἰς τὸ στηρίξαι ὑμᾶς», φησίν· οὐχ ὡς ἐλλείποντάς τι τῆς πίστεως, οὐδ' ὡς ὀφείλοντάς τι μαθεῖν.

«Καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν, τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις· αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα. Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε». Οὐ δεῖ θορυβεῖσθαι, φησί· καὶ γὰρ οὐδὲν ξένον, οὐδὲν παρ' ἐλπίδα συμβαίνει· ὅπερ ἱκανὸν ἦν αὐτοὺς διαναστῆσαι. Ὁρᾷς ὅτι διὰ τοῦτο καὶ ὁ Χριστὸς προέλεγε τοῖς μαθηταῖς; Ἄκουσον γὰρ αὐτοῦ λέγοντος· «Ἀπάρτι εἶπον ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵν', ὅταν γένηται, πιστεύσητε». Μέγα γάρ, ὄντως μέγα εἰς παραμυθίαν τῶν ἄλλων, τὸ παρὰ τῶν διδασκάλων ἀκοῦσαι τὰ γινόμενα.

13. Ἰω. 14,29

Γιατὶ σκέψου πόσο μεγάλο εἶναι νὰ τὸν παραστέκεται ὁλόκληρος ἐκκλησία, ἡ ὁποία ἐφυτεύθηκε καὶ ἐθεμελιώθηκε σταθερὰ ἀπὸ τὸν Παῦλο. Ποιός δὲν θὰ ἐκαμάρωνε γιὰ τόσα πολλὰ καὶ καλὰ παιδιά; Ὥστε οὔτε αὐτὸ εἶναι δεῖγμα κολακείας. Γιατὶ δὲν εἶπε, σεῖς, ἀλλά, «καὶ σεῖς», μαζὶ μὲ τοὺς ἄλλους. «Γιατὶ σεῖς εἴσθε ἡ δόξα μας καὶ ἡ χαρά μας».

4. «Γι' αὐτό, ἐπειδὴ δὲν ὑποφέραμε πιά, ἐδεχθήκαμε νὰ μείνωμε μόνοι στὴν Ἀθήνα». Ἀντὶ τοῦ, ἐπροτιμήσαμε. «Καὶ ἐστείλαμε τὸν Τιμόθεο τὸν ἀδελφό μας καὶ διάκονο τοῦ Θεοῦ καὶ συνεργάτη μας στὸ εὐαγγέλιο τοῦ Χριστοῦ». Καὶ αὐτὸ δὲν τὸ λέγει γιὰ νὰ ἐξυψώση τὸν Τιμόθεο, ἀλλὰ γιὰ νὰ τιμήση αὐτούς, γιατὶ ἔστειλε τὸ συνεργάτη καὶ διάκονο τοῦ εὐαγγελίου. Σὰν νὰ ἔλεγε, ἀφοῦ τὸν ἀποσπάσαμε ἀπὸ τὰ ἔργα μας, ἐστείλαμε σὲ σᾶς τὸ διάκονο τοῦ Θεοῦ καὶ συνεργάτη μας στὸ εὐαγγέλιο τοῦ Χριστοῦ. «Γιὰ νὰ σᾶς στηρίξη καὶ νὰ σᾶς παρηγορήση γιὰ τὴν πίστι σας, ὥστε νὰ μὴ κλονίζεται κανεὶς στὶς θλίψεις αὐτές». Τί λοιπὸν ἐννοεῖ ἐδῶ; Ἐπειδὴ οἱ πειρασμοὶ τῶν διδασκάλων ἀνησυχοῦν τοὺς μαθητὲς καὶ περιέπεσε τότε σὲ πολλοὺς πειρασμούς, καθὼς καὶ ὁ ἴδιος λέγει, ὅτι «μᾶς ἐμπόδισε ὁ Σατανᾶς», πάντοτε αὐτὸ λέγοντας, καὶ μία καὶ δύο φορὲς ἤθελα νὰ ἔλθω, καὶ δὲν ἠμπόρεσα, πρᾶγμα ποὺ ἦταν ἀποτέλεσμα μεγάλης βίας, καὶ ἦταν φυσικὸ νὰ τοὺς θορυβήση αὐτό, γιατὶ δὲν ἀνησυχοῦν τόσο γιὰ τοὺς ἰδικούς τους πειρασμούς, ὅσο γιὰ τοὺς πειρασμοὺς τῶν διδασκάλων· διότι οὔτε ὁ στρατιώτης ἀνησυχεῖ τόσο γιὰ τοὺς ἰδικούς του κινδύνους, ὅσο ὅταν ἰδῆ τὸ στρατηγὸ κτυπημένο· «γιὰ νὰ σᾶς στηρίξη», λέγει. Ὄχι ἐπειδὴ ἔχετε κάποιες ἐλλείψεις στὴν πίστι, οὔτε ἐπειδὴ ὀφείλετε κάτι νὰ μάθετε.

«Καὶ νὰ σᾶς ἐνθαρρύνη στὴν πίστι σας, ὥστε νὰ μὴ κλονίζεται κανεὶς στὶς θλίψεις αὐτές, γιατὶ σεῖς γνωρίζετε ὅτι γι' αὐτὸ ἔχομε ταχθῆ. Γιατὶ καὶ ὅταν ἤμασθε κοντὰ σας, σᾶς ἐπρολέγαμε, ὅτι πρόκειται νὰ ὑποφέρωμε θλίψεις, καθὼς καὶ ἔγινε καὶ τὸ γνωρίζετε». Δὲν πρέπει νὰ ἀνησυχῆτε, λέγει, γιατὶ πράγματι δὲν συμβαίνει τίποτε τὸ παράδοξο, τίποτε τὸ ἀπροσδόκητο. Αὐτὸ ἦταν ἱκανὸ νὰ τοὺς στηρίξη. Βλέπεις ὅτι γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε ἀπὸ πρὶν αὐτὰ ποὺ θὰ συμβοῦν στοὺς μαθητές του; Ἄκουσε λοιπὸν αὐτὸν ποὺ λέγει· «Ἀπὸ τώρα σᾶς εἶπα πρὶν νὰ γίνουν αὐτά, ὥστε, ὅταν γίνουν, νὰ πιστεύσετε»[13]. Ἀποτελεῖ λοιπὸν πολὺ μεγάλη, πραγματικὰ πολὺ μεγάλη παρηγορία στοὺς ἄλλους, τὸ νὰ ἀκούσουν ἀπὸ

Ὥσπερ γὰρ ὁ κάμνων, παρὰ τοῦ ἰατροῦ ἐὰν ἀκούσῃ ὅτι τόδε γίνεται καὶ τόδε, οὐ σφόδρα θορυβεῖται· ἐὰν δὲ ἀπροσδοκήτως ἐκβῇ, ὡς κἀκείνου ἀπορηθέντος, καὶ τοῦ νοσήματος μείζονος τῆς τέχνης γενομένου, ἀλύει καὶ θορυβεῖται· οὕτω καὶ ἐνταῦθα. Ἅπερ προειδὼς ὁ Παῦλος, προεῖπεν αὐτοῖς ὅτι μέλλομεν θλίβεσθαι· «Καθὼς καὶ ἐγένετο, καὶ οἴδατε». Οὐχ ὅτι ἐγένετο τοῦτο λέγει μόνον, ἀλλ' ὅτι πολλὰ προεῖπε, καὶ ἐξέβη. «Εἰς τοῦτο κείμεθα». Ὥστε οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον οὐ δεῖ θορυβεῖσθαι, ἀλλ' οὐδ' ὑπὲρ τῶν μελλόντων, εἴ τι συμβαίη τοιοῦτον. «Εἰς τοῦτο γὰρ κείμεθα».

5. Ἀκούσωμεν οἷς ἐστιν ὦτα ἀκούειν· εἰς τοῦτο κεῖται ὁ Χριστιανός. «Εἰς τοῦτο κείμεθα», περὶ πάντων λέγει τῶν πιστῶν. Εἰς τοῦτο κείμεθα· καὶ ὡσανεὶ εἰς ἄνεσιν κείμενοι, ξενοπαθοῦμεν. Μᾶλλον δὲ τίνος ἕνεκεν ξενοπαθοῦμεν; οὐδὲ γὰρ θλίψεως καιρός, οὐδὲ πειρασμὸς κατέλαβεν, εἰ μὴ ἀνθρώπινος. Εὔκαιρον καὶ πρὸς ὑμᾶς εἰπεῖν, «Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι». Μᾶλλον δὲ οὐ τοῦτο εὔκαιρον εἰπεῖν πρὸς ὑμᾶς, ἀλλὰ ποῖον; οὔπω χρημάτων κατεφρονήσατε. Ἐκείνοις μὲν γὰρ τοῖς τὰ αὐτῶν ἀπολωλεκόσιν ἅπαντα εἰκότως ταῦτα ἐλέγετο, τοῖς δὲ τὰ αὐτῶν ἔχουσι, τοῦτο. Τίς ἡρπάγη χρήματα διὰ Χριστόν; τίς ἐρραπίσθη; τίς ὑβρίσθη; μέχρι ῥημάτων, λέγω. Πόθεν ἡ καύχησις; πόθεν δύνασαι παρρησίαν ἔχειν; Τοσαῦτα ἔπαθε δι' ἡμᾶς ἐχθροὺς ὄντας ὁ Χριστός· τί δυνάμεθα ἐπιδεῖξαι ἡμεῖς ὧν δι' αὐτὸν πεπόνθαμεν; Ὧν μὲν πεπόνθαμεν, οὐδέν· ὧν δὲ πάσχομεν παρ' αὐτοῦ καλῶν, μυρία. Πόθεν ἡμῖν ἡ παρρησία ἔσται κατ' ἐκείνην τὴν ἡμέραν; Οὐκ ἴστε, ὅτι καὶ ὁ στρατιώτης, ὅταν μυρία τραύματα καὶ ὠτειλὰς ἐπιδείκνυται, τότε δυνήσεται λαμπρὸς εἶναι παρὰ τῷ βασιλεῖ; ἂν δὲ μηδὲν ἔχῃ δεῖξαι κατόρθωμα, κἂν μηδὲν ᾖ προσκεκρουκώς, ἐν τοῖς ἐσχάτοις τετάξεται;

Ἀλλ' οὐκ ἔστι πολέμου καιρός, φησίν. Εἰ γὰρ ἦν, εἰπέ μοι, τίς ἂν ἠγωνίσατο; τίς ἂν ἐπεπήδησε; τίς ἂν τὴν φάλαγγα διέξωσε; Τάχα οὐδείς. Ὅταν γὰρ ἴδω ὅτι χρημάτων οὐ καταφρονεῖς ἔνε-

---

14. Ἑβρ. 12,4

τοὺς διδασκάλους αὐτὰ ποὺ γίνονται. Γιατὶ ὅπως ὁ ἀσθενής, ἐὰν ἀκούση ἀπὸ τὸν ἰατρό του ὅτι συμβαίνει τὸ τάδε καὶ τὸ τάδε, δὲν ἀνησυχεῖ πολύ, ἐὰν ὅμως ἀπροσδόκητα κάτι συμβῆ, ὥστε καὶ ἐκεῖνος νὰ ἐκπλαγῆ καὶ ἡ ἀσθένεια νὰ ἀποδειχθῆ πιὸ ἰσχυρὴ ἀπὸ τὴν ἰατρικὴ τέχνη, στενοχωρεῖται πολὺ καὶ ἀνησυχεῖ, ἔτσι ἀκριβῶς συμβαίνει καὶ ἐδῶ. Αὐτὰ ἀφοῦ ἐπρόβλεψε ὁ Παῦλος, προεῖπε σὲ αὐτοὺς ὅτι πρόκειται νὰ ὑποφέρωμε θλίψεις. «Καθὼς καὶ ἔγινε, καὶ τὸ γνωρίζετε». Ὄχι ἐπειδὴ ἔγινε αὐτὸ λέγει μόνο, ἀλλ' ἐπειδὴ πολλὰ προεῖπε καὶ συνέβηκαν. «Γιατὶ αὐτὸς εἶναι ὁ κλῆρος μας». Συνεπῶς ὄχι μόνο δὲν πρέπει νὰ ἀνησυχῆτε γιὰ τὰ παρελθόντα, ἀλλὰ οὔτε γιὰ τὰ μέλλοντα, ἐὰν θὰ συμβῆ κάτι τέτοιο. «Γιατὶ αὐτὸς εἶναι ὁ κλῆρος μας».

5. Ἂς ἀκούσωμε ὅσοι ἔχομε αὐτιὰ καὶ μποροῦμε ν' ἀκοῦμε· γι' αὐτὸ ἔχει ταχθῆ ὁ κάθε χριστιανός. «Αὐτὸς εἶναι ὁ κλῆρος λέγει ὅλων τῶν πιστῶν». Γι' αὐτὸ ἔχομε ταχθῆ· καὶ σὰν νὰ εὑρισκώμασθε σὲ ἄνεσι, αἰφνιδιαζόμασθε. Μᾶλλον δὲ γιὰ ποιὸ λόγο αἰφνιδιαζόμασθε; γιατὶ οὔτε καιρὸς θλίψεως ὑπάρχει, οὔτε πειρασμὸς μᾶς κατέλαβε, παρὰ μόνο ἀνθρώπινος. Εἶναι κατάλληλη στιγμὴ νὰ εἰπῆ καὶ σὲ σᾶς, «Δὲν ἀντισταθήκατε ἀκόμη μέχρι σημείου νὰ χύσετε αἷμα, ἀγωνιζόμενοι κατὰ τῆς ἁμαρτίας»[14]. Ἢ καλύτερα δὲν εἶναι εὐκαιρία νὰ εἰπῆ αὐτὸ σὲ σᾶς, ἀλλὰ ποιό; δὲν ἐπεριφρονήσατε ἀκόμη τὰ χρήματα. Σὲ ἐκείνους λοιπὸν ποὺ εἶχαν χάσει ὅλα τὰ ἰδικά τους, πολὺ εὔλογα τὰ ἔλεγε αὐτά, ἐνῶ σ' ἐκείνους ποὺ ἔχουν τὰ ἰδικά τους, αὐτό. Ποιοῦ ἀφηρέθηκαν τὰ χρήματα γιὰ τὸν Χριστό; ποιὸς ἐρραπίσθηκε; ποιός ὑβρίσθηκε; μὲ λόγια, ἐννοῶ. Ἀπὸ ποῦ προέρχεται ἡ καύχησίς σου; ἀπὸ ποῦ μπορεῖς νὰ ἔχης παρρησία; Τόσα πολλὰ ἔπαθε ὁ Χριστὸς γιὰ μᾶς, ἂν καὶ ἤμασθε ἐχθροί· τί μποροῦμε νὰ ἐπιδείξωμε ἐμεῖς ἀπὸ αὐτὰ ποὺ ἔχομε πάθει γι' αὐτόν; Ἀπὸ αὐτά, ποὺ ἔχομε πάθει, τίποτε· ἀπὸ τὰ καλὰ ὅμως ποὺ ἀπολαμβάνομε ἀπὸ αὐτόν, ἄπειρα. Ἀπὸ ποῦ θὰ ἔχωμε παρρησία κατὰ τὴν ἡμέρα τῆς κρίσεως; Δὲν γνωρίζετε, ὅτι καὶ ὁ στρατιώτης, ὅταν παρουσιάζη πολλὰ τραύματα καὶ πληγές, τότε θὰ μπορέση νὰ εἶναι ἔνδοξος κοντὰ στὸ βασιλέα; ἐνῶ ἂν δὲν ἔχη νὰ παρουσιάση κανένα κατόρθωμα, καὶ ἂν δὲν ἔχη πολεμήση καθόλου, ὅτι θὰ ἔχη τοποθετηθῆ ἀνάμεσα στοὺς τελευταίους;

Ὅμως δὲν εἶναι καιρὸς πολέμου, λέγει. Ἐὰν πράγματι ἦταν, εἰπέ μου, ποιός θὰ ἐπολεμοῦσε; ποιός θὰ ἐπετίθετο; ποιός θὰ εἶχε ἐκδιώξει ἐντελῶς τὴ φάλαγγα τοῦ ἐχθροῦ; Ἴσως κανένας. Γιατὶ

κεν τοῦ Χριστοῦ, πῶς σοι πιστεύσω ὅτι πληγῶν καταφρονήσεις; Εἶπε, φέρετε τοὺς ὑβρίζοντας γενναίως, καὶ εὐλογεῖτε αὐτούς· τοῦτο οὐ ποιεῖς, ἀλλὰ παρακούεις. Ὃ κίνδυνον οὐκ ἔχει, οὐ ποιεῖς, καὶ πληγὰς οἴσεις, εἰπέ μοι, ἔνθα πολὺ τὸ τῆς ὀδύνης καὶ τῆς ἀλγηδόνος; Οὐκ ἴστε ὅτι ἐν εἰρήνῃ τὰ τοῦ πολέμου γυμνάζεσθαι χρή; Οὐχ ὁρᾶτε τοὺς στρατιώτας τούτους, οἵ, καὶ μηδενὸς ἐνοχλοῦντος πολέμου, ἀλλ' εἰρήνης οὔσης βαθείας, τὰ ὅπλα ἀποσμηξάμενοι, καὶ μετὰ τῶν διδασκάλων τῶν τὰ τακτικὰ διδασκόντων αὐτούς, εἰς ὕπτια πεδία καὶ εὐρύχωρα καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν ἐξιόντες, τὰ τοῦ πολέμου γυμνάζονται μετὰ πολλῆς τῆς ἀκριβείας; Τίς τοῦτο εἰργάσατο τῶν πνευματικῶν στρατιωτῶν; Οὐδείς. Διὰ τοῦτο ἐν τοῖς πολέμοις χαῦνοι καὶ βάναυσοι, καὶ πᾶσιν εὐάλωτοι γινόμεθα. Πόσης δὲ νωθείας τὸ μὴ ἡγεῖσθαι πολέμου καιρὸν εἶναι τὸν παρόντα, τοῦ Παύλου βοῶντος, «Πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται»; καὶ τοῦ Χριστοῦ λέγοντος, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»; καὶ πάλιν τοῦ μακαρίου Παύλου λαμπρᾷ τῇ φωνῇ βοῶντος καὶ λέγοντος, «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα»; καὶ πάλιν, «Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ»;

Τί ὁπλίζεις ἡμᾶς, εἰπέ μοι, πολέμου οὐκ ὄντος; τί μάτην ἡμῖν πράγματα παρέχεις; θωρακίζεις τοὺς στρατιώτας, ἐξὸν ἀναπαύεσθαι καὶ ἀναψύχειν; Ἀλλ' εἴπεν ἄν· μάλιστα μὲν οὖν, εἰ καὶ μὴ ἦν πόλεμος, ἔδει τὰ τοῦ πολέμου μεριμνᾶν. Ὁ γὰρ ἐν εἰρήνῃ τῶν τῆς μάχης φροντίζων, φοβερὸς ἔσται ἐν τῷ καιρῷ τῆς μάχης, ὁ δὲ ἄπειρος τῶν πολεμικῶν, μᾶλλον θορυβηθήσεται καὶ ἐν εἰρήνῃ. Τί δήποτε; Ὅτι δακρύσει ὑπὲρ ὧν ἔχει, καὶ ὅτι μὴ δυνάμενος ὑπερμαχεῖν, ὀδυνηθήσεται. Τοῦ γὰρ δειλοῦ καὶ ἀπείρου καὶ πρὸς τὰς μάχας βαναύσου τὰ κτήματα πάντων ἐστὶ τῶν ἀνδρείων καὶ πολεμεῖν εἰδότων· ὥστε διὰ τοῦτο πρῶτον ὑμᾶς ὁπλίζω. Ἔπειτα δὲ καὶ πολέμου καιρὸς πᾶς ὁ τῆς ζωῆς ἡμῶν ἐστι χρόνος. Πῶς καὶ τίνι τρόπῳ; Ὁ διάβολος ἐφέστηκεν. Ἄκουσον τί φησι·

15. Β' Τιμ. 3,12
16. Ἰω. 16,33
17. Ἐφ. 6,12.14

όταν βλέπω ότι δὲν περιφρονεῖς τὰ χρήματα γιὰ τὸν Χριστό, πῶς θὰ σὲ πιστεύσω οτι θὰ περιφρονήσης τὶς πληγές; Εἶπε, νὰ ὑπομένετε μὲ καρτερικότητα ἐκείνους ποὺ σᾶς ὑβρίζουν καὶ νὰ εὐλογῆτε αὐτούς. Δὲν κάνεις αὐτό, ἀλλὰ παρακούεις. Οποιο δὲν ἔχει κίνδυνο, δὲν τὸ κάνεις, καὶ θὰ ὑποφέρης τὶς πληγές, εἰπέ μου, ὅπου εἶναι μεγάλη ἡ ὀδύνη καὶ ὁ πόνος; Δὲν γνωρίζετε οτι πρέπει κατὰ τὴ διάρκεια τῆς εἰρήνης νὰ ἀσκῆσθε σὲ πολεμικὰ γυμνάσια; Δὲν βλέπετε τοὺς στρατιῶτες αὐτούς, οἱ ὁποῖοι ἂν καὶ δὲν τοὺς ἐνοχλεῖ κανένας πόλεμος ἀντίθετα δὲ καὶ ἐπικρατεῖ ἀπόλυτη εἰρήνη, ἀφοῦ καθαρίσουν τὰ οπλα, μαζὶ μὲ τοὺς διδασκάλους ποὺ τοὺς διδάσκουν τὴν πολεμικὴ τέχνη, ἐξερχόμενοι καθημερινά, ὅπως θὰ ἐλέγαμε, σὲ ἐπικλινεῖς καὶ εὐρύχωρες πεδιάδες, ἀσκοῦνται μὲ μεγάλη ἀκρίβεια στὴν τακτικὴ τοῦ πολέμου; Ποιός ἀπὸ τοὺς πνευματικοὺς στρατιῶτες ἔκαμε αὐτό; Κανένας. Γι' αὐτὸ στοὺς πολέμους γινόμασθε νωθροὶ καὶ ἀπαίδευτοι καὶ εὐάλωτοι σὲ ὅλους. Πόσο δὲ μεγάλης νωθρότητας εἶναι δεῖγμα τὸ νὰ μὴ θεωροῦμε, ὅτι εἶναι καιρὸς πολέμου ὁ παρὼν καιρός, τὴν στιγμὴ ποὺ ὁ Παῦλος φωνάζει, «Καὶ ὅλοι ὅσοι θέλουν νὰ ζοῦν μὲ εὐσέβεια σύμφωνα μὲ τὸ θέλημα τοῦ Ἰησοῦ Χριστοῦ θὰ καταδιωχθοῦν»[15]; καὶ ἐνῶ ὁ Χριστὸς λέγει, «Μέσα στὸν κόσμο θὰ ἔχετε θλῖψι»[16]; καὶ ἐνῶ πάλι ὁ μακάριος Παῦλος μὲ δυνατὴ φωνὴ φωνάζει καὶ λέγει, «Δὲν εἶναι ὁ ἀγώνας μας πρὸς ἀντιπάλους μὲ αἷμα καὶ σάρκα»; καὶ πάλι, «Σταθῆτε λοιπὸν ἀφοῦ ζώσετε τὴ μέση σας μὲ τὴν ἀλήθεια»[17];

Γιατί μᾶς ὁπλίζεις, εἰπέ μου, ἐνῶ δὲν εἶναι πόλεμος; γιατί μᾶς δημιουργεῖς χωρὶς λόγο δυσκολίες; Θωρακίζεις τοὺς στρατιῶτες, ἐνῶ ἔπρεπε νὰ ἀναπαύωνται καὶ νὰ ξεκουράζωνται; Ἀλλὰ θὰ ἔλεγε κανείς· Καὶ βέβαια, καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε πόλεμος, ἔπρεπε νὰ φροντίζωμε τὰ πράγματα τοῦ πολέμου. Γιατί ὅποιος φροντίζει στὸν καιρὸ τῆς εἰρήνης τὰ πράγματα τῆς μάχης, θὰ εἶναι φοβερὸς στὸν καιρὸ τῆς μάχης, ὅποιος ὅμως εἶναι ἄπειρος τῶν πολεμικῶν πραγμάτων, περισσότερο θὰ θορυβηθῆ καὶ σὲ καιρὸ εἰρήνης. Γιατί τέλος πάντων; Γιατὶ θὰ δακρύση γι' αὐτὰ ποὺ ἔχει καὶ διότι, ἐπειδὴ δὲν μπορεῖ νὰ τὰ ὑπερασπίζεται, θὰ στενοχωρηθῆ. Τὰ κτήματα λοιπὸν τοῦ δειλοῦ καὶ ἀπείρου καὶ ἀπαιδεύτου γιὰ τὶς μάχες ἀνήκουν σὲ ολους τοὺς ἀνδρείους καὶ σὲ αὐτοὺς ποὺ γνωρίζουν νὰ πολεμοῦν. Ὥστε γι' αὐτὸ πρῶτα σᾶς ἐξοπλίζω. Καὶ ἔπειτα ὅλος ὁ χρόνος τῆς ζωῆς μας εἶναι καιρὸς πολέμου. Πῶς καὶ μὲ ποιό τρόπο; Ὁ διάβολος ἐπιτίθεται. Ἄκουσε τί λέγει· «Περπατᾶ σὰν λεοντάρι

«Περιέρχεται ὠρυόμενος ὡς λέων, ἁρπάσαι θέλων». Σωματικὰ πάθη μυρία ἐπιτίθεται ἡμῖν, ἅπερ ἀναγκαῖον διελθεῖν, ἵνα μὴ μάτην ἑαυτοὺς ἀπατῶμεν. Τί γάρ, εἰπέ μοι, ἡμῖν οὐ πολεμεῖ; πλοῦτος, κάλλος, τρυφή, δυναστεία, ἐξουσία, βασκανία, δόξα, ἀπόνοια; Οὐ γὰρ μόνον ἡ ἡμετέρα δόξα πολεμεῖ κωλύουσα πρὸς ταπεινοφροσύνην καταπίπτειν, ἀλλὰ καὶ ἡ ἑτέρων εἰς φθόνον ἡμᾶς καὶ βασκανίαν ἐξάγουσα.

Ἀλλά τί τὰ ἐναντία, πενία, ἀτιμία, τὸ καταφρονεῖσθαι, τὸ ἀπερρῖφθαι, τὸ μηδεμίαν ἔχειν ἰσχύν· ταῦτα μὲν ἐν ἡμῖν· τὰ δὲ παρὰ ἀνθρώπων, πονηρίαι, ἐπιβουλαί, δόλοι, συκοφαντίαι, περιστάσεις μυρίαι· τὰ παρὰ τῶν δαιμόνων, ἀρχαί, ἐξουσίαι, κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου, τὰ πνευματικὰ τῆς πονηρίας; Ἄλλοι ἐσμὲν χαίροντες, ἄλλοι ἀλγοῦντες· ἀμφότερα παρεκτροπή. Ἀλλ' ὑγεία, ἀλλ' ἀσθένεια· πόθεν οὐχ ἁμαρτήσεταί τις; Βούλεσθε καὶ ἀπὸ τοῦ Ἀδὰμ ἀρξάμενος ὑμῖν εἴπω εὐθέως ἀπὸ τῆς ἀρχῆς; Τί τὸν πρωτόπλαστον εἷλεν; Ἡδονὴ καὶ βρώματα καὶ φιλαρχίας ἔρως. Τί τὸν μετ' ἐκεῖνον τὸν υἱὸν τὸν ἐκείνου; Βασκανία καὶ φθόνος. Τί τοὺς ἐπὶ Νῶε; Σωμάτων ἡδοναί, καὶ τὰ ἀπὸ τούτων τικτόμενα κακά. Τί τὸν υἱὸν τὸν τούτου; Ὕβρις καὶ ἄδεια. Τί τοὺς Σοδομίτας; Ὕβρις καὶ ἀσέλγεια καὶ πλησμονὴ ἄρτων. Πολλάκις δὲ καὶ πενία τοῦτο ποιεῖ· διὰ τοῦτο σοφός τις ἔλεγε· «Πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς». Μᾶλλον δὲ οὐ πλοῦτος, οὐδὲ πενία, ἀλλ' ἡ μὴ δυναμένη τούτοις ἑκατέροις προαίρεσις χρήσασθαι. «Ἐπίγνωθι», φησίν, «ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις».

6. Θαυμαστῶς εἶπεν ὁ μακάριος Παῦλος, «Εἰς τοῦτο κείμεθα». Οὐκ εἶπεν ἁπλῶς, ὅτι πειραζόμεθα, ἀλλ', «Εἰς τοῦτο κείμεθα», ἀντὶ τοῦ, εἰς τοῦτο ἐγενήθημεν. Τοῦτο τὸ ἔργον ἡμῶν, οὗτος ὁ βίος, καὶ σὺ ἄνεσιν ζητεῖς; Οὐκ ἐφέστηκεν ὁ δήμιος τὴν πλευρὰν καταξαίνων, καὶ θῦσαι καταναγκάζων· ἀλλ' ἐφέστηκεν ἐπιθυμία σφοδρὰ χρημάτων καὶ πλεονεξίας, ἐξορύττουσα τοὺς ὀφθαλμοὺς ἡμῖν. Οὐδεὶς στρατιώτης πυρὰν ἡμῖν ἀνῆψεν, οὐδὲ ἔθηκεν ἐπὶ κρατίκλης· ἀλλ' ὁ τῶν σωμάτων φλογμὸς μᾶλλον

18. Α΄ Πέτρου 5,8
19. Παροιμ. 30,8
20. Σοφ. Σειρ. 9,13

ποὺ βρυχᾶται καὶ θέλει κάποιον νὰ ἁρπάξη»[18]. Μᾶς ἐπιτίθενται ἄπειρα σωματικὰ πάθη, τὰ ὁποῖα εἶναι ἀνάγκη νὰ ὑποστοῦμε, γιὰ νὰ μὴ ἐξαπατοῦμε χωρὶς λόγο τὸν ἑαυτό μας. Τί λοιπόν, εἰπέ μου, δὲν μᾶς πολεμεῖ ὁ πλοῦτος, τὸ κάλλος, οἱ ἀπολαύσεις, ἡ δυναστεία, ἡ ἐξουσία, ἡ βασκανία, ἡ δόξα, ἡ ἀπόγνωσις; Γιατὶ δὲν πολεμεῖ μόνο ἡ ἰδική μας δόξα ἐμποδίζοντάς μας νὰ φθάνωμε σὲ ταπεινοφροσύνη, ἀλλὰ καὶ ἡ δόξα τῶν ἄλλων ποὺ μᾶς ἐξωθεῖ σὲ φθόνο καὶ βασκανία.

᾿Αλλὰ τί, δὲν μᾶς πολεμοῦν τὰ ἀντίθετα, ἡ φτώχεια, ἡ ἔλλειψις τιμῆς, ἡ περιφρόνησις ἀπὸ τοὺς ἄλλους, τὸ νὰ μὴ μᾶς ὑπολογίζουν, τὸ νὰ μὴ ἔχωμε καμμία δύναμι; αὐτὰ βέβαια ἐξαρτῶνται ἀπὸ μᾶς. Καὶ ἐκεῖνα ποὺ προέρχονται ἀπὸ τοὺς ἀνθρώπους, οἱ πονηρίες, οἱ ἐπιβουλές, οἱ δόλοι, οἱ συκοφαντίες, οἱ ἄπειρες καταστάσεις; τὰ προερχόμενα ἀπὸ τοὺς δαίμονες, ποὺ εἶναι οἱ ἀρχές, οἱ ἐξουσίες, οἱ κοσμοκράτορες τοῦ σκότους ποὺ ἐπικρατεῖ στὸν αἰώνα αὐτό, τὰ πνευματικὰ ὄντα τῆς κακίας; Ἄλλοι χαιρόμασθε, ἄλλοι θλιβόμασθε· καὶ τὰ δύο εἶναι παρέκκλισις ἀπὸ τὸν ὀρθὸ τρόπο σκέψεως. ᾿Αλλὰ ὑπάρχει ὑγεία, ὑπάρχει ὅμως καὶ ἀσθένεια. Πῶς δὲν θὰ ἁμαρτήση κανείς; Θέλετε ἀρχίζοντας ἀπὸ τὸν ᾿Αδὰμ νὰ σᾶς εἰπῶ ἀμέσως ποιά εἶναι τὰ αἴτια τῆς καταστροφῆς; Τί πρᾶγμα κατέστρεψε τὸν ᾿Αδάμ; Ἡ ἡδονὴ καὶ οἱ ἀπολαύσεις καὶ ὁ πόθος τῆς ἐξουσίας. Ποιὸ ὕστερα ἀπὸ ἐκεῖνον τὸν υἱό του; Ἡ βασκανία καὶ ὁ φθόνος. Τί ἐκείνους ποὺ ἐζοῦσαν στὴν ἐποχὴ τοῦ Νῶε; Οἱ ἀπολαύσεις τῶν σωμάτων καὶ τὰ κακὰ ποὺ προέρχονται ἀπὸ αὐτές. Τί τὸν υἱὸ αὐτοῦ; Ἡ ὕβρις καὶ ἡ ἀφοβία. Τί τοὺς κατοίκους τῶν Σοδόμων; Ἡ ὕβρις καὶ ἡ ἀσέλγεια καὶ ἡ ἀφθονία τῶν ὑλικῶν ἀγαθῶν. Πολλὲς φορὲς ὅμως καὶ ἡ ἀνέχεια προξενεῖ αὐτό. Γι᾿ αὐτὸ κάποιος σοφὸς ἔλεγε· «Μὴ μοῦ δώσης ὅμως πλοῦτο καὶ ἀνέχεια»[19]. Ἢ καλύτερα οὔτε ὁ πλοῦτος, οὔτε ἡ ἀνέχεια προξενεῖ αὐτό, ἀλλ᾿ ἡ προαίρεσις τοῦ ἀνθρώπου ποὺ δὲν μπορεῖ νὰ χρησιμοποιήση ὀρθὰ τὸ καθένα ἀπὸ αὐτά. «Σκέψου», λέγει, «ὅτι βαδίζεις ἀνάμεσα σὲ παγίδες»[20].

6. Ἔξοχα εἶπε ὁ μακάριος Παῦλος, «Γι᾿ αὐτὸ ἔχομε ταχθῆ». Δὲν εἶπε μόνο, ὅτι εὑρισκόμασθε σὲ πειρασμούς, ἀλλά, «Γι᾿ αὐτὸ ἔχομε ταχθῆ», ἀντὶ τοῦ, γι᾿ αὐτὸ ἐγίναμε. Αὐτὸ εἶναι τὸ ἔργο μας, αὐτὴ εἶναι ἡ ζωή μας, καὶ σὺ ἐπιζητεῖς ἄνεσι; Δὲν εἶναι ἀντίπαλος ὁ δήμιος γιὰ νὰ κατακομματιάζη τὴν πλευρὰ καὶ νὰ ἀναγκάζη νὰ θυσιάσωμε, ἀλλὰ εἶναι ἡ δυνατὴ ἐπιθυμία τῶν χρημάτων καὶ τῆς πλεονεξίας, ποὺ μᾶς βγάζει τὰ μάτια. Κανεὶς στρατιώτης δὲν μᾶς ἔχει ἀνάψει φωτιά, οὔτε τὴν ἔβαλε ἐπάνω στὸ κρεββάτι μας, ἀλλὰ ἡ

ἐκείνων ἐξάπτει τὴν ψυχήν. Οὐ πάρεστι βασιλεὺς μυρία ἐπαγγελλόμενος ἀγαθὰ καὶ δυσωπῶν· ἀλλὰ πάρεστιν ἡ δοξομανία χεῖρον ἐκείνου γαργαλίζουσα. Μέγας πόλεμος ὄντως, καὶ πολὺ μέγας, ἂν ἐθέλωμεν νήφειν· ἔχει στεφάνους καὶ ὁ παρὼν καιρός. Ἄκουε Παύλου λέγοντος· «Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ».

Ὅταν ἀπολέσῃς παιδίον ἀγαπητὸν μονογενές, ἐν πλούτῳ πολλῷ τρεφόμενον, ἐλπίδας ὑποφαῖνον χρηστάς, αὐτό σοι μέλλον διαδέχεσθαι τὸν κλῆρον μόνον, μὴ στενάξῃς, ἀλλ' εὐχαρίστησον τῷ Θεῷ, καὶ δόξασον τὸν εἰληφότα, καὶ οὐδὲν ἔσῃ τοῦ Ἀβραὰμ κατὰ τοῦτο χείρων. Καθάπερ γὰρ ἐκεῖνος ἔδωκε τῷ Θεῷ κελεύσαντι, οὕτω σὺ λαβόντος αὐτοῦ οὐκ ἐστέναξας. Νόσῳ περιέπεσες χαλεπῇ, καὶ πολλοὶ παραγίνονται ἀναγκάζοντες, οἱ μὲν ἐπῳδαῖς, οἱ δὲ περιάμμασιν, οἱ δὲ ἑτέροις τισὶ παραμυθήσασθαι τὸ κακόν; διὰ τὸν τοῦ Θεοῦ φόβον ἤνεγκας γενναίως καὶ ἀκλινῶς, καὶ πάντα ἂν εἵλου παθεῖν ἢ ὑποστῆναί τι τῶν εἰδωλικῶν πρᾶξαι; Τοῦτό σοι μαρτυρίου στέφανον φέρει. Καὶ μὴ ἀμφίβαλλε. Καὶ πῶς καὶ τίνι τρόπῳ, ἐγὼ λέγω. Ὅτι καθάπερ ἐκεῖνος τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει γενναίως, ὥστε μὴ προσκυνῆσαι τὸ εἴδωλον, οὕτω καὶ σὺ τὰς ἀπὸ τῆς νόσου φέρεις ἀλγηδόνας, ὥστε μηδενὸς δεηθῆναι τῶν παρ' ἐκείνου, μηδὲ πρᾶξαι ἅπερ ἐπιτάττει. Ἀλλὰ σφοδρότεραι ἐκεῖναι; Ἀλλ' αὗται μακρότεραι, ὥστε εἰς ἴσον καταλήγει. Πολλάκις δὲ καὶ σφοδρότεραι. Τί γάρ, εἰπέ μοι, ὅταν καύσων ἔνδον ἐνοχλῇ καὶ φλέγῃ, καὶ τῶν ἄλλων παραινούντων ἀποσείσῃ τὴν ἐπῳδήν, οὐχὶ μαρτυρίου στέφανον ἀνεδήσω;

Πάλιν ἀπώλεσέ τις χρήματα; πολλοὶ οἱ παραινοῦντες πρὸς μάντεις ἀπελθεῖν; αὐτὸς διὰ τὸν τοῦ Θεοῦ φόβον, ἐπειδὴ κεκώλυται, εἵλετο μᾶλλον μὴ λαβεῖν τὰ χρήματα, ἢ παρακοῦσαι τοῦ Θεοῦ; Ἴσον ἔχει τὸν μισθὸν τῷ εἰς πένητας αὐτὰ δεδωκότι, ἂν

21. Β' Τιμ. 4,8
22. Δηλ. ὁ διάβολος, καθόσον ἡ μαγγανεία καὶ τὰ παρόμοια εἶναι ἐπινοήσεις τοῦ διαβόλου.

φλόγα τῶν σωμάτων ἐξάπτει τὴν ψυχὴ περισσότερο ἀπὸ ἐκεῖνα. Δὲν παραστέκει βασιλεύς, ὁ ὁποῖος ὑπόσχεται πολλὰ ἀγαθὰ καὶ ἱκετεύει, ἀλλὰ παραστέκει ἡ ὑπερβολικὴ φιλοδοξία, ἡ ὁποία προκαλεῖ χειρότερα ἀπὸ ἐκεῖνον. Εἶναι πράγματι μεγάλος ὁ πόλεμος, καὶ πολὺ μεγάλος, ἐὰν θέλωμε νὰ εἴμασθε ἐπάγρυπνοι. Ἔχει βραβεῖα καὶ ὁ παρὼν καιρός. Ἄκουε τὸν Παῦλο ποὺ λέγει· «Τώρα πλέον μοῦ ἐπιφυλάσσεται σὰν βραβεῖο ὁ στέφανος τῆς ἀρετῆς, τὸν ὁποῖο θὰ μοῦ δώση σὰν ἀνταμοιβὴ ὁ δίκαιος κριτής· καὶ ὄχι μόνο θὰ τὸν δώση σὲ μένα, ἀλλὰ καὶ σ' ὅλους ποὺ ἔχουν ἀγαπήσει τὴν ἐμφάνισί του»[21].

Ὅταν χάσης τὸ ἀγαπημένο μοναχοπαίδι σου, ποὺ τὸ ἀνέτρεφες μέσα σὲ μεγάλο πλοῦτο, ποὺ σοῦ χάριζε ἀγαθὲς ἐλπίδες, ποὺ ἐπρόκειτο αὐτὸ μόνο νὰ διαδεχθῆ τὴν κληρονομία σου, μὴ θρηνήσης· ἀλλὰ εὐχαρίστησε τὸν Θεὸ καὶ δόξασε ἐκεῖνον ποὺ τὸ ἔχει λάβει καὶ δὲν θὰ γίνης καθόλου χειρότερος ὡς πρὸς αὐτὸ ἀπὸ τὸν Ἀβραάμ. Γιατὶ ὅπως ἀκριβῶς ἐκεῖνος τὸ ἔδωσε, ὅταν διέταξε ὁ Θεός, ἔτσι, ὅταν αὐτὸς ἔλαβε τὸ δικό σου, ἐσὺ δὲν ἐθρήνησες. Περιέπεσες σὲ φοβερὴ ἀσθένεια καὶ πολλοὶ ἔρχονται καὶ ἐπιμένουν, ἄλλοι μὲ μαγγανεῖες, ἄλλοι μὲ φυλακτὰ καὶ ἄλλοι μὲ τέτοια παρόμοια νὰ περιορίσουν τὸ κακό; τὴν ὑπέφερες γιὰ τὸ φόβο τοῦ Θεοῦ γενναῖα καὶ σταθερά, καὶ ἐπροτίμησες νὰ πάθης τὰ πάντα παρὰ νὰ ἐπιχειρήσης νὰ πράξης κάτι ἀπὸ τὰ εἰδωλολατρικά; αὐτὸ σοῦ χαρίζει στέφανο μαρτυρίου. Καὶ νὰ μὴ ἀμφιβάλλης. Καὶ πῶς καὶ μὲ ποιὸ τρόπο, ἐγὼ θὰ σοῦ εἰπῶ. Γιατὶ ὅπως ἀκριβῶς ἐκεῖνος ὑποφέρει μὲ γενναιότητα τοὺς πόνους ἀπὸ τὰ βασανιστήρια, ὥστε νὰ μὴ προσκυνήση τὸ εἴδωλο, ἔτσι καὶ σύ, ὑποφέρεις τοὺς πόνους τῆς ἀσθενείας ὥστε νὰ μὴ χρειασθῆς τίποτε ἀπὸ τὰ ἰδικά του, οὔτε νὰ πράξης, ἐκεῖνα ποὺ διατάσσει[22]. Ἀλλὰ εἶναι πιὸ δυνατοὶ οἱ πόνοι ἐκεῖνοι; Ὅμως αὐτοὶ διαρκοῦν περισσότερο, καὶ ἑπομένως καταλήγουν στὸ ἴδιο ἀποτέλεσμα. Πολλὲς φορὲς ὅμως εἶναι καὶ πιὸ δυνατοί. Γιατί λοιπόν, εἰπέ μου, ὅταν ὁ πυρετὸς ἐνοχλῆ κάποιον μέσα του καὶ τὸν κάνει νὰ καίη, καὶ ἀπορρίψει αὐτὸς τὴ μαγγανεία, ἐνῶ οἱ ἄλλοι τὸν προτρέπουν, δὲν ἐστόλισε τὸ κεφάλι του μὲ τὸ στεφάνι τοῦ μαρτυρίου;

Πάλι ἔχασε κάποιος χρήματα; εἶναι πολλοὶ ποὺ συμβουλεύουν νὰ ἔλθη σὲ μάντεις; αὐτὸς γιὰ τὸ φόβο τοῦ Θεοῦ, ἐπειδὴ ἐμποδίζεται, ἐπροτίμησε μᾶλλον νὰ μὴ λάβη τὰ χρήματα, παρὰ νὰ παρακούση τὸν Θεό; Ἔχει τὸν ἴδιο μισθὸ μὲ ἐκεῖνον ποὺ ἔχει δώσει αὐτὰ

ἀπολέσας εὐχαριστήσῃ, καὶ δυνάμενος πρὸς μάντεις ἀπελθεῖν, ἀνάσχῃ μὴ λαβεῖν αὐτὰ μᾶλλον, ἢ οὕτω λαβεῖν. Καθάπερ γὰρ ἐκεῖνος διὰ τὸν τοῦ Θεοῦ φόβον εἰς τοὺς δεομένους ἐκένωσεν, οὕτω καὶ σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον, ἁρπασάντων ἐκείνων, οὐκ ἀνέλαβες. Ἡμεῖς κύριοι καὶ τοῦ ἀδικεῖν ἑαυτούς, καὶ τοῦ μή· ἕτερος δὲ οὐδείς. Καί, εἰ βούλεσθε, ἐπ' αὐτῆς τῆς κλοπῆς τὸ πρᾶγμα γυμνάσωμεν. Διέτεμε τὸν τοῖχον ὁ κλέπτης, εἰσεπήδησεν εἰς τὸν θάλαμον, ἐξεφόρησε χρυσία πολυτίμητα καὶ λίθους τιμίους, ἁπλῶς θησαυρὸν ὁλόκληρον ἐξέβαλε, καὶ οὐχ ἑάλω. Τὸ μὲν γενόμενον βαρύ, καὶ δοκεῖ ζημία τὸ πρᾶγμα εἶναι, οὐκ ἔστι δὲ οὐδέπω, ἀλλ' ἐν σοὶ κεῖται ἢ ζημίαν αὐτὸ ποιῆσαι, ἢ κέρδος. Καὶ πῶς ἂν γένοιτο τοῦτο κέρδος, φησίν; Ἐγὼ τοῦτο ἀποδεῖξαι πειράσομαι· πῶς, σοῦ βουλομένου, κέρδος ἔσται μέγα· καὶ μὴ βουληθέντος, χαλεπωτέρα τῆς γενομένης ζημία. Καθάπερ γὰρ ἐπὶ τῶν τεχνιτῶν ὕλης ὑποκειμένης, ὁ μὲν ἔμπειρος τῆς τέχνης εἰς δέον αὐτῇ κέχρηται, ὁ δὲ ἄπειρος ἠφάνισε, καὶ ἐποίησεν ἑαυτῷ ζημίαν, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων.

Πῶς οὖν ἔσται κέρδος; Ἂν εὐχαριστήσῃς τῷ Θεῷ, ἂν μὴ κωκύῃς, ἂν τὰ τοῦ Ἰὼβ εἴπῃς ῥήματα· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι». Τί λέγεις, ὁ Κύριος ἀφείλετο; ὁ κλέπτης ἀφείλετο, καὶ πῶς δυνήσῃ, φησίν, εἰπεῖν, ὁ Κύριος ἀφείλετο; Μὴ θαυμάσῃς· καὶ γὰρ ὁ Ἰώβ, ἃ ὁ διάβολος ἀφείλετο, ταῦτα ἔφησεν ὅτι ὁ Κύριος ἀφείλετο· καὶ σύ, ἃ ἔλαβεν ὁ κλέπτης, οὐκ ἐρεῖς ὅτι ὁ Κύριος ἀφείλετο; Τίνα θαυμάζεις, εἰπέ μοι; τὸν τὰ αὐτοῦ κενώσαντα εἰς πένητας, ἢ τὸν Ἰὼβ ἐπὶ τῶν ῥημάτων τούτων; ἆρα μὴ ἔλαττον ἔχει τῶν ἐλεημοσύνην δόντων ἐκεῖνος ὁ μὴ δοὺς τότε; Μὴ γὰρ εἴπῃς, οὐκ ἔχω χάριν, οὐκ ἐμῆς γνώμης τὸ πρᾶγμα ἦν, οὐκ εἰδότος οὐδὲ βουλομένου, ὁ λῃστὴς ἔλαβε· ποῖος ἔσται μοι μισθός; Οὐδὲ γὰρ τοῦ Ἰὼβ εἰδότος, οὐδὲ βουλομένου, ταῦτα ἐγένετο· πῶς γάρ; ἀλλ' ὅμως ἤθλησεν. Ἔξεστι δέ σοι τοσοῦτον λαβεῖν μισθόν, ὅσον ἂν εἰ ἑκὼν ἔρριψας αὐτά. Καὶ εἰκότως τοῦ-

---

23. Ἰὼβ 1,21

στοὺς πτωχούς, ἄν, ἀφοῦ τὰ ἔχασε, εὐχαριστήση τὸ Θεό, καί, ἐνῶ μποροῦσε νὰ ἔλθη σὲ μάντεις, προτίμησε μᾶλλον νὰ μὴ λάβη αὐτά, παρὰ νὰ τὰ λάβη μὲ αὐτὸν τὸν τρόπο. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος γιὰ τὸ φόβο τοῦ Θεοῦ ἄφησε αὐτὰ σὲ ἐκείνους ποὺ τὰ εἶχαν ἀνάγκη, ἔτσι καὶ σὺ γιὰ τὸ φόβο τοῦ Θεοῦ, ἐνῶ τὰ ἔχουν ἁρπάξει ἐκεῖνοι, ἐσὺ δὲν τὰ ἔλαβες πίσω. Ἐμεῖς εἴμασθε κύριοι καὶ τοῦ νὰ ἀδικοῦμε τοὺς ἑαυτούς μας καὶ τοῦ νὰ μὴ ἀδικοῦμε, καὶ κανεὶς ἄλλος. Καί, ἐὰν θέλετε, ἂς ἐξετάσωμε τὸ πρᾶγμα ἐπάνω στὴν κλοπή. Ἐτρύπησε τὸν τοῖχο ὁ κλέπτης, εἰσῆλθε στὸ δωμάτιο, ἅρπαξε μαζί του κοσμήματα μεγάλης ἀξίας καὶ πολυτίμους λίθους, καὶ γενικὰ ἔβγαλε ἔξω ὅλο τὸ θησαυρὸ καὶ δὲν συνελήφθη. Τὸ γεγονὸς βέβαια εἶναι βαρὺ καὶ φαίνεται ὅτι τὸ πρᾶγμα εἶναι ζημία, δὲν εἶναι ὅμως ἀκόμη, ἀλλὰ ἀπὸ σένα ἐξαρτᾶται νὰ κάμης αὐτὸ ἢ ζημία ἢ κέρδος. Καὶ πῶς θὰ ἠμποροῦσε, λέγει, νὰ γίνη κέρδος αὐτό; Θὰ προσπαθήσω ἐγὼ νὰ ἀποδείξω αὐτό, πῶς, δηλαδὴ ὅταν σὺ θέλης, θὰ εἶναι μεγάλο κέρδος, καὶ πῶς ὅταν δὲν θελήσης, θὰ εἶναι πιὸ φοβερὴ ἡ ζημία ἀπὸ τὴ ζημία ποὺ ἔγινε. Γιατὶ ὅπως ἀκριβῶς στοὺς τεχνίτας, ὅταν ὑπάρχη ἡ πρώτη ὕλη, ὁ ἕνας ποὺ εἶναι γνώστης τῆς τέχνης χρησιμοποιεῖ ὅπως πρέπει αὐτήν, ὁ ἄλλος ποὺ εἶναι ἄπειρος τὴν κατέστρεψε καὶ ἐπροκάλεσε ζημία στὸν ἑαυτό του, ἔτσι συμβαίνει καὶ στὰ πράγματα.

Πῶς λοιπὸν θὰ γίνη κέρδος; Ἂν εὐχαριστήσης τὸν Θεό, ἂν δὲν ὀδύρεσαι, ἂν εἰπῆς τὰ λόγια τοῦ Ἰώβ· «Ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφήρεσε· γυμνὸς ἐβγῆκα ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας μου, καὶ γυμνὸς θὰ πεθάνω»[23]. Τί λέγεις, ὁ Κύριος τὰ ἀφήρεσε; ὁ κλέπτης τὰ ἀφήρεσε, καὶ πῶς θὰ μπορέσης νὰ εἰπῆς, λέγει, ὁ Κύριος τὰ ἀφήρεσε; Μὴ ἀπορήσης, γιατὶ καὶ ὁ Ἰώβ, ἐκεῖνα ποὺ τοῦ ἀφήρεσε ὁ διάβολος, ἐκεῖνα εἶπε ὅτι ὁ Κύριος τοῦ τὰ ἀφήρεσε. Καὶ σύ, ἐκεῖνα ποὺ τὰ ἔλαβε ὁ κλέπτης, δὲν θὰ εἰπῆς ὅτι ὁ Κύριος τὰ ἀφήρεσε; Ποιὸν θαυμάζεις; εἰπέ μου· ἐκεῖνον ποὺ παρεχώρησε τὰ ἰδικά του στοὺς φτωχοὺς ἢ τὸν Ἰὼβ γιὰ τὰ λόγια αὐτά; ἄραγε μήπως ὑστερῆ ἀπὸ ἐκείνους ποὺ ἔδωσαν ἐλεημοσύνη, αὐτὸς ποὺ δὲν ἔδωσε τότε; Μὴ λοιπὸν εἰπῆς, δὲν θὰ ἔχω χάρι γιατὶ τὸ πρᾶγμα δὲν ἔγινε μὲ τὴ δική μου γνώμη, οὔτε ἐγνώριζα, οὔτε ἤθελα, ὅταν ὁ ληστὴς τὰ ἔλαβε· ποιὸ μισθὸ θὰ ἔχω; Γιατὶ οὔτε ὁ Ἰὼβ ἐγνώριζε, οὔτε ἤθελε, ὅταν ἔγιναν αὐτά· πῶς λοιπόν; ἀλλ' ὅμως ἤθλησε. Μπορεῖς δὲ καὶ σὺ νὰ λάβης τόσο μισθό, ὅσο θὰ ἐλάμβανες ἂν μὲ τὴ θέλησί σου ἔρριπτες αὐτά. Καὶ δικαιολογημένα θαυμάζομε περισ-

τον μᾶλλον θαυμάζομεν τὸν ἐπηρείας εὐχαρίστως φέροντα, ἢ τὸν ἑκόντα διδόντα.

Τί δήποτε; Ὅτι ἐκεῖνος μὲν τοῖς ἐπαίνοις τρέφεται, καὶ τῷ συνειδότι, καὶ χρηστὰς ἔχει τὰς ἐλπίδας· καὶ πρότερον γενναίως ἐνεγκὼν τὴν στέρησιν τῶν χρημάτων, τότε αὐτὰ ἔρριψεν, οὗτος δὲ ἔτι προσδεδεμένος ἀφῃρέθη βίᾳ. Οὐκ ἔστι δὲ ἴσον, πρότερον πεισθέντα ἀποστῆναι χρημάτων, οὕτως αὐτὰ κενῶσαι, καὶ ἔτι αὐτῶν ποθοῦντα ἀποστερηθῆναι. Ἂν ταῦτα εἴπῃς τὰ ῥήματα, λήψῃ πολλαπλασίονα, καὶ πλείονα ἢ ὁ Ἰώβ. Ἐκεῖνος μὲν γὰρ τὰ διπλασίονα ἐνταῦθα ἔλαβε· σοὶ δὲ ὁ Χριστὸς ἑκατονταπλασίονα ἐπηγγείλατο. Οὐκ ἐβλασφήμησας διὰ τὸν φόβον τοῦ Θεοῦ; οὐκ ἐχρήσω μάντεσιν; εὐχαρίστησας κακῶς παθών; Ὅμοιος εἶ τῷ καταπεφρονηκότι· καὶ γὰρ καὶ ταῦτα οὐ γίνεται, ἂν μὴ καταφρονήσῃς πρότερον. Οὐκ ἔστι δὲ ἴσον ἐν πολλῷ χρόνῳ μελετῆσαι καταφρονῆσαι τῶν χρημάτων, καὶ ἀθρόον ζημίαν συμβᾶσαν ἐνεγκεῖν. Οὕτω γίνεται κέρδος ἡ ζημία, καὶ οὐδὲν βλαβήσῃ, ἀλλὰ καὶ ὠφεληθήσῃ παρὰ τοῦ διαβόλου.

7. Πῶς δὲ καὶ ζημία γίνεται χαλεπή; Ὅταν τὴν ψυχὴν ζημιωθῇς. Εἰπέ μοι, ἀπεστέρησέ σε χρημάτων ὁ κλέπτης; σὺ σαυτὸν ἀποστερεῖς σωτηρίας; Διὰ τί ἀλγῶν ἐφ' οἷς παρ' ἑτέρων κακῶς ἔπαθες, αὐτὸς πλείοσι σαυτὸν περιβάλλεις κακοῖς; Ἐκεῖνός σε ἴσως πενίᾳ περιέβαλε, σὺ δὲ σαυτὸν ἐν τοῖς καιρίοις καταβλάπτεις κακούργως· ἐκεῖνος ἀπεστέρησέ σε τὰ ἐκτός σου ὄντα, καὶ ὕστερον καὶ ἄκοντός σου ἀποπηδήσοντα· σὺ δὲ τὸν αἰώνιον πλοῦτον σαυτὸν ἀφαιρῇ. Ἐλύπησέ σε ὁ διάβολος ἀφελόμενος τὰ χρήματα; λύπησον αὐτὸν καὶ σύ, μὴ εὐφράνῃς. Ἂν πρὸς μάντεις ἀπέλθῃς, εὔφρανας· ἂν εὐχαριστήσῃς τῷ Θεῷ, καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. Καὶ ὅρα τί γίνεται· οὔτε αὐτὰ ἔδωκας ἀπελθὼν πρὸς τοὺς μάντεις· οὐ γάρ ἐστιν ἐκείνων εἰδέναι· εἰ δέ που καὶ εἶπον, ἐπιτυχόντες· καὶ τὴν ψυχὴν προσαπολλύεις, καὶ ὑπὸ τῶν ἀδελφῶν καταγελασθήσῃ τῶν σῶν, καὶ πάλιν αὐτὰ κακῶς ἀπολεῖς. Ὁ γὰρ δαίμων εἰδὼς ὅτι ζημίαν οὐ φέρεις, ἀλλ' ὑπὲρ τούτων καὶ τὸν Θεόν σου ἀρνῇ, πάλιν χρήματα δίδωσιν, ἵνα

24. Ματθ. 19,29

σότερο αὐτὸν ποὺ εὐχαρίστως ὑποφέρει τὴ ζημία, παρὰ ἐκεῖνον ποὺ δίνει μὲ τὴ θέλησί του.

Γιατί τέλος πάντων; Διότι ἐκεῖνος τρέφεται μὲ τοὺς ἐπαίνους καὶ τὴ συνείδησι του καὶ ἔχει ἀγαθὲς ἐλπίδες, καὶ ἀφοῦ πρῶτα ὑπέφερε γενναῖα τὴ στέρησι τῶν χρημάτων, τότε ἔρριψε αὐτά, αὐτὸν ὅμως, ἐνῶ ἀκόμη ἦταν δεμένος μὲ αὐτά, τοῦ τὰ ἀφήρεσαν μὲ τὴ βία. Δὲν εἶναι ὅμως τὸ ἴδιο, ἀφοῦ πεισθῆ κανεὶς πρῶτα νὰ ἐγκαταλείψη τὰ χρήματα, νὰ παραχωρήση αὐτά, καί, ἐνῶ τὰ ποθεῖ ἀκόμη, νὰ στερηθῆ αὐτά. Ἂν εἰπῆς αὐτὰ τὰ λόγια, θὰ λάβης πολλαπλάσια καὶ πολὺ περισσότερα ἀπὸ τὸν Ἰώβ. Γιατὶ ἐκεῖνος ἔλαβε ἐδῶ διπλάσια, ὁ Χριστὸς ὅμως σοῦ ὑπεσχέθηκε ἑκατὸ φορὲς περισσότερα[24]. Δὲν ἐβλασφήμησες γιὰ τὸ φόβο τοῦ Θεοῦ; δὲν ἐχρησιμοποίησες μάντεις; εὐχαρίστησες ὅταν ἔπαθες κάτι κακό; Εἶσαι ὅμοιος μὲ ἐκεῖνον ποὺ ἔχει περιφρονήσει τὰ χρήματα, γιατὶ πραγματικὰ καὶ αὐτὰ δὲν γίνονται, ἂν δὲν τὰ περιφρονήσης προηγουμένως. Δὲν εἶναι ὅμως τὸ ἴδιο τὸ νὰ μελετήσης ἐπὶ πολὺ χρόνο γιὰ νὰ περιφρονήσης τὰ χρήματα καὶ τὸ νὰ ὑποφέρης ζημία ποὺ ἔγινε ξαφνικὰ μέσα σὲ μιὰ στιγμή. Ἔτσι ἀποβαίνει κέρδος ἡ ζημία, καὶ δὲν θὰ ζημιωθῆς καθόλου, ἀλλὰ καὶ θὰ ὠφεληθῆς ἀπὸ τὸ διάβολο.

7. Πῶς ὅμως γίνεται καὶ ζημία φοβερή; Ὅταν χάσης τὴν ψυχή σου. Εἰπέ μου, σοῦ ἀφήρεσε χρήματα ὁ κλέπτης; ἀφαιρεῖς ἐσὺ ἀπὸ τὸν ἑαυτό σου τὴ σωτηρία; Γιατί θρηνώντας γιὰ τὰ κακὰ ποὺ ἀπὸ ἄλλους ἔπαθες, ὁ ἴδιος περιβάλλεις τὸν ἑαυτό σου με περισσότερα κακά; Ἐκεῖνος ἴσως σὲ περιέβαλε μὲ φτώχεια, ἐσὺ ὅμως ζημιώνεις βαριὰ τὸν ἑαυτό σου μὲ περισσότερα κακά. Ἐκεῖνος ἴσως σὲ περιέβαλε μὲ φτώχεια, ἐσὺ ὅμως ζημιώνεις βαριὰ τὸν ἑαυτό σου σὲ καίρια ζητήματα. Ἐκεῖνος σοῦ ἐστέρησε τὰ πράγματα ποὺ εἶναι ἔξω ἀπὸ σένα καὶ ποὺ ἀργότερα καὶ χωρὶς τὴ θέλησί σου θὰ σὲ ἐγκαταλείψουν, ἐσὺ ὅμως στερεῖς ἀπὸ τὸν ἑαυτό σου τὸν αἰώνιο πλοῦτο. Σὲ ἐλύπησε ὁ διάβολος ὅταν ἀφήρεσε τὰ χρήματα; λύπησέ τον καὶ σύ, μὴ τοῦ δώσης εὐχαρίστησι. Ἂν ἔλθης σὲ μάντεις, εὐχαρίστησες τὸ διάβολο. Ἂν εὐχαριστήσης τὸν Θεό, ἔδωσες σὲ αὐτὸν τὸ θανάσιμο κτύπημα. Καὶ πρόσεχε τί γίνεται· οὔτε τὰ χρήματα θὰ εὕρης ἂν ἔλθης στοὺς μάντεις, γιατὶ δὲν εἶναι στὸ χέρι ἐκείνων νὰ γνωρίζουν, ἂν καὶ εἶπαν κάπου καὶ ἐπέτυχαν. Καὶ τὴν ψυχὴ σου ἀκόμη χάνεις, καὶ ἀπὸ τοὺς ἀδελφοὺς σου θὰ χλευασθῆς, καὶ πάλι αὐτὰ κακῶς θὰ τὰ χάσης. Γιατὶ ὁ διάβολος γνωρίζοντας ὅτι δὲν ὑποφέρεις τὴ ζημία, ἀλλὰ γιὰ τὰ χρήματα καὶ τὸν Θεό σου ἀρνεῖσαι,

ἀφορμὴν σχῇ τοῦ πάλιν σε ἀπατῆσαι, καὶ ἀποστῆσαι. Εἰ δὲ καὶ λέγοιεν οἱ μάντεις, μὴ θαυμάζετε· ἀσώματός ἐστιν ὁ δαίμων, πανταχοῦ περίεισιν· αὐτὸς αὐτοὺς ὁπλίζει τοὺς λῃστάς· οὐ γὰρ ἄνευ δαίμονος ταῦτα γίνεται. Εἰ τοίνυν ὁπλίζει τούτους, καὶ οἶδε ποῦ κατατίθενται· οὐκ ἀγνοεῖ τοὺς αὐτοῦ ὑπηρέτας.

Οὐκ ἔστι δὲ θαυμαστὸν τοῦτο· ἂν ἴδῃ ἀλγοῦντά σε τῇ ζημίᾳ, καὶ ἑτέραν ἐπάγει· ἂν ἴδῃ καταγελῶντα καὶ καταφρονοῦντα, ἀποστήσεται ταύτης τῆς ὁδοῦ. Καθάπερ γὰρ ἡμεῖς ἐκεῖνα τοὺς ἐχθροὺς διατίθεμεν ἐν οἷς λυποῦμεν αὐτούς· ἂν δὲ ἴδωμεν ὅτι οὐκ ἀλγοῦσιν, ἀφιστάμεθα λοιπόν, ὡς οὐκ ἔχοντες αὐτοὺς δακεῖν· οὕτω καὶ ὁ διάβολος. Τί λέγεις; οὐχ ὁρᾷς τοὺς ἐν τῇ θαλάσσῃ πλέοντας, χειμῶνος γινομένου, πῶς οὐ φροντίζουσι χρημάτων, ἀλλὰ καὶ τὰ ὄντα ῥίπτουσι; Τί λέγεις, ἄνθρωπε; τῷ χειμῶνι συμπράττεις καὶ τῷ ναυαγίῳ; πρὶν ἢ σε τὸ κῦμα τὸν πλοῦτον ἀφέληται, σὺ ταῖς σαυτοῦ χερσὶ τοῦτο ποιεῖς; τί πρὸ τοῦ ναυαγίου ναυαγίῳ περιβάλλεις σαυτόν; Ἀλλὰ ταῦτα μὲν εἴποι ἄγροικος ἄνθρωπος, καὶ τῶν ἐν θαλάττῃ πειρασμῶν ἄπειρος· ὁ μέντοι ναυτικός, καὶ τί μὲν ἐργάζεται γαλήνην, τί δὲ ποιεῖ χειμῶνα ἀκριβῶς ἐπιστάμενος, καὶ καταγελάσεται τοῦ ταῦτα λέγοντοα ι'ααοῦτο ῥίπτω, φησΐν, ἵνα μ·η κλυδ·ων γένηται.

Οὕτω καὶ ὁ ἔμπειρος τῶν ἐν τῷ βίῳ πραγμάτων καὶ τῶν πνευματικὰ τῆς πονηρίας ναυάγιον ἐργάσασθαι βουλόμενα, καὶ τὰ λείποντα τῶν χρημάτων ῥίπτει. Ἐγένετο κλοπή; σὺ ποίησον ἐλεημοσύνην, καὶ κουφίζεις τὸ πλοῖον. Ἥρπασαν οἱ λῃσταί; σὺ δὸς τὰ λείψανα τῷ Χριστῷ· οὕτω καὶ τὴν ἐπὶ τοῖς προτέροις παραμυθήσῃ πενίαν. Κούφισον τὸ πλοῖον, μὴ κατάσχῃς τὰ μείναντα, ἵνα μὴ ὑπεραντλῆται τὸ σκάφος. Ἐκεῖνοι, ἵνα σώματα φυλάξωσιν, ἐκβολὴν ποιοῦνται τῶν σκευῶν, καὶ οὐ περιμένουσι τὸ κῦμα ἐπελθὸν περιτρέψαι τὸ σκάφος· σὺ ἵνα ψυχὰς σώσῃς, οὐ παύεις τὸ ναυάγιον; Πειράσατε, εἰ ἀπιστεῖτε, παρακαλῶ, πειράσατε, καὶ ὄψεσθε τὴν δόξαν τοῦ Θεοῦ. Ὅταν σοί τι λυπηρὸν συμβῇ, δὸς ἐλεημοσύνην εὐθέως, εὐχαρίστησον ὅτι συνέβη, καὶ ὄψει πόση χαρὰ ἐπεισέρχεται. Τὸ γὰρ κέρδος τὸ πνευματικὸν κἂν ὀλίγον ᾖ, τοσοῦτόν ἐστιν, ὡς πᾶσαν ἀποκρύψαι ζημίαν σω-

πάλι σοῦ δίνει χρήματα, γιὰ νὰ ἔχη ἀφορμὴ ὥστε νὰ σὲ ἐξαπατήση πάλι καὶ νὰ σὲ ἀπομακρύνη ἀπὸ τὸν Θεό. Καὶ ἂν ἀκόμη συμβῆ νὰ τὸ εἰποῦν οἱ μάντεις, μὴ θαυμάζετε. Ἀσώματος εἶναι ὁ διάβολος, παντοῦ πηγαίνει. Αὐτὸς ὁπλίζει τοὺς ληστὲς αὐτούς, γιατὶ δὲν γίνονται αὐτὰ χωρὶς τὸ διάβολο. Ἐὰν λοιπὸν τοὺς ὁπλίζη αὐτούς, γνωρίζει καὶ ποῦ συγκεντρώνονται τὰ χρήματα. Δὲν ἀγνοεῖ τοὺς ὑπηρέτες του.

Δὲν εἶναι ὅμως παράδοξο αὐτό. Ἂν ἰδῆ ὅτι στενοχωρεῖσαι μὲ τὴ ζημία, προσθέτει καὶ ἄλλη· ἂν ἰδῆ ὅτι τὴν περιγελᾶς καὶ τὴν περιφρονεῖς, θὰ ἀπομακρυνθῆ ἀπὸ τὸ δρόμο αὐτόν. Γιατί, ὅπως ἐμεῖς διαθέτομε στοὺς ἐχθροὺς ἐκεῖνα μὲ τὰ ὁποῖα τοὺς προκαλοῦμε λύπη καί, ἂν ἰδοῦμε ὅτι δὲν λυποῦνται, ἀπομακρυνόμασθε στὴ συνέχεια, ἔτσι ἐνεργεῖ καὶ ὁ διάβολος. Τί λέγεις; δὲν βλέπεις ἐκείνους ποὺ πλέουν στὴ θάλασσα, ὅταν γίνεται τρικυμία, πῶς δὲν φροντίζουν γιὰ τὰ χρήματα, ἀλλὰ καὶ τὰ ὑπάρχοντά τους ρίπτουν; Τί λέγεις, ἄνθρωπε; συμπράττεις μὲ τὴν τρικυμία καὶ τὸ ναυάγιο; προτοῦ νὰ ἀφαιρέση τὸν πλοῦτο σου τὸ κῦμα, ἐσὺ κάνεις αὐτὸ μὲ τὰ ἰδικά σου χέρια; γιατί πρὶν ἀπὸ τὸ ναυάγιο περιβάλλεις μὲ ναυάγιο τὸν ἑαυτό σου; Ἀλλὰ αὐτὰ θὰ εἰπῆ ἄνθρωπος ποὺ ζῆ στὰ χωράφια καὶ δὲν γνωρίζει τοὺς κινδύνους στὴ θάλασσα. Ὁ ναυτικὸς λοιπόν, ὁ ὁποῖος γνωρίζει καλὰ καὶ τί κάνει τὴ γαλήνη καὶ τί φέρει τὴν τρικυμία, θὰ περιγελάση ἐκεῖνον ποὺ λέγει αὐτά, γιατὶ γι' αὐτὸ τὰ ρίπτω, θὰ εἰπῆ, γιὰ νὰ μὴ γίνη τρικυμία.

Ἔτσι καὶ ἐκεῖνος ποὺ γνωρίζει τὰ πράγματα καὶ τοὺς κινδύνους στὴ ζωή, ὅταν ἰδῆ ὅτι ἀναμαίνεται τρικυμία καὶ τὰ πνευματικὰ ὄντα τῆς πονηρίας ὅτι θέλουν νὰ προκαλέσουν ναυάγιο, ρίπτει καὶ τὰ ὑπόλοιπα χρήματά του. Ἔγινε κλοπή; ἐσὺ κάμε ἐλεημοσύνη καὶ ἐλαφρύνεις τὸ πλοῖο. Ἥρπαξαν οἱ λησταί; ἐσὺ δῶσε τὰ ὑπόλοιπα στὸν Χριστό. Ἔτσι θὰ παρηγορήσης καὶ τὴν φτώχεια στοὺς πρώτους. Ἐλάφρυνε τὸ πλοῖο, μὴ κρατῆς τὰ ὑπόλοιπα, γιὰ νὰ μὴ πλημμυρίζη τὸ πλοῖο. Ἐκεῖνοι, γιὰ νὰ προφυλάξουν σώματα, ρίπτουν στὴ θάλασσα τὶς ἀποσκευές, καὶ δὲν περιμένουν ὅταν ἔλθη τὸ κῦμα νὰ ἀνατρέψη τὸ σκάφος. Ἐσὺ γιὰ νὰ σώσης ψυχές, δὲν σταματᾶς τὸ ναυάγιο; Δοκιμάσατε, ἐὰν δὲν πιστεύετε, σᾶς παρακαλῶ, δοκιμάσατε, καὶ θὰ ἰδῆτε τὴ δόξα τοῦ Θεοῦ. Ὅταν σοῦ συμβῆ κάτι λυπηρό, δῶσε ἀμέσως ἐλεημοσύνη, εὐχαρίστησε γιατὶ ἔγινε, καὶ θὰ ἰδῆς πόση χαρὰ ἀκολουθεῖ. Γιατὶ τὸ πνευματικὸ κέρδος, καὶ ἂν εἶναι λίγο ἀκόμη, εἶναι τόσο ἰσχυρό, ὥστε νὰ ἀποκρύψη κάθε σωμα-

ματικήν. Ἕως ἂν ἔχῃς διδόναι τῷ Χριστῷ, πλουτεῖς. Εἰπέ μοι, εἰ συληθέντι σοι προσελθὼν ὁ βασιλεὺς χεῖρα ὑπέτεινεν ἀξιῶν τι λαβεῖν παρὰ σοῦ, ἆρα οὐκ ἂν ἐνόμισας πάντων εἶναι πλουσιώτερος, εἰ μηδὲ μετὰ τοσαύτην πενίαν ἐπαισχύνεταί σε ὁ βασιλεύς; Μὴ συναρπαγῇς· μόνον κράτησον σαυτοῦ, καὶ κρατήσεις τῆς τοῦ διαβόλου ἐπιβουλῆς. Ἔξεστί σοι κερδᾶναι μεγάλα.

Καταφρονήσωμεν πλούτου, ἵνα μὴ καταφρονήσωμεν τῆς ψυχῆς. Πῶς δὲ ἄν τις καταφρονήσειεν; Οὐχ ὁρᾶτε τὰ λαμπρὰ τῶν σωμάτων, καὶ τοὺς ἐρῶντας αὐτῶν; ἕως μὲν ἂν ἐν ταῖς ὄψεσιν ᾖ, ἐκκαίεται τὸ πῦρ, λαμπρὰ ἄνεισιν ἡ φλόξ· ἐπὰν δέ τις αὐτοὺς ἀπαγάγῃ πόρρω, πάντα ἔσβεσται, πάντα κεκοίμισται. Οὕτω καὶ ἐπὶ τοῦ πλούτου· μηδεὶς χρυσίᾳ κατασκευαζέτω, μηδεὶς λίθους τιμίους, μηδεὶς περιδέρραια· δελεάζει τοὺς ὀφθαλμοὺς ὁρώμενα. Εἰ καὶ βούλει πλουτεῖν, ὡς οἱ παλαιοί, μὴ ἐν χρυσίῳ, ἀλλ' ἐν τοῖς ἀναγκαίοις, ἵνα καὶ ἐξ ἑτοίμου παρέχῃς τοῖς ἄλλοις. Μὴ φιλόκοσμος ἔσο· ὁ τοιοῦτος πλοῦτος τοῖς λῃσταῖς ἐστιν εὐεπιβούλευτος, καὶ ἡμῖν παρέχει φροντίδας· μὴ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλ' ἔστωσαν ἀποθῆκαι σίτου, οἴνου, ἐλαίου· ἔστωσαν, οὐχ ἵνα πάλιν διαπραθεῖσαι ἄργυρον ἐργάσωνται, ἀλλ' ἵνα τῶν δεομένοις χορηγῶνται. Ἂν ἀπάγωμεν ἑαυτοὺς ἐκείνων τῶν περιττῶν, ἐπιτευξόμεθα τῶν οὐρανίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τικὴ ζημία. Ἕως ὅτου θὰ μπορῇς νὰ δίνῃς στὸν Χριστό, γίνεσαι πλούσιος. Εἰπέ μου, ἐὰν ὁ βασιλεύς, ἀφοῦ προσέλθῃ ὅταν ἐσὺ ἐληστεύθηκες, ἐπρότεινε τὸ χέρι του ἀξιώνοντας νὰ λάβῃ κάτι ἀπὸ σένα, ἄραγε δὲν θὰ ἐνόμιζες ὅτι εἶσαι πλουσιώτερος ἀπὸ ὅλους, ἀφοῦ οὔτε ὕστερα ἀπὸ τόση φτώχεια σὲ ἐντρέπεται ὁ βασιλεύς; Μὴ γοητευθῇς· μόνο νίκησε τὸν ἑαυτό σου καὶ θὰ νικήσῃς τὴν ἐπιβουλὴ τοῦ διαβόλου. Εἶναι δυνατὸ νὰ κερδίσῃς πολλά.

Ἂς περιφρονήσωμε τὸν πλοῦτο, γιὰ νὰ μὴ περιφρονήσωμε τὴν ψυχή. Πῶς ὅμως θὰ μπορέσῃ κανεὶς νὰ τὸν περιφρονήσῃ; Δὲν βλέπετε τὰ ὡραῖα σώματα καὶ ἐκείνους ποὺ ποθοῦν αὐτά; ἕως ὅτου τὰ βλέπουν, τὰ καίει ἡ φωτιά, ἀνεβαίνει ὁρμητικὴ ἡ φλόγα, ὅταν ὅμως ὁδηγήσῃ κανεὶς μακριὰ αὐτούς, τὰ πάντα ἔχουν σβήσει, τὰ πάντα ἔχουν ἠρεμήσει. Ἔτσι συμβαίνει καὶ στὴν περίπτωσι τοῦ πλούτου. Ἂς μὴ κατασκευάζῃ κανεὶς χρυσὰ κοσμήματα, οὔτε πολυτίμους λίθους, οὔτε περιδέρραια. Δελεάζει τὰ μάτια ὅταν βλέπουν αὐτά. Καὶ ἂν θέλῃς νὰ πλουτίζῃς, πλούτιζε ὅπως οἱ πρῶτοι χριστιανοί, ὄχι σὲ χρυσάφι, ἀλλὰ στὰ ἀπαραίτητα ἀγαθά, γιὰ νὰ δίνῃς ἀμέσως καὶ στοὺς ἄλλους. Νὰ μὴ ἀγαπᾷς τὰ κοσμήματα. Ἕνας τέτοιος πλοῦτος εὔκολα ἐπιβουλεύεται ἀπὸ τοὺς ληστὲς καὶ σὲ μᾶς παρέχει φροντίδες. Νὰ μὴ ὑπάρχουν χρυσὰ καὶ ἀργυρὰ σκεύη, ἀλλὰ ἂς ὑπάρχουν ἀποθῆκες σίτου καὶ οἴνου καὶ ἐλαίου. Ἂς ὑπάρχουν, ὄχι γιὰ νὰ κάμουν πάλι χρήματα ὅταν πωληθοῦν, ἀλλὰ γιὰ νὰ χορηγηθοῦν σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη. Ἂς ἀπομακρύνωμε τοὺς ἑαυτούς μας ἀπὸ ἐκεῖνα τὰ περιττά, καὶ θὰ ἐπιτύχωμε τὰ οὐράνια ἀγαθά. Αὐτὰ τὰ ἀγαθὰ εἴθε νὰ ἐπιτύχωμε ὅλοι μας, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Δ΄
(Α΄ Θεσ. 3,5 – 13)

Διά τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ὑμῶν. Ἄρτι δέ ἐλθόντος Τιμοθέου πρὸς ὑμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ὑμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ὑμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς· διὰ τοῦτο παρεκλήθημεν, ἀλελφοί, ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ».

1. Ζήτημα πρόκειται σήμερον ἡμῖν παρὰ πολλῶν ζητούμενον, καὶ πολλαχόθεν συλλεγόμενον. Τί δὲ τὸ ζήτημά ἐστι; «Διὰ τοῦτο», φησί, «κἀγὼ μηκέτι στέγων, ἔπεμψα Τιμόθεον εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν». Τί λέγεις; ὁ τοσαῦτα εἰδώς, ὁ ἀπόρρητα ἀκούσας ῥήματα, ὁ μέχρι τρίτου ἀνελθὼν οὐρανοῦ, οὗτος οὐκ οἶδε, καὶ ἐν Ἀθήναις ὤν; καίτοι οὐ πολλοῦ ὄντος τοῦ διαστήματος, οὐδὲ πρὸ πολλοῦ χωρισθεὶς αὐτῶν· «Ἀπορφανισθέντες» γάρ, φησίν, «ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας»· οὐκ οἶδε τὰ Θεσσαλονικέων, ἀλλ' ἀναγκάζεται πέμψαι Τομόθεον εἰς τὸ γνῶναι τὴν πίστιν αὐτῶν· «Μή πως ἐπείρασεν ὑμᾶς», φησίν, «ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ὑμῶν»; Τί οὖν ἄν τις εἴποι; Ὅτι οὐ πάντα ᾔδεσαν οἱ ἅγιοι. Καὶ τοῦτο πολλαχόθεν ἄν τις καταμάθοι, ἀπό τε τῶν πρώτων, ἀπό τε τῶν μετὰ ταῦτα· καθάπερ Ἐλισσαῖος περὶ τῆς γυναικὸς ἠγνόησε· καθάπερ Ἠλίας ἔλεγε πρὸς τὸν Θεόν, «Ἐγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου»· διὰ τοῦτο ἤκουσε παρὰ τοῦ Θεοῦ, ὅτι «Κατέλιπον ἐμαυτῷ ἑπτακισχι-

1. Α΄ Θεσ. 2,17
2. Δ΄ Βασ. 4,27

ΟΜΙΛΙΑ Δ΄
(Α΄ Θεσ. 3,5–13)

«Γι' αὐτὸ καὶ ἐγώ, ἐπειδὴ δὲν ὑπέμενα πιά, ἔστειλα γιὰ νὰ μάθω γιὰ τὴν πίστι σας, μήπως σᾶς ὤθησε σὲ πειρασμοὺς αὐτός, ποὺ πειράζει τοὺς ἀνθρώπους, καὶ καταντήση χαμένος ὁ κόπος μας. Τώρα ὅμως, ὅταν μᾶς ἦλθε ἀπὸ σᾶς ὁ Τιμόθεος καὶ μᾶς ἔφερε εὐχάριστες εἰδήσεις γιὰ τὴν πίστι καὶ τὴν ἀγάπη σας, καὶ ὅτι ἔχετε πάντοτε καλὴ τὴν ἀνάμνησί μας, ἀφοῦ ποθεῖτε πολὺ νὰ μᾶς ἰδῆτε, καθὼς καὶ ἐμεῖς ποθοῦμε νὰ σᾶς ἰδοῦμε, γι' αὐτό, ἀδελφοί, ἐπαρηγορηθήκαμε ἐξ αἰτίας σας σὲ ὅλη τὴ θλῖψι καὶ ἀνάγκη μας, μὲ τὴ δική σας πίστι, ἐπειδὴ τώρα ζοῦμε, ἐὰν ἐσεῖς μένετε σταθερὰ ἑνωμένοι μὲ τὸν Κύριο».

1. Εἶναι ἐνώπιόν μας σήμερα ζήτημα ποὺ ἐρευνᾶται ἀπὸ πολλοὺς καὶ ἀπαρτίζεται ἀπὸ πολλὰ σημεῖα. Ποιὸ ὅμως εἶναι τὸ ζήτημα; «Γι' αὐτό», λέγει, «καὶ ἐγὼ ἐπειδὴ δὲν ὑπέμενα πιά, ἔστειλα τὸν Τιμόθεο γιὰ νὰ μάθω γιὰ τὴν πίστι σας». Τί λέγεις; αὐτὸς ποὺ ἐγνώριζε τόσα πολλά, αὐτὸς ποὺ ἤκουσε ἀπόρρητα λόγια, αὐτὸς ποὺ ἀνῆλθε μέχρι τὸν τρίτο οὐρανό, αὐτὸς δὲν ἐγνώριζε, ἂν καὶ ἦταν στὴν Ἀθήνα; ἂν καὶ δὲν ἦταν μεγάλη ἡ ἀπόστασις, οὔτε ἐχωρίσθηκε ἀπὸ αὐτοὺς πρὶν ἀπὸ πολὺ καιρό. «Γιατὶ ἐγίναμε», λέγει, «ὀρφανοὶ ἀπὸ σᾶς προσωρινά»[1]. Δὲν ἐγνώριζε τὰ νέα τῶν Θεσσαλονικέων, ἀλλὰ ἀναγκάζεται νὰ στείλη τὸν Τιμόθεο γιὰ νὰ γνωρίση τὴν πίστι τους· «Μήπως σᾶς ὤθησε σὲ πειρασμούς», λέγει, «αὐτὸς ποὺ πειράζει τοὺς ἀνθρώπους καὶ καταντήση χαμένος ὁ κόπος μας»; Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ εἰπῆ κανείς; Ὅτι δὲν τὰ ἐγνώριζαν ὅλα οἱ ἅγιοι. Καὶ αὐτὸ θὰ μπορέση νὰ τὸ μάθη καλὰ κανεὶς ἀπὸ πολλὲς περιπτώσεις καὶ ἀπὸ τοὺς πρώτους ἁγίους καὶ ἀπὸ τοὺς μεταγενέστερους· ὅπως ὁ Ἐλισσαῖος εἶχε ἄγνοια γιὰ τὴ γυναῖκα[2]· ὅπως ὁ Ἠλίας ἔλεγε πρὸς τὸν Θεό, «Ἐγὼ ἀπέμεινα μόνος, καὶ ζητοῦν νὰ ἀφαιρέσουν τὴ ζωή μου»· γι' αὐτὸ ἄκουσε ἀπὸ

λίους ἄνδρας»· ὁ Σαμουὴλ πάλιν, ἡνίκα ἀπεστάλη χρῖσαι τὸν Δαυΐδ· «Εἶπε», φησί, «Κύριος πρὸς αὐτόν· μὴ πρόσχῃς εἰς τὴν ὄψιν αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν τοῦ μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν· ὅτι οὐχ ὡς ἄνθρωπος ὄψεται ὁ Θεός· ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν». Τοῦτο δὲ γίνεται κατὰ πολλὴν τοῦ Θεοῦ κηδεμονίαν.

Πῶς καὶ τίνι τρόπῳ; Αὐτῶν τε ἕνεκεν τῶν ἁγίων, καὶ τῶν πιστευόντων αὐτοῖς. Καθάπερ γὰρ καὶ διωγμοὺς συγχωρεῖ γίνεσθαι, οὕτως αὐτοὺς συγχωρεῖ πολλὰ καὶ ἀγνοεῖν, ἵνα καταστέλλωνται. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· «Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι». Καὶ πάλιν, ἵνα καὶ οἱ ἄλλοι μὴ μεγάλα περὶ αὐτῶν φαντάζωνται. Εἰ γὰρ ἀπὸ σημείων θεοὺς αὐτοὺς εἶναι ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ διαπαντὸς ἐπέμενον πάντα εἰδότες. Καὶ τοῦτο καὶ αὐτὸς πάλιν φησίν· «Ἵνα μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ». Καὶ πάλιν ἄκουε τοῦ Πέτρου λέγοντος, ἡνίκα τὸν χωλὸν ἐθεράπευσε· «Τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;». Εἰ δὲ καὶ αὐτῶν τοῦτο λεγόντων καὶ ποιούντων, καὶ ἀπὸ τῶν ὀλίγων οὕτως ἐτίκτοντο ὑπόνοιαι πονηραί, πολλῷ μᾶλλον ἀπὸ τῶν μεγάλων. Καὶ δι' ἕτερον δὲ ταῦτα συνεχωρεῖτο. Ἵνα γὰρ μή τις ἔχῃ λέγειν, ὅτι οὐχὶ ἄνθρωποι ὄντες κατώρθωσαν ἅπερ κατώρθωσαν, καὶ οὕτω πάντες ὕπτιοι γίνωνται, διὰ τοῦτο δείκνυσιν αὐτῶν τὴν ἀσθένειαν, ἵνα τῆς ἀγνωμοσύνης πᾶσαν ἐκκόψῃ ἀναισχυντίας πρόφασιν.

Διὰ τοῦτο ἀγνοεῖ, διὰ τοῦτο καὶ πολλάκις προθέμενος οὐκ ἔρχεται, ἵνα μάθωσιν ὅτι πολλὰ οὐκ οἶδε. Πολὺ οὖν ἐκ τούτου τὸ κέρδος ἦν. Εἰ γὰρ ἦσαν ἔτι καὶ οὕτω λέγοντές τινες, ὅτι οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη, καὶ ἄλλοι τινές, ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα· εἰ μὴ ταῦτα ἐγένετο, τί οὐκ ἂν ἐνόμισαν; Ἐνταῦθα δὲ δοκεῖ μέν τις εἶναι αὐτῶν κατηγορία· πολλῷ δὲ μᾶλλον καὶ θαῦμα αὐτῶν ἐμφαίνει, καὶ τῶν πειρασμῶν ἡ ὑπερβολὴ δείκνυται. Πῶς; πρόσεχε. Εἰ γὰρ προεῖπες αὐτοῖς ὅτι «Εἰς τοῦτο κείμεθα», καί, «Μηδεὶς θορυβείσθω», τί πάλιν πέμπεις τὸν Τιμόθεον, δεδοικὼς

---

3. Γ' Βασ. 19,10.18
4. Α' Βασ. 16,7
5. Β' Κορ. 12,7
6. Β' Κορ. 12,6
7. Πράξ. 3,12
8. Α' Θεσ. 3,3.4

τὸν Θεό, ὅτι «Θὰ ἀφήσω ὅμως γιὰ ἐμένα ἑπτὰ χιλιάδες»[3]. Ὁ Σαμουὴλ πάλι, ὅταν ἐστάλθηκε νὰ χρίση τὸν Δαυΐδ· «Εἶπε», λέγει, «ὁ Κύριος πρὸς αὐτόν· μὴ προσέχης στὴν ἐμφάνισί του, οὔτε στὸ ὕψος τοῦ παραστήματός του, καθότι ἀπέρριψα αὐτόν, γιατὶ δὲν βλέπει ὁ Θεός, ὅπως ὁ ἄνθρωπος, ἐπειδὴ ὁ ἄνθρωπος βλέπει στὴν ἐξωτερικὴ ἐμφάνισι, ἐνῶ ὁ Θεὸς στὴν καρδιά»[4]. Αὐτὸ ὅμως γίνεται ἐξ αἰτίας τῆς μεγάλης μέριμνας τοῦ Θεοῦ.

Πῶς καὶ μὲ ποιὸ τρόπο; Γιὰ χάρι καὶ αὐτῶν τῶν ἁγίων καὶ ἐκείνων ποὺ πιστεύουν σ' αὐτούς. Γιατὶ ὅπως ἀκριβῶς ἐπιτρέπει καὶ διωγμοὶ νὰ γίνωνται, ἔτσι ἐπιτρέπει καὶ νὰ ἀγνοοῦν αὐτοὶ πολλά, ὥστε νὰ τοὺς συγκρατῆ. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «μοῦ ἐδόθηκε ἀγκάθι στὸ σῶμα μου, ἄγγελος τοῦ σατανᾶ, γιὰ νὰ μὲ κτυπᾶ, ὥστε νὰ μὴ ὑπερηφανεύωμαι»[5]. Καὶ πάλι, ὥστε καὶ οἱ ἄλλοι νὰ μὴ φαντάζωνται γι' αὐτοὺς μεγάλα πράγματα. Γιατὶ ἐὰν ἀπὸ τὰ θαύματα ἐνόμιζαν ὅτι αὐτοὶ εἶναι θεοί, πολὺ περισσότερο θὰ ἐνόμιζαν, ἐὰν συνεχῶς ἐπέμεναν ὅτι γνωρίζουν τὰ πάντα. Καὶ αὐτὸ καὶ ὁ ἴδιος πάλι λέγει· «Γιὰ νὰ μὴ μοῦ λογαριάση κανεὶς παραπάνω ἀπὸ ἐκεῖνο, ποὺ βλέπει σὲ μένα ἢ ἀκούει ἀπὸ μένα»[6]. Καὶ πάλι ἄκουε τὸν Πέτρο πού, ὅταν ἐθεράπευσε τὸ χωλό, λέγει· «Γιατὶ προσηλώνετε τὰ μάτια σας ἐπάνω μας, σὰν μὲ δική μας δύναμι ἢ εὐσέβεια νὰ ἔχωμε κατορθώσει τὸ νὰ περπατᾶ αὐτός;»[7]. Ἐὰν ὅμως καὶ ἐνῶ αὐτοὶ λέγουν καὶ κάνουν αὐτὸ καὶ ἀπὸ τὰ μικρὰ ἔτσι γεννῶνταν πονηρὲς ὑπόνοιες, πολὺ περισσότερο θὰ γεννῶνταν ἀπὸ τὰ μεγάλα. Καὶ γιὰ ἄλλο λόγο ὅμως ἐπετρέπονταν αὐτά. Γιὰ νὰ μὴ μπορῆ νὰ λέγη κανείς, ὅτι δὲν κατώρθωσαν αὐτὰ ποὺ κατώρθωσαν, ἐπειδὴ ἦταν ἄνθρωποι, καὶ ἔτσι ὅλοι νὰ γίνωνται ὀκνηροί, γι' αὐτὸ φανερώνει τὴν ἀδυναμία αὐτῶν, ὥστε ἀπὸ τοὺς ἀγνώμονες νὰ ἀποκόψη κάθε πρόφασι ἀναισχυντίας.

Γι' αὐτὸ δὲν γνωρίζει, γι' αὐτὸ καὶ πολλὲς φορὲς ἐνῶ ἔχει τὴν πρόθεσι δὲν ἔρχεται, γιὰ νὰ μάθουν ὅτι πολλὰ δὲν τὰ γνωρίζει. Ἀπὸ αὐτὸ λοιπὸν ἦταν πολὺ τὸ κέρδος. Γιατί, ἐὰν ὑπῆρχαν ἀκόμη καὶ μερικοὶ ποὺ ἔτσι ἔλεγαν, ὅτι αὐτὸς εἶναι ἡ μεγάλη δύναμις τοῦ Θεοῦ, καὶ κάποιοι ἄλλοι, ὅτι εἶναι ὁ τάδε καὶ ὁ τάδε, ἐὰν δὲν ἐγίνοντο αὐτά, τί δὲν θὰ ἐνόμιζαν; Ἐδῶ ὅμως φαίνεται μὲν ὅτι αὐτὸ εἶναι κατηγορία αὐτῶν, πολὺ περισσότερο ὅμως τὸ παρουσιάζει καὶ θαῦμα αὐτῶν καὶ ἀποδεικνύεται τὸ ὑπερβολικὸ μέγεθος τῶν πειρασμῶν. Πῶς; πρόσεχε. Ἐὰν λοιπὸν εἶπες προηγουμένως σὲ αὐτοὺς ὅτι «Γι' αὐτὸ ἔχομε ταχθῆ», καί, «Κανεὶς ἂς μὴ ἀνησυχῆ»[8],

μή τι γένηται ὧν οὐ βούλει; Τοῦτο μὲν οὖν ἀπὸ πολλῆς ἀγάπης ποιεῖ, οἱ γὰρ φιλοῦντες καὶ τὰ ἀσφαλῆ ὑποπτεύουσιν ἀπὸ τῆς πολλῆς θερμότητος, τοῦτο δὲ ἀπὸ τῶν πολλῶν πειρασμῶν. Εἶπον μὲν γάρ, ὅτι εἰς τοῦτο κείμεθα, ἡ δὲ ὑπερβολὴ τῶν κακῶν ἐφόβησέ με. Διὸ οὐκ εἶπεν, ὅτι καταγνοὺς ὑμῶν ἀποστέλλω, ἀλλά, «μηκέτι στέγων», ὃ μᾶλλον φιλίας ἦν.

Τί ἐστι, «Μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων»; Ὁρᾷς ὅτι τὸ ἐν ταῖς θλίψεσι σαλεύεσθαι διαβολικόν ἐστι, καὶ τῆς ἐκείνου παρατροπῆς; Ὅταν γὰρ ἡμᾶς αὐτοὺς μὴ δυνηθῇ, ἑτέρως δι' ὑμῶν τοὺς ἀσθενεστέρους παρασαλεύει· ὅπερ ὑπερβαλούσης ἀσθενείας ἐστί, καὶ οὐδεμίαν ἐχούσης ἀπολογίαν· καθάπερ ἐπὶ τοῦ Ἰὼβ πεποίηκε, τὴν γυναῖκα διεγείρας. «Εἰπόν τι ῥῆμα», φησί, «πρὸς Κύριον, καὶ τελεύτα». Ἴδε πῶς αὐτὴν ἐπείρασε. Διὰ τί δὲ μὴ εἶπεν, ἐσάλευσεν, ἀλλ', «ἐπείρασεν»; Ὅτι τοσοῦτον, φησίν, ὑπώπτευσα μόνον, ὅσον πειρασθῆναι ὑμᾶς· οὐ γὰρ δὴ τὴν πεῖραν αὐτοῦ σάλον καλεῖ. Ὁ γὰρ δεχόμενος αὐτοῦ τὴν προσβολήν, ἐσαλεύθη. Βαβαί, πόση φιλοστοργία τοῦ Παύλου; οὐκ ἔμελεν αὐτῷ τῶν θλίψεων οὐδὲ τῶν ἐπιβουλῶν. Οἶμαι γὰρ αὐτὸν ἐκεῖ τότε μεμενηκέναι· καθώς φησιν ὁ Λουκᾶς, ὅτι ἐν τῇ Ἑλλάδι ἔμεινε τρίμηνον, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων. Οὐκ ἔμελεν οὖν αὐτῷ τῶν κινδύνων, ἀλλὰ τῶν μαθητευομένων. Ὁρᾷς ὅτι πάντα φυσικὸν πατέρα παρεληλύθει; Ἡμεῖς μὲν γὰρ ἐν ταῖς θλίψεσι καὶ τοῖς κινδύνοις πάντων τὴν μνήμην ἐκβάλλομεν· αὐτὸς δὲ οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν ὑπὲρ τῶν παίδων, ὡς καὶ ὃν μόνον εἶχε παραμυθίαν, τὸν Τιμόθεον, καὶ κοινωνὸν καὶ συνεργόν, τοῦτον ἐν αὐτοῖς τοῖς κινδύνοις πέμψαι πρὸς αὐτούς.

«Καὶ εἰς κενόν», φησί, «γένηται ὁ κόπος ἡμῶν». Διὰ τί; εἰ γὰρ καὶ παρετράπησαν, οὐ παρὰ τὴν σὴν αἰτίαν, οὐ παρὰ τὴν σὴν ῥᾳθυμίαν. Ἀλλ' ὅμως καὶ τούτων ὄντων, κεκενῶσθαί μοι τὸν κόπον νομίζω ἀπὸ τῆς πολλῆς φιλαδελφίας. «Μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων». Πειράζει δὲ οὐκ εἰδὼς εἰ καταβαλεῖ. Εἶτ'

---

9. Ἰὼβ 2,9
10. Πράξ. 20,3

γιατί πάλι στέλνεις τὸν Τιμόθεο, σὰν νὰ φοβᾶσαι μήπως γίνη κάτι ἀπὸ ἐκεῖνα ποὺ δὲν θέλεις; Ἀφ' ἑνὸς μὲν τὸ κάμνει ἀπὸ πολλὴ ἀγάπη, γιατὶ ἐκεῖνοι ποὺ ἀγαποῦν ὑποψιάζονται καὶ τὰ ἀσφαλῆ πράγματα ἀπὸ τὸν πολὺ ζῆλο τους, ἀφ' ἑτέρου δὲ ἐξ αἰτίας τῶν πολλῶν πειρασμῶν. Εἶπα βέβαια, ὅτι γι' αὐτὸ ἔχομε ταχθῆ· τὰ ὑπερβολικά ὅμως κακὰ μὲ ἐφόβησαν. Γι' αὐτὸ δὲν εἶπε, ὅτι τὸν ἀποστέλλω ἐπειδὴ σᾶς κατηγόρησα, ἀλλά, «ἐπειδὴ δὲν τὸ ὑποφέρω πιά», πρᾶγμα ποὺ ἦταν δεῖγμα περισσότερης ἀγάπης.

Τί σημαίνει, «Μήπως σᾶς ὤθησε σὲ πειρασμοὺς ἐκεῖνος ποὺ πειράζει»; Βλέπεις ὅτι τὸ νὰ κλονίζωνται μέσα στὶς θλίψεις εἶναι ἔργο τοῦ διαβόλου καὶ τῆς παραπλανήσεως ἐκείνου; Γιατὶ ὅταν δὲν μπορέση νὰ κλονίση ἐμᾶς τοὺς ἰδίους, διαφορετικὰ κλονίζει μὲ μᾶς τοὺς ἀσθενέστερους, πρᾶγμα ποὺ εἶναι δεῖγμα ὑπερβολικῆς ἀδυναμίας καὶ ἡ ὁποία δὲν ἔχει καμμία δικαιολογία, ὅπως ἀκριβῶς ἔχει κάμει στὴν περίπτωσι τοῦ Ἰώβ, ποὺ διήγειρε ἐναντίον του τὴ γυναῖκα του. «Εἰπὲ κάποιο λόγο», λέγει, «πρὸς τὸν Κύριο καὶ πέθανε»[9]. Πρόσεξε πῶς ἐπείραξε αὐτήν. Γιατί ὅμως δὲν εἶπε, ἐσάλευσε, ἀλλά, «ὤθησε σὲ πειρασμούς»; Διότι λέγει, τόσο μόνο ἐπροχώρησε ἡ σκέψη μου, ὅσο ὅτι ἐπειράσθηκατε ἐσεῖς· καθόσον βέβαια δὲν καλεῖ τὴν πεῖρα του σάλο. Γιατὶ ἐκεῖνος ποὺ δέχεται τὴν ἐπίθεσι αὐτοῦ, ἐσαλεύθηκε. Πὼ πώ, πόση εἶναι ἡ φιλοστοργία τοῦ Παύλου; Δὲν ἐνδιαφερόταν γιὰ τὶς θλίψεις του, οὔτε καὶ γιὰ τὶς ἐναντίον του ἐπιβουλές. Γιατὶ νομίζω ὅτι αὐτὸς εἶχε μείνει ἐκεῖ τότε, ὅπως λέγει ὁ Λουκᾶς, ὅτι στὴν Ἑλλάδα ἔμεινε γιὰ τρεῖς μῆνες, ὅταν ἔγινε ἐναντίον του ἐπιβουλὴ ἀπὸ τοὺς Ἰουδαίους[10]. Δὲν ἐφρόντιζε λοιπὸν γιὰ τοὺς κινδύνους του, ἀλλὰ γιὰ τοὺς μαθητές του. Βλέπεις ὅτι ἔχει ξεπεράσει κάθε φυσικὸ πατέρα; Γιατὶ ἐμεῖς στὶς θλίψεις καὶ στοὺς κινδύνους δὲν ἐνθυμούμασθε κανένα, αὐτὸς ὅμως τόσο ἐφοβεῖτο καὶ ἔτρεμε γιὰ τὰ παιδιά του, ὥστε καὶ αὐτὸν μόνο ποὺ εἶχε παρηγοριά του, τὸν Τιμόθεο, καὶ σύντροφο καὶ συνεργάτη, αὐτὸν νὰ στείλη πρὸς αὐτοὺς σὲ αὐτοὺς τοὺς κινδύνους.

«Καὶ καταντήση χαμένος», λέγει, «ὁ κόπος μας». Γιατί; διότι, ἂν καὶ ἐστράφηκαν πρὸς ἄλλη κατεύθυνση, δὲν ἐστράφηκαν ἐξ αἰτίας σου, οὔτε ἐξ αἰτίας τῆς δικῆς σου ραθυμίας. Ἀλλ' ὅμως, καὶ ἐνῶ ὑπῆρχαν αὐτά, νομίζω ὅτι ἔχει καταστῆ χαμένος ὁ κόπος μου, ἐξ αἰτίας τῆς πολλῆς ἀγάπης μου. «Μήπως σᾶς ἐπείραξε ἐκεῖνος ποὺ πειράζει». Πειράζει χωρὶς νὰ γνωρίζη, ἂν θὰ καταβάλη. Ἔπειτα, ἐκεῖνος καὶ χωρὶς νὰ γνωρίζη ἐπιτίθεται, ἐμεῖς ὅμως ποὺ γνωρίζομε

ἐκεῖνος μὲν καὶ οὐκ εἰδὼς ἐπέρχεται, ἡμεῖς δὲ εἰδότες ὅτι σφόδρα αὐτοῦ περιεσόμεθα, οὐ νήφομεν; Ὅτι δὲ οὐκ εἰδὼς ἡμῖν προσβάλλει, ἐπὶ τοῦ Ἰὼβ ἐδήλωσεν. Ἔλεγε γὰρ πρὸς τὸν Θεὸν ὁ πονηρὸς ἐκεῖνος δαίμων· «Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω; Περίελε αὐτοῦ τὰ ὑπάρχοντα· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει». Πειράζει. Ἂν ἴδῃ τι ἀσθενές, ἐπεχείρησεν· ἂν ἰσχυρόν, ἀπέστη. «Καὶ εἰς κενόν», φησίν, «γένηται ὁ κόπος ἡμῶν». Ἀκούσωμεν ἅπαντες, πῶς ἔκαμνεν ὁ Παῦλος. Οὐκ εἶπε, 'τὸ ἔργον', ἀλλ', «ὁ κόπος», οὐκ εἶπε, 'καὶ ὑμεῖς ἀπολεῖσθε', ἀλλ', «ὁ κόπος ἡμῶν». Ὥστε εἰ καὶ συνέβη τι, εἰκὸς ἐγίνετο· ἐπειδὴ δὲ οὐ συνέβη, πολὺ τὸ θαῦμα. Ταῦτα μὲν προσεδοκήσαμεν, φησίν, ἐξέβη δὲ τὰ ἐναντία· οὐ γὰρ μόνον προσθήκην θλίψεως οὐδεμίαν παρ' ὑμῶν ἐλάβομεν, ἀλλὰ καὶ παράκλησιν.

«Ἄρτι δὲ ἐλθόντος Τιμοθέου», φησί, «πρὸς ὑμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ὑμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν». «Καὶ εὐαγγελισαμένου», φησίν. Ὁρᾷς τὴν περιχάρειαν Παύλου; Οὐκ εἶπεν, 'ἀπαγγείλαντος', ἀλλ', «εὐαγγελισαμένου»· τοσοῦτον ἀγαθὸν ἡγεῖτο τὴν ἐκείνων βεβαίωσιν καὶ τὴν ἀγάπην. Ἀνάγκη γὰρ ἐκείνης βεβαίας μενούσης καὶ ταύτην ἐστηρίχθαι. Καὶ τῇ ἀγάπῃ δὲ αὐτῶν ἔχαιρεν, ὅτι σημεῖον τῆς πίστεως ἦν. «Καὶ ὅτι ἔχετε», φησί, «μνείαν ἡμῶν ἀγαθήν, πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς». Τουτέστι, μετὰ ἐπαίνων. Οὐχ ὅτε παρῆμεν, οὐδ' ὅτε ἐθαυματουργοῦμεν, ἀλλὰ καὶ νῦν, ὅτε πόρρω ἐσμέν, καὶ μαστιζόμεθα, καὶ μυρία πάσχομεν δεινά, μνείαν ἡμῶν ἀγαθὴν ἔχετε. Ἀκούσατε πῶς θαυμάζονται μαθηταὶ μνείαν ἀγαθὴν περὶ διδασκάλων ἔχοντες, πῶς μακαρίζονται. Μιμώμεθα τούτους· ἡμᾶς γὰρ αὐτοὺς ὠφελοῦμεν, οὐ τοὺς ἀγαπωμένους. «Ἐπιποθοῦντες ἡμᾶς», φησίν, «ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς». Καὶ τοῦτο δὲ αὐτοὺς εὔφρανε. Τὸ γὰρ μαθεῖν τὸν φιλοῦντα, ὅτι τοῦτο οἶδεν ὁ φιλούμενος, ὅτι φιλεῖται, πολλὴ παραμυθία καὶ παράκλησις.

2. «Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ». Τί Παύλου ἴσον γένοιτ' ἄν, ὃς ἐν τῇ

---

11. Ἰὼβ 1,10.11

ὅτι θά ὑπερισχύσωμε αὐτοῦ, δὲν ἐπαγρυπνοῦμε; Τὸ ὅτι ὅμως μᾶς ἐπιτίθεται χωρὶς νὰ γνωρίζῃ, ὅτι θὰ μᾶς καταβάλῃ, τὸ ἐφανέρωσε στὴν περίπτωσι τοῦ 'Ιώβ. Γιατὶ ἔλεγε πρὸς τὸν Θεὸ ὁ πονηρὸς ἐκεῖνος δαίμων. «Δὲν περιέφραξες ὅλα τὰ ὑπάρχοντά του καὶ τὰ εὑρισκόμενα μέσα στὸ σπίτι του καὶ ἔξω; 'Αφήρεσε καὶ τὰ ὑπάρχοντά του, καὶ εἶναι βέβαιο ὅτι θὰ σὲ βλασφημήσῃ κατὰ πρόσωπο»[11] Πειράζει ὁ διάβολος. Ἂν ἰδῇ κάτι ἀσθενές, ἐπιχειρεῖ, ἂν ἰδῇ ἰσχυρό, ἀπομακρύνεται. «Καὶ καταντήσῃ χαμένος», λέγει, «ὁ κόπος μας». Ἂς ἀκούσωμε ὅλοι, πῶς ἐκοπίαζε ὁ Παῦλος. Δὲν εἶπε, 'τὸ ἔργο', ἀλλ' «ὁ κόπος». Δὲν εἶπε, 'καὶ σεῖς χαθῆτε', ἀλλά, «ὁ κόπος μας». Ὥστε καὶ ἂν ἀκόμη συνέβηκε κάτι, δικαιολογημένα ἐγίνετο· ἐπειδὴ ὅμως δὲν ἔγινε, εἶναι μεγάλο τὸ θαῦμα. Αὐτὰ βέβαια τὰ ἐπεριμέναμε, λέγει, ἔγιναν ὅμως τὰ ἀντίθετα, γιατὶ ὄχι μόνο δὲν ἐλάβαμε ἀπὸ σᾶς καμμία αὔξησι τῆς θλίψεώς μας, ἀλλὰ καὶ παρηγοριά.

«Τώρα ὅμως», λέγει, «ὅταν μᾶς ἦλθε ἀπὸ σᾶς ὁ Τιμόθεος καὶ μᾶς ἔφερε εὐχάριστες εἰδήσεις γιὰ τὴν πίστι καὶ τὴν ἀγάπη σας». «Καὶ ἔφερε εὐχάριστες εἰδήσεις», λέγει. Βλέπεις τὴ μεγάλη χαρὰ τοῦ Παύλου; Δὲν εἶπε, 'ἐγνωστοποίησε', ἀλλ' «ἔφερε εὐχάριστες εἰδήσεις». Τόσο μεγάλο ἀγαθὸ ἐθεωροῦσε τὴ διαβεβαίωσι γιὰ τὴν πίστι καὶ τὴν ἀγάπη ἐκείνων. Γιατὶ ἦταν ἀνάγκη νὰ μείνῃ σταθερὴ ἐκείνη καὶ αὐτὴ νὰ στηριχθῇ. Καὶ γιὰ τὴν ἀγάπη τους ἐχαιρόταν, ἐπειδὴ ἦταν ἀπόδειξις πίστεως. «Καὶ ὅτι ἔχετε», λέγει, «καλὴ ἀνάμνησι γιὰ μᾶς, ἐπειδὴ πάντοτε ποθεῖτε πολὺ νὰ μᾶς ἰδῆτε, καθὼς καὶ ἐμεῖς ποθοῦμε ἐσᾶς». Δηλαδή, μὲ ἐπαίνους. Ὄχι ὅταν ἤμασθε παρόντες, οὔτε ὅταν ἐκάναμε θαύματα, ἀλλὰ καὶ τώρα, ὁπότε εἴμασθε μακριὰ καὶ ὑποφέρομε καὶ πάσχομε ἄπειρα δεινά, ἔχετε ἀγαθὴ τὴν ἀνάμνησί μας. 'Ακούσαμε πῶς θαυμάζονται οἱ μαθητές, ὅταν ἔχουν ἀγαθὴ ἀνάμνησι γιὰ τοὺς διδασκάλους, πῶς μακαρίζονται. Ἂς μιμούμασθε αὐτούς, γιατὶ ὠφελοῦμε τοὺς ἑαυτούς μας, ὄχι αὐτοὺς ποὺ ἀγαπᾶμε. «'Επειδὴ ποθεῖτε πολύ», λέγει, «νὰ μᾶς ἰδῆτε, καθὼς καὶ ἐμεῖς ποθοῦμε ἐσᾶς». Καὶ αὐτὸ εὐχαρίστησε αὐτούς. Γιατὶ τὸ νὰ μάθῃ αὐτὸς ποὺ ἀγαπᾶ, ὅτι γνωρίζει αὐτὸ ἐκεῖνος ποὺ ἀγαπᾶται, ὅτι δηλαδὴ ἀγαπᾶται, εἶναι μεγάλη παρηγοριὰ καὶ ἐνθάρρυνσις.

2. «Γι' αὐτὸ ἐπαρηγορηθήκαμε, ἀδελφοί, ἐξ αἰτίας σας σὲ ὅλη τὴ θλίψι καὶ ἀνάγκη μας, μὲ τὴ δική σας πίστι· ἐπειδὴ τώρα ζοῦμε, ἐὰν ἐσεῖς μένετε σταθερὰ ἑνωμένοι μὲ τὸν Κύριο». Τί θὰ ἠμπο-

τῶν πλησίον σωτηρίᾳ ἐνόμιζεν εἶναι τὴν ἑαυτοῦ, καθάπερ ὄντως πρὸς μέλη, οὕτω πρὸς πάντας διακείμενος; Τίς δυνήσεται ταύτην ῥῆξαι τὴν φωνὴν νῦν; μᾶλλον δὲ τίς δυνήσεται οὕτω φρονῆσαί ποτε; Οὐκ ἠξίου χάριν αὐτοὺς εἰδέναι αὐτῷ τῶν πειρασμῶν τῶν ὑπὲρ αὐτῶν, ἀλλὰ χάριν αὐτοῖς ᾔδει, ὅτι οὐκ ἐσαλεύθησαν διὰ τοὺς πειρασμοὺς τοὺς αὐτοῦ· ὡς ἂν εἰ ἔλεγεν, ὅτι ὑμῖν μᾶλλον, ἢ ἡμῖν ἀπὸ τῶν πειρασμῶν ἐγένετο βλάβη· ὑμεῖς ἐπειράσθητε μᾶλλον ἢ ἡμεῖς, ὑμεῖς οἱ μηδὲν παθόντες, ἡμῶν τῶν παθόντων. Ἐπειδὴ ταῦτα, φησίν, εὐηγγελίσατο ἡμᾶς ὁ Τιμόθεος, οὐδὲν αἰσθανόμεθα τῶν λυπηρῶν, ἀλλὰ «παρεκλήθημεν ἐπὶ πάσῃ τῇ θλίψει»· οὐ ταύτῃ μόνον. Διδασκάλου γὰρ ἀγαθοῦ οὐδὲν ἂν ἅψαιτο λοιπόν, ἕως ἂν τὰ τῶν μαθητῶν κατὰ γνώμην αὐτῷ προχωρῇ. Δι' ὑμῶν, φησί, παρεκλήθημεν· ὑμεῖς ἡμᾶς ἐστερεώσατε. Καὶ μὴν τοὐναντίον ἦν· τὸ γὰρ παθόντας μὴ ἐνδοῦναι, ἀλλὰ στῆναι γενναίως, ἱκανὸν τοὺς μαθητὰς στηρίξαι. Ἀλλ' ἅπαν τοὐναντίον ποιεῖ, καὶ εἰς εἰκείνους περιτρέπει τὸ ἐγκώμιον· ὑμεῖς ἡμᾶς ἠλείψατε, φησίν· ὑμεῖς ἡμῖν ἀναπνεῦσαι δεδώκατε· ὑμεῖς οὐκ ἀφήκατε τῶν πειρασμῶν αἰσθέσθαι.

Καὶ οὐκ εἶπεν, ἀνεπνεύσαμεν, οὐδὲ παρεμυθήθημεν, ἀλλὰ τί; «Νῦν ζῶμεν», δεικνὺς ὅτι καὶ πειρασμὸν καὶ θάνατον οὐδὲν ἄλλο ἡγεῖται, ἢ τὸ σκάνδαλον τὸ ἐκείνων, ὅπου γε καὶ ζωὴν τὴν ἐκείνων προκοπήν. Πῶς ἂν ἄλλως ἢ λύπην τὴν ἐπὶ τῇ τῶν μαθητῶν ἀσθενείᾳ, ἢ τὴν χαρὰν ἐδήλωσεν; Οὐκ εἶπε, 'χαίρομεν', ἀλλά, «ζῶμεν» ζωὴν τὴν μέλλουσαν. Ὥστε ἄνευ τούτου οὐδὲ ζῆν τὸ ζῆν ἡγούμεθα. Οὕτω τοὺς διδασκάλους διακεῖσθαι χρή, οὕτω τοὺς μαθητάς, καὶ οὐδὲν ἄτοπον ἔσται ποτέ. Εἶτα προσλιπαίνων αὐτό, ὅρα τί φησι· «Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τό πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ἡμῶν; Οὐχί ζωῆς, φησί, μόνον αἴτιοι ἡμῖν γεγένησθε, ἀλλὰ καὶ εὐφροσύνης πολλῆς, καὶ τοσαύτης, ὡς

ροῦσε νὰ ὑπάρξη ἰσάξιο μὲ τὸν Παῦλο, ὁ ὁποῖος στὴ σωτηρία τῶν πλησίον ἐνόμιζε ὅτι εὑρίσκεται ἡ δική του, ὁ ὁποῖος ὅπως πραγματικὰ φέρεται πρὸς τὰ μέλη του, ἔτσι ἐσυμπεριφέρετο πρὸς ὅλους; Ποιὸς θὰ μποροῦσε νὰ εἰπῆ τὰ λόγια αὐτὰ τώρα; ἢ καλύτερα ποιὸς θὰ μπορέση ποτὲ νὰ σκεφθῆ ἔτσι; Δὲν εἶχε τὴν ἀξίωσι νὰ τὸν εὐγνωμονοῦν αὐτοὶ γιὰ τοὺς πειρασμούς τους, ἀλλὰ εὐγνωμονεῖ αὐτούς, ἐπειδὴ δὲν ἐσαλεύθηκαν γιὰ τοὺς ἰδικούς του πειρασμούς. Σὰν δηλαδὴ νὰ ἔλεγε, ὅτι σὲ σᾶς περισσότερο, παρὰ σὲ μᾶς ἔγινε ζημία ἀπὸ τοὺς πειρασμούς· ἐσεῖς ἐπειρασθήκατε περισσότερο παρὰ ἐμεῖς, ἐσεῖς οἱ ὁποῖοι δὲν ἐπάθατε τίποτε ἀπὸ ἐμᾶς οἱ ὁποῖοι ἐπάθαμε. Ἐπειδὴ αὐτὲς τὶς εὐχάριστες εἰδήσεις, λέγει, μᾶς ἔφερε ὁ Τιμόθεος, δὲν αἰσθανόμασθε καμμία λύπη, ἀλλὰ «ἐπαρηγορηθήκαμε γιὰ ὅλη τὴ θλίψι», ὄχι μόνο γι' αὐτόν. Γιατὶ τίποτε δὲν θὰ μποροῦσε πλέον νὰ γίνη αἰτία κατηγορίας γιὰ τὸν καλὸ διδάσκαλο, ἕως ὅτου τὰ πράγματα τῶν μαθητῶν θὰ βαδίζουν σύμφωνα μὲ τὴ γνώμη του. Μὲ σᾶς, λέγει, ἐπαρηγορηθήκαμε· ἐσεῖς μᾶς ἐστερεώσατε. Ἀλλὰ καὶ τὸ ἀντίθετο ἦταν· γιατὶ τὸ νὰ μὴ ὑποχωρήσουν, ἂν καὶ ἔπαθαν, ἀλλὰ νὰ σταθοῦν ἄφοβα, ἦταν ἱκανὸ νὰ στηρίξη τοὺς μαθητές. Ὅμως κάνει τελείως τὸ ἀντίθετο καὶ σὲ ἐκείνους στρέφει τὸν ἔπαινο. Ἐσεῖς μᾶς ἐνθαρρύνατε, λέγει, ἐσεῖς μᾶς ἔχετε δώσει νὰ ἀναπνεύσωμε, ἐσεῖς δὲν ἐπετρέψατε νὰ ἀντιληφθοῦμε τοὺς πειρασμούς.

Καὶ δὲν εἶπε, ἀνεπνεύσαμε, οὔτε ἐνθαρρυθήκαμε, ἀλλὰ τί; «Τώρα ζοῦμε», γιὰ νὰ δείξη, ὅτι δὲν θεωρεῖ σὰν πειρασμὸ καὶ θάνατο τίποτε ἄλλο, παρὰ τὸ νὰ σκανδαλισθοῦν ἐκεῖνοι, ἀφοῦ βέβαια καὶ ζωὴ θεωρῆ τὴν προκοπὴ ἐκείνων. Πῶς θὰ μποροῦσε νὰ φανερώση διαφορετικὰ κανεὶς εἴτε τὴ λύπη του γιὰ τὴν ἀδυναμία τῶν μαθητῶν, εἴτε τὴ χαρά του; Δὲν εἶπε, «χαιρόμαστε», ἀλλά, «ζοῦμε», δηλαδὴ τὴ μέλλουσα ζωή. Συνεπῶς χωρὶς αὐτὸ οὔτε τὴ ζωὴ θεωροῦμε ζωή. Ἔτσι πρέπει νὰ συμπεριφέρωνται οἱ διδάσκαλοι, ἔτσι οἱ μαθητές, καὶ ποτὲ δὲν θὰ συμβῆ τίποτε τὸ παράλογο. Στὴ συνέχεια καθιστώντας πιὸ λαμπρὸ αὐτό, πρόσεχε τί λέγει· «Γιατί ποιὰ εὐχαριστία μποροῦμε νὰ ἀνταποδώσουμε στὸν Θεὸ γιὰ σᾶς γιὰ ὅλη τὴ χαρὰ ποὺ αἰσθανόμασθε ἐξ αἰτίας σας ἐμπρὸς στὸν Θεό μας, παρακαλώντας μὲ τὸ παραπάνω νύχτα καὶ ἡμέρα γιὰ νὰ ἰδοῦμε τὸ πρόσωπό σας καὶ νὰ τελειοποιήσωμε τὶς ἐλλείψεις τῆς πίστεώς σας;». Δὲν ἐγίνατε, λέγει, αἴτιοι ζωῆς μόνο σὲ μᾶς, ἀλλὰ

μηδὲ εὐχαριστῆσαι δύνασθαι τῷ Θεῷ κατ' ἀξίαν. Τὸ ὑμῶν κατόρθωμα δῶρον εἶναι, φησί, τοῦ Θεοῦ ἡγούμεθα· τοιαῦτα ἡμᾶς εὐεργετήσατε, ὡς τοῦ Θεοῦ νομίζειν εἶναι· μᾶλλον δὲ καὶ Θεοῦ· οὐ γὰρ ἀνθρωπίνης ψυχῆς οὐδὲ σπουδῆς τοσοῦτον φρόνημα. «Νυκτός», φησί, «καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι». Καὶ τοῦτο τῆς χαρᾶς σημεῖον. Καθάπερ τις γεωργός, ἀκούων περὶ τῆς αὐτοῦ χώρας τῆς πονηθείσης αὐτῷ, ὅτι βρίθεται τοῖς ἀστάχυσι, ποθεῖ κατ' ὄψιν τὴν τοσαύτην ἰδεῖν ἡδονήν· οὕτω καὶ Παῦλος τὴν Μακεδονίαν.

«Ὑπερεκπερισσοῦ δεόμενοι». Ὅρα τὴν ὑπερβολήν. «Εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν». Ἐνταῦθα πολὺ τὸ ζήτημα. Εἰ γὰρ νῦν ζῆς ὅτι ἑστήκασι, καὶ Τιμόθεος εὐηγγελίσατό σε τὴν πίστιν αὐτῶν καὶ τὴν ἀγάπην, καὶ τοσαύτης εἶ χαρᾶς μεστός, ὡς μηδὲ δύνασθαι τῷ Θεῷ κατ' ἀξίαν εὐχαριστῆσαι, πῶς ἐνταῦθα τὰ ὑστερήματα τῆς πίστεως εἶναι φῄς; ἆρα μὴ κολακείας τὰ ῥήματα ἐκεῖνα; Οὐδαμῶς· μὴ γένοιτο. Προλαβὼν γὰρ ἐμαρτύρησεν, ὅτι πολλοὺς ἄθλους ὑπέμειναν, καὶ οὐδὲν χεῖρον διετέθησαν τῶν ἐν τῇ Ἰουδαίᾳ ἐκκλησιῶν. Τί οὖν ἐστιν; Οὐ πάσης ἀπέλαυσαν τῆς διδασκαλίας, οὐδὲ ὅσα ἐχρῆν μαθεῖν ἔμαθον· καὶ τοῦτο δηλοῖ πρὸς τῷ τέλει. Ἴσως ἐζητεῖτο παρ' αὐτοῖς περὶ τῆς ἀναστάσεως, καὶ πολλοὶ ἦσαν οἱ θορυβοῦντες αὐτούς, οὐκέτι τοῖς πειρασμοῖς, οὐδὲ τοῖς κινδύνοις, ἀλλ' ὑποκρινόμενοι τοὺς διδασκάλους. Τοῦτό φησι, «τὰ ὑστερήματα τῆς πίστεως»· καὶ διὰ τοῦτο εἶπε, «τὰ ὑστερήματα», καὶ οὐκ εἶπεν, εἰς τὸ στηριχθῆναι· ἀλλ' ἔνθα μὲν περὶ αὐτῆς τῆς πίστεως ἐδεδοίκει, «Ἔπεμψα» φησί, «Τιμόθεον εἰς τὸ στηρίξαι ὑμᾶς», ἐνταῦθα δὲ τὰ ὑστερήματα καταρτίσαι, ὃ διδασκαλίας μᾶλλόν ἐστιν, ἢ βεβαιώσεως· καθάπερ καὶ ἀλλαχοῦ φησιν· «Ἵνα ἦτε κατηρτισμένοι εἰς πᾶν ἔργον ἀγαθόν». Τὸ δὲ κατηρτισμένον ἐστίν, ᾧ ὀλίγον τι λείπει· τοῦτο γὰρ καταρτίζεται.

---

12. Α΄ Θεσ. 3,2
13. Α΄ Κορ. 1,10. Β΄ Τιμ. 3,17

καὶ πολλῆς χαρᾶς, καὶ τόσο μεγάλης, ὥστε οὔτε τὸν Θεὸ μποροῦμε νὰ εὐχαριστήσωμε ὅπως ἀξίζει. Τὸ κατόρθωμά σας, λέγει, θεωροῦμε ὅτι εἶναι δῶρο τοῦ Θεοῦ. Μᾶς εὐεργετήσατε τόσο πολύ, ὥστε νομίζομε ὅτι εἶναι τοῦ Θεοῦ, ἢ καλύτερα καὶ τοῦ Θεοῦ, γιατὶ τόσο ὑψηλό φρόνημα δὲν εἶναι γνώρισμα ψυχῆς ἀνθρώπου, οὔτε προσπαθείας. «Νύχτα», λέγει, «καὶ ἡμέρα μὲ τὸ παραπάνω παρακαλώντας». Καὶ αὐτὸ εἶναι ἀπόδειξις τῆς χαρᾶς. Ὅπως ἀκριβῶς κάποιος γεωργός, ὅταν ἀκούῃ γιὰ τὸ χωράφι του, ποὺ αὐτὸς ἐκαλλιέργησε μὲ κόπο, ὅτι εἶναι γεμᾶτο στάχυα, ἐπιθυμεῖ πολὺ μὲ τὰ μάτια του νὰ ἰδῇ τὴν τόσο μεγάλη χαρά, ἔτσι καὶ ὁ Παῦλος ἐπιθυμεῖ τὴν Μακεδονία.

«Μὲ τό παραπάνω παρακαλώντας». Πρόσεχε τὴν ὑπερβολή. «Γιὰ νὰ ἰδοῦμε τὸ πρόσωπό σας καὶ νὰ τελειοποιήσωμε τὶς ἐλλείψεις τῆς πίστεώς σας». Ἐδῶ ἀνακύπτει μεγάλο ζήτημα. Γιατί, ἐὰν τώρα ζῇς, ἐπειδὴ ἔχουν σταθῆ σταθεροὶ στὴν πίστι καὶ ὁ Τιμόθεος σοῦ ἔφερε εὐχάριστες εἰδήσεις γιὰ τὴν πίστι καὶ τὴν ἀγάπη τους, καὶ εἶσαι γεμᾶτος ἀπὸ τόση χαρά, ὥστε οὔτε τὸν Θεὸ μπορεῖς νὰ εὐχαριστήσῃς ὅπως ἀξίζει, πῶς λέγεις ἐδῶ ὅτι ὑπάρχουν οἱ ἐλλείψεις τῆς πίστεως; μήπως λοιπὸν τὰ λόγια ἐκεῖνα ἀποτελοῦν κολακεία; Καθόλου· μακριὰ μιὰ τέτοια σκέψις. Γιατὶ προηγουμένως ἐβεβαίωσε, ὅτι ὑπέμειναν πολλοὺς ἀγῶνες καὶ δὲν ἐσυμπεριφέρθηκαν καθόλου χειρότερα ἀπὸ τὶς ἐκκλησίες ποὺ εἶναι στὴν Ἰουδαία. Τί λοιπὸν συμβαίνει; Δὲν ἀπήλαυσαν ὅλη τὴ διδασκαλία, οὔτε ἔμαθαν ὅσα ἔπρεπε νὰ μάθουν· καὶ αὐτὸ τὸ λέγει μὲ αὐτὸ τὸ σκοπὸ τῆς τελειοποιήσεως αὐτῶν. Ἴσως ἐζητεῖτο ἀπὸ αὐτοὺς νὰ μάθουν γιὰ τὴν ἀνάστασι καὶ πολλοὶ ἦσαν ἐκεῖνοι ποὺ ἐθορυβοῦσαν αὐτούς, ὄχι πιὰ μὲ τοὺς πειρασμούς, οὔτε μὲ τοὺς κινδύνους, ἀλλὰ ἐπειδὴ ὑποκρίνονταν τοὺς δασκάλους. Αὐτὸ σημαίνει, «τὶς ἐλλείψεις τῆς πίστεως». Καὶ γι' αὐτὸ εἶπε, «τὶς ἐλλείψεις», καὶ δὲν εἶπε, γιὰ νὰ σᾶς στηρίξωμε στὴν πίστι. Στὴν περίπτωσι μὲν ποὺ ἐφοβεῖτο γιὰ τὴν ἴδια τὴν πίστι τους, «Ἔστειλα», λέγει, «τὸν Τιμόθεο γιὰ νὰ σᾶς στηρίξῃ»[12], ἐδῶ ὅμως λέγει, γιὰ νὰ τελειοποιήσωμε τὶς ἐλλείψεις, πρᾶγμα ποὺ εἶναι περισσότερο θέμα διδασκαλίας, παρὰ στηρίξεως, καθὼς καὶ ἀλλοῦ λέγει· «Γιὰ νὰ εἶσθε τέλειοι σὲ κάθε ἀγαθὸ ἔργο»[13]. Τὸ τέλειο ὅμως ἀναφέρεται σὲ ἐκεῖνο ποὺ ἔχει κάποια μικρὴ ἔλλειψι, γιατὶ τοῦτο τελειοποιεῖται.

3. «Καὶ εἴθε ὁ ἴδιος ὁ Θεὸς καὶ πατέρας μας καὶ ὁ Κύριός μας ὁ Ἰησοῦς Χριστὸς νὰ κατευθύνῃ τὸ δρόμο μας πρὸς ἐσᾶς. Σὲ σᾶς νὰ δώσῃ μὲ τὸ παραπάνω καὶ νὰ περισσεύσῃ τὴν ἀγάπη ἀναμεταξύ σας

3. «Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς. Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι, καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς». Τοῦτο ὑπερβαλλούσης ἀγάπης, τὸ μὴ μόνον καθ' ἑαυτὸν εὔχεσθαι, ἀλλὰ καὶ ἐν τῇ ἐπιστολῇ τὴν εὐχὴν ἐντιθέναι· τοῦτο ζεούσης ψυχῆς, καὶ ὄντως ἀκαρτερήτου· τοῦτο δεῖγμα καὶ τῶν ἐκεῖ γεγενημένων εὐχῶν· ἅμα δὲ καὶ ἀπολογία, ὅτι οὐχ ἑκόντες, οὐδὲ ῥᾳθυμοῦντες οὐ παραγίνονται. Ὡς ἂν εἰ ἔλεγεν· αὐτὸς δὲ ὁ Θεὸς ἐκκόψαι τοὺς πειρασμοὺς τοὺς πανταχοῦ περιέλκοντας ὑμᾶς, ὥστε ὀρθὴν ἐλθεῖν πρὸς ὑμᾶς. «Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι, καὶ περισσεύσαι». Ὁρᾷς τὴν μανίαν τῆς ἀγάπης τὴν ἀκάθεκτον, τὴν διὰ τῶν ῥημάτων δεικνυμένην; «Πλεονάσαι», φησί, «καὶ περισσεύσαι», ἀντὶ τοῦ, αὐξῆσαι. Ὡς ἂν εἴποι τις, ἐκ περιουσίας πως ἐπιθυμεῖ φιλεῖσθαι παρ' αὐτῶν. «Καθάπερ», φησί, «καὶ ἡμεῖς εἰς ὑμᾶς». Τὸ μὲν γὰρ ἡμέτερον ἤδη ἐστί, τὸ δὲ ὑμέτερον ἀξιοῦμεν γενέσθαι.

Ὁρᾷς ποῦ βούλεται τὴν ἀγάπην ἐκτείνεσθαι; οὐκ εἰς ἀλλήλους μόνον, ἀλλὰ πανταχοῦ. Τοῦτο γὰρ ὄντως ἀγάπης τῆς κατὰ Θεόν, τὸ πάντας περιπλέκεσθαι· ἂν δὲ τὸν δεῖνα μὲν ἀγαπᾷς, τὸν δεῖνα δὲ μηκέτι, κατὰ ἄνθρωπον ἡ φιλία. Ἀλλ' οὐχ ἡ ἡμετέρα τοιαύτη· «Καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς· εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ». Τὴν ἀγάπην δείκνυσιν αὐτοῖς κέρδος φέρουσαν, οὐ τοῖς φιλουμένοις. Βούλομαι, φησί, πλεονάσαι τὴν ἀγάπην ταύτην, ἵνα μηδεὶς μῶμος γένηται. Οὐκ εἶπεν, ὑμᾶς στηρίξαι, ἀλλά, «τὰς καρδίας ἡμῶν». «Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί». Ἔνεστι γὰρ μηδὲν πράττοντα, πονηρὸν εἶναι, οἷον βασκανίαν ἔχειν, ἀπιστίαν, δόλον, τὸ χαίρειν ἐπὶ τοῖς κακοῖς, τὸ μὴ εἶναι φιλικόν, τὸ δόγματα ἔχειν διεστραμμένα· ταῦτα πάντα τῆς καρδίας ἐστί. Τοῦτό ἐστιν ἁγιωσύνη, τὸ τούτων καθαρεύειν. Κυρίως μὲν γὰρ ἁγιωσύνη λέγεται ἡ σωφροσύνη κατ' ἐξοχήν, ἐπειδὴ καὶ ἀκαθαρσία ἡ πορνεία καὶ ἡ μοιχεία· καθολικῶς δὲ πᾶσα ἁμαρτία ἀκαθαρσία, καὶ πᾶσα ἀρετὴ καθαρότης. «Μακάριοι» γάρ, φησίν, «οἱ καθαροὶ τῇ καρδίᾳ».

14. Ματθ. 15,19
15. Ματθ. 5,8

καὶ πρὸς ὅλους, καθὼς καὶ ἡ δική μας πρὸς ἐσᾶς». Αὐτὸ εἶναι δεῖγμα ὑπερβολικῆς ἀγάπης, τὸ νὰ μὴ εὔχεται μόνο μέσα του, ἀλλὰ καὶ νὰ θέση τὴν εὐχὴ μέσα στὴν ἐπιστολή. Αὐτὸ εἶναι ἀπόδειξις καὶ τῶν προσευχῶν ποὺ εἶχαν γίνει ἐκεῖ, συχρόνως ὅμως καὶ ἀπολογία, ὅτι δὲν ἔρχονται, ὄχι μὲ τὴ θέλησί τους, οὔτε ἐπειδὴ εἶναι ὀκνηροί. Σὰν δηλαδὴ νὰ ἔλεγε· καὶ ὁ ἴδιος ὁ Θεὸς εἴθε νὰ ἐξαλείψη τελείως τοὺς πειρασμοὺς ποὺ μᾶς παρασύρουν παντοῦ, ὥστε νὰ ἔλθωμε πρὸς ἐσᾶς κατ' εὐθεῖα καὶ μὲ ἀσφάλεια. «Σὲ σᾶς ὅμως ὁ Κύριος νὰ δώση μὲ τὸ παραπάνω καὶ νὰ περισσεύση». Βλέπεις τὴν ἀσυγκράτητη μανία τῆς ἀγάπης ποὺ μὲ τὰ λόγια φανερώνεται; «Νὰ δώση μὲ τὸ παραπάνω», λέγει, «καὶ νὰ περισσεύση», ἀντὶ νὰ εἰπῆ, νὰ αὐξήση. Ὅπως θὰ ἔλεγε κανείς, μὲ ἀφθονία ἀγάπης, κατὰ κάποιο τρόπο, ἐπιθυμεῖ νὰ τὸν ἀγαποῦν αὐτοί. «Ὅπως ἀκριβῶς», λέγει, «καὶ ἐμεῖς σὲ σᾶς». Γιατὶ τὸ μὲν δικό μας ἤδη ὑπάρχει, τὸ δικό σας ὅμως ἐπιθυμοῦμε νὰ γίνη.

Βλέπεις ποῦ θέλει νὰ ἁπλώνεται ἡ ἀγάπη; ὄχι μόνο ἀναμεταξύ μας, ἀλλὰ παντοῦ. Γιατὶ αὐτὸ εἶναι πράγματι γνώρισμα τῆς ἀγάπης ποὺ συμφωνεῖ μὲ τὸ θέλημα τοῦ Θεοῦ, τὸ νὰ ἀγκαλιάζη ὅλους. Ἂν ὅμως τὸν τάδε ἀγαπᾶς καὶ τὸν τάδε δὲν ἀγαπᾶς πιά, ἡ ἀγάπη συμφωνεῖ μὲ τὶς θελήσεις τῶν ἀνθρώπων. Ἀλλὰ ἡ δική μας ἀγάπη δὲν εἶναι τέτοια· «Ὅπως ἀκριβῶς καὶ ἐμεῖς ἔχομε τὴν ἀγάπη πρὸς ἐσᾶς· γιὰ νὰ στηρίξη τὶς καρδιές σας, ὥστε νὰ εἶναι ἄμεμπτες μὲ ἁγιωσύνη ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας, κατὰ τὴν παρουσία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ μαζὶ μὲ ὅλους τοὺς ἁγίους του». Ἀποδεικνύει ὅτι ἡ ἀγάπη φέρει κέρδος σὲ αὐτοὺς ὄχι σὲ ἐκείνους ποὺ τοὺς ἀγαποῦν. Θέλω, λέγει, νὰ δώση μὲ τὸ παραπάνω τὴν ἀγάπη αὐτή, γιὰ νὰ μὴ γίνη καμμία μομφή. Δὲν εἶπε, νὰ σᾶς στηρίξη, ἀλλά, «τὶς καρδιές σας», «Γιατὶ ἀπὸ τὴν καρδιὰ βγαίνουν σκέψεις πονηρές»[14]. Γιατὶ μπορεῖ κανείς, χωρὶς νὰ κάνη τίποτε, νὰ εἶναι πονηρός, ὅπως νὰ ἔχη τὸ φθόνο, τὴν ἀπιστία, τὸ δόλο, τὸ νὰ χαίρεται γιὰ τὰ κακά, τὸ νὰ μὴ εἶναι φιλάνθρωπος, τὸ νὰ ἔχη κακὲς ἀντιλήψεις. Ὅλα αὐτὰ ἐξαρτῶνται ἀπὸ τὴν καρδιά. Ἁγιωσύνη σημαίνει αὐτό, τὸ νὰ εἶναι κανεὶς καθαρὸς ἀπὸ αὐτά. Κυρίως βέβαια ἁγιωσύνη λέγεται πρὸ πάντων ἡ σωφροσύνη, ἐπειδὴ καὶ ἀκαθαρσία λέγεται ἡ πορνεία καὶ ἡ μοιχεία. Καὶ γενικὰ κάθε ἁμαρτία λέγεται ἀκαθαρσία καὶ κάθε ἀρετὴ καθαρότητα, γιατὶ λέγει ὁ Χριστός, «Εἶναι μακάριοι ἐκεῖνοι ποὺ ἔχουν καθαρὴ τὴν καρδιά τους»[15].

Καθαρούς τούς πάντη καθαρούς φησιν. Οἶδε γὰρ καὶ τὰ ἄλλα ῥυποῦν, καὶ οὐχ ἧττον. Ὅτι γὰρ πονηρία μολύνει τὴν ψυχήν, ἄκουε τοῦ προφήτου λέγοντος· «Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ»· καὶ πάλιν, «Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν». Οὐκ εἶπε, τάς πορνείας· ὥστε οὐ πορνεία μόνον, ἀλλὰ καὶ τὰ ἄλλα μολύνει τὴν ψυχήν. «Στηρίξαι ὑμῶν», φησί, «τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ». Κριτὴς ἄρα τότε ἔσται ὁ Χριστός· οὐκ ἔμπροσθεν δὲ αὐτοῦ, ἀλλὰ καὶ τοῦ Πατρὸς παρεστήκαμεν κρινόμενοι. Ἢ τοῦτό φησιν, ἢ ὅτι ἀμέμπτους ἔμπροσθεν τοῦ Θεοῦ γενέσθαι· ὅπερ ἀεί φησι, τὸ ἐνώπιον τοῦ Θεοῦ· αὕτη γάρ ἡ ἀρετὴ εἰλικρινής, οὐκ ἐνώπιον ἀνθρώπων.

4. Ἄρα ἡ ἀγάπη ἀμέμπτους ποιεῖ· καὶ γὰρ ὄντως ἀμέμπτους ποιεῖ. Καὶ ἐμοῦ ποτε τοῦτο διηγουμένου πρός τινα, καὶ λέγοντος, ὅτι ἡ ἀγάπη ἀμέμπτους ποιεῖ, καὶ οὐκ ἀφίησιν ἡ πρὸς τὸν πλησίον φιλία παρείσδυσίν τινα γενέσθαι τῆς πλημμελείας, καὶ τὰ ἄλλα πάντα διεξιόντος καὶ ἐπεξερχομένου τῷ λόγῳ τῶν ἐμοί τις γνωρίμων ὑποβαλὼν ἑαυτόν, φησί· τί οὖν ἡ πορνεία; οὐκ ἔνεστιν οὖν καὶ φιλεῖν καὶ πορνεύειν; καὶ ἀπὸ φιλίας μὲν τοῦτο γίνεται. Πλεονεξία μὲν οὖν καὶ μοιχεία καὶ φθόνος καὶ ἐπιβουλαὶ καὶ ὅσα τοιαῦτα ἀπὸ ἀγάπης τῆς τῶν πλησίον ἀνακοπῆναι δυνήσεται· ἡ δὲ πορνεία πῶς, φησίν; Ἐγὼ τοίνυν εἶπον, ὅτι ἡ ἀγάπη καὶ τοῦτο δύναται ἀνακόψαι. Εἰ γὰρ φιλοίη τις τὴν πορνευομένην γυναῖκα, καὶ τῶν ἄλλων αὐτὴν ἀνδρῶν ἀπαγαγεῖν πειράσεται, οὐχί, καὶ αὐτὸς προστιθέναι τῇ ἁμαρτίᾳ. Ὥστε σφόδρα μισοῦντός ἐστι τὴν πορνευομένην τὸ πορνεύειν εἰς αὐτήν· φιλοῦντος δὲ ὄντως τὸ ἀπαγαγεῖν αὐτὴν τῆς μυσαρᾶς ἐκείνης πράξεως. Καὶ οὐκ ἔστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα, ὃ μή, καθάπερ πῦρ, ἀναλίσκει τῆς ἀγάπης ἡ δύναμις. Εὐκολώτερον γὰρ φρύγανον εὐτελὲς ἀντιστῆναι πυρᾷ πολλῇ, ἢ τῆς ἁμαρτίας τὴν φύσιν τῇ τῆς ἀγάπης δυνάμει.

Ταύτην οὖν φυτεύσωμεν ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ἵνα μετὰ τῶν ἁγίων πάντων στῶμεν· καὶ γὰρ ἐκεῖνοι πάντες εὐηρέστησαν

---

16. Ἱερ. 4,14
17. Ἡσ. 1,16

Καθαροὺς ὀνομάζει ἐκείνους ποὺ εἶναι ἐντελῶς καθαροί. Γιατὶ γνωρίζει καὶ τὰ ἄλλα ὅτι μολύνουν, καὶ ὄχι λιγώτερο. Τὸ ὅτι βέβαια ἡ πονηρία μολύνει τὴν ψυχή, ἄκουε τὸν προφήτη ποὺ λέγει· «Καθάρισε τὴν καρδιά σου ἀπὸ τὴν κακία, Ἰερουσαλὴμ»[16]· καὶ πάλι, «Νὰ λουσθῆτε, νὰ γίνετε καθαροί, νὰ ἀφαιρέσετε τὶς πονηρίες ἀπὸ τὶς ψυχές σας»[17]. Δὲν εἶπε, τὶς πορνεῖες. Ὥστε ὄχι μόνο ἡ πορνεία, ἀλλὰ καὶ τὰ ἄλλα μολύνουν τὴν ψυχή. «Γιὰ νὰ στηρίξη», λέγει, «τὶς καρδιές σας ὥστε νὰ εἶναι ἄμεμπτες μὲ ἁγιωσύνη ἐνώπιον τοῦ Θεοῦ καὶ Πατέρα μας, κατὰ τὴν παρουσία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ μαζὶ μὲ ὅλους τοὺς ἁγίους του». Ἑπομένως τότε θὰ εἶναι κριτὴς ὁ Χριστός. Ὄχι μόνο ἐμπρός του, ἀλλὰ καὶ ἐμπρὸς στὸν Πατέρα θὰ σταθοῦμε ὅταν μᾶς κρίνη. Ἢ αὐτὸ ἐννοεῖ, ἢ ὅτι πρέπει νὰ γίνωμε ἄμεμπτοι ἐνώπιον τοῦ Θεοῦ, πρᾶγμα ποὺ πάντοτε λέγει, δηλαδή, τὸ ἐνώπιον τοῦ Θεοῦ, γιατὶ αὐτὴ ἡ ἀρετὴ εἶναι εἰλικρινής, ὄχι ἐνώπιον τῶν ἀνθρώπων.

4. Ἄρα ἡ ἀγάπη κάνει ἀμέμπτους τοὺς ἀνθρώπους, καὶ μάλιστα ἀληθινὰ τοὺς κάνει ἀμέμπτους. Καὶ ὅταν κάποτε ἐγὼ ἔλεγα αὐτὸ σὲ κάποιον καὶ ἔλεγα, ὅτι ἡ ἀγάπη κάνει τοὺς ἀνθρώπους ἀμέμπτους καὶ δὲν ἐπιτρέπει ἡ πρὸς τὸν πλησίον ἀγάπη νὰ παρεισδύση καθόλου ἡ ἁμαρτία, καὶ ἀφοῦ ὅλα τὰ ἄλλα ἔλεγα καὶ ἐξηγοῦσα μὲ τὸ λόγο, κάποιος γνωστός μου ἀφοῦ ἐψιθύρισε, λέγει· τί λοιπὸν εἶναι πορνεία; δὲν εἶναι δυνατὸ λοιπὸν καὶ νὰ ἀγαπᾶ καὶ νὰ πορνεύη κανείς; γιατὶ βέβαια ἀπὸ ἀγάπη γίνεται καὶ αὐτό. Ἡ πλεονεξία λοιπὸν καὶ ἡ μοιχεία καὶ ὁ φθόνος καὶ οἱ ἐπιβουλὲς καὶ ὅλα τὰ παρόμοια θὰ μπορέσουν νὰ ἀναχαιτισθοῦν ἀπὸ τὴν ἀγάπη πρὸς τοὺς πλησίον, ἡ πορνεία, λέγει, ὅμως πῶς; Ἐγὼ λοιπὸν εἶπα ὅτι ἡ ἀγάπη καὶ αὐτὸ μπορεῖ νὰ τὸ σταματήση. Γιατὶ ἐὰν ἀγαπᾶ κανεὶς τὴν πόρνη, θὰ προσπαθήση καὶ αὐτὴν νὰ ἀπομακρύνη ἀπὸ τοὺς ἄλλους ἄνδρες καὶ αὐτὸς νὰ μὴ προστεθῆ στὴν ἁμαρτία. Ὥστε τὸ νὰ πορνεύη κανεὶς στὴν πόρνη εἶναι γνώρισμα ἐκείνου ποὺ ὑπερβολικὰ μισεῖ αὐτήν, τὸ νὰ ἀπομακρύνη ὅμως αὐτὴν ἀπὸ τὴν ἀπαίσια αὐτὴ πρᾶξι εἶναι γνώρισμα ἐκείνου ποὺ ἀληθινὰ ἀγαπᾶ. Καὶ δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει, κανένα ἁμάρτημα, τὸ ὁποῖο νὰ μὴ καταστρέφη, σὰν τὴ φωτιά, ἡ δύναμις τῆς ἀγάπης. Γιατὶ εἶναι πιὸ εὔκολο ἕνα ἁπλὸ φρύγανο νὰ ἀντισταθῆ στὴ μεγάλη φωτιά, παρὰ ἡ φύσις τῆς ἁμαρτίας στὴ δύναμι τῆς ἀγάπης.

Ἂς φυτεύσωμε λοιπὸν αὐτὴν μέσα στὶς ψυχές μας, γιὰ νὰ σταθοῦμε μαζὶ μὲ ὅλους τοὺς ἁγίους, γιατὶ καὶ ἐκεῖνοι ὅλοι ἔγιναν

ἀπὸ τῆς εἰς τὸν πλησίον ἀγάπης. Πόθεν ἀνῃρέθη, καὶ οὐκ ἀνεῖλεν ὁ Ἄβελ; Τῷ σφόδρα φιλεῖν τὸν ἀδελφόν, οὐδὲ δέξασθαι τοιοῦτον ἠνείχετο λογισμόν. Πόθεν ἐδέξατο τὸν τῆς βασκανίας ὄλεθρον ὁ Κάϊν; οὐ γὰρ ἂν αὐτὸν εἴποιμι λοιπὸν τοῦ Ἄβελ ἀδελφόν. Ὅτι οὐκ ἀσφαλῶς ἠρήρειστο παρ' αὐτῷ τὰ τῆς ἀγάπης θεμέλια. Πόθεν εὐδοκίμησαν οἱ τοῦ Νῶε παῖδες; οὐκ ἐπειδὴ σφόδρα ἐφίλουν τὸν πατέρα, οὐδὲ τὴν γύμνωσιν ἠνέσχοντο ἰδεῖν; Ὁ ἕτερος δὲ πόθεν κατηράσθη; οὐκ ἀπὸ τοῦ μὴ φιλεῖν; Ὁ δὲ Ἀβραὰμ πόθεν εὐδοκίμησεν; οὐκ ἀπὸ τῆς ἀγάπης, τὰ περὶ τὸν ἀδελφιδοῦν διαπραξάμενος, τὰ περὶ τὴν ἱκετηρίαν τὴν ὑπὲρ τῶν Σοδομιτῶν; Σφόδρα γάρ, σφόδρα φιλόστοργοι ἦσαν οἱ ἅγιοι, καὶ συμπαθητικοί. Ἐννόησον γάρ μοι· ὁ πυρὸς κατατολμῶν Παῦλος, ὁ ἀδαμάντινος, ὁ στερρός, ὁ ἀκλινής, ὁ πάντοτε συγκεκροτημένος, ὁ καθηλωμένος τῷ φόβῳ τοῦ Θεοῦ, ὁ ἀκαμπής· «Τίς γὰρ ἡμᾶς», φησί, «χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;» ὁ τούτων ἁπάντων κατατολμῶν, καὶ γῆς καὶ θαλάσσης, ὁ τῶν ἀδαμαντίνων τοῦ θανάτου πυλῶν καταγελῶν, ὃν οὐδὲν ὑφίστατο ὅλως· οὗτος ἐπειδή τινων ἀγαπητῶν εἶδε δάκρυα, οὕτω κατεκλάσθη καὶ συνετρίβη ὁ ἀδάμας, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ' εἰπεῖν εὐθέως· «Τί ποιεῖται κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν;»

Τί λέγεις, εἰπέ μοι; ἐκείνην τὴν ἀδαμαντίνην ψυχὴν συντρῖψαι δάκρυον ἴσχυε; Ναί, φησι· πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης· αὕτη μου περιγίνεται καὶ κρατεῖ. Τοῦτο τῷ Θεῷ δοκεῖ. Ἄβυσσος αὐτὸν οὐ συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψε. «Τί ποιεῖτε συντρίβοντές μου τὴν καρδίαν;». Πολλὴ γὰρ αὐτῆς ἡ ἰσχύς. Οὐχ ὁρᾷς αὐτὸν πάλιν κλαίοντα; Τί κλαίεις, εἰπέ μοι; «Τριετίαν νύκτα καὶ ἡμέραν», φησίν, «οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον». Ἀπὸ πολλῆς ἀγάπης ἐδεδοίκει, μή τις ἐπεισέλθῃ λύμη. Καὶ πάλιν· «Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. Τί δὲ ὁ Ἰωσήφ, εἰπέ μοι, ὁ στερρός, ὁ πρὸς τυραννίδα τοσαύτην στάς, ὁ πρὸς τοσαύτην ἔρωτος πυρὰν οὕτω γενναῖος ὀφθείς, ὁ οὕτω

18. Ἀνεψιὸς τοῦ Ἀβραὰμ ἦταν ὁ Λώτ.
19. Ρωμ. 8,35
20. Πράξ. 21,13
21. Πράξ. 20,31
22. Β΄ Κορ. 2,4

εὐάρεστοι στὸν Θεὸ ἀπὸ τὴν ἀγάπη πρὸς τὸν πλησίον. Ἀπὸ ποῦ ἐσκοτώθηκε καὶ δὲν ἐσκότωσε ὁ Ἄβελ; Ἀπὸ τὴν ὑπερβολικὴ ἀγάπη του πρὸς τὸν ἀδελφό του, οὔτε ἐδέχετο νὰ κάμη τέτοια σκέψι. Ἀπὸ ποῦ ἐδέχθηκε ὁ Κάιν τὴν καταστροφὴ τοῦ φθόνου; γιατὶ δὲν θὰ ἠμποροῦσα νὰ εἰπῶ στὴ συνέχεια αὐτὸν ἀδελφὸ τοῦ Ἄβελ. Ἐπειδὴ δὲν εἶχαν στηριχθῆ σταθερὰ τὰ θεμέλια τῆς ἀγάπης ἀπὸ αὐτόν. Ἀπὸ ποῦ εὐδοκίμησαν τὰ παιδιὰ τοῦ Νῶε; ὄχι ἐπειδὴ ἀγαποῦσαν ὑπερβολικὰ τὸν πατέρα τους καὶ δὲν ὑπέφεραν νὰ ἰδοῦν τὴ γύμνωσι; Ὁ ἄλλος ὅμως ἀπὸ ποῦ καταράσθηκε; ὄχι ἀπὸ τὸ ὅτι δὲν ἀγαποῦσε; Καὶ ὁ Ἀβραὰμ ἀπὸ ποῦ εὐδοκίμησε; ὄχι ἀπὸ τὴν ἀγάπη ἀφοῦ ἔκαμε τὰ σχετικὰ γιὰ τὸν ἀνεψιό του[18] καὶ τὴν προσευχὴ γιὰ τοὺς κατοίκους τῶν Σοδόμων; Πάρα πολὺ λοιπόν, ὑπερβολικὰ πολὺ ἦσαν οἱ ἅγιοι φιλόστοργοι καὶ συμπονετικοί. Σκέψου ἀκόμη, παρακαλῶ· πῶς συμπεριφέρεται ἀπὸ ἀγάπη ὁ Παῦλος, αὐτὸς ποὺ περιφρονεῖ τὴ φωτιά, ὁ ἀδαμάντινος, ὁ σταθερός, ὁ εὐθύς, αὐτὸς ποὺ εἶναι ἔμπειρος σὲ ὅλα, ὁ καθηλωμένος στὸ φόβο τοῦ Θεοῦ, ὁ ἄκαμπτος. «Γιατὶ ποιός», λέγει, «θὰ μᾶς χωρίση ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ; ἡ θλίψις ἢ ἡ στενοχώρια ἢ ὁ διωγμὸς ἢ ἡ πείνα ἢ ἡ γύμνια ἢ ὁ κίνδυνος ἢ τὸ μαχαίρι;»[19]. Αὐτὸς ποὺ καταφρονεῖ ὅλα αὐτά, καὶ τὴ γῆ καὶ τὴ θάλασσα, αὐτὸς ποὺ περιφρονεῖ τὶς ἀδαμάντινες πύλες τοῦ θανάτου, τὸν ὁποῖο τίποτε γενικὰ δὲν κατέβαλε, ὅταν εἶδε τὰ δάκρυα κάποιων ἀγαπημένων του, τόσο ἐθλίβηκε καὶ συνετρίβηκε αὐτὸς ποὺ σὰν διαμάντι ἦταν σκληρός, ὥστε οὔτε ἔκρυψε τὸ πάθος του, ἀλλ' ἀμέσως εἶπε, «Γιατί κλαῖτε καὶ μὲ τὰ δάκρυά σας μοῦ συντρίβετε τὴν καρδιά;»[20].

Τί λέγεις, εἰπέ μου; τὸ δάκρυ μπόρεσε νὰ συντρίψη τὴ σκληρὴ ἐκείνη ψυχή; Βεβαιότατα, λέγει· γιατὶ σὲ ὅλα ἀντέχω, ἐκτὸς ἀπὸ τὴν ἀγάπη· αὐτὴ μὲ καταβάλλει καὶ μὲ νικᾶ. Αὐτὸ ἀρέσει στὸν Θεό. Ἡ ἄβυσσος τῶν ὑδάτων δὲν συνέτριψε αὐτὸν καὶ τὸν συνέτριψαν τὰ λίγα δάκρυα. «Γιατὶ μοῦ συντρίβετε τὴν καρδιά;». Εἶναι πράγματι μεγάλη ἡ δύναμις τῆς ἀγάπης. Δὲν βλέπεις αὐτὸν νὰ κλαίη πάλι; Γιατί κλαῖς, εἰπέ μου; «Γιὰ τρία χρόνια νύχτα καὶ ἡμέρα», λέγει, «δὲν ἐσταμάτησα μὲ δάκρυα νὰ νουθετῶ καθένα χωριστά»[21]. Ἀπὸ πολλὴ ἀγάπη ἐφοβεῖτο, μήπως ἔλθη καμμία καταστροφή. Καὶ πάλι λέγει, «Γιατὶ σᾶς ἔγραψα μὲ πολλὰ δάκρυα, ἀπὸ πολλὴ θλίψι καὶ στενοχώρια καρδιᾶς»[22]. Καὶ τί ὁ Ἰωσήφ, εἰπέ μου, ὁ σταθερός, ὁ ὁποῖος ἀντιστάθηκε σὲ τόσο μεγάλη τυραννία, ὁ ὁποῖος ἐφάνηκε τόσο γενναῖος στὴ μεγάλη φωτιὰ τοῦ ἔρωτα, ὁ ὁποῖος μὲ τόση

καταγωνισάμενος καὶ καταπαλαίσας τῆς δεσποίνης τὴν μανίαν; Τί γὰρ οὐκ ἔθελγε τότε; ὄψις εὐπρεπής, ἀξιώματος τῦφος, ἱματίων πολυτέλεια, ἀρωμάτων ἀνθοσμία (καὶ γὰρ καὶ ταῦτα καταμαλάττειν οἶδε ψυχήν), ῥήματα πάντων μαλακώτερα; Ἴστε γὰρ ὅτι ἡ ἐρῶσα, καὶ οὕτω σφοδρῶς, οὐδὲν ταπεινὸν παραιτήσεται εἰπεῖν, σχῆμα ἱκέτιδος ἀναλαβοῦσα. Οὕτω γὰρ κατεκλάσθη ἡ χρυσοφοροῦσα γυνή, καὶ ἐν ἀξιώματι οὖσα βασιλικῷ, ὡς τοῦ παιδὸς τοῦ αἰχμαλώτου πρὸς τὰ γόνατα ἴσως ἑαυτὴν ῥῖψαι, ἴσως δὲ καὶ παρακαλέσαι δακρύουσαν καὶ τῶν γονάτων ἁπτομένην, καὶ τοῦτο οὐχ ἅπαξ, οὐ δεύτερον, ἀλλὰ πολλάκις μηχανησαμένην. Ἐνῆν καὶ ὀφθαλμὸν ἰδεῖν τότε μάλιστα λάμποντα· οὐ γὰρ ἁπλῶς εἰκὸς αὐτήν, ἀλλὰ μετὰ πολλῆς τῆς περιεργείας καλλωπίζεσθαι, ἅτε βουλομένην πολλοῖς τοῖς δικτύοις ἑλεῖν τὸ ἀρνίον τοῦ Χριστοῦ. Πρόσθες μοι ἐνταῦθα καὶ μαγείας πολλάς.

Ἀλλ' ὅμως ὁ ἀκαμπὴς οὗτος, ὁ στερρός, ὁ πεπετρωμένος, ἐπειδὴ τοὺς ἀδελφοὺς εἶδε τοὺς ἀπεμπολήσαντας, τοὺς εἰς λάκκον βαλόντας, τοὺς ἀποδομένους, τοὺς καὶ ἀποκτεῖναι βουληθέντας, τοὺς καὶ τοῦ δεσμωτηρίου καὶ τῆς τιμῆς γενομένους αἰτίους· ἐπειδὴ ἤκουσε παρ' αὐτῶν, ἃ τὸν πατέρα διέθηκαν· «Εἴπομεν» γάρ, φησίν, «ὅτι ὁ εἷς θυριόβρωτος γέγονε»· κατεκλάσθη, συνεμαλάχθη, συνετρίβη. «Καὶ ἔκλαυσε, φησί, καὶ μὴ φέρων τὸ πάθος, εἰσελθὼν ἐνεκρατεύσατο», τουτέστιν, ἀπεμάξατο. Τί τοῦτο; δακρύεις, ὦ Ἰωσήφ; Καὶ μὴν οὐκ ἄξια τὰ παρόντα δακρύων, ἀλλ' ὀργῆς καὶ θυμοῦ καὶ ἀγανακτήσεως, μεγάλης τιμωρίας καὶ ἀνταποδόσεως. Ἔχεις εἰς χεῖρας τοὺς ἐχθρούς, τοὺς ἀδελφοκτόνους, δύνασαι τὸν θυμὸν ἐμπλῆσαι. Καίτοι οὐδὲ τοῦτο ἀδικία· οὐ γὰρ αὐτὸς ἄρχεις χειρῶν ἀδίκων, ἀλλ' ἀμύνῃ τοὺς ἠδικηκότας. Μὴ γάρ μοι πρὸς τὸ ἀξίωμα ἴδῃς· οὐ τῆς ἐκείνων ἐγένετο γνώμης, ἀλλὰ τοῦ Θεοῦ τοῦ καταχέαντός σοι τὴν χάριν. Τί κλαίεις; Ἀλλ' εἶπεν ἄν· μή μοι γένοιτο ἐν πᾶσιν εὐδοκιμήσαντι πάντα καταλῦσαι ἐκεῖνα διὰ ταύτης τῆς μνησικακίας· δακρύων ὄντως καιρός· οὐκ εἰμὶ τῶν θηρίων ἀλογώτερος· ἐκεῖνα πρὸς τὴν φύσιν σπένδεται, κἂν ὁτιοῦν πάθῃ δεινόν. Κλαίω, φησίν, ὅτι με ὅλως τοιαῦτα διέθηκαν.

23. Γεν. 44,28
24. Γεν. 43,29.30

ἐπιτυχία ἐπολέμησε καὶ ἐνίκησε τὴ μανία τῆς συζύγου τοῦ βασιλέως; Γιατὶ τί δὲν θὰ τὸν ἔθελγε τότε; ἡ καλὴ ἐμφάνισις, ἡ ἀλαζονεία τοῦ ἀξιώματος, ἡ πολυτέλεια τῶν ἐνδυμάτων, τὰ μυρωδᾶτα ἀρώματα (γιατὶ καὶ αὐτὰ γνώριζε ὅτι κάνουν μαλακὴ τὴν ψυχή), τὰ λόγια ποὺ ἦταν πιὸ γλυκὰ ἀπὸ ὅλα αὐτά; Γιατὶ γνωρίζετε ὅτι ἐκείνη ποὺ ἀγαπᾶ, καὶ μάλιστα τόσο πολύ, κανένα ταπεινὸ δὲν θὰ ἀποφύγη νὰ εἰπῆ, ἀφοῦ ἀναλάβη μορφὴ ἱκέτιδας. Γιατὶ ἔτσι ἐκμηδενίσθηκε ἡ γυναῖκα ποὺ ἐφοροῦσε χρυσὰ καὶ εἶχε βασιλικὸ ἀξίωμα, ὥστε ἴσως καὶ νὰ ἐγονάτισε ἐνώπιον τοῦ αἰχμαλώτου παιδιοῦ καὶ ἴσως ἐπαρακάλεσε δακρύζοντας καὶ ἐγγίζοντας τὰ γόνατά του, καὶ αὐτὸ ὄχι μία, οὔτε δύο, ἀλλὰ πολλὲς φορὲς θὰ τὸ ἔκαμε. Ἦταν δυνατὸ νὰ ἰδῆ κανεὶς καὶ τὸ μάτι της τότε νὰ εἶναι πάρα πολὺ σπινθηροβόλο, γιατὶ ἦταν ἑπόμενο νὰ μὴ στολίζεται ἁπλῶς, ἀλλὰ μὲ πολλὴ προσοχή, ἐπειδὴ ἤθελε μὲ πολλὰ δίκτυα νὰ συλλάβη τὸ ἀρνὶ τοῦ Χριστοῦ. Πρόσθεσε ἐδῶ, παρακαλῶ, καὶ πολλὲς μαγεῖες.

Ἀλλ' αὐτὸς ὅμως ὁ ἄκαμπτος, ὁ σταθερός, ὁ σκληρὸς σὰν πέτρα, ὅταν εἶδε τοὺς ἀδελφούς του ποὺ τὸν ἐπρόδωσαν, ποὺ τὸν ἔβαλαν σὲ λάκκο, ποὺ τὸν ἐπώλησαν, ποὺ ἠθέλησαν ἀκόμη καὶ νὰ τὸν θανατώσουν, ποὺ ἔγιναν οἱ αἴτιοι καὶ τῆς φυλακῆς του καὶ τῆς δόξας του, ὅταν ἄκουσε ἀπὸ αὐτοὺς ἐκεῖνα, ποὺ διηγήθηκαν στὸν πατέρα, «Γιατὶ εἴπαμε», λέγει, «ὅτι ὁ ἕνας ἔχει φαγωθῆ ἀπὸ τὰ θηρία»[23], συντρίφθηκε, λυπήθηκε, καὶ ἀνακουφίσθηκε συγχρόνως. «Καὶ ἐδάκρυσε», λέγει, «καὶ μὴ ἀντέχοντας τὸ συμβάν, ἀφοῦ εἰσῆλθε στὸ δωμάτιό του συγκρατήθηκε»[24], δηλαδὴ ἐκαθάρισε τὰ δάκρυα. Τί εἶναι τοῦτο; δακρύζεις, Ἰωσήφ; Ἀλλ' ὅμως τὰ συμβαίνοντα τώρα δὲν εἶναι ἄξια γιὰ δάκρυα, ἀλλὰ γιὰ ὀργὴ καὶ θυμὸ καὶ ἀγανάκτησι, γιὰ μεγάλη τιμωρία καὶ ἀνταπόδοσι. Ἔχεις στὰ χέρια σου τοὺς ἐχθρούς, τοὺς ἀδελφοκτόνους, μπορεῖς νὰ ἱκανοποιήσης τὸ θυμό σου. Ἂν καὶ αὐτὸ δὲν εἶναι ἀδικία, ἐπειδὴ δὲν ἀρχίζεις ἐσὺ πρῶτος τὶς ἀδικίες, ἀλλὰ ἐκδικεῖσαι αὐτοὺς ποὺ σὲ ἔχουν ἀδικήσει. Μὴ ἀποβλέπης λοιπόν, παρακαλῶ, πρὸς τὸ ἀξίωμά σου. Δὲν ἔγιναν ἐκεῖνα σύμφωνα μὲ τὴν δική τους γνώμη, ἀλλὰ μὲ τὴ γνώμη τοῦ Θεοῦ, ὁ ὁποῖος πλουσιοπάροχα σοῦ ἐσκόρπισε τὴ χάρι του. Γιατί κλαῖς; Ἀλλὰ θὰ ἔλεγε· νὰ μὴ μοῦ συμβῆ, ἀφοῦ εὐδοκίμησα σὲ ὅλα, νὰ διαλύσω ὅλα ἐκεῖνα μὲ αὐτὴν τὴ μνησικακία, εἶναι πραγματικὰ καιρὸς γιὰ δάκρυα, δὲν εἶμαι πιὸ ἀνόητος ἀπὸ τὰ θηρία, τὰ ὁποῖα πρὸς τὴ φύσι κάνουν σπονδές, ὁποιοδήποτε καὶ ἂν πάθουν κακό. Κλαίω, λέγει, γιατὶ μὲ μετεχειρίσθηκαν ἐξ ὁλοκλήρου μὲ τέτοιο τρόπο.

Τοῦτον καὶ ἡμεῖς μιμώμεθα, καὶ πενθῶμεν καὶ δακρύωμεν τοὺς ἠδικηκότας· μὴ ὀργιζώμεθα πρὸς αὐτούς· ὄντως γὰρ δακρύων ἄξιοι, ἧς ἑαυτοὺς τιμωρίας καὶ καταδίκης ὑπευθύνους καθιστῶσιν. Οἶδα πῶς κλαίετε νῦν, πῶς χαίρετε, καὶ τὸν Παῦλον θαυμάζοντες, καὶ τὸν Ἰωσὴφ ἐκπληττόμενοι καὶ μακαρίζοντες. Ἀλλ' εἴ τις ἐχθρὸν ἔχει, εἰς μνήμην αὐτὸν νῦν λαμβανέτω, εἰς νοῦν βαλλέσθω· ἵνα, ὡς ἔτι ζεῖ τῇ μνήμῃ τῶν ἁγίων ἡ καρδία, δυνηθῇ τὸ πεπηγὸς τῆς μήνιδος λῦσαι, καὶ τὸ τραχὺ καὶ ἀπεσκληκὸς καταμαλάξαι. Οἶδα ὅτι μετὰ τὴν ἐνεῦθεν ἔξοδον, μετὰ τὸ παύσασθαί με λέγοντα, κἂν ἀπομείνῃ τι τῆς θέρμης καὶ τῆς ζέσεως, οὐ τοσοῦτόν ἐστιν, ὅσον νῦν ἐν τῇ ἀκροάσει. Εἴ τις οὖν, εἴ τις κατέψυκται, λυέτω τὴν πάχνην· πάχνη γὰρ ὄντως καὶ κρυμὸς ἡ μνησικακία. Ἀλλὰ καλέσωμεν τὸν ἥλιον τῆς δικαιοσύνης, ἀξιώσωμεν αὐτὸν ἐπαφεῖναι τὰς ἀκτῖνας, καὶ οὐκέτι ἔσται πάχνη παχεῖα, ἀλλ' ὕδωρ πότιμον. Ἂν ἄψηται τὸ τοῦ ἡλίου τῆς δικαιοσύνης πῦρ τῆς ἡμετέρας ψυχῆς, οὐδὲν ἐάσει πεπηγὸς οὐδὲ σκληρόν, οὐδὲ καυστικόν, οὐδὲ ἄκαρπον· πάντα ὥριμα, πάντα γλυκέα, πάντα πολλῆς γέμοντα τῆς ἡδονῆς ἐπιδείξει.

Ἂν ἀγαπῶμεν ἀλλήλους, ἥξει κἀκείνη ἡ ἀκτίς. Δότε μοι, παρακαλῶ, μετὰ προθυμίας ταῦτα λέγειν· ποιήσατέ με ἀκοῦσαι ὅτι ἀπὸ τῶν ῥημάτων τούτων ἠνύσαμέν τι· ὅτι ἐχθρόν τις ἀπελθὼν εὐθέως περιέλαβεν ἄμφω τὼ χεῖρε, περιεπλάκη, περιεχύθη, κατεφίλησεν, ἐδάκρυσε. Κἂν θηρίον ἐκεῖνος ᾖ, κἂν λίθος, κἂν ὁτιοῦν, ὑπὸ τοσαύτης φιλοφροσύνης ἡμερωθήσεται. Διὰ τί γάρ σου ἐχθρός ἐστιν; Ὕβρισέ σε; ἀλλ' οὐδὲν ἠδίκησεν. Ἀλλὰ χρημάτων ἕνεκεν περιορᾷς τὸν ἀδελφὸν ἐχθραίνοντα; μή, παρακαλῶ. Πάντα λύσωμεν· ἡμέτερος ὁ καιρός· χρησώμεθα αὐτῷ εἰς δέον. Τὰ σχοινία τῶν ἁμαρτημάτων διακόψωμεν· πρὶν ἢ ἀπελθεῖν εἰς τὸ κριτήριον, αὐτοὶ κρίνωμεν ἀλλήλους. «Ὁ ἥλιος», φησί, «μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». Μηδεὶς ἀναβαλλέσθω· αἱ ἀναβολαὶ μελλήσεις τίκτουσιν. Ἂν σήμερον ὑπέρθῃ μᾶλλον ἐρυθριᾷς· κἂν αὔριον προσθῇς, μείζων ἡ αἰσχύνη· κἂν τὴν τρίτην, ἔτι πλέον.

---

25. Ἐφ. 4,26. Δηλαδή, νὰ συμφιλιώνεσθε προτοῦ ἔλθη ἡ νύκτα.

Ἂς μιμούμεθα καὶ ἐμεῖς αὐτόν, καὶ ἂς πενθοῦμε καὶ κλαῖμε ἐκείνους ποὺ μᾶς ἔχουν ἀδικήσει· ἂς μὴ ὀργιζώμασθε ἐναντίον τους, γιατὶ πράγματι ἀξίζουν γιὰ δάκρυα, τῆς ὁποίας τιμωρίας καὶ καταδίκης καθιστοῦν ὑπεύθυνο τὸν ἑαυτό τους. Γνωρίζω, πὼς κλαῖτε τώρα, πὼς χαίρεσθε, πὼς καὶ τὸν Παῦλο θαυμάζετε, καὶ ὁ Ἰωσὴφ σᾶς προκαλεῖ κατάπληξι καὶ τὸν μακαρίζετε. Ἀλλὰ ἐὰν ἔχη κάποιος ἐχθρό, ἂς τὸν ἐνθυμῆται τώρα, ἂς τὸν βάλη στὸ νοῦ του, ὥστε, καθὼς ἀκόμη ἡ καρδιά του ζῆ τὴν ἀνάμνησι τῶν ἁγίων, νὰ μπορέση νὰ διαλύση τὴν ψυχρότητα τοῦ μίσους καὶ νὰ μαλακώση τὴν τραχύτητα καὶ σκληρότητά του. Γνωρίζω ὅτι μετὰ τὴν ἔξοδό σας ἀπὸ ἐδῶ, ἀφοῦ σταματήσω ἐγὼ νὰ ὁμιλῶ, καὶ ἂν ἀκόμη ἀπομείνη κάτι ἀπὸ τὴν προθυμία καὶ τὸ ζῆλο, δὲν εἶναι τόσο, ὅσο εἶναι τώρα κατὰ τὴν ἀκρόασι τοῦ λόγου. Ἐὰν λοιπὸν κάποιος, ἐὰν κάποιος ἔχει ψυχρανθῆ πολύ, ἂς διαλύση τὴν πάχνη, γιατὶ πράγματι πάχνη καὶ πάγος εἶναι ἡ μνησικακία. Ἂς καλέσωμε ὅμως τὸν ἥλιο τῆς δικαιοσύνης, ἂς ἀξιώσωμε ἀπὸ αὐτὸν νὰ ἀποστείλη τὶς ἀκτῖνες του, καὶ δὲν θὰ ὑπάρχη πιὰ πυκνὴ πάχνη, ἀλλὰ πόσιμο νερό. Ἂν ἡ θερμότητα τοῦ ἡλίου τῆς δικαιοσύνης ἐγγίση τὴν ἰδική μας ψυχή, δὲν θὰ ἀφήση τίποτε ψυχρό, τίποτε σκληρό, τίποτε ἐρεθιστικό, οὔτε ἄχρηστο· θὰ παρουσιάση ὅλα ὥριμα, ὅλα γλυκά, ὅλα γεμᾶτα ἀπὸ πολλὴ ἡδονή.

Ἂν ἀγαπᾶμε ὁ ἕνας τὸν ἄλλο, θὰ ἔλθη καὶ ἡ ἀκτῖνα ἐκείνη. Ἐπιτρέψατέ μου, παρακαλῶ, νὰ λέγω μὲ προθυμία αὐτά· κάμετε νὰ ἀκούσω ὅτι ἀπὸ τὰ λόγια τοῦτα ἐκερδίσαμε κάτι, ὅτι τὸν ἐχθρό του κάποιος ὅταν ἔφυγε, ἀμέσως μὲ τὰ δυό του χέρια τὸν ἔπιασε, τὸν ἐπῆρε στὴν ἀγκαλιά του, τὸν περιέβαλε μὲ στοργή, τὸν ἐφίλησε, ἐδάκρυσε. Καὶ εἴτε εἶναι θηρίο ἐκεῖνος, εἴτε εἶναι πέτρα, εἴτε εἶναι ὁ,τιδήποτε ἄλλο, θὰ ἡμερωθῆ ἀπὸ τόσο μεγάλη φιλικὴ διάθεσι. Καὶ γιατί εἶναι ἐχθρός σου; Σὲ ὕβρισε; ὅμως δὲν σὲ ἀδίκησε καθόλου. Ἀλλὰ ἐξ αἰτίας τῶν χρημάτων ἀνέχεσαι τὸν ἀδελφό σου νὰ εἶναι ἐχθρός; μὴ κάνεις αὐτό, παρακαλῶ. Ἂς διαλύσωμε τὰ πάντα, δικός μας εἶναι ὁ καιρός, ἂς τὸν χρησιμοποιήσωμε ὅπως πρέπει. Ἂς κόψωμε ἐντελῶς τὰ σχοινιὰ τῶν ἁμαρτημάτων μας. Προτοῦ ἀπέλθωμε στὸ δικαστήριο, οἱ ἴδιοι ἂς κρίνωμε ὁ ἕνας τὸν ἄλλο. «Ὁ ἥλιος», λέγει, «νὰ μὴ δύση, ἐὰν ὀργισθῆτε μεταξύ σας»[25]. Ἂς μὴ ἀναβάλλη κανείς, οἱ ἀναβολὲς προκαλοῦν ἀπώλεια χρόνου. Ἂν σήμερα ἀναβάλης, περισσότερο κοκκινίζεις ἀπὸ ἐντροπή· καὶ ἂν ἀκόμη προσθέσης τὸ αὔριο, εἶναι πιὸ μεγάλη ἡ ἐντροπή, καὶ ἂν ἀκόμη τὴν τρίτη ἡμέρα, ἀκόμη πιὸ πολύ.

Μὴ δὴ καταισχύνωμεν ἑαυτούς, ἀλλ' ἀφῶμεν, ἵνα ἀφεθῇ ἡμῖν. Εἰ δὲ ἀφεθῇ, πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἂς μὴ ἐντροπιάζωμε λοιπὸν τοὺς ἑαυτούς μας, ἀλλὰ ἂς συγχωροῦμε, γιὰ νὰ μᾶς συγχωρηθοῦν τὰ ἁμαρτήματα. Καὶ ἐὰν μᾶς συγχωρηθοῦν, θὰ ἐπιτύχωμε ὅλα τὰ ἀγαθά, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ε΄
(Α΄ Θεσ. 4, 1–8)

«Τὸ λοιπόν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ περιπατεῖν ὑμᾶς, καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον. Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τοῦτο γάρ ἐστι θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν».

1. Ὅταν πρὸς τὰ κατεπείγοντα στῇ καὶ πρὸς τὰ ἐν χερσί, καὶ μέλλῃ εἰς τὰ διηνεκῆ ἐμβαίνειν λοιπόν, καὶ ἃ συνεχῶς ἀκοῦσαι χρή, τοῦτο προτίθησι τὸ ῥῆμα, «τὸ λοιπόν», τουτέστιν, ἀεὶ καὶ εἰς τὸ διηνεκές. «Ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ». Βαβαί, οὐδὲ πρὸς τὸ παρακαλεῖν ἑαυτὸν ἀξιόπιστον εἶναί φησι· καίτοι τίς οὕτως ἀξιόπιστος ἦν; ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει. Διὰ τοῦ Θεοῦ παρακαλοῦμεν ὑμᾶς, φησίν. Ὃ καὶ πρὸς Κορινθίους ἔλεγεν· «Ὁ Θεὸς ὑμᾶς παρακαλεῖ δι' ὑμῶν». «Ἵνα καθὼς παρελάβετε παρ' ἡμῶν». Τό, «παρελάβετε», οὐχὶ ῥημάτων ἐστὶ μόνον, ἀλλὰ καὶ πραγμάτων. «Τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν». Πᾶσαν ἐν τούτῳ τὴν ἀναστροφὴν τοῦ βίου δηλοῖ. «Καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον»· τουτέστιν, ἵνα ἐκ πλείονος περιουσίας μὴ μέχρι τῶν ἐντολῶν ἱστᾶσθε, ἀλλ' ἵνα καὶ ὑπερβαίνητε· τοῦτο γάρ ἐστι τό, «ἵνα περισσεύητε». Ἐν μὲν γὰρ τοῖς προάγουσι τῆς πίστεως αὐτῶν τῆς στερρᾶς τὸ θαῦμα ἀποδέχεται· ἐνταῦθα δὲ ῥυθμίζει τὸν βίον. Τοῦτο γὰρ προκοπή, τὸ καὶ ὑπερβαίνειν τὰς ἐντολὰς καὶ τὰ ἐπιτάγματα· οὐκέτι γὰρ ἀπὸ τῆς διδασκαλικῆς ἀνάγκης, ἀλλ' ἀπὸ τῆς οἰκείας προαιρέσεως γίνεται τὸ πᾶν. Καθάπερ γὰρ τὴν γῆν οὐ τὰ καταβληθέντα δεῖ φέρειν μόνον, οὕτω καὶ τὴν ψυχὴν οὐ μέχρις ἐκείνων ἵστασθαι τῶν καταβληθέντων, ἀλλ' ὑπερβαίνειν.

ΟΜΙΛΙΑ Ε΄
(Α΄ Θεσ. 4,1 – 8)

«Στὸ ἑξῆς λοιπόν, ἀδελφοί, σᾶς παρακαλοῦμε καὶ σᾶς προτρέπουμε στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καθὼς παρελάβατε ἀπὸ μᾶς τὸ πῶς πρέπει νὰ συμπεριφέρεσθε καὶ νὰ ἀρέσετε στὸν Θεό, γιὰ νὰ περισσεύετε περισσότερο. Γιατὶ γνωρίζετε, ποιὲς παραγγελίες σᾶς ἐδώσαμε διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Γιατὶ τοῦτο εἶναι τὸ θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμός σας».

1. Ὅταν τελειώση τὰ κατεπείγοντα θέματα καὶ τὰ καθημερινά, καὶ πρόκειται στὸ ἑξῆς νὰ εἰσέλθη στὰ παντοτινὰ καὶ ποὺ πρέπει συνεχῶς νὰ ἀκούουν, προτάσσει αὐτὴ τὴ λέξι, «στὸ ἑξῆς», δηλαδὴ πάντοτε καὶ διαρκῶς. «Σᾶς παρακαλοῦμε καὶ σᾶς προτρέπομε στὸ ὄνομα τοῦ Κυρίου». Ἀλλοίμονο, οὔτε γιὰ προτροπὲς λέγει, ὅτι δὲν εἶναι ὁ ἴδιος ἀξιόπιστος· ἂν καὶ ποιός ἦταν τόσο ἀξιόπιστος; ἀλλὰ προσκαλεῖ τὸν Χριστό. Σᾶς προτρέπομε διὰ μέσου τοῦ Θεοῦ, λέγει. Αὐτὸ καὶ πρὸς τοὺς Κορινθίους ἔλεγε· «Ὁ Θεὸς σᾶς προτρέπει μὲ μᾶς». «Ὥστε καθὼς παρελάβετε ἀπὸ μᾶς». Τὸ «παρελάβετε», δὲν ἀναφέρεται μόνο στὰ λόγια, ἀλλὰ καὶ στὰ ἔργα. «Τὸ πῶς πρέπει νὰ συμπεριφέρεσθε». Μὲ αὐτὸ δηλώνει κάθε συμπεριφορὰ τῆς ζωῆς. «Καὶ νὰ ἀρέσετε στὸν Θεό, γιὰ νὰ περισσεύετε περισσότερο». Δηλαδή, γιὰ νὰ ἔχετε πιὸ μεγάλη ὠφέλεια νὰ μὴ περιορίζεσθε στὶς ἐντολές, ἀλλὰ καὶ νὰ τὶς ὑπερβαίνετε, γιατὶ τοῦτο σημαίνει τό, «γιὰ νὰ περισσεύετε». Ἀνάμεσα σὲ ἐκεῖνα ποὺ προάγουν τὴ σταθερή τους πίστι ἀποδέχεται τὸ θαῦμα, ἐδῶ ὅμως ρυθμίζει τὴ ζωή τους. Γιατὶ αὐτὸ εἶναι προκοπή, τὸ νὰ ὑπερβαίνη κανεὶς τὶς ἐντολὲς καὶ τὶς διαταγές. Βέβαια ὄχι ἀπὸ πίεσι τοῦ διδασκάλου, ἀλλὰ ἀπὸ ἰδική του προαίρεσι γίνεται τὸ καθετί. Γιατὶ ὅπως ἡ γῆ δὲν πρέπει νὰ παράγη μόνο τὰ σπέρματα, ἔτσι καὶ ἡ ψυχὴ δὲν πρέπει νὰ περιορισθῆ στὰ σπέρματα ἐκεῖνα, ἀλλὰ πρέπει νὰ τὰ ὑπερβαίνη.

Ὁρᾷς ὅτι εἰκότως εἶπεν, ὑπερβαίνειν; Εἰς δύο γὰρ ταῦτα ἀρετὴ διῄρηται, εἰς τὸ ἐκκλίνειν ἀπὸ καλοῦ, καὶ ποιῆσαι ἀγαθόν. Οὐ γὰρ ἀρκεῖ τῶν κακῶν ἡ ἀναχώρησις εἰς τὴν τῆς ἀρετῆς προσαγωγήν, ἀλλ' ὁδὸς μέν τίς ἐστι καὶ ἀρχὴ ἐκεῖ φέρουσα, δεῖ δὲ πολλῆς ὑμῖν τῆς προθυμίας. Τὰ μὲν οὖν φευκτέα ἐν τάξει παραγγελίας αὐτοῖς λέγει, εἰκότως· ταῦτα γὰρ πραττόμενα μὲν φέρει κόλασιν, μὴ πραττόμενα δέ, οὐδὲν ἐγκώμιον. Τὰ μέντοι τῆς ἀρετῆς, οἷον τὸ κενῶσαι τὰ χρήματα, καὶ ὅσα τοιαῦτα, οὐκέτι ἐν παραγγελίας τάξει φησίν, ἀλλὰ τί; «Ὁ δυνάμενος χωρεῖν χωρείτω». Εἰκὸς οὖν αὐτὸν μετὰ πολλοῦ φόβου καὶ τρόμου παρηγγελκέναι αὐτοῖς, καὶ ἀναμιμνήσκειν διὰ τῶν γραμμάτων τούτων ἐκείνης αὐτοὺς τῆς εὐλαβείας. Διόπερ οὐ τίθησιν αὐτά, ἀλλ' αὐτοὺς ἀναμιμνήσκει. «Οἴδατε» γάρ, φησί, «τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τοῦτο γάρ ἐστι θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν». Καὶ θέα πῶς οὐδαμοῦ περὶ ἄλλου τινὸς οὕτω σφοδρῶς αἰνίττεται, ὡς περὶ τούτου· καθάπερ καὶ ἀλλαχοῦ γράφων, φησίν· «Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Καὶ τί θαυμάζεις, εἰ τοῖς μαθηταῖς πανταχοῦ περὶ τούτου γράφει, ὅπου γε καὶ Τιμοθέῳ γράφων ἔλεγε· «Σαυτὸν ἁγνὸν τήρει»; Καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐπιστολῇ τῇ πρὸς Κορινθίους γράφων ἔλεγεν· «Ἐν ὑπομονῇ πολλῇ, ἐν νηστείαις, ἐν ἁγνότητι». Καὶ πολλαχοῦ ἄν τις εὕροι τοῦτο, καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, καὶ πανταχοῦ, καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς. Ὄντως γὰρ πᾶσι τοῦτο λυμαίνεται τὸ κακόν· καὶ καθάπερ χοῖρος βορβόρου πεπληρωμένος, οὗ δ' ἂν εἰσέλθῃ, δυσωδίας ἐνέπλησεν ἅπαντα, καὶ τὰς αἰσθήσεις ἐπλήρωσε κόπρου, οὕτω καὶ ἡ πορνεία· δυσέκνιπτόν ἐστι τὸ κακόν. Ὅταν δέ τινες καὶ γυναῖκας ἔχοντες τοῦτο πράττωσι, πόση τῆς ἀτοπίας ἡ ὑπερβολή;

2. «Τοῦτο γάρ ἐστι», φησί, «θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ πάσης πορνείας». Πολλὰ γὰρ εἴδη ἀταξίας, πολύτροποι καὶ ποικίλαι τῆς ἀσελγείας αἱ ἡδοναί, ἃς οὐδὲ εἰπεῖν ἀνεκτόν. Εἰπὼν δέ, «ἀπὸ πάσης πορνείας», καταλιμπάνει τοῖς εἰδόσιν. «Εἰδέναι ἕνα ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι

1. Β' Κορ. 5,20
2. Ματθ. 19,12
3. Ἑβρ. 12,14
4. Α' Τιμ. 5,22
5. Β' Κορ. 6,4 – 6

Βλέπεις ὅτι δικαιολογημένα εἶπε, νὰ ὑπερβαίνετε; Γιατὶ ἡ ἀρετὴ εἶναι διηρημένη σὲ αὐτὰ τὰ δύο, στὸ νὰ ἀποφεύγη κανεὶς τὸ κακὸ καὶ νὰ κάμνη τὸ καλό. Γιατὶ δὲν ἀρκεῖ ἡ ἀπομάκρυνσις τῶν κακῶν γιὰ τὴν προσέγγισι τῆς ἀρετῆς, ἀλλὰ εἶναι μὲν ἕνας δρόμος καὶ ἡ ἀρχὴ ὁδηγεῖ ἐκεῖ, χρειάζεται ὅμως ἡ μεγάλη μας προθυμία. Ἐκεῖνα λοιπὸν ποὺ πρέπει νὰ ἀποφεύγουν τὰ λέγει σ' αὐτοὺς μὲ τρόπο διαταγῆς, καὶ πολὺ εὔλογα· γιατὶ ὅταν γίνωνται αὐτὰ φέρουν τιμωρία, ὅταν ὅμως δὲν γίνωνται, δὲν φέρουν κανένα ἐγκώμιο. Τὰ ἔργα τῆς ἀρετῆς ὅμως, ὅπως τὸ νὰ ἐγκαταλείψη κανεὶς τὰ χρήματα καὶ ὅλα τὰ παρόμοια, δὲν τὰ λέγει πιὰ μὲ ἐπιτακτικὸ τρόπο, ἀλλὰ τί; «Ὅποιος μπορεῖ νὰ βαδίση τὸ δρόμο τῆς ἀρετῆς ἂς προχωρήση»[2]. Εἶναι λοιπὸν δικαιολογημένο ὅτι μὲ πολὺ φόβο καὶ τρόμο εἶχε παραγγείλει σ' αὐτοὺς καὶ ὅτι μὲ τὶς ἐπιστολές του αὐτὲς τοὺς ὑπενθύμιζε τὴν εὐλάβεια ἐκείνη. Γι' αὐτὸ ἀκριβῶς δὲν τὰ ἀναφέρει αὐτά, ἀλλὰ τοὺς τὰ ὑπενθυμίζει. «Γιατὶ γνωρίζετε», λέγει, «ποιὲς παραγγελίες σᾶς ἐδώσαμε διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Γιατὶ αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμός σας». Καὶ πρόσεχε πῶς πουθενὰ δὲν ὁμιλεῖ τόσο πολὺ μὲ ἀσάφεια γιὰ κάτι ἄλλο, ὅσο γι' αὐτό, καθὼς καὶ ὅταν γράφη ἀλλοῦ, λέγει· «Ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους, καὶ τὸν ἁγιασμό, ποὺ χωρὶς αὐτὸν κανεὶς δὲν θὰ ἰδῆ τὸν Κύριο»[3]. Καὶ τί θαυμάζεις, ἐὰν παντοῦ γι' αὐτὸ γράφη στοὺς μαθητές του, ἀφοῦ καὶ στὸν Τιμόθεο γράφοντας ἔλεγε, «Νὰ διατηρῆς τὸν ἑαυτό σου ἁγνό»[4]; Καὶ στὴ Β΄ πρὸς Κορινθίους ἐπιστολὴ γράφοντας ἔλεγε· «Μὲ ὑπομονὴ πολλή, μὲ νηστεῖες, μὲ ἁγνότητα»[5]. Καὶ σὲ πολλὰ σημεῖα θὰ μπορέση νὰ εὕρη κανεὶς αὐτό, καὶ στὴν πρὸς Ρωμαίους ἐπιστολή, καὶ παντοῦ, καὶ σὲ ὅλες τὶς ἐπιστολές. Πραγματικὰ λοιπὸν ὅλους τοὺς καταστρέφει αὐτὸ τὸ κακὸ ὅπως ὁ χοῖρος, ὅταν εἶναι γεμᾶτος ἀπὸ βοῦρκο, ὅπου καὶ ἂν ὑπάγη, τὰ ἐγέμισε ὅλα μὲ δυσωδία καὶ τὶς αἰσθήσεις ἐχόρτασε μὲ κοπριά, ἔτσι γίνεται καὶ μὲ τὴν πορνεία· δύσκολα ἐξαλείφεται τὸ κακό. Ὅταν ὅμως μερικοί, ἂν καὶ ἔχουν γυναῖκες, πράττουν αὐτό, πόσο μεγάλη εἶναι ἡ ἀνοησία;

2. «Γιατὶ αὐτό», λέγει, «εἶναι τὸ θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμός σας, δηλαδὴ νὰ ἀπέχετε σεῖς ἀπὸ κάθε πορνεία». Γιατὶ ὑπάρχουν πολλὰ εἴδη ἀταξίας, οἱ ἡδονὲς τῆς ἀσελγείας εἶναι πολύτροπες καὶ πολύμορφες, τὶς ὁποῖες οὔτε νὰ εἰποῦμε εἶναι ἀνεκτό. Ἀφοῦ ὅμως εἶπε «ἀπὸ κάθε πορνεία», ἀφήνει αὐτὸ στοὺς γνωρίζοντες. «Νὰ γνωρίζη ὁ καθένας σας νὰ συγκρατῆ τὸ σῶμα του σὲ ἁγισμὸ καὶ

ἐν ἁγιασμῷ καὶ τιμῇ· μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν». «Εἰδέναι», φησίν, «ἕνα ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι». Ἄρα μαθήσεώς ἐστι τὸ πρᾶγμα, καὶ πολλῆς, ὥστε μὴ ἀσελγαίνειν. Ἄρα ἡμεῖς αὐτὸ κτώμεθα, ὅταν ᾖ καθαρόν· ὅταν δὲ ἀκάθαρτον, ἡ ἁμαρτία· εἰκότως. Οὐ γὰρ ἃ βουλόμεθα πράττει, ἀλλ' ἃ ἐκείνη ἐπιτάττει. «Μὴ ἐν πάθει ἐπιθυμίας», φησίν. Ἐνταῦθα δείκνυσι καὶ τὸν τρόπον, καθ' ὃν χρὴ σωφρονεῖν, ὥστε τὰ πάθη τῆς ἐπιθυμίας ἐκκόπτειν. Καὶ γὰρ καὶ τρυφή, καὶ πλοῦτος, καὶ ῥᾳθυμία, καὶ ἀργία, καὶ σχολή, καὶ ἅπαντα ταῦτα εἰς ἐπιθυμίαν ἡμᾶς ἐξάγει τὴν ἄτοπον. «Καθάπερ», φησί, «καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν». Ἐκεῖνοι γὰρ τοιοῦτοί εἰσιν, οἱ μὴ προσδοκῶντες δώσειν δίκην.

«Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν». Καλῶς εἶπε, «μὴ ὑπερβαίνειν»· ἑκάστῳ ὁ Θεὸς ἀπένειμε γυναῖκα, ὅρους ἔθηκε τῇ φύσει, τὴν μίξιν ἐκείνην τὴν πρὸς τὴν μίαν. Ὥστε ἡ πρὸς τὴν ἑτέραν παράβασίς ἐστι καὶ πλεονεξία καὶ λῃστεία· μᾶλλον δὲ πάσης λῃστείας χαλεπωτέρα. Οὐ γὰρ οὕτως ἀλγοῦμεν, τῶν χρημάτων ἡμῖν ἐκφορουμένων, ὡς τοῦ γάμου διορυττομένου. Ἀδελφὸν καλεῖς, καὶ πλεονεκτεῖς, καὶ ἐν οἷς οὐ χρή; Ἐνταῦθα περὶ μοιχείας φησίν· ἀνωτέρω δὲ καὶ περὶ πορνείας πάσης. Ἐπειδὴ γὰρ ἔμελλε λέγειν μὴ ὑπερβαίνειν μηδὲ πλεονεκτεῖν τὸν ἀδελφὸν, μὴ νομίσῃς, φησίν, ὅτι ἐπὶ τῶν ἀδελφῶν μόνον ταῦτά φημι· ἀλλ' οὐδὲ τὰς ἑτέρων γυναῖκας, οὐδὲ τὰς ἁπλῶς ἀνάνδρους καὶ κοινὰς ἔχειν χρή· πάσης πορνείας ἀπέχεσθαι δεῖ. «Διότι», φησὶν, «ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων». Παρεκάλεσε πρῶτον, ἐνέτρεψεν εἰπών, «καθάπερ καὶ τὰ ἔθνη»· εἶτα ἀπὸ λογισμῶν τὸ ἄτοπον ἔδειξε, τὸ πλεονεκτεῖν τὸν ἀδελφόν. Ἐπάγει λοιπὸν τὸ κεφάλαιον· «Διότι», φησίν, «ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπομεν ὑμῖν, καὶ διεμαρτυρόμεθα». Οὐδὲ γὰρ ἀτιμωρητὶ ταῦτα πράττομεν, οὐδὲ τοσαύτης ἀπολαύομεν ἡδονῆς, ὅσην ὑφιστάμεθα κόλασιν.

«Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ». Ἐπειδὴ εἶπε «τὸν ἀδελφόν», καὶ ἐπήγαγεν, ὅτι ὁ Θεὸς ἐκδικεῖ, δεινὺς ὅτι κἂν ἄπιστος τοῦτο πάθῃ, τιμωρίαν ὁ πεποιηκὼς δώσει, λέγει· οὐκ ἐκεῖνον ἐκδικῶν τιμωρεῖταί σε, ἀλλ'

τιμή, ὄχι σὲ πάθος ἐπιθυμίας, ὅπως καὶ οἱ ἐθνικοί, οἱ ὁποῖοι δὲν γνωρίζουν τὸν Θεό». «Νὰ γνωρίζῃ», λέγει, «ὁ καθένας σας νὰ συγκρατῇ τὸ σῶμα του». Ἄρα τὸ πρᾶγμα εἶναι ἀποτέλεσμα μαθήσεως καὶ πολλῆς μάλιστα, γιὰ νὰ μὴ κάνωμε ἀσελγεῖς πράξεις. Ἑπομένως ἐμεῖς κατέχομε τὸ σῶμα, ὅταν εἶναι καθαρό· ὅταν ὅμως εἶναι ἀκάθαρτο, τὸ κατέχει ἡ ἁμαρτία. Καὶ εἶναι φυσικό, γιατὶ δὲν πράττει ἐκεῖνα ποὺ θέλομε, ἀλλὰ ἐκεῖνα ποὺ διατάσσει ἡ ἁμαρτία. «Ὄχι σὲ πάθος ἐπιθυμίας», λέγει. Ἐδῶ δείχνει καὶ τὸν τρόπο, μὲ τὸν ὁποῖο πρέπει νὰ εἶναι σώφρονες, ὥστε νὰ ξεριζώνουν τὰ πάθη τῆς ἐπιθυμίας. Γιατὶ πράγματι καὶ οἱ ἀπολαύσεις καὶ ὁ πλοῦτος καὶ ἡ ραθυμία καὶ ἡ ἀποχὴ ἀπὸ τὴν ἐργασία καὶ ἡ ἀνάπαυσις καὶ ὅλα αὐτὰ μᾶς παρασύρουν στὶς ἀνόητες ἐπιθυμίες. «Ὅπως ἀκριβῶς», λέγει, «καὶ οἱ ἐθνικοὶ οἱ ὁποῖοι δὲν γνωρίζουν τὸν Θεό». Ἐκεῖνοι λοιπὸν εἶναι τέτοιοι, οἱ ὁποῖοι δὲν περιμένουν νὰ τιμωρηθοῦν.

«Τὸ νὰ μὴ παραβαίνῃ καὶ ἐξαπατᾷ στὸ πρᾶγμα αὐτὸ τὸν ἀδελφό του». Καλῶς εἶπε, «νὰ μὴ παραβαίνῃ». Στὸν καθένα ὁ Θεὸς ἔδωσε γυναῖκα, ἔθεσε ὅρια στὴ φύσι, τὴ συνουσία μὲ τὴ μία ἐκείνη γυναῖκα. Ὥστε ἡ συνουσία μὲ ἄλλη εἶναι παράβασις καὶ πλεονεξία καὶ ληστεία, καλύτερα ὅμως πιὸ φοβερὴ ἀπὸ κάθε ληστεία. Γιατὶ δὲν στενοχωρούμασθε τόσο, ὅταν μᾶς ἁρπάζουν τὰ χρήματα, ὅσο ὅταν ὑπονομεύεται ὁ γάμος μας. Ἀδελφὸ τὸν ἀποκαλεῖς καὶ τὸν ἐξαπατᾷς καὶ ἐκεῖ ποὺ δὲν πρέπει; Ἐδῶ ὁμιλεῖ γιὰ τὴ μοιχεία, παραπάνω ὅμως καὶ γιὰ κάθε πορνεία. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ εἰπῇ νὰ μὴ παραβαίνουν οὔτε νὰ ἐξαπατοῦν τὸν ἀδελφό, μὴ νομίσῃς, λέγει, ὅτι στοὺς ἀδελφοὺς μόνο λέγω αὐτά· ἀλλὰ οὔτε τίς γυναῖκες τῶν ἄλλων, οὔτε τὶς ἁπλῶς ἄγαμες καὶ τὶς κοινὲς πρέπει νὰ ἔχετε· ἀπὸ κάθε πορνεία πρέπει νὰ ἀπέχετε. «Γιατί», λέγει, «ὁ Κύριος εἶναι ἐκδικητὴς γιὰ ὅλα αὐτά». Ἐσυμβούλευσε πρῶτα, τοὺς ἐπέπληξε μὲ τὸ νὰ εἰπῇ, «ὅπως ἀκριβῶς καὶ οἱ ἐθνικοί», ἔπειτα ἀπὸ σκέψεις ἀπέδειξε τὴν ἀνοησία, τὸ νὰ ἐξαπατᾷ κανεὶς τὸν ἀδελφό του. Προσθέτει στὴ συνέχεια τὸ κυριώτερο· «Γιατί», λέγει, «ὁ Κύριος εἶναι ἐκδικητὴς γιὰ ὅλα αὐτά, καθὼς καὶ σᾶς προείπαμε καὶ σᾶς διαβεβαιώσαμε». Γιατὶ οὔτε χωρὶς τιμωρία κάνομε αὐτά, οὔτε ἀπολαμβάνομε τόση ἡδονή, ὅση τιμωρία ὑφιστάμεθα.

«Γιατὶ δὲν μᾶς ἐκάλεσε ὁ Θεὸς γιὰ ἀκαθαρσία, ἀλλὰ σὲ ἁγιασμό». Ἐπειδὴ εἶπε «τὸν ἀδελφό», καὶ ἐπρόσθεσε, ὅτι ὁ Θεὸς εἶναι ἐκδικητής, ἀποδεικνύοντας ὅτι καὶ ἂν ἀκόμη ἄπιστος πάθῃ τοῦτο, θὰ τιμωρηθῇ αὐτὸς ποὺ τὸ ἔχει κάνει, λέγει· δὲν σὲ τιμωρεῖ ἐκδικούμενος ἐκεῖνον, ἀλλὰ ἐπειδὴ ἐσυμπεριφέρθηκες ὑβριστικὰ σὲ

ἐπειδὴ εἰς αὐτὸν ὕβρισας· αὐτός σε ἐκάλεσε, τὸν καλέσαντα ὕβρισας. Διὰ τοῦτο ἐπήγαγε· «Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τόν Θεὸν τὸν δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς». Ὥστε κἂν τὴν βασιλίδα διαφθείρῃς, κἂν τὴν δούλην τὴν σὴν ὕπανδρον οὖσαν, ὅμοιον τὸ ἔγκλημα. Διὰ τί; Ὅτι οὐ τὰ ἀδικούμενα ἐκδικεῖ πρόσωπα, ἀλλ' ἑαυτόν· σὺ γὰρ ὁμοίως ἐμολύνθης, ὁμοίως τὸν Θεὸν ὕβρισας. Καὶ γὰρ καὶ τοῦτο κἀκεῖνο μοιχείᾳ, ἐπειδὴ καὶ τοῦτο κἀκεῖνο γάμος· κἂν μὴ μοιχεύσῃς, πορνεύσῃς δέ, καίτοι οὐκ ἔχει ἄνδρα ἡ πόρνη, ἀλλ' ὅμως ὁ Θεὸς ἐκδικεῖ, ἐπειδὴ ἑαυτόν ἐκδικεῖ. Οὐ γὰρ οὕτως ἐκείνου καταφρονῶν τοῦτο ποιεῖς, ὡς τοῦ Θεοῦ· καὶ δῆλον ἐκεῖθεν, ὅτι ἐκεῖνον μὲν λανθάνων ποιεῖς, τὸν δὲ Θεὸν ὁρῶντα οὐ προσποιῇ. Εἰπὲ γάρ μοι, εἴ τις ἁλουργίδος ἀξιωθεὶς παρὰ τοῦ βασιλέως, καὶ μυρίας ἑτέρας τιμῆς, καὶ κελευσθεὶς ἀξίως ζῆν τῆς τιμῆς, ἀπελθὼν τινι προσφθαρείη γυναικί, τίνα ὕβρισεν; ἐκείνην, ἢ τὸν βασιλέα τὸν δεδωκότα; Ὕβρισται μὲν κἀκείνη, ἀλλ' οὐχ ὁμοίως.

3. Διό, παρακαλῶ, φυλαττώμεθα τὴν ἁμαρτίαν ταύτην. Καθάπερ γὰρ ἡμεῖς τὰς γυναῖκας κολάζομεν, ὅταν ἡμῖν συνοικοῦσαι ἑτέροις ἑαυτὰς δῶσιν· οὕτω καὶ ἡμεῖς κολαζόμεθα, κἂν μὴ ὑπὸ τῶν νόμων 'Ρωμαίων, ἀλλὰ παρὰ τοῦ Θεοῦ. Καὶ γὰρ καὶ τοῦτο μοιχεία ἐστί. Μοιχεία γὰρ οὐ μόνον τὸ ἑτέρῳ συνεζευγμένην μοιχᾶσθαι, ἀλλὰ καὶ τὸ δεδεμένον αὐτόν γυναικί. Πρόσεχε ἀκριβῶς ᾧ λέγω· εἰ γὰρ καὶ φορτικὸν πολλοῖς τὸ λεγόμενον, ἀλλ' ἀναγκαῖον εἰπεῖν ὥστε διορθώσασθαι τοῦ λοιποῦ. Οὐ τοῦτο μόνον ἐστί μοιχεία, ὅταν ἀνδρὶ συνεζευγμένην διαφθείρωμεν γυναῖκα, ἀλλὰ κἂν ἄφετον καὶ λελυμένην, αὐτοὶ δεδεμένοι γυναικί, μοιχεία τὸ πρᾶγμά ἐστι. Τί γάρ, εἰ ἡ μοιχευομένη οὐ δέδεται; Ἀλλά σὺ δέδεσαι· τὸν νόμον παρέβης, ἠδίκησας τὴν σάρκα τὴν σήν. Διὰ τί γὰρ, εἰπέ μοι, τὴν γυναῖκα κολάζεις, κἂν πορνευθῇ ἀνδρὶ λελυμένῳ καὶ μὴ ἔχοντι γυναῖκα; Ὅτι μοιχεία ἐστί. Διὰ τί; Καίτοι ὁ πορνεύσας αὐτήν, οὐκ ἔχει γυναῖκα· ἀλλ' αὐτὴ δέδεται

6. Στὴν ἐποχὴ τοῦ Χρυσοστόμου τὸ Κράτος ἐθεωρεῖτο ἀκόμη ρωμαϊκό.

αὐτόν· αὐτὸς σὲ ἐκάλεσε, ὕβρισες αὐτὸν ποὺ σὲ ἐκάλεσε. Γι' αὐτὸ ἐπρόσθεσε· «Ὥστε λοιπὸν ἐκεῖνος ποὺ ἀθετεῖ, δὲν ἀθετεῖ ἄνθρωπο, ἀλλὰ τὸν Θεό, ὁ ὁποῖος μᾶς ἔδωσε τὸ Πνεῦμα του τὸ ἅγιο». Ὥστε εἴτε τὴν κόρη τοῦ βασιλέως διαφθείρεις, εἴτε τὴν ἰδική σου δούλη, ὅταν εἶναι ἔγγαμος, εἶναι ὅμοιο τὸ ἔγκλημα. Γιατί; Διότι δὲν ἐκδικεῖται ὁ Θεὸς τὰ πρόσωπα ποὺ ἀδικοῦνται, ἀλλὰ τὸν ἑαυτό του· ἐσὺ λοιπὸν ὁμοίως ἐμολύνθηκες, ὁμοίως τὸν Θεὸ ἐπρόσβαλες. Εἶναι πράγματι καὶ τὸ ἕνα καὶ τὸ ἄλλο μοιχεία, ἀφοῦ καὶ τὸ πρῶτο καὶ τὸ ἄλλο εἶναι γάμος. Καὶ ἂν ἀκόμη δὲν μοιχεύσης, ἀλλὰ πορνεύσεις, ἂν καὶ βέβαια δὲν ἔχει ἄνδρα ἡ πόρνη, ἀλλ' ὅμως ὁ Θεὸς ἐκδικεῖται, ἐπειδὴ ἐκδικεῖται τὸν ἑαυτό του. Γιατὶ δὲν περιφρονεῖς τόσο ἐκεῖνον, ὅταν κάμνης αὐτό, ὅσο τὸν Θεό· καὶ εἶναι φανερὸ ἀπὸ αὐτό, ὅτι ὅταν τὸ κάνης ξεφεύγεις τὴν προσοχὴ ἐκείνου, δὲν ἐξαπατᾶς ὅμως τὸν Θεὸ ποὺ βλέπει. Γιατὶ εἰπέ μου, ἐὰν κάποιος ποὺ εἶχε κριθῆ ἀπὸ τὸ βασιλέα ἄξιος γιὰ τὴν πορφύρα καὶ γιὰ πολλὲς ἄλλες τιμές, καὶ εἶχε διαταχθῆ νὰ ζῆ ὅπως ἀξίζει στὴν τιμὴ ποὺ τοῦ ἔκαμε, ἐπήγαινε καὶ συναντοῦσε κάποια γυναῖκα, ποιόν θὰ ἐπρόσβαλε; ἐκείνην ἢ τὸ βασιλέα ποὺ τοῦ εἶχε δώσει αὐτά; Ἔχει βέβαια προσβληθῆ καὶ ἐκείνη, ἀλλὰ ὄχι μὲ τὸν ἴδιο τρόπο.

3. Γι' αὐτό, παρακαλῶ, ἂς προσέχωμε τὴν ἁμαρτία αὐτή. Γιατὶ ὅπως ἐμεῖς τιμωροῦμε τὶς γυναῖκες, ὅταν σὲ ἄλλους παραδώσουν τὸν ἑαυτό τους ἐνῶ ζοῦν μαζί μας, ἔτσι καὶ ἐμεῖς τιμωρούμασθε, ἂν καὶ δὲν τιμωρούμασθε ἀπὸ τοὺς νόμους τῶν Ρωμαίων[6], ἀλλὰ ἀπὸ τὸν Θεό. Γιατὶ πραγματικὰ καὶ αὐτὸ εἶναι μοιχεία. Καθόσον μοιχεία δὲν εἶναι μόνο τὸ νὰ συνευρίσκεται μὲ ἄλλον ἡ ἔγγαμος γυναῖκα, ἀλλὰ καὶ τὸ νὰ εἶναι αὐτὸς δεμένος μὲ γυναῖκα. Πρόσεχε ἀκριβῶς σὲ αὐτὸ ποὺ λέγω, ἂν καὶ βέβαια εἶναι ἐνοχλητικὸ σὲ πολλοὺς τὸ λεγόμενο, ἀλλ' εἶναι ἀνάγκη νὰ τὸ εἰπῶ, ὥστε νὰ διορθωθῆτε στὸ μέλλον. Μοιχεία δὲν εἶναι αὐτὸ μόνο, ὅταν διαφθείρωμε γυναῖκα ποὺ εἶναι διὰ γάμου ἑνωμένη μὲ ἄνδρα, ἀλλὰ καὶ ἂν ἀκόμη διαφθείρωμε ἀνύπανδρη καὶ χωρισμένη, ἐνῶ οἱ ἴδιοι εἴμασθε δεμένοι μὲ γυναῖκα, τὸ πρᾶγμα εἶναι μοιχεία. Τί λοιπὸν συμβαίνει, ἐὰν ἡ μοιχαλίδα δὲν εἶναι δεμένη; Ἐσὺ ὅμως εἶσαι δεμένος· παρέβηκες τὸ νόμο, ἔκαμες ἀδικία στὸ σῶμα σου. Γιατί λοιπόν, εἰπέ μου, τιμωρεῖς τὴ γυναῖκα, καὶ ἂν ἀκόμη προσφερθῆ σὲ ἄνδρα χωρισμένο καὶ ποὺ δὲν ἔχει γυναῖκα; Γιατὶ εἶναι μοιχεία. Γιὰ ποιὸ λόγο; Καὶ βέβαια αὐτὸς ποὺ ἐπόρνευσε σὲ αὐτήν, δὲν ἔχει γυναῖκα, ὅμως αὐτὴ εἶναι δεμένη μὲ ἄνδρα. Συνεπῶς καὶ σὺ εἶσαι δεμένος μὲ γυναῖκα. Ὥστε ὁμοίως καὶ ἡ ἰδική σου πρᾶξις εἶναι μοιχεία.

ἀνδρί. Οὐκοῦν καὶ σὺ δέδεσαι γυναικί. Ὥστε ὁμοίως καὶ τὸ σὸν μοιχεία ἐστίν.

«Ὁ ἀπολύσας» γάρ, φησί, «παρεκτὸς λόγου πορνείας τὴν γυναῖκα αὐτοῦ, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ ἀπολελευμένην γαμῶν, μοιχᾶται». Εἰ ὁ γαμῶν ἀπολελυμένην μοιχᾶται, ὁ μετὰ τῆς ἑαυτοῦ γυναικός, καὶ ταύτῃ προσφθειρόμενος, παντί που δῆλον. Ἀλλὰ πρὸς μὲν ἡμᾶς ἱκανῶς τοὺς ἄνδρας εἴρηται ταῦτα· περὶ γὰρ τῶν τοιούτων φησὶν ὁ Χριστὸς, «Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται». Τῶν δὲ νέων ἕνεκεν εἰπεῖν ἀναγκαῖον πρὸς ὑμᾶς, οὐ πρὸς αὐτοὺς ἐκείνους τοσοῦτον, ἀλλὰ πρὸς ὑμᾶς· οὐκ ἐκείνοις γάρ, ἀλλὰ καὶ ὑμῖν ταῦτα ἁρμόδια· καὶ πῶς, ἤδη λέξω. Ὁ μὴ μαθὼν πορνεύειν, οὐδὲ μοιχεύειν εἴσεται· ὁ δὲ ἐκείναις ἐγκαλινδούμενος, καὶ ἐπὶ τοῦτο ταχέως ἥξει· κἂν μὴ ὑπάνδροις, ἀλλὰ λελυμέναις συμφθαρῇ γυναιξί. Τί οὖν παραινῶ, ὥστε τὰς ῥίζας ἐκτέμενειν; Ὅσοι παῖδας ἔχετε νέους, καὶ πρὸς τὸ κοσμικὸν αὐτοὺς βίον ἄγετε, ταχέως ὑπὸ τὸν τοῦ γάμου ζυγὸν ἕλκετε. Ἐπειδὴ γὰρ ἔτι νέῳ ὄντι ἐνοχλεῖ τὰ τῶν ἐπιθυμιῶν, τὸν μὲν πρὸ τοῦ γάμου χρόνον παραινέσεσιν, ἀπειλαῖς, φόβοις, ἐπαγγελίαις, μυρίοις ἑτέροις αὐτοὺς κατέχετε· κατὰ δὲ τὸν τοῦ γάμου καιρόν, μηδεὶς ἀναβαλλέσθω· ἰδοὺ νυμφευτρίας φθέγγομαι ῥήματα· ἁρμόζειν ὑμῖν τοὺς παῖδας.

Ἀλλ' οὐκ αἰσχύνομαι ταῦτα λέγων· ἐπεὶ μηδὲ Παῦλος ᾐσχύνθη λέγων, «Μὴ ἀποστερεῖτε ἀλλήλους», ὃ τούτου δοκεῖ αἰσχυντηρότερον εἶναι· ἀλλ' οὐκ ᾐσχύνθη. Οὐ γὰρ τοῖς ῥήμασι προσεῖχεν, ἀλλὰ τοῖς ἔργοις τοῖς ἀπὸ τῶν ῥημάτων κατορθουμένοις. Ὅταν ὁ παῖς αὐξηθῇ, πρὸ στρατείας, πρὸ τοῦ βίου τοῦ ἄλλου, τὰ περὶ τοῦ γάμου φρόντιζε. Κἂν ἐκεῖνος ἴδῃ ὅτι ταχέως αὐτῷ τὴν νύμφην ἄγεις, καὶ ὅτι βραχὺς ὁ καιρὸς ὁ ἐν μέσῳ, δυνήσεται διακαρτερῆσαι τὴν φλόγα· ἂν δὲ ἐνοήσῃ ὅτι ῥᾳθυμεῖς σὺ, καὶ βραδύνεις, καὶ περιμένεις, πότε προσόδους κτήσεται πολλάς, καὶ τότε αὐτῷ τοὺς γάμους ποιήσεις, ἀπογνοὺς πρὸς τὸ μακρὸν τοῦ χρόνου ταχέως ὀλισθήσει πρὸς πορνείαν. Ἀλλ' οἵ-

7. Ματθ. 5,32
8. Μάρκ. 9,44
9. Α' Κορ. 7,5

«Γιατὶ ὅποιος θὰ χωρίση τὴ γυναῖκα του», λέγει, «ἂν δὲν ὑπάρχη λόγος πορνείας, κάνει νὰ γίνη αὐτὴ μοιχαλίδα· καὶ ἐκεῖνος ποὺ θὰ νυμφευθῆ χωρισμένη γυναῖκα, γίνεται μοιχός»[7]. Ἐὰν ἐκεῖνος, ποὺ νυμφεύεται χωρισμένη γυναῖκα, γίνεται μοιχός, ἐκεῖνος ποὺ εἶναι μὲ τὴ γυναῖκα του καὶ συνευρίσκεται μὲ αὐτήν, εἶναι βέβαια στὸν καθένα φανερὸ ὅτι γίνεται μοιχός. Ἀλλὰ σὲ σᾶς τοὺς ἄνδρες εἶναι ἀρκετὰ αὐτὰ ποὺ ἔχουν λεχθῆ· γιατὶ γι' αὐτοὺς λέγει ὁ Χριστός, «Τὸ σκουλήκι ποὺ θὰ τοὺς τρώγη δὲν θὰ ἔχη τέλος καὶ ἡ φωτιὰ ποὺ θὰ τοὺς καίη δὲν θὰ σβήνη»[8]. Καὶ ὡς πρὸς τοὺς νέους εἶναι ἀνάγκη νὰ εἰποῦμε σὲ σᾶς, ὄχι τόσο σὲ ἐκείνους τοὺς ἰδίους, ἀλλὰ σὲ σᾶς. Γιατὶ ὄχι σὲ ἐκείνους, ἀλλὰ καὶ σὲ σᾶς ἁρμόζουν αὐτά, καὶ πῶς ἁρμόζουν, θὰ σᾶς τὸ εἰπῶ τώρα. Ὅποιος δὲν μάθει τὴν πορνεία, οὔτε τὴν μοιχεία θὰ γνωρίση, καὶ ὅποιος κοιμᾶται μὲ τὶς πόρνες, γρήγορα θὰ φθάση καὶ στὴ μοιχεία, καὶ ἂν ὄχι μὲ ἔγγαμες, ὅμως θὰ συνευρεθῆ μὲ χωρισμένες γυναῖκες. Τί λοιπὸν συμβουλεύω, γιὰ νὰ κόψετε ἐντελῶς τὶς ρίζες; Ὅσοι ἔχετε υἱοὺς νέους καὶ ὁδηγεῖτε αὐτοὺς πρὸς τὴν κοσμικὴ ζωή, σύρετε αὐτοὺς γρήγορα στὸ ζυγὸ τοῦ γάμου. Ἐπειδὴ λοιπόν, ὅταν ἀκόμη εἶναι νέος, ἐνοχλοῦν οἱ ἐπιθυμίες, κατὰ τὸν πρὶν ἀπὸ τὸ γάμο χρόνο μὲ συμβουλές, μὲ ἀπειλές, μὲ ἐκφοβισμούς, μὲ ὑποσχέσεις, καὶ μὲ πολλὰ ἄλλα συγκρατεῖτε αὐτούς, ὅταν ὅμως εἶναι καιρὸς τοῦ γάμου, κανεὶς ἂς μὴ ἀναβάλλη. Ἰδοὺ λέγω λόγια προξενήτρας, διότι ἁρμόζει στὰ παιδιά σας γάμος.

Δὲν ἐντρέπομαι ὅμως νὰ λέγω αὐτά, γιατὶ οὔτε ὁ Παῦλος ἐντράπηκε λέγοντας, «Ἂς μὴ ἀποστερῆ ὁ ἕνας τὸν ἄλλο μὲ ἀποχὴ καὶ ἐγκράτεια»[9], τὸ ὁποῖο φαίνεται ὅτι προξενεῖ περισσότερη ντροπὴ ἀπὸ αὐτό· ὅμως δὲν ἐντράπηκε. Γιατὶ δὲν ἐπρόσεχε στὰ λόγια, ἀλλὰ στὰ ἔργα ποὺ ἐπιτυγχάνονται ἀπὸ τὰ λόγια. Ὅταν ὁ υἱὸς μεγαλώση, πρὶν ἀπὸ τὴ στρατιωτικὴ ὑπηρεσία του, πρὶν ἀπὸ τὴν ἄλλη του ζωή, φρόντιζε τὰ σχετικὰ μὲ τὸ γάμου του. Καὶ ἂν ἐκεῖνος ἰδῆ ὅτι τοῦ φέρεις γρήγορα τὴ νύμφη καὶ ὅτι ὁ ἐνδιάμεσος καιρὸς εἶναι σύντομος, θὰ μπορέση νὰ ἀντέξη τὴ φλόγα. Ἂν ὅμως ἀντιληφθῆ ὅτι ἐσύ ἀδιαφορεῖς καὶ βραδύνεις καὶ περιμένεις, πότε θὰ ἀποκτήση πολλὰ εἰσοδήματα καὶ τότε νὰ κάμης τοὺς γάμους του, ἀφοῦ ἀπελπισθῆ ἀπὸ τὴ μεγάλη διάρκεια τοῦ χρόνου, θὰ ὀλισθήση γρήγορα πρὸς τὴν πορνεία. Ἀλλ' ἀλλοίμονο, ἡ ρίζα τῶν κακῶν καὶ ἐδῶ εἶναι ἡ φιλαργυρία. Ἐπειδὴ λοιπὸν κανεὶς δὲν ἐνδιαφέρεται

μοι, ἡ ῥίζα τῶν κακῶν καὶ ἐνταῦθα ἡ φιλαργυρία. Ἐπειδὴ γὰρ οὐδενὶ μέλει πῶς σώφρων, πῶς ἐπιεικὴς ὁ παῖς γένηται, ἀλλὰ μεμήνασι πρὸς τὸν χρυσὸν ἅπαντες, τούτου ἕνεκεν οὐδεὶς ταύτην ποιεῖται τὴν σπουδήν.

Διὸ παρακαλῶ πρῶτον αὐτῶν τὰς ψυχὰς ῥυθμίζειν. Ἂν ἁγνὴ τῇ νύμφῃ προσέλθῃ, ἂν ἐκεῖνο μόνον ἴδῃ τὸ σῶμα, καὶ ὁ πόθος ἔσται σφοδρός, καὶ ὁ τοῦ Θεοῦ φόβος μείζων, καὶ τίμιος ὁ γάμος ὄντως, καθαρὰ καὶ ἀμίαντα δεχόμενος σώματα, καὶ τὰ τικτόμενα πολλῆς εὐλογίας ἔσται μεστά, καὶ ἀλλήλοις εἴξουσιν, ὅ τε νυμφίος καὶ ἡ νύμφη· ἑτέρων γὰρ ἠθῶν ὄντες ἑκάτεροι ἄπειροι, ἀλλήλοις ὑποταγήσονται. Νεώτερος δὲ ἀρχόμενος ἀσελγαίνειν, καὶ πορνικῶν ἠθῶν πεῖραν λαμβάνειν, μέχρι μὲν τῆς πρώτης ἑσπέρας καὶ τῆς δευτέρας ἐπαινέσεται τὴν αὐτοῦ γυναῖκα· μετὰ δὲ ταῦτα ταχέως πρὸς ἐκείνην ἐξολισθήσει τὴν ἀσέλγειαν, τὸν ἐκκεχυμένον καὶ ἄτακτον γέλωτα ζητῶν, τὰ πολλῆς ἀνελευθερίας γέμοντα ῥήματα, τὰ σχήματα τὰ διακεκλασμένα, τὴν ἄλλην ἀσχημοσύνην πᾶσαν, ἣν ἡμᾶς οὐκ ἀνεκτὸν εἰπεῖν. Ταῦτα δὲ ἡ ἐλευθέρα παρέχειν οὐκ ἀνέχεται, οὐδὲ καταρρυπαίνειν ἑαυτήν. Ἐπὶ κοινωνίᾳ γὰρ βίου καὶ παιδοποιΐᾳ κατηγγυήθη τῷ ἀνδρί, οὐκ ἐπὶ ἀσχημοσύνῃ καὶ γέλωτι· ἵνα οἰκουρῇ, ἵνα παιδεύῃ κἀκεῖνον εἶναι σεμνόν, οὐχ ἵνα αὐτῷ ὑπεκκαύματα παρέχῃ πορνείας. Ἀλλ' ἡδέα σοι φαίνεται τὰ τῆς πόρνης ῥήματα; Οἶδα κἀγώ· καὶ γὰρ ἡ Γραφὴ τοῦτό φησι· «Μέλι ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης». Διὰ γὰρ τοῦτο ταῦτα πάντα ποιῶ, ὥστε μὴ τοῦ μέλιτος ὑμᾶς ἐκείνου πεῖραν λαβεῖν· εἰς γὰρ χολὴν εὐθέως τρέπεται.

Καὶ τοῦτο αὐτό φησι καὶ ἡ Γραφή· «Ἥτις πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου». Τί λέγεις; Ἀνάσχεσθέ μού τι καὶ ἀκάθαρτον, ὡς εἰπεῖν, φθεγγομένου, καὶ ἀπαναισχυντοῦντος, καὶ ἀπερυθριῶντος· οὐ γὰρ ἑκὼν τοῦτο πάσχω, ἀλλὰ διὰ τοὺς οὐκ αἰσχυνομένους τὰ πράγματα, τὰ ῥήματα ἀναγκάζομαι λέγειν. Πολλὰ δὲ καὶ ἐν ταῖς Γραφαῖς ὁρῶμεν τοιαῦτα. Καὶ γὰρ καὶ ὁ Ἰεζεκιὴλ ὀνειδίζων τὴν Ἱερουσαλήμ, πολλὰ τοιαῦτα φθέγγεται, καὶ οὐκ αἰσχύνεται· εἰκότως· οὐ γὰρ ἐξ οἰκείου πάθους αὐτὰ ἔλεγεν, ἀλλ' ἀπὸ κηδεμονίας. Κἂν γὰρ τὰ ῥήματα δοκῇ εἶναι ἀπρεπῆ, ἀλλ' ὁ σκοπὸς οὐκ ἀπρεπής, ἀλλὰ καὶ σφό-

10. Παροιμ. 5,3.4

11. Βλ. Ἰεζ. κεφ. 16

πῶς θὰ γίνη ὁ υἱός του συνετός, πῶς θὰ γίνη ἐπιεικής, ἀλλὰ ὅλοι ἔχουν καταληφθῆ ἀπὸ τὴ μανία γιὰ τὸ χρυσάφι, γιὰ τὸ λόγο αὐτὸ κανεὶς δὲν φροντίζει γι' αὐτό.

Γι' αὐτὸ παρακαλῶ πρῶτα νὰ ρυθμίζετε τὶς ψυχὲς αὐτῶν. Ἂν προσέλθη στὴ νύμφη μὲ ἁγνὴ ψυχή, ἂν ἰδῆ μόνο τὸ σῶμα ἐκεῖνο, καὶ ὁ πόθος θὰ εἶναι σφοδρὸς καὶ ὁ φόβος τοῦ Θεοῦ μεγαλύτερος καὶ τίμιος πραγματικὰ ὁ γάμος, ἀφοῦ δέχεται καθαρὰ καὶ ἁγνὰ σώματα, καὶ τὰ παιδιά τους θὰ εἶναι γεμᾶτα ἀπὸ εὐλογία, καὶ θὰ ὑποχωροῦν μεταξύ τους, καὶ ὁ γαμβρὸς καὶ ἡ νύμφη, γιατὶ ἐπειδὴ καὶ οἱ δύο εἶναι ἄπειροι ἀπὸ ἄλλα ἤθη, θὰ ὑποταγῆ ὁ ἕνας στὸν ἄλλο. Ὅταν ὅμως ἀρχίζη πιὸ νέος νὰ ἀσελγῆ καὶ νὰ γνωρίζη τὰ πορνικὰ ἤθη, θὰ ἐπαινέση τὴ γυναῖκα του μέχρι τὸ πρῶτο βράδυ καὶ τὸ δεύτερο. Ὕστερα ὅμως θὰ ξεγλιστρήση γρήγορα πρὸς τὴν ἀσέλγεια ἐκείνη, ζητώντας τὸ ἀπερίσκεπτο καὶ χυδαῖο γέλιο, τὰ λόγια ποὺ εἶναι γεμᾶτα ἀπὸ πολλὴ αἰσχρότητα, τὶς προσποιητὲς ἐκφράσεις, ὅλη τὴν ἄλλη ἀσχημοσύνη, ποὺ δὲν μᾶς εἶναι ἀνεκτὸ νὰ τὴν εἰποῦμε. Αὐτὰ ὅμως ἡ ἐλεύθερη δὲν ἀνέχεται νὰ παρέχη, οὔτε νὰ κηλιδώνη τὸν ἑαυτό της. Γιατὶ ἔδωσε ὑπόσχεσι στὸν ἄνδρα της γιὰ κοινωνία βίου καὶ τεκνοποιΐα, ὄχι γιὰ ἀσχημοσύνη καὶ χαμόγελα, γιὰ νὰ μένη στὸ σπίτι, γιὰ νὰ διορθώνη καὶ ἐκεῖνον νὰ εἶναι σεμνός, ὄχι γιὰ νὰ παρέχη σὲ αὐτὸν ἀφορμὲς πορνείας. Ἀλλὰ σοῦ φαίνονται γλυκὰ τὰ λόγια τῆς πόρνης; Τό γνωρίζω καὶ ἐγώ, γιατὶ καὶ ἡ Γραφὴ αὐτὸ λέγει· «Μέλι στάζει ἀπὸ τὰ χείλη τῆς πόρνης»[10]. Γι' αὐτὸ λοιπὸν κάνω ὅλα αὐτά, ὥστε νὰ μὴ γνωρίσετε ἐσεῖς τὸ μέλι ἐκεῖνο, γιατὶ ἀμέσως μετατρέπεται σὲ χολή.

Καὶ ἀκριβῶς αὐτὸ λέγει καὶ ἡ Γραφή· «Ἡ ὁποία προσωρινὰ εὐχαριστεῖ τὸ φάρυγγά σου, ὕστερα ὅμως θὰ εὕρης αὐτὸ πιὸ πικρὸ ἀπὸ τὴ χολὴ καὶ κοπτερὸ περισσότερο ἀπὸ δίκοπο μαχαίρι»[10]. Τί λέγεις; Ἀνεχθῆτε μου καὶ κάτι ἀκάθαρτο, κατὰ κάποιο τρόπο, νὰ εἰπῶ καὶ νὰ εἶμαι ἐντελῶς ἀναίσχυντος, καὶ νὰ κοκκινίζω τελείως ἀπὸ ἐντροπή· γιατὶ δὲν τὸ παθαίνω αὐτὸ μὲ τὴ θέλησί μου, ἀλλὰ γιὰ ἐκείνους ποὺ δὲν ἐντρέπονται τὰ πράγματα, ἀναγκάζομαι νὰ λέγω τὰ λόγια. Βλέπομε ὅμως πολλὰ παρόμοια καὶ στὶς Γραφές. Γιατὶ καὶ ὁ Ἰεζεκιὴλ ἐπικρίνοντας τὴν Ἰερουσαλήμ,[11] λέγει πολλὰ τέτοια καὶ δὲν ἐντρέπεται. Δικαιολογημένα, γιατὶ δὲν ἔλεγε αὐτὰ ἀπὸ ἰδικό του πάθος, ἀλλὰ ἀπὸ ἐνδιαφέρον. Καὶ ἂν πράγματι τὰ λόγια φαίνεται ὅτι εἶναι ἀπρεπῆ, ὁ σκοπὸς ὅμως δὲν εἶναι ἀπρεπής, ἀλλὰ καὶ πάρα πολὺ κατάλληλος γιὰ ἐκεῖνον ποὺ θέλει νὰ ἀπομακρύνη τὴν

δρα ἁρμόζων τῷ βουλομένῳ ἀκαθαρσίαν ἐκβαλεῖν ψυχῆς· ἂν γὰρ μὴ αὐτὰ τὰ ῥήματα ἀκούσῃ ἡ ἀναίσχυντος ψυχή, οὐκ ἐντρέπεται. Καὶ γὰρ ἰατρὸς βουλόμενος σηπεδόνα ἐκβαλεῖν, πρότερον τοὺς δακτύλους εἰς τὸ τραῦμα καθίησι· κἂν μὴ πρότερον μολύνῃ τὰς ἰωμένας χεῖρας, ἰάσασθαι οὐ δυνήσεται. Οὕτω κἀγώ, ἂν μὴ πρότερον τὸ στόμα μολύνω τὸ ἰώμενον ὑμῶν τὰ πάθη, οὐ δυνήσομαι ὑμᾶς ἰάσασθαι. Μᾶλλον δὲ οὐδὲ τοῦτο μολύνεται, οὔτε ἐκεῖναι αἱ χεῖρες. Τί δήποτε; Ὅτι οὐκ ἔστιν ἡ ἀκαθαρσία φυσική, οὐδὲ ἐκ τοῦ ἡμετέρου σώματος, ὥσπερ οὐδὲ ἐκεῖ ἐκ τῶν ἐκείνου χειρῶν, ἀλλ' ἐξ ἀλλοτρίων. Εἰ δὲ ἔνθα ἀλλότριον σῶμα, οὐ παραιτεῖται ἐκεῖνος βαπτίσαι τὰς ἑαυτοῦ χεῖρας· ἔνθα τὸ ἡμέτερον σῶμα, παραιτησόμεθα, εἰπέ μοι; Σῶμα γὰρ ἡμέτερον ἡμεῖς, ἀσθενὲς μὲν καὶ ἀκάθαρτον, ἡμέτερον δέ.

4. Τί οὖν ἐστιν ὃ φημι, καὶ δι' ὃ τοσαύτην ἐποιησάμην παρέκβασιν; Ἱμάτιον μέν, ὅπερ ὁ δοῦλος ἔχει, οὐκ ἂν ἕλοιό ποτε φορέσαι βδελυττόμενος διὰ τὸν ῥύπον, ἀλλ' ἕλοιο ἂν γυμνὸς εἶναι, ἢ ἐκείνῳ χρήσασθαι, σώματι δὲ ἀκαθάρτῳ καὶ ῥυπαρῷ, καὶ οὐ τῷ παιδὶ τῷ σῷ μόνον, ἀλλὰ μυρίοις ἑτέροις χρησιμεύοντι καταχρήσῃ, καὶ οὐ βδελύξῃ; Ἠσχύνθητε ἀκούσαντες; Ἀλλ' ἐν τοῖς ἔργοις αἰσχύνθητε, μὴ ἐν τοῖς ῥήμασι. Καὶ τὰ ἄλλα πάντα παρίημι, τὸ τῶν ἠθῶν δύστροπον καὶ μιαρόν, τὸ τῆς ἄλλης ζωῆς δουλικὸν καὶ ἀνελεύθερον. Εἰπέ μοι, πρὸς τὴν αὐτὴν καὶ σὺ καὶ ὁ οἰκέτης ὁ σός; καὶ εἴθε ὁ οἰκέτης μόνον, ἀλλὰ καὶ ὁ δήμιος. Καὶ χεῖρας μὲν τοῦ δημίου οὐκ ἂν ἀνάσχοιο κατασχεῖν· τὴν δὲ ἓν ἐκείνῳ σῶμα γενομένην περιπλέκῃ καὶ καταφιλεῖς, καὶ οὐ φρίττεις οὐδὲ δέδοικας; Οὐκ αἰσχύνῃ, οὐκ ἐντρέπῃ, οὐκ ἀγωνιᾷς; Εἶπον μὲν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρους, ὅτι δεῖ ταχέως πρὸς γάμον ἄγειν ὑμᾶς· ἀλλ' ὅμως οὐδὲ ὑμεῖς ἀνεύθυνοι τῆς κολάσεώς ἐστε. Εἰ γὰρ μὴ καὶ ἄλλοι νέοι μᾶλλον ὑμῶν ἦσαν πολλοὶ ἐν σωφροσύνῃ ζῶντες, καὶ πάλαι καὶ νῦν, ἴσως ἄν τις ἦν ὑμῖν ἀπολογία, εἰ δέ εἰσι, πόθεν ἕξετε εἰπεῖν, ὅτι οὐκ ἠδυνήθημεν κατασχεῖν τὴν φλόγα τῆς ἐπιθυμίας; Ἐκεῖνοι γὰρ κατηγοροῦσιν ὑμῶν οἱ δυνηθέντες, τῷ τῆς αὐτῆς φύσεως μετέχειν.

Ἀκούετε τοῦ Παύλου λέγοντος· «Εἰρήνην διώκετε, καὶ τὸν

ἀκαθαρσία ἀπὸ τὴν ψυχή. Γιατὶ ἂν δὲν ἀκούση αὐτὰ τὰ λόγια ἡ ἀναίσχυντη ψυχή, δὲν ἐντρέπεται. Γιατὶ καὶ ὁ ἰατρὸς ὅταν θέλη νὰ ἀποκόψη τὸ σάπιο μέρος, πρῶτα εἰσάγει τὰ δάκτυλά του στὸ τραῦμα. Καὶ ἂν δὲν μολύνη πρῶτα τὰ χέρια ποὺ θεραπεύουν, δὲν θὰ μπορέση νὰ θεραπεύση τὸ τραῦμα. Ἔτσι καὶ ἐγώ, ἂν δὲν μολύνω πρῶτα τὸ στόμα μου, ποὺ θεραπεύει τὰ πάθη σας, δὲν θὰ μπορέσω νὰ σᾶς θεραπεύσω. Μᾶλλον δὲ οὔτε αὐτὸ μολύνεται, οὔτε ἐκεῖνα τὰ χέρια. Γιατί λοιπόν; Διότι δὲν εἶναι ἡ ἀκαθαρσία φυσική, οὔτε προέρχεται ἀπὸ τὸ ἰδικό μας σῶμα, ὅπως οὔτε ἐκεῖ ἀπὸ τὰ χέρια τοῦ ἰατροῦ, ἀλλὰ ἀπὸ ξένους. Ἐὰν ὅμως, ὅπου εἶναι ξένο τὸ σῶμα, δὲν ἀποφεύγη ἐκεῖνος νὰ βυθίση τὰ χέρια του, ὅπου τὸ σῶμα εἶναι ἰδικό μας, εἰπέ μου, θὰ ἀποφύγωμε; Γιατὶ ἐσεῖς εἶσθε σῶμα δικό μας, ἄρρωστο βέβαια καὶ ἀκάθαρτο, ἀλλὰ δικό μας.

4. Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγω καὶ γιὰ τὸ ὁποῖο ἔκαμα τόσο μεγάλη παρέκβασι; Ἔνδυμα, ποὺ ἔχει ὁ δοῦλος, δὲν θὰ ἐπροτιμοῦσες ποτὲ νὰ φορέσης, ἐπειδὴ τὸ ἀπεχθάνεσαι ἐξ αἰτίας τῆς ἀκαθαρσίας, ἀλλὰ θὰ ἐπροτιμοῦσες νὰ εἶσαι γυμνός, παρὰ νὰ χρησιμοποιήσης ἐκεῖνο, σῶμα ὅμως ἀκάθαρτο καὶ μολυσμένο, ποὺ εἶναι χρήσιμο ὄχι μόνο στὸ δοῦλο σου, ἀλλὰ καὶ σὲ πολλοὺς ἄλλους, θὰ τὸ χρησιμοποιήσης τόσο πολὺ καὶ δὲν θὰ αἰσθανθῆς ἀπέχθεια; Ἐντραπήκατε ποὺ τὰ ἀκούσατε; Νὰ ἐντραπῆτε ὅμως γιὰ τὰ ἔργα, ὄχι γιὰ τὰ λόγια. Καὶ ὅλα τὰ ἄλλα τὰ ἀφήνω κατὰ μέρος, δηλαδὴ τὶς κακὲς καὶ ἀνήθικες συνήθειες, τὴ δουλοπρέπεια καὶ τὴ δουλικότητα τῆς ἄλλης ζωῆς. Εἰπέ μου, ἔρχεσαι στὴν ἴδια καὶ σὺ καὶ ὁ δοῦλος σου; καὶ εἴθε ὁ δοῦλος σου μόνο, ἀλλ' ἔρχεται καὶ ὁ δήμιος. Καὶ τὰ χέρια τοῦ δημίου δὲν θὰ ἀνεχόσουν νὰ κρατήσης, αὐτὴν ὅμως ποὺ ἔγινε ἕνα σῶμα μὲ ἐκεῖνον τὴν ἀγκαλιάζεις καὶ τὴν φιλεῖς, καὶ δὲν φρίττεις οὔτε φοβᾶσαι; Δὲν αἰσχύνεσαι, δὲν ἐντρέπεσαι, δὲν ἀγωνιᾶς; Εἶπα πρὸς τοὺς πατέρες σας, ὅτι πρέπει σύντομα νὰ σᾶς ὁδηγήσουν σὲ γάμο, ἀλλ' ὅμως οὔτε ἐσεῖς εἶσθε ἀνεύθυνοι τῆς τιμωρίας. Γιατὶ ἐὰν δὲν ὑπῆρχαν καὶ πολλοὶ ἄλλοι νέοι νὰ ζοῦν μὲ πιὸ πολλὴ σωφροσύνη ἀπὸ σᾶς, καὶ παλαιότερα καὶ τώρα, ἴσως νὰ ὑπῆρχε σὲ σᾶς κάποια δικαιολογία, ἐφόσον ὅμως ὑπάρχουν, πῶς θὰ μπορέσετε νὰ εἰπῆτε, ὅτι δὲν ἠμπορέσαμε νὰ συγκρατήσωμε τὴ φλόγα τῆς ἐπιθυμίας; Γιατὶ σᾶς κατηγοροῦν ἐκεῖνοι, οἱ ὁποῖοι ἠμπόρεσαν, μὲ τὸ νὰ ἔχουν τὴν αὐτὴ φύσι.

Ἀκούετε τὸν Παῦλο ποὺ λέγει· «Νὰ ἐπιδιώκετε τὴν εἰρήνη καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο κανένας δὲν θὰ ἰδῆ τὸν Κύριο». Ἡ

ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Ἡ ἀπειλὴ αὕτη οὐχ ἱκανὴ φοβῆσαι; Ὁρᾷς ἑτέρους διόλου σωφρονοῦντας καὶ ἐν σεμνότητι διάγοντας, καὶ σὺ οὐδὲ τὸν μέχρι τῆς νεότητος χρόνον καρτερεῖς; ὁρᾷς ἑτέρους καταπαλαίσαντας μυριάκις τὴν ἡδονήν, καὶ σὺ οὐδὲ ἅπαξ ἀνέχῃ; Εἰ βούλεσθε, τὴν αἰτίαν ἐγὼ λέγω. Οὐ γὰρ ἡ νεότης αἰτία· ἐπεὶ ἔμελλον πάντες οἱ νέοι ἀκόλαστοι εἶναι· ἀλλ' ἡμεῖς ἑαυτοὺς ὠθοῦμεν εἰς τὴν πυράν. Ὅταν γὰρ ἀνέλθῃς εἰς θέατρον, καὶ καθίσῃς γυμνοῖς μέλεσι γυναικῶν τοὺς ὀφθαλμοὺς ἑστιῶν, πρὸς μὲν καιρὸν ἥσθης, ὕστερον δὲ πολὺν ἐκεῖθεν ἔθρεψας τὸν πυρετόν. Ὅταν ἴδῃς ὥσπερ σώματος τύπῳ γυναῖκας φαινομένας, ὅταν καὶ θεάματα καὶ ᾄσματα μηδὲν ἕτερον, ἀλλ' ἢ ἔρωτας ἀτόπους ἔχοντα (ἡ δεῖνα, φησί, τὸν δεῖνα ἐφίλησε, καὶ οὐκ ἐπέτυχε, καὶ ἀπήγξατο), καὶ εἰς μητέρας τοὺς ἀτόπους ἔρωτας ἐκκυλισθέντας, ὅταν καὶ δι' ἀκοῆς ταῦτα δέχῃ, καὶ διὰ γυναικῶν, καὶ διὰ τύπων, ἤδη δὲ καὶ διὰ γερόντων ἀνδρῶν (καὶ γὰρ πολλοὶ προσωπεῖα περιθέντες ἑαυτοῖς, ἐκεῖ γυναικίζονται), πόθεν, εἰπέ μοι, δυνήσῃ σωφρονῆσαι λοιπόν, ἐκείνων τῶν διηγημάτων, ἐκείνων τῶν θεαμάτων, ἐκείνων τῶν ἀκουσμάτων κατεχόντων σου τὴν ψυχήν, καὶ ὀνείρων τοιούτων διαδεχομένων λοιπόν; πέφυκε γὰρ ὡς τὰ πολλὰ τοιαῦτα φαντασιοῦσθαι ἡ ψυχή, οἷα ἂν ἐν ἡμέρᾳ βούληται καὶ ἐπιθυμῇ.

Ὅταν οὖν ἐκεῖ μὲν καὶ πράγματα βλέπῃς αἰσχρά, καὶ ῥήματα ἀκούῃς αἰσχρότερα, καὶ τὰ μὲν τραύματα δέχῃ, τὰ δὲ φάρμακα μὴ ἐπιτιθῇς, πῶς οὐκ εἰκότως ἡ σηπεδὼν αὐξηθήσεται; πῶς ἡ νόσος οὐκ ἐπιταθήσεται, καὶ πολλῷ μᾶλλον, ἢ ἐν τοῖς ἡμετέροις σώμασι; Κουφότερον γάρ, εἴγε ἐβουλόμεθα, τῶν σωμάτων ἡ προαίρεσις τὰ τῆς διορθώσεως ἐδέχετο. Ἐκεῖ μὲν γὰρ καὶ φαρμάκων καὶ ἰατρῶν καὶ χρόνου δεῖ, ἐνταῦθα δὲ ἀρκεῖ θελήσαντα, καὶ ἀγαθὸν γενέσθαι καὶ κακόν. Ὥστε μᾶλλον ἐδέξω τὴν νόσον. Ὅταν οὖν τὰ μὲν βλάπτοντα συμφορῶμεν, μηδένα δὲ λόγον ποιώμεθα τῶν ὠφελούντων, πότε ἔσται τις ὑγεία; Διὰ τοῦτο Παῦλος ἔλεγε, «Καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν». Αἰσχυνθῶμεν, φοβηθῶμεν, εἰ τὰ μὴ εἰδότα τὸν Θεὸν ἔθνη πολλάκις σωφρονεῖ· ἐντραπῶμεν, ὅταν ἐκείνων χείρους ὦμεν. Εὔκο-

ἀπειλὴ αὐτὴ δὲν εἶναι ἱκανὴ νὰ σὲ φοβίσῃ; Βλέπεις ἄλλους νὰ εἶναι τελείως σώφρονες καὶ νὰ ζοῦν μὲ σεμνότητα, καὶ σὺ οὔτε τὸ χρόνο μέχρι τὴ νεότητά σου δὲν ὑπομένεις μὲ ἐγκράτεια; βλέπεις ἄλλους νὰ ἔχουν κατανικήσει πολλὲς φορὲς τὴν ἡδονή, καὶ σὺ οὔτε μία φορὰ δὲν τὴν ὑποφέρεις; Ἐὰν θέλετε, θὰ σᾶς εἰπῶ ἐγὼ τὴν αἰτία. Δὲν εἶναι βέβαια ἡ νεότητα αἰτία, γιατὶ θὰ συνέβαινε ὅλοι οἱ νέοι νὰ εἶναι ἀκόλαστοι, ἀλλ' ἐμεῖς ὠθοῦμε τοὺς ἑαυτούς μας στὴ φωτιά. Γιατὶ ὅταν πηγαίνῃς στὸ θέατρο καὶ κάθεσαι γιὰ νὰ τέρψῃς τὰ μάτια σου μὲ τὰ γυμνὰ μέλη τῶν γυναικῶν, προσωρινὰ βέβαια εὐχαριστήθηκες, ἀργότερα ὅμως ἐδυνάμωσες ἀπὸ ἐκεῖ πολὺ τὴν ἔξαψί σου. Ὅταν βλέπῃς νὰ παρουσιάζωνται γυναῖκες μὲ τὴ μορφὴ γυμνοῦ σώματος, ὅταν βλέπῃς καὶ θεάματα καὶ ἄσματα νὰ μὴ περιέχουν τίποτε ἄλλο, παρὰ μόνο παράδοξους ἔρωτες, (ἡ τάδε, λέγει, ἐρωτεύθηκε τὸν τάδε, καὶ δὲν εἶχε ὁ ἔρωτάς της καλὸ τέλος, καὶ ἀπαγχονίσθηκε), καὶ ὅταν ἰδῇς νὰ ἀναφέρωνται στὶς μητέρες οἱ ἀνόητοι ἔρωτες, ὅταν δέχεσαι αὐτὰ καὶ μὲ τὴν ἀκοή, καὶ μὲ γυναῖκες καὶ μὲ τύπους, ἤδη δὲ καὶ μὲ γέροντες (γιατὶ πολλοὶ ἀφοῦ ἐφόρεσαν προσωπεῖα, ἔτσι συμπεριφέρονται σὰν γυναῖκες), πῶς θὰ μπορέσῃς, εἰπέ μου, νὰ φέρεσαι μὲ σωφροσύνη στὸ μέλλον, ὅταν ἐκεῖνες οἱ διηγήσεις, ἐκεῖνα τὰ θεάματα, ἐκεῖνα τὰ ἀκροάματα κατέχουν τὴν ψυχή σου καὶ ὅταν στὴ συνέχεια τὰ διαδέχωνται αὐτὰ παρόμοια ὄνειρα; Γιατὶ εἶναι φυσικὸ νὰ φαντάζεται ἡ ψυχὴ πολλὰ τέτοια, τὰ ὁποῖα θέλει καὶ ἐπιθυμεῖ στὴ διάρκεια τῆς ἡμέρας.

Ὅταν λοιπὸν ἐκεῖ βλέπῃς πράγματα αἰσχρὰ καὶ ἀκούῃς λόγια αἰσχρότερα, καὶ δέχεσαι τὰ τραύματα, δὲν ἐπιθέσῃς ὅμως τὰ φάρμακα, πῶς δὲν θὰ αὐξηθῇ δικαιολογημένα τὸ σάπισμα; πῶς δὲν θὰ ἁπλωθῇ ἡ ἀσθένεια καὶ πολὺ περισσότερο, παρὰ στὰ ἰδικά μας σώματα; Γιατί, ἐὰν βέβαια ἠθέλαμε, πιὸ εὔκολα ἀπὸ τὰ σώματα θὰ ἐδέχετο ἡ διάθεσίς μας τὴ θεραπεία. Γιατὶ ἐκεῖ χρειάζονται καὶ φάρμακα καὶ ἰατροὶ καὶ χρόνος, ἐδῶ ὅμως ἀρκεῖ νὰ θελήσῃ κανείς, καὶ νὰ γίνῃ ἀγαθὸς ἂν καὶ ἦταν κακός. Ὥστε περισσότερο ὑπέμενες τὴν ἀσθένεια. Ὅταν λοιπὸν ἐπισωρεύωμε αὐτὰ ποὺ βλάπτουν καὶ δὲν φροντίζωμε καθόλου γι' αὐτὰ ποὺ ὠφελοῦν, πότε θὰ ἔχωμε ὑγεία; Γι' αὐτὸ ὁ Παῦλος ἔλεγε, «Ὅπως ἀκριβῶς καὶ οἱ ἐθνικοὶ οἱ ὁποῖοι δὲν γνωρίζουν τὸν Θεό». Ἂς ἐντραποῦμε, ἂς φοβηθοῦμε, ἐὰν οἱ ἐθνικοί, οἱ ὁποῖοι δὲν γνωρίζουν τὸν Θεό, εἶναι πολλὲς φορὲς συνετοί. Ἂς ἐντραποῦμε, ὅταν εἴμασθε χειρότεροι ἀπὸ ἐκείνους. Εἶναι εὔκολο νὰ ἐπιτύχωμε τὴ σωφροσύνη ἐὰν θέλωμε,

λον κατορθῶσαι σωφροσύνην, ἂν ἐθέλωμεν, ἂν ἀπάγωμεν τῶν βλαπτόντων ἑαυτούς· ἐπεὶ οὐδὲ πορνείαν διαφυγεῖν εὔκολον, ἂν μὴ θέλωμεν. Τί γὰρ τοῦ βαδίζειν ἐπ' ἀγορᾶς εὐκολώτερον; ἀλλ' ὑπὸ τῆς πολλῆς βλακείας δύσκολον γέγονεν, οὐκ ἐπὶ γυναικῶν μόνον, ἀλλ' ἤδη καὶ ἐπὶ ἀνδρῶν. Τί τοῦ καθεύδειν εὐκολώτερον; ἀλλὰ καὶ τοῦτο δύσκολον πεποιήκαμεν.

Πολλοὶ γοῦν τῶν πλουσίων δι ὅλης περιστρέφονται τῆς νυκτός, τῷ μὴ περιμένειν τὴν χρείαν τοῦ ὕπνου, καὶ τότε καθεύδειν. Καὶ ὅλως οὐδὲν δύσκολον βουλομένων, οὐδὲν εὔκολον μὴ βουλομένων ἡμῶν· πάντων γὰρ ἡμεῖς κύριοι. Διὰ τοῦτο ἡ Γραφή, «Ἂν μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου». Ὥστε ἐν τῷ θέλειν, καὶ τῷ μὴ θέλειν κεῖται τὸ πᾶν· διὰ τοῦτο καὶ κολαζόμεθα καὶ ἐπαινούμεθα. Γένοιτο δὲ τῶν ἐπαινουμένων γενομένους ἡμᾶς τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

12. Ἡσ. 1,19.20

ἂν ἀπομακρύνωμε τοὺς ἑαυτούς μας ἀπὸ ἐκεῖνα πὸυ βλάπτουν, γιατὶ οὔτε τὴν πορνεία εἶναι εὔκολο νὰ ἀποφύγωμε, ἂν δὲν θέλωμε. Γιατὶ τί εἶναι εὐκολώτερο ἀπὸ τὸ νὰ βαδίζῃ κανεὶς στὴν ἀγορά; ὅμως ἀπὸ τὴν πολλὴ βλακεία ἔχει γίνει δύσκολο, ὄχι μόνο γιὰ τὶς γυναῖκες, ἀλλὰ τώρα ἔγινε καὶ γιὰ τοὺς ἄνδρες. Τί εἶναι εὐκολώτερο ἀπὸ τὸ νὰ κοιμώμασθε; ἀλλὰ καὶ αὐτὸ τὸ ἔχομε κάμει δύσκολο.

Πολλοὶ πλούσιοι λοιπὸν περιστρέφονται ὅλη τὴ νύκτα, ἐπειδὴ κοιμοῦνται καὶ δὲν περιμένουν τὴν ἀνάγκη τοῦ ὕπνου,. Καὶ γενικὰ τίποτε δὲν εἶναι δύσκολο ὅταν θέλωμε, τίποτε δὲν εἶναι εὔκολο ὅταν δὲν θέλωμε, γιατὶ ἐμεῖς εἴμασθε γιὰ ὅλα κύριοι. Γι' αὐτὸ καὶ ἡ Γραφὴ λέγει, «Ἂν θέλετε, θὰ μὲ ἀκούσετε» καὶ πάλι, «Ἂν δὲν θέλετε, οὔτε θὰ μὲ ἀκούσετε»[12]. Ὥστε τὸ καθετὶ ἐξαρτᾶται ἀπὸ τὸ ἐὰν θέλωμε καὶ τὸ ἐὰν δὲν θέλωμε. Γι' αὐτὸ καὶ τιμωρούμασθε καὶ ἐπαινούμασθε. Εἴθε ὅμως ἐμεῖς, ἀφοῦ γίνωμε ἀπὸ ἐκείνους ποὺ ἐπαινοῦνται, νὰ ἐπιτύχωμε τὰ ἀγαθὰ τὰ ὁποῖα ἔχει ὑποσχεθῆ σὲ αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΣΤ.

(Α΄ Θεσ. 4, 9–12)

«Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν. Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς καὶ τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ».

1. Τί δήποτε περὶ σωφροσύνης αὐτοῖς σφοδρῶς διαλεχθείς, καὶ περὶ τοῦ δεῖν ἐργάζεσθαι μέλλων διαλέγεσθαι, καὶ περὶ τοῦ μὴ λυπεῖσθαι ἐπὶ τοῖς ἀπελθοῦσιν, ὃ πάντων ἦν κεφάλαιον τῶν ἀγαθῶν τὸ τῆς ἀγάπης, τοῦτο κατὰ παράλειψιν τίθησι, λέγων· «Οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν»; Καὶ τοῦτο ἀπὸ τῆς πολλῆς συνέσεως καὶ τῆς πνευματικῆς διδασκαλίας. Δύο γὰρ ἐνταῦθα ἐμφαίνει, ἓν μέν, ὅτι οὕτως ἀναγκαῖον τὸ πρᾶγμα, ὡς μηδὲ διδασκαλίας δεῖσθαι· τὰ γὰρ σφόδρα μεγάλα πᾶσίν ἐστι δῆλα· δεύτερον δέ, μᾶλλον αὐτοὺς ἐντρέπει, ἢ εἰ παρῄνεσε, τοῦτο εἰπών. Ὁ γὰρ νομίζων αὐτοὺς κατωρθωκέναι, καὶ διὰ τοῦτο μὴ παραινῶν, καὶ εἰ μὴ κατώρθωσαν, ἐνήγαγεν ἂν μᾶλλον. Καὶ ὅρα· οὐ λέγει περὶ τῆς ἀγάπης τῆς εἰς πάντας, ἀλλὰ τῆς εἰς τοὺς ἀδελφούς. «Οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν». Ἐχρῆν οὖν σιωπῆσαι, καὶ μηδὲν εἰπεῖν, εἰ μὴ χρεία ἦν. Νῦν δὲ τῷ εἰπεῖν, οὐ χρεία ἐστί, μεῖζον ἐποίησεν, ἢ εἰ εἶπεν. «Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε». Καὶ ὅρα μεθ' ὅσου ἐγκωμίου τὸν Θεὸν αὐτοῖς διδάσκαλον ἐπέστησε τούτου. Οὐ δεῖσθε, φησί, παρὰ ἀνθρώπου μαθεῖν. Ὅπερ καὶ ὁ προφήτης φησί, «Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ».

«Αὐτοὶ γὰρ ὑμεῖς», φησί, «θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς καὶ τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ, καὶ εἰς τοὺς ἄλλους πάντας», φησί.

1. Ἠσ. 54,13 Ἰω. 6,45

ΟΜΙΛΙΑ ΣΤ΄

(Α΄ Θεσ. 4,9–12)

«Γιὰ δὲ τὴν ἀγάπη πρὸς τοὺς ἀδελφούς σας δὲν χρειάζεται νὰ σᾶς γράφωμε. Γιατὶ μόνοι σας εἶσθε διδαγμένοι ἀπὸ τὸν Θεὸ στὸ νὰ ἀγαπᾶ ὁ ἕνας τὸν ἄλλο. Καὶ πραγματικὰ κάνετε αὐτὸ σὲ ὅλους τοὺς ἀδελφοὺς καὶ σὲ αὐτοὺς ποὺ εὑρίσκονται σὲ ὅλη τὴ Μακεδονία».

1. Γιατί λοιπὸν ἀφοῦ εἶπε πολλὰ σὲ αὐτοὺς γιὰ τὴ σωφροσύνη καὶ ἐνῶ ἐπρόκειτο νὰ τοὺς εἰπῆ γιὰ τὸ ὅτι πρέπει νὰ ἐργάζωνται καὶ νὰ μὴ λυποῦνται γιὰ τοὺς πεθαμένους, αὐτὸ ποὺ ἦταν τὸ σπουδαιότερο ὅλων τῶν ἀγαθῶν, δηλαδὴ τὴν ἀγάπη, τὸ ἀφήνει κατὰ μέρος, λέγοντας, «Δὲν χρειάζεται νὰ σᾶς γράφωμε»; Καὶ τοῦτο εἶναι ἀπόδειξις πολλῆς συνέσεως καὶ πνευματικῆς διδασκαλίας. Γιατὶ δύο πράγματα φανερώνει ἐδῶ, τὸ ἕνα, ὅτι ἦταν τόσο ἀναγκαῖο τὸ πρᾶγμα, ὥστε οὔτε διδασκαλία χρειάζεται, γιατὶ τὰ πολὺ μεγάλα σὲ ὅλους εἶναι φανερά, καὶ δεύτερο, περισσότερο αὐτοὺς ἔτσι ἐλέγχει, παρὰ ἐὰν τοὺς ἐσυμβούλευε, λέγοντας αὐτό. Γιατὶ αὐτὸς ποὺ νομίζει ὅτι αὐτοὶ ἔχουν κατορθώσει τοῦτο καὶ γι' αὐτὸ δὲν τοὺς συμβουλεύει, καὶ ἐὰν ἀκόμη δὲν εἶχαν κατορθώσει, θὰ τοὺς ὠθοῦσε περισσότερο. Καὶ πρόσεχε· δὲν λέγει γιὰ τὴν ἀγάπη πρὸς ὅλους, ἀλλὰ γιὰ τὴν ἀγάπη πρὸς τοὺς ἀδελφούς. «Δὲν χρειάζεται νὰ σᾶς γράφωμε». Ἔπρεπε λοιπὸν νὰ σιωπήση καὶ νὰ μὴ εἰπῆ τίποτε, ἐὰν δὲν ὑπῆρχε ἀνάγκη. Τώρα ὅμως μὲ τὸ νὰ εἰπῆ, δὲν χρειάζεται, ἐπέτυχε περισσότερο, παρὰ ἐὰν ἔλεγε ὅτι χρειάζεται. «Γιατὶ μόνοι σας εἶσθε διδαγμένοι ἀπὸ τὸν Θεό». Καὶ πρόσεχε μὲ πόσο ἔπαινο τοὺς ὥρισε γι' αὐτὸ διδάσκαλο τὸν Θεό. Δὲν ἔχετε ἀνάγκη, λέγει, νὰ μάθετε ἀπὸ ἄνθρωπο. Αὐτὸ καὶ ὁ προφήτης λέγει, «Καὶ θὰ εἶναι ὅλοι διδαγμένοι ἀπὸ τὸν Θεό»[1].

«Γιατὶ ἐσεῖς», λέγει, «εἶσθε διδαγμένοι ἀπὸ τὸν Θεὸ στὸ νὰ ἀγαπᾶ ὁ ἕνας τὸν ἄλλο. Καὶ πραγματικὰ κάνετε αὐτὸ σὲ ὅλους τοὺς ἀδελφοὺς καὶ σὲ αὐτοὺς ποὺ εὑρίσκονται σὲ ὅλη τὴ Μακεδονία καὶ

τοῦτο τὸ ὄνομα», φησί, «βλασφημεῖται τοῦ Θεοῦ». Ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ' ὃ μάλιστα αὐτῶν καθάψασθαι ἴσχυε, τὸ τῆς ἀσχημοσύνης.

2. «Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Δύο ταῦτα μάλιστα ἐλυμαίνετο αὐτούς, πενία καὶ ἀθυμία, ὃ καὶ πᾶσιν ἀνθρώποις. Ὅρα οὖν πῶς αὐτὰ θεραπεύει. Πενία δὲ ἐκ τοῦ ἡρπάσθαι αὐτῶν τὰ χρήματα. Εἰ δὲ ὧν τὰ χρήματα ἡρπάζετο διὰ τὸν Χριστόν, τούτους κελεύει ἐργαζομένους τρέφεσθαι, πολλῷ μᾶλλον τοὺς ἄλλους. Ὅτι γὰρ ἡρπάγη, «Κοινωνοί», φησίν, «ἐγένεσθε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ». Πῶς ἐκείνοις κοινωνοί, φησί· «Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε». Ἐνταῦθα λοιπὸν τὸν περὶ ἀναστάσεως λόγον κινεῖ. Καὶ τί; οὐκ ἦν αὐτοῖς ἄρα περὶ τούτου διαλεχθείς; Ἀλλ' ἐνταῦθα ἕτερόν τι αἰνίττεται μυστήριον. Ποῖον δὴ τοῦτο; «Ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι», φησίν, «εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας». Ἱκανὸς μὲν οὖν καὶ ὁ τῆς ἀναστάσεως λόγος παραμυθήσασθαι τὸν ἐν ὀδύνῃ, ἱκανὸν δὲ τὸ νῦν λεγόμενον, μάλιστα ἀξιόπιστον ποιοῦν τὴν ἀνάστασιν.

Πρῶτον δὲ ἐκεῖνο εἴπωμεν· «Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Ὅρα πῶς καὶ ἐνταῦθα ἡμέρως. Οὐκ εἶπεν, οὕτως ἀνόητοί ἐστε, καθάπερ πρὸς Κορινθίους, ἄφρονες, ὅτι εἰδότες ἀνάστασιν, ὡς οἱ μὴ πιστεύοντες, οὕτω λυπεῖσθε, ἀλλὰ σφόδρα ἡμέρως, τὴν ἄλλην αὐτῶν ἀρετὴν αἰδούμενος. Καὶ οὐκ εἶπε, περὶ τῶν ἀποθανόντων, ἀλλά, «περὶ τῶν κεκοιμημένων», εὐθέως ἀπὸ προοιμίων τὴν παράκλησιν καταβαλλόμενος. «Ἵνα μὴ λυπῆσθε», φησίν, «ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Ἄρα τὸ κατακόπτεσθαι ἐπὶ τοῖς ἀπελθοῦσι τῶν οὐκ ἐχόντων ἐστὶν ἐλπίδα· εἰκότως. Ψυχὴ γὰρ οὐδὲν περὶ ἀναστάσεως ἐπισταμένη, ἀλλὰ τὸν θάνατον τοῦτον θάνατον εἶναι νομίζουσα, εἰκότως ὡς περὶ ἀπολωλότων κόπτεται καὶ θρηνεῖ καὶ ἀφορήτως πενθεῖ· σὺ δὲ ὁ προσδοκῶν ἀνάστασιν, τίνος ἕνεκεν

---

4. Ρωμ. 2,24
5. Α' Θεσ. 4,13
6. Α' Θεσ. 2,14
7. Ἑβρ. 10,34
8. Α' Θεσ. 4,15
9. Βλ. Α' Κορ. κεφ. 15, ὅπου ὁ Παῦλος ὁμιλεῖ γιὰ τὴν ἀνάσταση τοῦ Χριστοῦ καὶ τῶν νεκρῶν.

καλοῦν καὶ χριστεμπόρους. «Γι' αὐτό», λέγει, «βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ»[4]. Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, ἀλλ' ἐκεῖνο ποὺ ἠμποροῦσε νὰ κατηγορήση πιὸ πολύ, δηλαδὴ τὴν ἀσχημοσύνη.

2. «Δὲν θέλομε ὅμως νὰ ἔχετε ἄγνοια, ἀδελφοί, γιὰ τοὺς πεθαμένους γιὰ νὰ μὴ λυπῆσθε, ὅπως καὶ οἱ λοιποί, οἱ ὁποῖοι δὲν ἔχουν ἐλπίδα»[5]. Τὰ δύο αὐτὰ ἔβλαπταν πάρα πολὺ αὐτούς, ἡ φτώχεια καὶ ἡ λύπη, τὸ ὁποῖο συναντᾶται καὶ σὲ ὅλους τοὺς ἀνθρώπους. Πρόσεξε λοιπὸν πῶς θεραπεύει αὐτά. Ἡ φτώχεια ὅμως ὑπῆρχε σὲ αὐτοὺς ἐπειδὴ τοὺς εἶχαν ἀποσπάσει τὰ χρήματά τους. Ἐὰν ὅμως ἐκείνους, τῶν ὁποίων τὰ χρήματα ἀποσποῦσαν γιὰ τὸν Χριστό, προτρέπη νὰ τρέφωνται μὲ τὴν ἐργασία τους, πολὺ περισσότερο τοὺς ἄλλους. Διότι πράγματι τοὺς τὰ εἶχαν ἁρπάξει· «Συμμέτοχοι» λέγει, «ἐγίνατε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ»[6]. Πῶς ἔγιναν συμμέτοχοι μὲ ἐκείνους, λέγει· «Καὶ τὴν ἁρπαγὴ τῆς περιουσίας σας ἐδεχθήκατε μὲ χαρά»[7]. Ἐδῶ λοιπὸν ἀρχίζει τὸ λόγο περὶ τῆς ἀναστάσεως. Καὶ τί; μήπως δὲν τοὺς εἶχε ὁμιλήσει γι' αὐτό; Ἐδῶ ὅμως ὑπαινίσσεται κάποιο ἄλλο μυστήριο. Ποιὸ λοιπὸν εἶναι αὐτό; «Ὅτι ἐμεῖς οἱ ζωντανοί», λέγει, «οἱ ὁποῖοι θὰ ἀπομείνωμε κατὰ τὴν παρουσία τοῦ Κυρίου, δὲν θὰ προφθάσωμε τοὺς πεθαμένους»[8]. Ἔχει λοιπὸν τὴ δύναμι καὶ ὁ λόγος τῆς ἀναστάσεως νὰ παρηγορήση ἐκεῖνον ποὺ εὑρίσκεται σὲ μεγάλη λύπη, εἶναι ὅμως ἱκανὸ τὸ λεγόμενο τώρα, νὰ κάνη περισσότερο ἀξιόπιστη τὴν ἀνάστασι.

Πρῶτα ὅμως ἂς εἰποῦμε ἐκεῖνο· «Δὲν θέλομε νὰ ἔχετε ἄγνοια, ἀδελφοί, γι' αὐτοὺς ποὺ ἔχουν κοιμηθῆ, γιὰ νὰ μὴ λυπῆσθε, ὅπως καὶ οἱ λοιποί, οἱ ὁποῖοι δὲν ἔχουν ἐλπίδα». Πρόσεχε πῶς καὶ ἐδῶ ὁμιλεῖ μὲ ἥμερο τρόπο. Δὲν εἶπε, τόσο ἀνόητοι εἶσθε, ὅπως πρὸς τοὺς Κορινθίους[9], ἄφρονες, διότι ἂν καὶ γνωρίζετε τὴν ἀνάστασι, ὅπως ἐκεῖνοι ποὺ δὲν πιστεύουν, ἔτσι λυπεῖσθε, ἀλλὰ μὲ ὑπερβολικὰ ἥμερο τρόπο, σεβόμενος τὴν ἄλλη ἀρετή τους. Καὶ δὲν εἶπε, γιὰ τοὺς πεθαμένους, ἀλλὰ «γιὰ ἐκείνους ποὺ ἔχουν κοιμηθῆ», θεμελιώνοντας ἀμέσως ἀπὸ τὴν ἀρχὴ τὴν παρηγοριά. «Γιὰ νὰ μὴ λυπῆσθε», λέγει, «ὅπως καὶ οἱ λοιποί, οἱ ὁποῖοι δὲν ἔχουν ἐλπίδα». Ἄρα τὸ νὰ ὀδύρεται κανεὶς γιὰ τοὺς πεθαμένους εἶναι γνώρισμα ἐκείνων ποὺ δὲν ἔχουν ἐλπίδα. Καὶ εἶναι φυσικό. Γιατὶ ὁ ἄνθρωπος ποὺ δὲν γνωρίζει τίποτε γιὰ ἀνάστασι, ἀλλὰ νομίζει ὅτι εἶναι πραγματικὸς θάνατος αὐτὸς ὁ θάνατος, δικαιολογημένα ὀδύρεται καὶ θρηνεῖ καὶ ἀφόρητα πενθεῖ γι' αὐτοὺς σὰν νὰ ἔχουν χαθῆ. Ἐσὺ

ὀδύρῃ; Ἄρα τῶν μὴ ἐχόντων ἐλπίδα ἐστὶ τὸ ὀδύρεσθαι.

3. Ἀκούσατε τῶν γυναικῶν ὅσαι φιλόθρηνοι, ὅσαι πρὸς τὰ πένθη ἀφορήτως φέρεσθε, ὅτι τὰ τῶν ἐθνικῶν πράττετε. Εἰ δὲ τὸ ἀλγεῖν ἐπὶ τοῖς ἀπελθοῦσιν ἐθνικῶν, τὸ κατακόπτεσθαι καὶ καταξαίνειν παρειάς, τίνων ἄρα ἐστίν, εἰπέ μοι; Τίνος ἕνεκεν θρηνεῖς, εἰ πιστεύεις ὅτι ἀναστήσεται, ὅτι οὐκ ἀπόλωλεν, ὅτι ὕπνος καὶ κοίμησις τὸ πρᾶγμά ἐστι; Συνηθείας ἕνεκεν, φησί, καὶ προστασίας, πραγμάτων ἐπιμελείας, τῆς ἄλλης θεραπείας ἁπάσης. Ὅταν οὖν παῖδα ἀπολέσῃς ἐν ἀώρῳ ἡλικίᾳ, οὐδὲν οὐδέπω πρᾶξαι δυνάμενον, τίνος ἕνεκεν θρηνεῖς; τί ἐπιζητεῖς; Ἐλπίδας, φησί, χρηστὰς ἐνέφαινε, καὶ προσεδόκων ὅτι μου προστήσεται. Διὰ τοῦτο ζητῶ τὸν ἄνδρα, διὰ τοῦτο τὸν υἱόν, διὰ τοῦτο κόπτομαι καὶ θρηνῶ, οὐκ ἀπιστοῦσα τῇ ἀναστάσει, ἀλλ' ἔρημος βοηθείας γενομένη, καὶ τὸν προστάτην ἀπολωλεκυῖα, τὸν σύνοικον, τὸν ἐν πᾶσι κοινωνοῦντα, τὸν παρηγοροῦντα· ταῦτα πενθῶ.

Οἶδα ὅτι ἀναστήσεται, ἀλλ' οὐ φέρω τὸν μεταξὺ χωρισμόν· πολὺς τῶν πραγμάτων ὁ ὄχλος ἐπιρρεῖ· πᾶσι πρόκειμαι τοῖς βουλομένοις ἀδικεῖν· οἱ δεδοικότες πρότερον τῶν οἰκετῶν, καταφρονοῦσι νῦν, ἐπεμβαίνουσιν· εἴ τις εὐηργέτηται, τῆς εὐεργεσίας ἐπιλέλησται τῆς ἐκείνου· εἴ τις κακῶς ἔπαθε παρ' αὐτοῦ, τῷ ἀπελθόντι μνησικακῶν εἰς ἐμὲ τὴν ὀργὴν ἀφίησι. Ταῦτα οὐκ ἀφίησί με τὴν χηρείαν φέρειν πράως· διὰ ταῦτα κόπτομαι, διὰ ταῦτα θρηνῶ. Πῶς οὖν τὰς τοιαύτας παραμυθησόμεθα; τί ἐροῦμεν; πῶς αὐτῶν τὴν ὀδύνην ἀποκρουσόμεθα; Πρῶτον αὐτὰς διελέγξαι πειράσομαι, ὅτι οὐ τούτων ἐστὶν ὁ θρῆνος τῶν ῥημάτων, ἀλλὰ πάθους ἀλογίστου. Εἰ γὰρ ταῦτα πενθεῖς, ἐχρῆν διαπαντὸς πενθεῖν τὸν ἀπελθόντα· εἰ δὲ ἐνιαυτοῦ παρελθόντος ἐπιλέλησαι, ὡς οὐδὲ γεγενημένου τινός, οὐ τὸν ἀπελθόντα θρηνεῖς, οὐδὲ τὴν προστασίαν. Ἀλλὰ τὸν χωρισμὸν οὐ φέρεις, οὐδὲ τὴν τῆς συνηθείας διακοπήν; Τί δ' ἂν εἴποιεν αἱ καὶ δευτέροις ὁμιλοῦσαι γάμοις; Σφόδρα γε, οὐ γάρ; τοὺς προτέρους ἐπιζητοῦσιν. Ἀλλὰ μὴ πρὸς ταύτας τὸν λόγον ἀποτείνωμεν, ἀλλὰ πρὸς τὰς τοῖς ἀπελθοῦσιν εὔνοιαν φυλαττούσας.

ὅμως ποὺ περιμένεις ἀνάστασι, γιὰ ποιὸ λόγο ὀδύρεσαι; Ἄρα τὸ νὰ ὀδύρεται κανεὶς εἶναι γνώρισμα ἐκείνων ποὺ δὲν ἔχουν ἐλπίδα.

3. Ἀκούσατε ὅσες γυναῖκες ἀγαπᾶτε τοὺς θρήνους, ὅσες πρὸς τὰ πένθη ἀβάστακτα φέρεσθε, ὅτι κάνετε αὐτὰ ποὺ κάνουν οἱ ἐθνικοί. Ἐὰν ὅμως ἡ θλῖψις γιὰ τοὺς πεθαμένους εἶναι χαρακτηριστικὸ τῶν ἐθνικῶν, οἱ κοπετοὶ καὶ τὸ κτύπημα τοῦ προσώπου, εἰπέ μου, τίνων ἄρα εἶναι χαρακτηριστικό; Γιὰ ποιὸ λόγο θρηνεῖς, ἐὰν πιστεύῃς ὅτι θὰ ἀναστηθῇ, ὅτι δὲν ἔχει χαθῆ, ὅτι ὕπνος καὶ κοίμησις εἶναι τὸ πρᾶγμα; Εἶναι ζήτημα συνηθείας, λέγει, καὶ προστασίας καὶ φροντίδας τῶν πραγμάτων καὶ κάθε ἄλλης περιποιήσεως. Ὅταν λοιπὸν χάσῃς τὸ παιδί σου σὲ μικρὴ ἡλικία, ποὺ δὲν ἠμποροῦσε τίποτε ἀκόμη νὰ κάμῃ, γιὰ ποιὸ λόγο θρηνεῖς; τί ἐπιζητεῖς; Ἔδειχνε, λέγει, ἀγαθὲς ἐλπίδες καὶ ἐπερίμενα ὅτι θὰ μὲ συμπαρασταθῇ. Γι' αὐτὸ ζητῶ τὸν ἄνδρα μου, γι' αὐτὸ τὸν υἱό μου, γι' αὐτὸ κόπτομαι καὶ θρηνῶ, ὄχι γιατὶ δὲν πιστεύω στὴν ἀνάστασι, ἀλλὰ γιατὶ ἔμεινα χωρὶς βοήθεια καὶ ἔχω χάσει τὸν προστάτη μου, τὸ σύντροφο, ἐκεῖνον ποὺ συμμετεῖχε σὲ ὅλα, ποὺ μοῦ ἔδινε θάρρος· γι' αὐτὰ πενθῶ.

Γνωρίζω ὅτι θὰ ἀναστηθῇ, ἀλλὰ δὲν ἀντέχω τὸν ἐνδιάμεσο χωρισμό. Πάρα πολλὲς ὑποθέσεις συρρέουν, εἶμαι στὴ διάθεσι ἐκείνων ποὺ ἐπιθυμοῦν τὴν ἀδικία. Οἱ ὑπηρέτες ποὺ προηγουμένως ἐφοβοῦνταν, μὲ περιφρονοῦν τώρα, ἐπεμβαίνουν στὶς ὑποθέσεις μου. Ὅποιος εἶχε εὐεργετηθῆ, ἔχει ξεχάσει τὴν εὐεργεσία του, ὅποιος εἶχε κακοπάθει ἀπὸ αὐτόν, ἐπειδὴ μνησικακεῖ μὲ τὸν πεθαμένο, ἀφήνει τὴν ὀργή του νὰ πέσῃ ἐπάνω μου. Αὐτὰ δὲν μοῦ ἐπιτρέπουν νὰ ὑπομένω μὲ ἠρεμία τὴ χηρεία. Γι' αὐτὰ τὰ πράγματα κόπτομαι, γι' αὐτὰ θρηνῶ. Πῶς λοιπὸν θὰ παρηγορήσωμε τὶς χῆρες αὐτές; τί θὰ τὶς εἰποῦμε; πῶς θὰ ἐξαλείψουμε τὴν ὀδύνη τους; Πρῶτα θὰ προσπαθήσω νὰ ἐλέγξω αὐτές, ὅτι δὲν εἶναι γι' αὐτοὺς τοὺς λόγους ὁ θρῆνος, ἀλλ' εἶναι δεῖγμα ἀλογίστου πάθους. Γιατὶ ἐὰν πενθῇς γι' αὐτά, ἔπρεπε νὰ πενθῇς παντοτινὰ τὸν πεθαμένο· ἐὰν ὅμως, ἀφοῦ περάσῃ ἕνας χρόνος, ἔχῃς ξεχάσει, σὰν νὰ μὴ ἔχῃ συμβῆ τίποτε τὸ ἰδιαίτερο, δὲν θρηνεῖς τὸν πεθαμένο, οὔτε τὴν προστασία του. Ἀλλὰ δὲν ἀντέχεις τὸ χωρισμό, οὔτε τὴ διακοπὴ τῆς συνηθείας; Καὶ τί θὰ μποροῦσαν νὰ εἰποῦν ἐκεῖνες ποὺ ἔκαναν δεύτερο γάμο; Πάρα πολὺ ὑποφέρουν, δὲν εἶναι ἔτσι; ἐπιζητοῦν τοὺς πρώτους ἄνδρες. Ἀλλ' ἂς μὴ ἀπευθύνωμε τὸ λόγο πρὸς αὐτές, ἀλλὰ πρὸς ἐκεῖνες ποὺ διατηροῦν τὴ συμπάθειά τους γιὰ τοὺς πεθαμένους.

Διὰ τί πενθεῖς τὸ παιδίον; διὰ τί τὸν ἄνδρα; Τοῦ μέν, ἐπειδὴ οὐκ ἀπέλαυσα, φησί· τοῦ δὲ, ἐπειδὴ προσεδόκησα ἐπιπλέον ἀπολαύσεσθαι. Τοῦτο δὲ αὐτὸ ὅσης ἀπιστίας τὸ νομίζειν, ὅτι ὁ ἀνὴρ ἢ τὸ παιδίον ἐν ἀσφαλείᾳ σε καθίστη, ἀλλ' οὐχ ὁ Θεός; πῶς οὐκ οἴει παροξύνειν αὐτόν; Διὰ γὰρ τοῦτο αὐτοὺς λαμβάνει πολλάκις, ἵνα μὴ οὕτως αὐτοῖς ἧς προσδεδεμένη, ὥστε ἀπ' ἐκείνων τὴν ἐλπίδα ἀπαγαγεῖν. Θεὸς γάρ ἐστι ζηλωτής, καὶ πάντων μάλιστα βούλεται παρ' ἡμῶν φιλεῖσθαι, καὶ τοῦτο, ἐπειδὴ σφόδρα ἡμᾶς φιλεῖ. Ἴστε γὰρ ὅτι τοῦτο τῶν μανικῶς φιλούντων τὸ ἔθος· σφόδρα εἰσί ζηλότυποι, καὶ αἱροῖντο ἂν τὴν ψυχὴν προέσθαι, ἢ παρευδοκιμηθῆναι ὑπό τινος τῶν ἀντεραστῶν. Διὰ ταῦτα καὶ ὁ Θεὸς αὐτὸν ἔλαβε, διὰ ταῦτα τὰ ῥήματα. Ἐπεὶ τίνος ἕνεκεν, εἰπέ μοι, τὸ παλαιὸν οὐκ ἐγίνοντο χηρεῖαι, οὐδὲ ὀρφανίαι ἄωροι; διὰ τί τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ ἀφῆκε πολὺν ζῆσαι χρόνον; Ὅτι καὶ ζῶντος αὐτοῦ, προετίμα τὸν Θεόν. Εἶπε γοῦν, σφάξον· καὶ ἔσφαξε. Διὰ τί τὴν Σάρραν ἐπὶ τοσοῦτον ἤγαγε γῆρας; Ὅτι καὶ ζώσης αὐτῆς, τοῦ Θεοῦ μᾶλλον ἤκουεν, ἢ αὐτῆς. Διὰ τοῦτο ἔλεγε πρὸς αὐτὸν ὁ Θεός· «Ἄκουσον Σάρρας τῆς γυναικός σου». Οὔτε δι'ἀνδρὸς φιλίαν, οὔτε διὰ γυναικός, οὔτε διὰ παιδὸς προστασίαν παρώργιζέ τις τότε τὸν Θεόν.

Νῦν δὲ ἐπειδὴ κατωφερεῖς ἐσμεν, καὶ σφόδρα καταπεπτώκαμεν, καὶ ἄνδρες γυναῖκας τοῦ Θεοῦ πλέον φιλοῦμεν, καὶ γυναῖκες ἄνδρας τοῦ Θεοῦ πλέον προτιμῶμεν, τούτου χάριν καὶ ἄκοντας ἡμᾶς εἰς πόθον ἕλκει τὸν αὐτοῦ. Μὴ φίλει τὸν ἄνδρα τοῦ Θεοῦ πλέον, καὶ οὐκ αἰσθήσῃ χηρείας ποτέ· μᾶλλον δὲ κἂν συμβῇ, οὐ λήψῃ τὴν αἴσθησιν. Διὰ τί; Ὅτι προστάτην ἔχεις τὸν μᾶλλον φιλοῦντα ἀθάνατον. Εἰ μᾶλλον τὸν Θεὸν φιλεῖς, μὴ πένθει· ὁ γὰρ μᾶλλον φιλούμενος, ἀθάνατός ἐστι, καὶ οὐκ ἀφίησι τοῦ ἧττον φιλουμένου λαβεῖν αἴσθησιν. Ἐπὶ ὑποδείγματος δέ σοι τοῦτο ποιήσω φανερόν. Εἰπέ μοι, εἰ ἄνδρα ἔχεις κατὰ γνώμην σοι πάντα πράττοντα, εὐδοκιμοῦντα, καὶ ποιοῦντά σε λαμπρὰν πανταχοῦ καὶ ἀκαταφρόνητον, εὐδοκιμοῦντα παρὰ πᾶσι, συνετόν, σοφόν, φιλοῦντά σε μακαριζομένην δι' αὐτόν, καὶ μετὰ τούτου τέκῃς καὶ παιδίον, εἶτα πρὶν ἢ εἰς ὥραν ἐλθεῖν ἡλικίας ἀπέλθοι τοῦτο, ἆρα αἰσθήσῃ τοῦ πένθους; Οὐδαμῶς· ὁ γὰρ μᾶλλον φι-

---

10. Ὁ Ἀβραὰμ ἔζησε 175 χρόνια (Γεν. 25,7) καὶ ὁ Ἰσαὰκ 180 (Γεν. 35,28).
11. Ἡ Σάρρα ἔζησε 127 χρόνια (Γεν. 23,1).
12. Γεν. 21,12

Γιατί πενθεῖς τὸ παιδί σου; γιατί τὸν ἄνδρα σου; Τὸ παιδὶ γιατὶ δὲν τὸ ἐχάρηκα, ἀπαντᾶ, καὶ τὸν ἄνδρα μου, ἐπειδὴ ἐπερίμενα νὰ τὸν χαρῶ ἀκόμη περισσότερο. Αὐτὸ ὅμως πόση ἀπιστία μαρτυρεῖ, τὸ νὰ νομίζης, ὅτι ὁ ἄνδρας ἢ τὸ παιδὶ σὲ ἀσφαλίζει, καὶ ὄχι ὁ Θεός; πῶς δὲν νομίζεις ὅτι παροργίζεις αὐτόν; Γιατὶ γι' αὐτὸ τοὺς παίρνει πολλὲς φορές, γιὰ νὰ μὴ εἶσαι τόσο δεμένη μὲ αὐτούς, ὥστε νὰ ἀπομακρύνη τὶς ἐλπίδες σου ἀπὸ ἐκείνους. Γιατὶ ὁ Θεὸς εἶναι ζηλότυπος καὶ θέλει ἀπὸ ὅλους μας νὰ ἀγαπᾶται, ἐπειδὴ πάρα πολὺ μᾶς ἀγαπᾶ. Γνωρίζετε βέβαια ὅτι ἡ συνήθεια αὐτὴ εἶναι γνώρισμα ἐκείνων ποὺ ἀγαποῦν παράφορα, εἶναι ὑπερβολικὰ ζηλότυποι καὶ θὰ ἐπροτιμοῦσαν νὰ χάσουν τὴ ζωή τους, παρὰ νὰ παραμερισθοῦν ἀπὸ κάποιον ἀντεραστή. Γι' αὐτὸ καὶ ὁ Θεὸς τὸν ἐπῆρε, γι' αὐτοὺς τοὺς λόγους. Γιατὶ εἰπέ μου, γιὰ ποιὸ λόγο δὲν ἐγίνοντο χηρεῖες τὴν παλαιὰ ἐποχή, οὔτε πρόωρα ὀρφανεύματα; γιατί ἄφησε τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ νὰ ζήσουν πολλὰ χρόνια[10]; Γιατὶ καὶ ὅταν ἐζοῦσε, ἐπροτιμοῦσε τὸν Θεό. Εἶπε λοιπόν, θυσίασε· καὶ ἐκεῖνος ἐθυσίασε τὸν υἱό του. Γιατὶ ἔφερε τὴ Σάρρα σὲ τόσο βαθιὰ γηρατειά[11]; Γιατὶ καὶ ὅταν ἐζοῦσε αὐτή, τὸν Θεὸ ἄκουε περισσότερο, παρὰ αὐτήν. Γι' αὐτὸ ἔλεγε ὁ Θεὸς πρὸς αὐτόν· «Ἄκουσε τὴ Σάρρα τὴ γυναῖκα σου»[12]. Οὔτε γιὰ τὴν ἀγάπη τοῦ ἄνδρα, οὔτε γιὰ τὴν ἀγάπη τῆς γυναίκας, οὔτε γιὰ τὴν προστασία τοῦ παιδιοῦ δὲν παρώργιζε κανεὶς τότε τὸν Θεό.

Τώρα ὅμως ἐπειδὴ εἴμασθε αἰσχροί, καὶ ἔχομε ξεπέσει πάρα πολύ, καὶ οἱ ἄνδρες ἀγαπᾶμε τὶς γυναῖκες περισσότερο ἀπὸ τὸν Θεό, καὶ οἱ γυναῖκες προτιμᾶμε τοὺς ἄνδρες πιὸ πολὺ ἀπὸ τὸν Θεό, ἐξ αἰτίας αὐτοῦ καὶ χωρὶς νὰ θέλωμε μᾶς τραβᾶ νὰ τὸν ἐπιθυμήσωμε. Μὴ ἀγαπᾶς τὸν ἄνδρα σου περισσότερο ἀπὸ τὸν Θεό, καὶ δὲν θὰ αἰσθανθῆς ποτὲ τὴ χηρεία, καλύτερα ὅμως καὶ ἂν συμβῆ, δὲν θὰ τὴν ἀντιληφθῆς. Γιατί; Διότι ἔχεις προστάτη τὸν ἀθάνατο ποὺ ἀγαπᾶ πιὸ πολύ. Ἐὰν ἀγαπᾶς περισσότερο τὸν Θεό, μὴ πενθεῖς, γιατὶ ἐκεῖνος, ποὺ ἀγαπᾶς περισσότερο, εἶναι ἀθάνατος, καὶ δὲν ἀφήνει νὰ ἀντιληφθῆς ἐκεῖνον ποὺ ἀγαπᾶς λιγώτερο. Θὰ σοῦ τὸ καταστήσω φανερὸ αὐτὸ μὲ παράδειγμα. Εἰπέ μου, ἐὰν ἔχης ἄνδρα ποὺ ἐνεργεῖ σύμφωνα μὲ τὴ γνώμη σου, ποὺ προοδεύει καὶ σὲ κάνει παντοῦ ὡραία καὶ σπουδαία, ποὺ σὲ ὅλους ἔχει καλὴ φήμη, ποὺ εἶναι συνετός, σοφός, ποὺ σὲ ἀγαπᾶ καὶ μακαρίζεσαι γι' αὐτόν, καὶ ἐὰν μαζί του γεννήσης παιδί, ἔπειτα προτοῦ ἡλικιωθῆ ἐὰν πεθάνη τοῦτο, ἄραγε θὰ αἰσθανθῆς τὸ πένθος; Καθόλου, γιατὶ ἐκεῖνος ποὺ

λούμενος ἐκεῖνο ἀποκρύπτει. Καὶ νῦν τὸν Θεὸν ἂν πλέον φιλῇς τοῦ ἀνδρός, μάλιστα μὲν οὐ ταχέως αὐτὸν λήψεται· εἰ δὲ ἄρα καὶ λάβοι, οὐχ ἕξεις αἴσθησιν τοῦ πένθους. Διὰ τοῦτο καὶ ὁ μακάριος Ἰὼβ οὐδὲν ἔπασχε δεινόν, τῶν παίδων ἀθρόον τὸν θάνατον ἀκούσας, ἐπειδὴ τὸν Θεὸν ἐφίλει πλέον αὐτῶν. Τοῦ τοίνυν φιλουμένου ζῶντος, οὐδὲν ἔμελλεν ἐκεῖνα λυπήσειν αὐτόν.

Τί λέγεις, ὦ γύναι; ὁ ἀνήρ καὶ ὁ παῖς προΐστατό σου, ὁ δὲ Θεὸς οὐ φείδεταί σου; Αὐτὸν δὴ ἐκεῖνον τίς σοι ἔδωκεν; οὐχὶ αὐτός; σὲ δὲ τίς ἐποίησεν; οὐχὶ αὐτός; Ὁ μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, καὶ ψυχὴν ἐμπνεύσας, καὶ διάνοιαν ἐνθείς, καὶ τὴν αὐτοῦ γνῶσιν καταξιώσας χαρίσασθαι, καὶ τοῦ Υἱοῦ αὐτοῦ μὴ φεισάμενος διὰ σὲ τοῦ μονογενοῦς, σοῦ οὐ φείδεται, ὁ δὲ ὁμόδουλος φείδεται· πόσης ταῦτα ὀργῆς τὰ ῥήματα; Τί τοιοῦτον ἔσχες παρὰ τοῦ ἀνδρός; Οὐδὲν ἂν ἔχοις εἰπεῖν. Εἰ γὰρ τί σε καὶ εὐργέτησεν, ἀλλ' εὖ παθών, ἀλλὰ προϋπαρξάσης σου· ἐπὶ δὲ Θεοῦ οὐδὲν τοιοῦτον ἄν τις ἔχοι λέγειν. Οὐ γὰρ εὖ παθὼν ὁ Θεὸς παρ' ἡμῶν, οὕτως ἡμᾶς εὐεργετεῖ, ἀλλ' ἀνενδεὴς ὤν, ἐξ ἀγαθότητος μόνης εὖ ποιεῖ τὸ τῶν ἀνθρώπων γένος. Βασιλείαν σοι ἐπηγγείλατο, ζωὴν ἀθάνατον, δόξαν, ἀδελφότητα, υἱοθεσίαν ἔδωκε, συγκληρονόμον τοῦ μονογενοῦς ἐποίησε· σὺ δὲ τοῦ ἀνδρὸς ἔτι μέμνησαι μετὰ τοσαῦτα ἀγαθά; Τί τοιοῦτον ἐκεῖνος ἐχαρίσατο; Τὸν ἥλιον αὐτοῦ ἀνέτειλε, τὸν ὑετὸν ἔδωκε, ταῖς ἐτησίοις τροφαῖς τρέφει. Οὐαὶ ἡμῖν ἐκ τῆς πολλῆς ἀχαριστίας. Διὰ τοῦτο λαμβάνει τὸν ἄνδρα, ἵνα αὐτὸν μὴ ζητῇς· σὺ δὲ ἀπελθόντος ἔχῃ ἔτι, καὶ τὸν Θεὸν ἀφίῃς, δέον εὐχαριστεῖν, δέον τὸ πᾶν ἐπ' αὐτὸν ἐπιρρίπτειν;

Τί γάρ ἐστιν ὃ παρὰ τοῦ ἀνδρὸς ἔσχες; ὠδῖνες, καὶ πόνοι, καὶ ὕβρεις, καὶ λοιδορίαι πολλάκις, καὶ ἐπιτιμήσεις, καὶ ἀγανακτήσεις. Οὐ ταῦτα τὰ παρὰ τῶν ἀνδρῶν; Ἀλλ' ἔστι, φησί, καὶ ἕτερα χρηστά. Ποῖα δὴ ταῦτα; ἐκαλλώπισέ σε ἱματίοις πολυτελέσι; χρυσία περιέθηκε τῷ προσώπῳ; αἰδέσιμον πᾶσιν ἐποίησεν; Ἀλλ' ἂν θέλῃς καὶ ἀπελθόντος κοσμήσῃ κόσμῳ πολὺ βελτίονι· τῶν

ἀγαπᾶς πιὸ πολὺ ἀποκρύπτει αὐτό. Καὶ τώρα ἂν ἀγαπᾶς τὸν Θεὸ περισσότερο ἀπὸ τὸν ἄνδρα σου, δὲν θὰ πάρη αὐτὸν πολὺ γρήγορα, καὶ ἂν τυχὸν καὶ τὸν πάρη, δὲν θὰ ἀντιληφθῆς τὸ πένθος. Γι' αὐτὸ καὶ ὁ μακάριος Ἰὼβ δὲν ὑπέφερε καθόλου, ὅταν ἔμαθε ὅτι τὰ παιδιά του ἐπέθαναν διὰ μιᾶς, ἐπειδὴ ἀγαποῦσε τὸν Θεὸ περισσότερο ἀπὸ αὐτά. Ἀφοῦ λοιπὸν ἐκεῖνος τὸν ὁποῖο ἀγαποῦσε ζοῦσε, δὲν ἐπρόκειτο νὰ τὸν λυπήσουν καθόλου ἐκεῖνα.

Τί λέγεις, γυναῖκα; ὁ ἄνδρας καὶ ὁ υἱὸς σὲ ἐπροστάτευαν, καὶ ὁ Θεὸς δὲν σὲ εὐσπλαγχνίζεται; Ἐκεῖνον λοιπὸν τὸν ἴδιο ποιὸς σοῦ τὸν ἔδωσε; ὄχι αὐτός; καὶ ποιός σὲ ἐδημιούργησε; ὄχι αὐτός; Ἐκεῖνος ποὺ ἀπὸ τὸ μηδὲν σὲ ἔφερε στὴν ὕπαρξι, καὶ σοῦ ἐφύσησε ψυχή, καὶ σοῦ ἔβαλε νοῦ, καὶ σὲ ἐθεώρησε ἄξια νὰ σοῦ χαρίση τὴ γνῶσι του, καὶ δὲν λυπήθηκε γιὰ χάρι σου τὸ μονογενῆ του υἱό, δὲν μεριμνᾶ γιὰ σένα, καὶ μεριμνᾶ ὁ συνάνθρωπός σου; πόση ὀργὴ ἀξίζουν αὐτὰ τὰ λόγια; Τί παρόμοιο ἔχεις ἀπὸ τὸν ἄνδρα σου; Τίποτε δὲν θὰ μπορέσης νὰ εἰπῆς. Γιατὶ ἐὰν σοῦ ἔκαμε καὶ κάποια εὐεργεσία, ἀφοῦ ὅμως εὐεργετήθηκε ἀπὸ σένα καὶ προϋπῆρξες ἐσύ· στὴν περίπτωσι ὅμως τοῦ Θεοῦ κανεὶς δὲν θὰ μπορέση νὰ λέγη κάτι τέτοιο. Γιατὶ ὁ Θεὸς συμβαίνει νὰ μᾶς εὐεργετῆ, ὄχι ἐπειδὴ εὐεργετήθηκε ἀπὸ μᾶς, ἀλλ' ἐπειδὴ δὲν ἔχει καμμία ἀνάγκη, ἀπὸ ἀγαθότητα μόνο εὐεργετεῖ τὸ ἀνθρώπινο γένος. Σοῦ ὑποσχέθηκε τὴ βασιλεία τῶν οὐρανῶν, τὴν αἰώνιο ζωή, τὴ δόξα, τὴν ἀδελφότητα, σοῦ ἔδωσε τὴν υἱοθεσία, σὲ ἔκαμε συγκληρονόμο τοῦ μονογενοῦς υἱοῦ του. Ἐσὺ ὅμως ἐνθυμεῖσαι ἀκόμη τὸν ἄνδρα σου ὕστερα ἀπὸ τόσα ἀγαθά; Τί παρόμοιο σοῦ ἐχάρισε ἐκεῖνος; Τὸν ἥλιο του ἀνέτειλε, τὴ βροχὴ σοῦ ἔδωσε, μὲ τὶς ἐτήσιες τροφὲς σὲ τρέφει. Ἀλλοίμονό μας γιὰ τὴν τόσο μεγάλη ἀχαριστία μας. Γι' αὐτὸ παίρνει τὸν ἄνδρα σου, γιὰ νὰ μὴ ἐπιζητῆς αὐτόν. Ἐσὺ ὅμως ἀφοῦ πεθάνη ἐξακολουθεῖς νὰ εἶσαι προσηλωμένη σ' αὐτὸν καὶ ἐγκαταλείπεις τὸν Θεό, ἐνῶ ἔπρεπε νὰ τὸν εὐχαριστῆς, ἐνῶ ἔπρεπε νὰ στηρίζης τὰ πάντα σ' αὐτόν;

Ποιό λοιπὸν εἶναι ποὺ ἔχεις ἀπὸ τὸν ἄνδρα; οἱ ὠδῖνες καὶ οἱ πόνοι, καὶ οἱ ὕβρεις καὶ οἱ ἐξευτελισμοὶ πολλὲς φορὲς καὶ οἱ ἐπιτιμήσεις καὶ οἱ ἀγανακτήσεις. Δὲν εἶναι αὐτὰ ποὺ ἔχετε ἀπὸ τοὺς ἄνδρες; Ὑπάρχουν ὅμως, λέγει, καὶ ἄλλα καλά. Ποιὰ λοιπὸν εἶναι αὐτά; σὲ ἐστόλισε μὲ πολυτελῆ ροῦχα; σοῦ ἐφόρεσε χρυσὰ κοσμήματα στὸ πρόσωπό σου; σὲ ἔκαμε σεβαστὴ σὲ ὅλους; Ἀλλ' ἂν θέλης, καὶ ὅταν πεθάνη αὐτὸς θὰ σὲ στολίση μὲ στολίδια πολὺ

γὰρ χρυσίων πολλῷ θαυμασιωτέραν τὴν ἔχουσαν ἡ σεμνότης ποιεῖ. Ἔχει καὶ οὗτος ὁ βασιλεὺς ἱμάτια, οὐ τοιαῦτα, ἀλλὰ πολλῷ βελτίω· ἐκεῖνα, ἂν ἐθέλῃς, περιβαλοῦ. Ποῖα δὴ ταῦτα; Ἱματισμός ἐστι διαχρύσους κροσσοὺς ἔχων· ἐὰν ἐθέλῃς, περίβαλε τὴν ψυχήν. Ἀλλ' οὐκ ἐποίησεν εὐκαταφρόνητον ἀνθρώποις; Καὶ τί τοῦτο μέγα; ἡ μέντοι χηρεία οὐκ ἀφίησί σε γενέσθαι εὐκαταφρόνητον τοῖς δαίμοσι. Τότε τῶν οἰκετῶν ἐκράτεις τῶν σῶν, εἴγε ὅλως ἐκράτεις· νῦν δὲ ἀντὶ τῶν οἰκετῶν τῶν ἀσωμάτων δυνάμεων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τοῦ κοσμοκράτορος. Τὰ δὲ λυπηρὰ οὐ λέγεις, ἐν οἷς ἐκοινώνεις αὐτῷ· εἴ ποτε ἀρχόντων φόβος, εἴ ποτε παρευδοκιμήσεις τῶν πλησίον, τούτων ἁπάντων ἀπήλλαξαι νῦν, φόβου καὶ δέους. Ἀλλὰ τίς σοι τὰ καταλειφθέντα θρέψει παιδία, μεριμνᾷς; Ὁ πατὴρ τῶν ὀρφανῶν. Τίς γὰρ αὐτὰ ἔδωκεν, εἰπέ μοι; Οὐκ ἀκούσεις τοῦ Χριστοῦ λέγοντος ἐν τοῖς Εὐαγγελίοις, «Οὐχὶ ἡ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;»

4. Ὁρᾷς ὅτι οὐκ ἀπὸ συνηθείας, ἀλλ' ἀπὸ ἀπιστίας ἡμῖν ὁ θρῆνος γίνεται; Ἀλλ' οὐκ ἔστι λαμπρὰ ὁμοίως τὰ παιδία τοῦ πατρὸς τελευτήσαντος. Διὰ τί; τὸν Θεὸν ἔχει πατέρα, καὶ οὐκ ἔστι λαμπρά; Πόσους σοι ὑποδείξω ὑπὸ χηρῶν ἀνατραφέντας, καὶ γενομένους δοκίμους; πόσους δὲ ὑπὸ πατράσιν ὄντας, καὶ ἀπολωλότας; Ἂν γὰρ αὐτὰ ἀνατρέφῃς ἐκ πρώτης ἡλικίας ὡς ἀνατρέφειν δεῖ, πολλῷ μᾶλλον τῆς προστασίας τῆς πατρικῆς ἀπολαύσονται εὐεργεσίας. Ὅτι γὰρ χηρῶν ἐστι τὸ πρᾶγμα, τὸ τὰ παιδία λέγω ἀνατρέφειν, ἄκουσον Παύλου λέγοντος· «Εἰ ἐτεκνοτρόφησε»· καὶ πάλιν, «Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας»· οὐκ εἶπε, διὰ τοῦ ἀνδρός· «ἐὰν ἐπιμείνωσι τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης». Ἔνθετε αὐτοῖς τὸν τοῦ Θεοῦ φόβον ἐκ πρώτης ἡλικίας, καὶ παντὸς πατρὸς μᾶλλον αὐτοὺς διατηρήσει· τοῦτο τεῖχος ἔσται ἀρραγές. Ὅταν γὰρ ἔνδον ὁ φύλαξ ἐγκαθήμενος ᾖ, οὐδὲν ἡμῖν τῶν ἔξωθεν δεῖ ἐπιτεχνημάτων· ἐκείνου δὲ οὐκ ὄντος, πάντα εἰκῇ τὰ ἔξωθεν γίνεται. Τοῦτο αὐτοῖς ἔσται καὶ πλοῦτος καὶ δόξα καὶ εὐκοσμία, τοῦτο αὐτοὺς ποιήσει λαμπρούς, οὐκ ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς.

---

13. Ματθ. 6,25
14. Α' Τιμ. 5,10 2,15

καλύτερα, γιατὶ ἡ σεμνότητα κάνει ἐκείνην ποὺ τὴν ἔχει νὰ θαυμάζεται πολὺ περισσότερο ἀπὸ τὰ χρυσὰ κοσμήματα. Ἔχει καὶ αὐτὸς ὁ βασιλεὺς ροῦχα, ὄχι τέτοια, ἀλλὰ πολὺ καλύτερα· ἂν θέλης, φόρεσε ἐκεῖνα. Ποιὰ εἶναι λοιπὸν αὐτά; Φορέματα εἶναι ποὺ ἔχουν χρυσοΰφαντα κρόσσια· ἐὰν θέλης, ἔνδυσε τὴν ψυχή σου μὲ αὐτά. Ἀλλὰ δὲν μὲ ἔκαμε νὰ περιφρονοῦν εὔκολα οἱ ἄνθρωποι; Καὶ γιατί εἶναι αὐτὸ μεγάλο; ἡ χηρεία λοιπὸν δὲν σ' ἀφήνει νὰ περιφρονῆσαι ἀπὸ τοὺς δαίμονες. Τότε ἐξουσίαζες τοὺς ὑπηρέτες τοὺς δικούς σου, ἐὰν βέβαια τοὺς ἐξουσίαζες τελείως, τώρα ὅμως ἀντὶ νὰ ἐξουσιάζης τοὺς ὑπηρέτες ἐξουσιάζεις τὶς ἀσώματες δυνάμεις, τὶς ἀρχές, τὶς ἐξουσίες, τὸν κοσμοκράτορα. Τὰ λυπηρὰ ὅμως δὲν τὰ λέγεις, στὰ ὁποῖα συμμετεῖχες μαζί του· τὸ ἐὰν ὑπῆρχε κάποτε ὁ φόβος τῶν ἀρχόντων, τὸ ἐὰν θὰ μποροῦσες νὰ ξεπεράσης κάποτε τοὺς πλησίον· τώρα σὲ ἔχει ἀπαλλάξει ἀπὸ ὅλα αὐτά, δηλαδὴ ἀπὸ τὸ φόβο καὶ τὸν τρόμο. Ἀλλὰ ἐνδιαφέρεσαι ποιὸς θὰ θρέψη τὰ παιδιὰ ποὺ σοῦ ἔχει ἀφήσει; Ὁ πατέρας τῶν ὀρφανῶν. Γιατί, εἰπέ μου, ποιὸς σοῦ ἔδωσε αὐτά; Δὲν ἀκούεις τὸν Χριστὸ ποὺ λέγει στὰ εὐαγγέλια, «Δὲν ἀξίζει ἡ ζωὴ πιὸ πολὺ ἀπὸ τὴν τροφὴ καὶ τὸ σῶμα ἀπὸ τὸ ἔνδυμα;»[13].

4. Βλέπεις ὅτι δὲν γίνεται ἀπὸ συνήθεια, ἀλλὰ ἀπὸ ἀπιστία ὁ θρῆνος μας; Ἀλλὰ δὲν εἶναι λαμπρὰ ὁμοίως τὰ παιδιὰ ὅταν ἀποθάνη ὁ πατέρας. Γιατί; τὸν Θεὸ ἔχουν πατέρα καὶ δὲν εἶναι λαμπρά; Πόσα νὰ σοῦ δείξω ποὺ ἔχουν ἀνατραφῆ ἀπὸ χῆρες καὶ ἔγιναν ἐξαίρετα; καὶ πόσα ποὺ τὰ ἐπιβλέπουν οἱ πατέρες, καὶ ἔχουν καταστραφῆ; Γιατὶ ἂν ἀνατρέφης αὐτὰ ἀπὸ τὴν πρώτη ἡλικία ὅπως πρέπει νὰ τὰ ἀνατρέφης, θὰ ἀπολαύσουν εὐεργεσία πολὺ πιὸ μεγάλη ἀπὸ τὴν προστασία τὴν πατρική. Ὅτι λοιπὸν αὐτὸ εἶναι ἔργο τῶν χηρῶν, δηλαδὴ τὸ νὰ ἀνατρέφουν τὰ παιδιά, ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Ἐὰν ἀνέθρεψε παιδιά»· καὶ πάλι· «θὰ σωθῆ ὅμως κάθε γυναῖκα μὲ τὴ γέννησι παιδιῶν»· δὲν εἶπε, μὲ τὸν ἄνδρα· «ἐὰν μείνουν σταθερὲς στὴν πίστι καὶ στὴν ἀγάπη καὶ στὸν ἁγιασμὸ μὲ σωφροσύνη»[14]. Βάλε μέσα τους ἀπὸ τὴν πρώτη ἡλικία τὸ φόβο τοῦ Θεοῦ καὶ θὰ διατηρήση αὐτὰ καλύτερα ἀπὸ κάθε πατέρα· αὐτὸ θὰ εἶναι τεῖχος στερεό. Γιατὶ ὅταν κάθεται μέσα ὁ φύλακας, δὲν μᾶς χρειάζεται κανένα ἀπὸ τὰ ἔξω τεχνάσματα, ὅταν ὅμως δὲν ὑπάρχη ἐκεῖνος, ὅλα τὰ ἔξω γίνονται στὰ χαμένα. Αὐτὸ θὰ εἶναι σὲ αὐτὰ καὶ πλοῦτος καὶ δόξα καὶ ἔπαινος, αὐτὸ θὰ κάνη αὐτὰ λαμπρά, ὄχι μόνο στὴ γῆ, ἀλλὰ καὶ στοὺς οὐρανούς.

Μὴ γάρ μοι πρὸς ἐκείνους ἴδης τοὺς διεζωσμένους τὰς ζώνας τὰς χρυσᾶς, μηδὲ τοὺς ἐφ' ἵππων φερομένους, μηδὲ τοὺς ἀκολούθους ἔχοντας καὶ παιδαγωγούς. Ταῦτα γὰρ ἴσως τὰς χήρας ἐπὶ τοῖς ὀρφανοῖς κόπτεσθαι ποιεῖ, ἐννοουμένας ὅτι καὶ οὗτος ὁ ἐμὸς παῖς, εἴγε ὁ πατὴρ αὐτῷ περιῆν, τοσαύτης ἂν ἀπέλαυσε μακαριότητος· νῦν δὲ ἐν κατηφείᾳ καὶ ἀτιμίᾳ, καὶ οὐδενὸς ἄξιος λόγου ἐστί. Μὴ δὴ ταῦτα ἐννόει, ὦ γύναι, ἀλλ' ἀναπέτασον τοῦ οὐρανοῦ τὰς πύλας τῷ λογισμῷ, κατάμαθε τὰ ἐκεῖ βασίλεια, ἴδε τὸν ἐκεῖ καθήμενον βασιλέα, λόγισαι εἰ οὗτοι μᾶλλον οἱ ἐπὶ τῆς γῆς τοῦ παιδὸς τοῦ σοῦ δύνανται ἐκεῖ εἶναι λαμπρότεροι, καὶ τότε στέναξον. Ἂν δὲ ἐπὶ τῆς γῆς ὦσί τινες εὐδόκιμοι, οὐδενὸς τοῦτο ἄξιον λόγου. Ἔξεστιν, ἂν θέλῃς, ἐν τοῖς οὐρανοῖς αὐτὸν στρατεῦσαι, εἰς ἐκείνην καταλέξαι τὴν στρατολογίαν. Οἱ γὰρ ἐκεῖ καταλεγόμενοι, οὐκ ἐφ' ἵππων φέρονται, ἀλλ' ἐν νεφέλαις· οὐκ ἐπὶ γῆς βαδίζουσιν, ἀλλ' εἰς τὸν οὐρανὸν ἁρπάζονται· οὐ παῖδας ἔχουσι τοὺς προηγουμένους, ἀλλὰ τοὺς ἀγγέλους αὐτούς· οὐ βασιλεῖ παρεστήκασι θνητῷ, ἀλλὰ τῷ ἀθανάτῳ, τῷ βασιλεῖ τῶν βασιλευόντων, καὶ κυρίῳ τῶν κυριευόντων· οὐ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν ἔχουσιν, ἀλλὰ τὴν δόξαν ἐκείνην τὴν ἄρρητον, καὶ βασιλέων γίνονται λαμπρότεροι, καὶ τῶν πώποτε εὐδοκιμηκότων. Ἐν γὰρ τοῖς βασιλείοις ἐκείνοις οὐ πλοῦτος, οὐκ εὐγένεια, οὐδὲν ἄλλο, ἀλλ' ἀρετὴ ζητεῖται μόνον· καὶ ταύτης παρούσης, οὐδὲν ἐνδεῖ πρὸς τὸ τῶν πρωτείων αὐτοὺς τυχεῖν.

Οὐδὲν ἡμῖν ἐστι δυσχερές, ἂν θέλωμεν φιλοσοφεῖν. Ἀνάνευσον εἰς τὸν οὐρανόν, καὶ ὅρα πόσῳ τῆς ὀροφῆς τῶν βασιλείων λαμπρότερος οὗτος. Εἰ δὲ τὸ ἔδαφος τῶν ἄνω βασιλείων παρὰ τοσοῦτόν ἐστι τῶν κάτω σεμνότερον, ὡς τοῦτο πρὸς ἐκεῖνο βόρβορον νομίζεσθαι· εἴ τις ἂν καταξιωθῇ τὰ βασίλεια ἀκριβῶς ἰδεῖν, τίνος οὐκ ἔσται μακαριότητος ἄξιος; «Ἡ δὲ ὄντως χήρα», φησί, «καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν». Τοῦτο πρὸς τίνας εἴρηται; Πρὸς τὰς οὐκ ἐχούσας παῖδας, ὅτι δοκιμώτεραι μᾶλλόν εἰσι, καὶ πλείονα ἀφορμὴν ἔχουσιν ἀρέσκειν Θεῷ· ὅτι πάντα αὐταῖς ἀνεῖται τὰ δεσμά· οὐδεὶς ὁ κατέχων, οὐδὲ ἐπισύρεσθαι

---

15. Α' Τιμ. 5,5

Μὴ λοιπόν, παρακαλῶ, βλέπης πρὸς ἐκεῖνα ποὺ φοροῦν τὶς χρυσὲς ζῶνες, οὔτε ἐκεῖνα ποὺ μεταφέρονται ἐπάνω σὲ ἵππους, οὔτε ἐκεῖνα ποὺ ἀκτινοβολοῦν μέσα στὰ παλάτια ἐξ αἰτίας τῶν πατέρων τους, οὔτε ἐκεῖνα ποὺ ἔχουν ἀκολούθους καὶ παιδαγωγούς. Αὐτὰ βέβαια ἴσως κάνουν τὶς χῆρες νὰ κόπτωνται γιὰ τὰ ὀρφανά, μὲ τὸ νὰ σκέπτωνται ὅτι καὶ ὁ ἰδικός μου υἱός, ἐὰν βέβαια τὸν ἐπροστάτευε ὁ πατέρας του, θὰ ἀπελάμβανε τόση εὐτυχία· τώρα ὅμως εἶναι κατηφὴς καὶ χωρὶς τιμὲς καὶ δὲν ἀξίζει τίποτε. Μὴ σκέπτεσαι αὐτά, γυναῖκα, ἀλλὰ ἄνοιξε ἐντελῶς τὶς πύλες τοῦ οὐρανοῦ μὲ τὴ σκέψι σου, γνώρισε καλὰ τὰ ἀνάκτορα ποὺ ὑπάρχουν ἐκεῖ, ἰδὲ τὸ βασιλέα ποὺ κάθεται ἐκεῖ, σκέψου ἐὰν αὐτοὶ ποὺ εἶναι λαμπρότεροι στὴ γῆ ἀπὸ τὸν υἱό σου μποροῦν νὰ εἶναι ἐκεῖ πιὸ λαμπρότεροι, καὶ τότε ἀναστέναξε. Ἂν ὅμως εὐδοκιμοῦν μερικοὶ ἐπάνω στὴ γῆ, δὲν ἀξίζει αὐτὸ τίποτε. Εἶναι δυνατό, ἂν θέλης, νὰ στρατεύσης αὐτὸν στοὺς οὐρανούς, νὰ τὸν κατατάξης σὲ ἐκεῖνο τὸ στράτευμα. Γιατὶ ἐκεῖνοι ποὺ κατατάσσονται ἐκεῖ, δὲν φέρονται ἐπάνω σὲ ἵππους, ἀλλὰ μὲ σύννεφα· δὲν βαδίζουν ἐπάνω σὲ χῶμα, ἀλλὰ ἁρπάζονται στὸν οὐρανό· δὲν ἔχουν δούλους νὰ προηγοῦνται, ἀλλὰ αὐτοὺς τοὺς ἀγγέλους· δὲν παραστέκουν σὲ θνητὸ βασιλέα, ἀλλὰ στὸν ἀθάνατο, στὸ βασιλέα τῶν βασιλέων καὶ στὸν κύριο τῶν κυρίων· δὲν φοροῦν στὴ μέση τους ζώνη ἀπὸ δέρμα, ἀλλὰ ἐκείνη τὴν ἀνέκφραστη δόξα, καὶ γίνονται πιὸ λαμπρὰ ἀπὸ βασιλεῖς καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν καλὴ φήμη κάποτε. Γιατὶ στὰ ἀνάκτορα ἐκεῖνα δὲν ζητεῖται πλοῦτος, οὔτε εὐγενικὴ καταγωγή, οὔτε τίποτε ἄλλο, ἀλλὰ μόνο ἀρετή· καὶ ὅταν ὑπάρχη αὐτή, τίποτε δὲν χρειάζεται γιὰ νὰ ἐπιτύχουν αὐτοὶ τὰ πρωτεῖα.

Τίποτε δὲν εἶναι δύσκολο σὲ μᾶς, ἐὰν θέλωμε νὰ φιλοσοφοῦμε. Κοίταξε στὸν οὐρανὸ καὶ πρόσεξε πόσο λαμπρότερος εἶναι αὐτὸς ἀπὸ τὴ στέγη τῶν ἀνακτόρων. Ἐὰν ὅμως τὸ δάπεδο τῶν ἀνακτόρων τοῦ οὐρανοῦ εἶναι σχεδὸν τόσο λαμπρότερο ἀπὸ τὰ ἀνάκτορα τῆς γῆς, ὥστε συγκρινόμενο αὐτὸ πρὸς ἐκεῖνο νὰ νομίζεται ὅτι εἶναι βοῦρκος, ἐὰν κανεὶς θὰ καταξιωθῆ νὰ ἰδῆ ἀκριβῶς τὰ ἀνάκτορα, ποιᾶς εὐτυχίας δὲν θὰ εἶναι ἄξιος; «Ἡ πραγματικὴ ὅμως χήρα», λέγει, «καὶ ἡ ἔρημος ἀπὸ συγγενεῖς ἔχει στηρίξει τὶς ἐλπίδες της στὸν Θεό»[15]. Αὐτὸ σὲ ποιὲς ἔχει λεχθῆ; Σὲ ἐκεῖνες ποὺ δὲν ἔχουν παιδιά, ἐπειδὴ εἶναι πιὸ ἀληθινές, καὶ ἔχουν πιὸ μεγάλη ἀφορμὴ νὰ ἀρέσουν στὸν Θεό, γιατὶ ὅλα τὰ δεσμὰ τελειώνουν γι' αὐτές. Κανεὶς δὲν τὶς ἐξουσιάζει, οὔτε τὶς ἀναγκάζει νὰ ἀποφεύγουν τὶς

τὰς ἀλύσεις ἐκείνας ἀναγκάζων. Ἀπεσχίσθης τοῦ ἀνδρός, ἀλλ' ἡνώθης τῷ Θεῷ· οὐκ ἔχεις συνόμιλον τὸν ὁμόδουλον, ἀλλ' ἔχεις τὸν δεσπότην. Ὅταν εὔχῃ, οὐχὶ τῷ Θεῷ διαλέγῃ, εἰπέ μοι; ὅταν ἀναγινώσκῃς, ἄκουε αὐτοῦ σοι διαλεγομένου. Τί δέ σοι διαλέγεται; Πολλῷ τοῦ ἀνδρὸς προσηνέστερα ῥήματα. Ὁ μὲν γὰρ ἀνὴρ κἂν κολακεύῃ, οὐ πολλὴ ἡ τιμή· ὁμόδουλος γάρ ἐστιν· ὅταν δὲ ὁ δεσπότης τὴν δούλην κολακεύῃ, τότε πολλὴ ἡ θεραπεία.

Πῶς οὖν ἡμᾶς θεραπεύει; Ἄκουσον δι ὅσων τοῦτο ποιεῖ. «Δεῦτε», φησί, «πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς». Καὶ πάλιν διὰ τοῦ προφήτου βοᾷ, λέγων· «Μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι, λέγει Κύριος». Πόσου ταῦτα φίλτρου τὰ ῥήματα; Καὶ πάλιν, «Ἐπιστράφητε πρός με»· καὶ πάλιν ἀλλαχοῦ, «Ἐπίστρεψον πρός με, καὶ σωθήσῃ». Εἰ δέ τις καὶ ἐκ τῶν Ἀσμάτων βούλοιτο ἐκλέγειν, ἀκούσεται, μυστικώτερα αὐτὰ ἐκλαμβάνων, «Ἡ καλή μου, ἡ περιστερά μου», πρὸς ψυχὴν ἑκάστην αὐτῷ πρέπουσαν διαλεγομένου. Τί τούτων τῶν ῥημάτων ἥδιον; Ὁρᾷς διάλεξιν Θεοῦ πρὸς ἀνθρώπους; Τί δέ, εἰπέ μοι; οὐχ ὁρᾷς, ὅσοι ἐκείνων τῶν μακαρίων γυναικῶν παῖδες ἀπῆλθον, καὶ ἐν τάφοις εἰσίν; ὅσαι χαλεπώτερα πεπόνθασι, καὶ μετὰ τῶν ἀνδρῶν καὶ υἱοὺς ἀπέβαλον;

Τούτοις προσανέχωμεν, ταῦτα μεριμνῶμεν· καὶ οὐδὲν ἡμῖν ἔσται λυπηρόν, ἀλλὰ πάντα διατελέσομεν τὸν χρόνον μετὰ χαρᾶς πνευματικῆς διάγοντες, καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

16. Ματθ. 11,28
17. Ἡσ. 49,15
18. Ἡσ. 45,22· 44,22
19. Ἀσμ. Ἀσμ. 2,10

ἁλυσίδες ἐκεῖνες. Ἐχωρίσθηκες ἀπὸ τὸν ἄνδρα σου, ἀλλὰ ἑνώθηκες μὲ τὸν Θεό· δὲν ἔχεις σύντροφο τὸν ὁμόδουλο, ἀλλὰ ἔχεις τὸν Κύριό σου. Ὅταν προσεύχεσαι, εἰπὲ μου δὲν συνομιλεῖς μὲ τὸν Θεό; ὅταν διαβάζης, ἄκουε αὐτὸν ποὺ ὁμιλεῖ μαζί σου. Τί λοιπὸν σοῦ λέγει; Πολὺ πιὸ κολακευτικὰ λόγια ἀπὸ τὸν ἄνδρα. Γιατὶ ὁ ἄνδρας καὶ ἂν ἀκόμη κολακεύη, δὲν εἶναι μεγάλη ἡ τιμή, γιατὶ εἶναι ὁμόδουλός σου. Ὅταν ὅμως ὁ κύριος κολακεύη τὴ δούλη, τότε εἶναι μεγάλη ἡ περιποίησις.

Πῶς λοιπὸν μᾶς περιποιεῖται ὁ Θεός; Ἄκουσε μὲ ὅσα κάμνει αὐτό. «Ἐλᾶτε», λέγει, «πρὸς ἐμένα ὅλοι ὅσοι εἶσθε κουρασμένοι καὶ φορτωμένοι, καὶ ἐγὼ θὰ σᾶς ξεκουράσω»[16]. Καὶ πάλι μὲ τὸ στόμα τοῦ προφήτου φωνάζει, λέγοντας· «Μήπως θὰ λησμονήση ἡ γυναῖκα νὰ ἐλεήση τὰ τέκνα τῆς κοιλιᾶς της; καὶ ἂν λησμονήση αὐτή, ἐγὼ ὅμως δὲν θὰ λησμονήσω, λέγει ὁ Κύριος»[17]. Τὰ λόγια αὐτὰ πόσης ἀγάπης εἶναι ἀπόδειξις; Καὶ πάλι λέγει, «Ἐπιστρέψατε πρὸς ἐμένα»· καὶ ἀλλοῦ πάλι, «Ἐπίστρεψε πρὸς ἐμέ, καὶ θὰ σωθῆς»[18]. Ἐὰν ὅμως ἤθελε κανεὶς νὰ ἐπιλέξη ἀπὸ τὸ Ἄσμα Ἀσμάτων, θὰ ἀκούση, ἐκλαμβάνοντας αὐτὰ μυστικώτερα, «Ἡ καλή μου, ἡ περιστερά μου»[19], τὰ ὁποῖα λέγει σὲ κάθε ψυχὴ ποὺ ὁμοιάζει μὲ αὐτόν. Τί εἶναι πιὸ γλυκὸ ἀπὸ τὰ λόγια αὐτά; Βλέπεις συνομιλία τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους; Γιατί ὅμως, εἰπέ μου, δὲν βλέπεις, πόσα παιδιὰ τῶν μακαρίων ἐκείνων γυναικῶν πέθαναν καὶ εἶναι μέσα στοὺς τάφους; πόσες ἔχουν πάθει φοβερώτερα καὶ μαζὶ μὲ τοὺς ἄνδρες ἔχασαν καὶ τοὺς υἱούς;

Ἂς βασιζώμεθα σὲ αὐτά, αὐτὰ ἂς φροντίζωμε, καὶ δὲν θὰ μᾶς συμβῆ κανένα λυπηρό, ἀλλὰ θὰ συμπληρώσωμε ὅλο τὸ χρόνο μας ζῶντας μὲ πνευματικὴ χαρά, καὶ θὰ ἀπολαύσωμε τὰ αἰώνια ἀγαθά. Αὐτὰ τὰ ἀγαθὰ εἴθε νὰ ἐπιτύχωμε ὅλοι μας, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ΄
(Α΄ Θεσ. 4, 13–14)

«Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα».

1. Πολλὰ τῶν πραγμάτων ἐξ ἀγνοίας ἡμᾶς λυπεῖ μόνης, ὡς ἂν αὐτὰ καλῶς καταμάθωμεν, ἀποκρουσόμεθα τὴν ὀδύνην. Τοῦτο γοῦν καὶ ὁ Παῦλος ἐμφαίνων ἔλεγεν, «Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Διὰ τοῦτο οὐ θέλεις αὐτοὺς ἀγνοεῖν; Διὰ τί δὲ μὴ λέγεις τὴν κόλασιν τὴν ἀποκειμένην; Ἀγνοεῖν, φησί, τὸν περὶ τῆς ἀναστάσεως λόγον. Ἀλλὰ διὰ τί; Τοῦτο ἐκεῖθεν δῆλόν ἐστί, καὶ ὡμολογημένον· τέως δὲ μετ' ἐκείνου καὶ τοῦτο ἔσται κέρδος οὐ μικρόν. Ἐπειδὴ γὰρ οὐ τῇ ἀναστάσει ἠπίστουν, ἀλλ' ἴσως ἐθρήνουν, διὰ τοῦτο οὕτω φησί: Καὶ ἑτέρως μὲν τοῖς ἀπιστοῦσι διαλέγεται, ἑτέρως δὲ τούτοις· οἱ γὰρ περὶ τῶν χρόνων καὶ τῶν καιρῶν ζητοῦντες, δῆλον ὅτι ᾔδεσαν. «Εἰ γὰρ πιστεύομεν», φησίν, «ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, οὕτως ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ». Ποῦ εἰσιν οἱ τὴν σάρκα ἀθετοῦντες; Εἰ γὰρ μὴ ἀνέλαβε σάρκα, οὐδὲ ἀπέθανεν· εἰ μὴ ἀπέθανεν, οὐδὲ ἀνέστη. Πῶς οὖν ἡμᾶς ἀπὸ τούτων προτρέπει εἰς πίστιν; ἆρα οὐ λῆρος μᾶλλον ἦν κατ' αὐτοὺς καὶ ἀπατεών; Εἰ γὰρ τὸ ἀποθανεῖν ἁμαρτίας ἐστίν, ὁ δὲ Χριστὸς οὐχ ἥμαρτε, πῶς ἡμᾶς προτρέπεται;

Νῦν δὲ περὶ τίνων φησί; τίνας θρηνεῖτε, ἄνθρωποι; ὑπὲρ τίνων λυπεῖσθε; ὑπὲρ τῶν ἁμαρτωλῶν, ἢ ὑπὲρ τῶν ἁπλῶς ἀποθνησκόντων; Διὰ τί δέ φησιν, «ὥσπερ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα»; ἐκεῖνοι τίνας θρηνοῦσι; Ὥστε πάντα ταῦτα ἕωλα αὐ-

ΟΜΙΛΙΑ Ζ΄
(Α΄ Θεσ. 4,13–14)

«Δὲν θέλομε ὅμως νὰ ἀγνοῆτε, ἀδελφοί, γιὰ τοὺς πεθαμένους, γιὰ νὰ μὴ λυπῆσθε, ὅπως καὶ οἱ ἐθνικοί, οἱ ὁποῖοι δὲν ἔχουν ἐλπίδα».

1. Πολλὰ πράγματα μᾶς προκαλοῦν λύπη ἀπὸ ἄγνοια μόνο, μόλις θὰ γνωρίσωμε καλὰ αὐτά, θὰ ἀπομακρύνωμε τὴν ὀδύνη. Αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος γιὰ νὰ δείξῃ ἔλεγε, «Δὲν θέλω νὰ ἀγνοῆτε, γιὰ νὰ μὴ λυπῆσθε, ὅπως καὶ οἱ λοιποί, οἱ ὁποῖοι δὲν ἔχουν ἐλπίδα». Γι' αὐτὸ δὲν θέλεις νὰ ἀγνοοῦν αὐτοί; Γιατί ὅμως δὲν λέγεις νὰ ἀγνοῆτε τὴν κόλασι ποὺ εὑρίσκεται στὴν ἄλλη ζωή; Νὰ ἀγνοῆτε, λέγει, τὸ κήρυγμα γιὰ τὴν ἀνάστασι. Ἀλλὰ γιατί; Αὐτὸ εἶναι φανερὸ ἀπὸ τότε καὶ ἔχει γίνει παραδεκτό, συγχρόνως ὅμως μαζὶ μὲ ἐκεῖνο καὶ αὐτὸ θὰ εἶναι μεγάλο κέρδος. Ἐπειδὴ λοιπὸν δὲν ἀπιστοῦσαν στὴν ἀνάστασι, ἀλλὰ ἴσως ἐθρηνοῦσαν, γι' αὐτὸ λέγει ἔτσι. Καὶ διαφορετικὰ βέβαια ὁμιλεῖ σὲ ἐκείνους ποὺ δὲν πιστεύουν, καὶ διαφορετικὰ σὲ αὐτούς, γιατὶ αὐτοὶ ποὺ ἐζητοῦσαν νὰ μάθουν γιὰ τοὺς χρόνους καὶ τοὺς καιρούς, εἶναι φανερὸ ὅτι ἐγνώριζαν. «Γιατὶ ἐὰν πιστεύωμε», λέγει, «ὅτι ὁ Ἰησοῦς πέθανε καὶ ἀναστήθηκε καὶ ἔζησε, κατὰ τὸν ἴδιο τρόπο πρέπει νὰ πιστεύωμε ὅτι ὁ Θεὸς καὶ ἐκείνους ποὺ πέθαναν μὲ τὴν πίστι στὸν Ἰησοῦ θὰ τοὺς φέρῃ μαζὶ μὲ αὐτόν». Ποῦ εἶναι ἐκεῖνοι ποὺ ἀρνοῦνται τὸ σῶμα τοῦ Ἰησοῦ; Γιατὶ ἐὰν δὲν ἔλαβε σῶμα, οὔτε πέθανε· ἐὰν ὅμως δὲν πέθανε, οὔτε ἀναστήθηκε. Πῶς λοιπὸν ἀπὸ αὐτὰ μᾶς προτρέπει νὰ πιστεύωμε; ἄραγε δὲν ἦταν περισσότερο φλύαρος σὲ αὐτοὺς καὶ ἀπατεώνας; Γιατὶ ἐὰν ὁ θάνατος εἶναι ἔργο τῆς ἁμαρτίας καὶ ὁ Χριστὸς δὲν ἔκαμε ἁμαρτία, πῶς μᾶς προτρέπεται αὐτό;

Τώρα ὅμως γιὰ ποιούς λέγει; ποιούς θρηνεῖτε, ἄνθρωποι; γιὰ ποιούς λυπεῖσθε; γιὰ τοὺς ἁμαρτωλοὺς ἢ ἁπλῶς γι' αὐτοὺς ποὺ πεθαίνουν; Γιατί ὅμως λέγει, «ὅπως οἱ λοιποὶ ποὺ δὲν ἔχουν ἐλπίδα»; ἐκεῖνοι ποιούς θὰ θρηνήσουν; Ὥστε ὅλα αὐτὰ γίνονται ἄχρη-

τοῖς. «Πρωτότοκος», φησίν, «ἐκ τῶν νεκρῶν», ἀπαρχή. Οὐκοῦν καὶ λοιποὺς εἶναι δεῖ. Καὶ ὅρα πῶς ἐνταῦθα οὐδὲν ἀπὸ λογισμῶν τίθησιν, ἐπειδὴ προσηνεῖς ἦσαν. Κορινθίοις μὲν γὰρ γράφων, πολλὰ καὶ ἀπὸ λογισμῶν ἐκίνησε, καὶ τότε τοῦτο ἐπήγαγεν· «Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωογονεῖται». Κυριώτερον γὰρ τοῦτο, ἀλλ' ὅταν τῷ πιστῷ διαλέγηται· πρὸς δὲ τὸν ἔξω ποίαν ἰσχὺν ἂν ἔχοι τοῦτο; «Οὕτω», φησίν, «ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ». Πάλιν, «κοιμηθέντας»· οὐδαμοῦ τούς ἀποθανόντας. Ἀλλ' ἐπὶ μὲν τοῦ Χριστοῦ τό, «ἀπέθανεν», ἔθηκεν, ἐπειδὴ καὶ τὸ τῆς ἀναστάσεως εἵπετο· ἐνταῦθα δέ, «τούς κοιμηθέντας». Πῶς διὰ τοῦ Ἰησοῦ; Ἢ διὰ τοῦ κοιμηθέντας, ἢ διὰ τοῦ Ἰησοῦ ἄξει. Τὸ μέν, «κοιμηθέντας διὰ τοῦ Ἰησοῦ», τουτέστιν, τοὺς πιστούς. Ἐνταῦθα οἱ αἱρετικοί φασιν ὅτι τοὺς βαπτισθέντας. Τὸ οὖν, «οὕτω», ποῦ ἵσταται; ὁ γὰρ Ἰησοῦς οὐκ ἐκοιμήθη διὰ τοῦ βαπτίσματος. Τίνος δὲ ἕνεκέν φησι, «τοὺς κοιμηθέντας»; Ὥστε οὐ περὶ καθολικῆς, ἀλλὰ περὶ μερικῆς ἀναστάσεως διαλέγεται. Τοὺς γὰρ κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, φησί· καὶ πολλαχοῦ οὕτω λέγει. «Τοῦτο γὰρ ὑμῖν», φησί, «λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας»· περὶ τῶν πιστῶν λέγων· καί, «Οἱ κοιμηθέντες ἐν Χριστῷ»· καὶ πάλιν, «Οἱ νεκροὶ ἀναστήσονται ἐν Χριστῷ». Ἔπειτα οὐ περὶ ἀναστάσεως αὐτῷ ὁ λόγος μόνον, ἀλλὰ καὶ περὶ ἀναστάσεως καὶ περὶ τιμῆς ἐν δόξῃ. Ἀναστάσεως μὲν οὖν πάντες ἀπολαύσονται, φησίν· ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται ἀλλ' οἱ ἐν Χριστῷ. Ἐπεὶ οὖν παραμυθήσασθαι βούλεται αὐτούς, οὐ τούτῳ μόνον παραμυθεῖται, ἀλλὰ καὶ τῇ τιμῇ τῇ πολλῇ καὶ τῷ τάχει, ἐπεὶ ἐκεῖνο ᾔδεσαν. Ὅτι γὰρ τῇ τιμῇ βούλεται αὐτούς παραμυθήσασθαι, προϊών φησι, «Καὶ πάντοτε σὺν Κυρίῳ ἐσόμεθα», καὶ ὅτι «Ἐν νεφέλαις ἁρπαγησόμεθα». Πῶς δὲ οἱ πιστοὶ διὰ τοῦ Ἰησοῦ κοιμῶνται; Τουτέστι, τὸν Χριστὸν

---

1. Κολ. 1,18
2. Α' Κορ. 15,36
3. Α' Θεσ. 4,15
4. Α' Κορ. 15,18
5. Α' Θεσ. 4,16
6. Α' Θεσ. 4,17

στα σὲ αὐτούς. «Πρωτότοκος», λέγει, «ἀπὸ τοὺς νεκρούς»[1], δηλαδή, ἀπαρχή. Ἑπομένως πρέπει νὰ εἶναι καὶ οἱ ὑπόλοιποι. Καὶ πρόσεχε πῶς ἐδῶ δὲν λέγει τίποτε ὕστερα ἀπὸ συλλογισμούς, ἐπειδὴ ἦταν καταδεκτικοί. Γιατὶ ὅταν ἔγραφε στοὺς Κορινθίους, πολλὰ ἀνέφερε ὕστερα ἀπὸ συλλογισμοὺς καὶ τότε ἐσυμπέρανε· «Ἀνόητε, ἐκεῖνο ποὺ σπέρνεις ἐσύ, δὲν λαμβάνει ζωή»[2]. Αὐτὸ βέβαια εἶναι πιὸ ἰσχυρό, ὅταν ἀπευθύνεται στὸν πιστό, στὸν μὴ πιστὸ ὅμως ποιά δύναμι θὰ εἶχε αὐτό; Κατὰ τὸν ἴδιο τρόπο πρέπει νὰ πιστεύετε», λέγει, «ὅτι ὁ Θεὸς καὶ ἐκείνους ποὺ ἐκοιμήθηκαν μὲ πίστι στὸν Ἰησοῦ θὰ τοὺς φέρη μαζὶ μὲ αὐτόν». Πάλι, «ἐκείνους ποὺ ἐκοιμήθηκαν», λέγει· πουθενὰ δὲν λέγει ἐκείνους ποὺ πέθαναν. Ἀλλὰ γιὰ τὸν Χριστὸ ἔθεσε τό, «πέθανε», ἐπειδὴ ἀκολουθοῦσε καὶ ἡ ἀνάστασις. Πῶς θὰ φέρη αὐτοὺς διὰ τοῦ Ἰησοῦ; Ἢ ἐννοεῖ ὅτι ἐκοιμήθηκαν μὲ τὴν πίστι στὸν Ἰησοῦ, ἢ ὅτι θὰ φέρη αὐτοὺς διὰ τοῦ Ἰησοῦ. Τὸ μὲν πρῶτο, «ἐκείνους ποὺ ἐκοιμήθηκαν μὲ τὴν πίστι στὸν Ἰησοῦ», δηλαδή, τοὺς πιστούς. Ἐδῶ οἱ αἱρετικοὶ ἰσχυρίζονται ὅτι ἐννοεῖ ἐκείνους ποὺ ἐβαπτίσθηκαν. Τὸ «ἔτσι» λοιπόν, πῶς δικαιολογεῖται; γιατὶ ὁ Ἰησοῦς δὲν ἐκοιμήθηκε μὲ τὸ βάπτισμα. Γιὰ ποιό λόγο δὲ λέγει, «ἐκείνους ποὺ ἐκοιμήθηκαν»; Ὥστε δὲν ὁμιλεῖ γιὰ καθολική, ἀλλὰ γιὰ μερικὴ ἀνάστασι. Ἐννοεῖ λοιπὸν ἐκείνους ποὺ ἐκοιμήθηκαν μὲ τὴν πίστι στὸν Ἰησοῦ· καὶ σὲ πολλὲς περιπτώσεις λέγει τὸ ἴδιο. «Διότι αὐτό», λέγει, «σᾶς τὸ λέμε σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου, ὅτι ἐμεῖς οἱ ζωντανοί, οἱ ὁποῖοι θὰ ἀπομένωμε στὴ ζωὴ κατὰ τὴν παρουσία τοῦ Κυρίου, δὲν θὰ προφθάσωμε ἐκείνους ποὺ ἐκοιμήθηκαν»[3], ἐννοώντας τοὺς πιστούς· καὶ πάλι, «Ἐκεῖνοι ποὺ ἐκοιμήθηκαν ἑνωμένοι μὲ τὸν Χριστό»[4]· καὶ πάλι, «Οἱ νεκροὶ ποὺ πέθαναν μὲ τὴν πίστι στὸν Χριστὸ θὰ ἀναστηθοῦν»[5]. Ἔπειτα ὁ λόγος δὲν ἦταν μόνο γιὰ τὴν ἀνάστασι αὐτοῦ, ἀλλὰ καὶ γιὰ τὴν ἀνάστασι τῶν νεκρῶν καὶ γιὰ τὴν τιμὴ μὲ δόξα. Τὴν ἀνάστασι λοιπὸν ὅλοι θὰ ἀπολαύσουν, λέγει· δοξασμένοι ὅμως δὲν θὰ εἶναι ὅλοι, ἀλλὰ οἱ ἑνωμένοι μὲ τὸν Χριστό. Ἐπειδὴ λοιπὸν θέλει νὰ παρηγορήση αὐτούς, δὲν τοὺς παρηγορεῖ μὲ αὐτὸ μόνο, ἀλλὰ καὶ μὲ τὴ μεγάλη τιμὴ καὶ μὲ τὴ συντομία τοῦ πράγματος, ἀφοῦ ἐγνώριζαν ἐκεῖνο. Τὸ ὅτι πράγματι θέλει νὰ τοὺς παρηγορήση μὲ τὴν τιμή, προχωρώντας λέγει, «Καὶ πάντοτε θὰ εἴμασθε μαζὶ μὲ τὸν Κύριο», καὶ ὅτι «θὰ ἁρπαχθοῦμε μέσα σὲ σύννεφα»[6]. Πῶς ὅμως οἱ πιστοὶ ποὺ εἶναι ἑνωμένοι μὲ τὸν Χριστὸ κοιμῶνται; Δηλαδή, ἔχοντας τὸν

ἔχοντες ἐν ἑαυτοῖς. Τὸ δέ, «ἄξει σὺν αὐτῷ», δείκνυσι πολλαχόθεν ἀγομένους. «Τοῦτο γὰρ ἡμῖν», φησί, «λέγομεν ἐν λόγῳ Κυρίου». «Τοῦτο». Ξένον ἔμελλε λέγειν· διὰ τοῦτο καὶ τὸ ἀξιόπιστον τίθησιν. Ἀπὸ τοῦ λόγου τοῦ Θεοῦ, φησί· τουτέστιν, οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Χριστοῦ μαθόντες λέγομεν.

«Ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας». Ὅπερ ἐν τῇ πρὸς Κορινθίους φησίν, ὅτι «Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ». Ἐνταῦθα τὸ ἀξιόπιστον τῇ ἀναστάσει καὶ τῷ τρόπῳ παρέστησε. Ἐπειδὴ γὰρ τὸ πρᾶγμα δοκεῖ δύσκολον εἶναι, ὥσπερ ἐστί, φησίν, εὔκολον τοὺς ζῶντας ἀρθῆναι, οὕτω καὶ τοὺς ἀπελθόντας. Τὸ δέ, «ἡμεῖς», οὐ περὶ ἑαυτοῦ φησιν· οὐ γὰρ δὴ ἔμελλε μέχρι τῆς ἀναστάσεως μένειν, ἀλλὰ τοὺς πιστοὺς λέγει. Διὰ τοῦτο προσέθηκεν, «Οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας»· ὡς ἂν εἰ ἔλεγε· μὴ νομίσῃς ἐργωδίαν εἶναί τινα· Θεός ἐστιν ὁ ποιῶν· οἱ ζῶντες τότε τοὺς διαλυθέντας, τοὺς σαπέντας, τοὺς μυρία ἔτη ἔχοντας οὐ μὴ προλάβωσιν· ἀλλ' ὥσπερ εὔκολον ἐκείνους τοὺς ἀπηρτισμένους ἀγαγεῖν, οὕτω καὶ τοὺς διαλελυμένους.

2. Ἀλλ' εἰσί τινες, οἳ διαπιστοῦσι τῷ πράγματι, ἐπειδὴ τὸν Θεὸν οὐκ ἴσασι. Τί γάρ, εἰπέ μοι, εὐκολώτερον, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, ἢ διαλυθέντα ἀναστῆσαι πάλιν; Ἀλλὰ τί φασιν; Ὁ δεῖνα, φησί, ναυάγιον ὑπέστη, καὶ κατεποντίσθη, καὶ πεσόντα αὐτὸν ἰχθύες ἐδέξαντο πολλοί, καὶ τῶν ἰχθύων ἕκαστος μέλος ἔφαγεν. Εἶτ' αὐτῶν δὴ τούτων ὁ μὲν ἐν τῷδε τῷ κόλπῳ, ὁ δὲ ἐν τῷδε συνελήφθη, καὶ ἐβρώθη ὑφ' ἑτέρου, καὶ οὗτος ὑπὸ ἄλλου, τὰς σάρκας ἔχων κατεδηδεσμένας. Καὶ οὗτοι πάλιν ἐν ἄλλοις χωρίοις ἀπέθανον, καὶ αὐτοὶ ἴσως ὑπὸ θηρίων, οἱ τοὺς ἰχθῦς φαγόντες τοὺς τὸν ἄνδρα καταφαγόντας. Τοσαύτης δὲ τῆς συγχύσεως γενομένης καὶ διασπορᾶς, πῶς πάλιν ἀναστήσεται ὁ ἀνήρ; τίς ὁ τὸν χοῦν ἀναγαγών; Διὰ τί γὰρ τοῦτο λέγεις, ἄνθρωπε, καὶ ἁρμαθοὺς λήρων ὑφαίνεις, καὶ ὡς ἄπορον τιθεῖς; Εἰπὲ

7. Α' Κορ. 15,52

Χριστὸ μέσα τους. Καὶ τό, «θὰ φέρῃ μαζὶ μὲ αὐτόν», δείχνει ὅτι φέρονται ἀπὸ πολλὰ σημεῖα. «Γιατὶ αὐτό», λέγει, «σᾶς τὸ λέμε σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου». «Αὐτό». Ἐπρόκειτο νὰ εἰπῇ κάτι παράξενο, γι' αὐτὸ θέτει καὶ τὴν ἀξιοπιστία του. Σύμφωνα μὲ τὸ λόγο τοῦ Θεοῦ, λέγει· δηλαδή, ὄχι ἀπὸ τὸν ἑαυτό μας, ἀλλὰ ἀπὸ τὸν Χριστὸ τὸ ἐμάθαμε καὶ σᾶς τὸ λέμε.

«Ὅτι ἐμεῖς οἱ ζωντανοὶ οἱ ὁποῖοι θὰ ἀπομένωμε στὴ ζωὴ κατὰ τὴν παρουσία τοῦ Κυρίου δὲν θὰ προφθάσωμε ἐκείνους ποὺ ἐκοιμήθηκαν». Αὐτὸ ποὺ στὴν πρὸς Κορινθίους ἐπιστολή του λέγει, ὅτι «Σὲ ἐλάχιστο χρόνο, σὲ μία στιγμή»[7]. Ἐδῶ ἐπαρουσίασε τὴν ἀξιοπιστία μὲ τὴν ἀνάστασι καὶ μὲ τὸν τρόπο ποὺ θὰ γίνῃ. Γιατί, ἐπειδὴ τὸ πρᾶγμα φαίνεται ὅτι εἶναι δύσκολο, ὅπως ἀκριβῶς, λέγει, εἶναι εὔκολο νὰ σηκωθοῦν οἱ ζωντανοί, ἔτσι καὶ οἱ πεθαμένοι. «Καὶ τό, «ἐμεῖς», δὲν τὸ λέγει γιὰ τὸν ἑαυτό του, γιατὶ βέβαια δὲν ἐπρόκειτο νὰ παραμείνῃ μέχρι τὸν καιρὸ τῆς ἀναστάσεως, ἀλλ' ἐννοεῖ τοὺς πιστούς. Γι' αὐτὸ πρόσθεσε, «Οἱ ὁποῖοι θὰ ἀπομένωμε στὴ ζωὴ κατὰ τὴν παρουσία τοῦ Κυρίου, δὲν θὰ προφθάσωμε τοὺς πεθαμένους». Σὰν νὰ ἔλεγε· μὴ νομίσῃς ὅτι εἶναι κάποιο δύσκολο ἔργο· ὁ Θεὸς εἶναι ποὺ ἐνεργεῖ· οἱ ζωντανοὶ δὲν θὰ προλάβουν ἐκείνους ποὺ ἔχουν διαλυθῆ, ποὺ ἔχουν σαπίσει, ποὺ εἶναι ἀπὸ πολλὰ χρόνια πεθαμένοι· ἀλλὰ ὅπως εἶναι εὔκολο νὰ φέρῃ ἐκείνους ποὺ εἶναι μὲ ὅλο τους τὸ σῶμα, κατὰ τὸν ἴδιο τρόπο καὶ αὐτοὺς ποὺ εἶναι διαλυμένοι.

2. Ἀλλὰ ὑπάρχουν μερικοί, οἱ ὁποῖοι ἀμφισβητοῦν τὸ πρᾶγμα, ἐπειδὴ δὲν γνωρίζουν τὸν Θεό. Τί λοιπόν, εἰπέ μου, εἶναι εὐκολώτερο, ἀπὸ τὸ μηδὲν νὰ φέρῃ κάποιον στὴν ὕπαρξι, ἢ ἀφοῦ διαλυθῆ νὰ τὸν ἀναστήσῃ πάλι; Ἀλλὰ τί λέγουν; Ὁ τάδε, λέγει, ἐναυάγησε καὶ ἐβυθίσθηκε στὴ θάλασσα, καὶ ἀφοῦ ἔπεσε τὸν ἐδέχθηκαν πολλὰ ψάρια καὶ τὸ καθένα ἀπὸ αὐτὰ ἔφαγε ἕνα μέλος του. Στὴ συνέχεια ἄλλο ἀπὸ τὰ ψάρια αὐτὰ συνελήφθηκε σὲ αὐτὸν τὸν κόλπο, ἄλλο σὲ ἄλλο κόλπο καὶ ἐφαγώθηκε ἀπὸ ἄλλο ψάρι, καὶ αὐτὸ πάλι ἀπὸ ἄλλο, ποὺ ἔχει καταβροχθίσει τὶς σάρκες του. Καὶ αὐτοὶ πάλι πέθαναν σὲ ἄλλους τόπους, καὶ ἴσως τοὺς ἔφαγαν θηρία, τὰ ὁποῖα ἔφαγαν τὰ ψάρια, τὰ ὁποῖα ἔφαγαν τὸν ἄνθρωπο. Ὅταν γίνῃ τόση μεγάλη σύγχυσι καὶ διασπορὰ τῶν μελῶν του, πῶς θὰ ἀναστηθῆ πάλι ὁ ἄνθρωπος; ποιός εἶναι ἐκεῖνος ποὺ θὰ μεταμορφώσῃ τὸ χῶμα; Γιατί λοιπὸν λέγεις αὐτό, ἄνθρωπε, καὶ σκέπτεσαι τόσες

γάρ μοι, ἂν γὰρ μὴ εἰς θάλατταν καταπέσῃ, ἂν γὰρ μὴ ἰχθῦς φάγῃ, μηδὲ βρωθῇ πάλιν ὁ ἰχθὺς ὑπὸ μυρίων ἀνθρώπων, ἀλλὰ κηδευθεὶς ἐν λάρνακι ὁ ἀνὴρ τεθῇ, καὶ μήτε σκώληκες, μήτε ἄλλο τι διενοχλήσῃ, πῶς ἀναστήσεται τὸ διαλυθέν; πῶς ἡ κόνις καὶ ἡ τέφρα συγκολληθήσεται; πόθεν τὸ ἄνθος λοιπὸν ἔσται τοῦ σώματος; τοῦτο δὲ οὐκ ἄπορον; Ἂν μὲν Ἕλληνες ὦσιν οἱ ταῦτα διαποροῦντες, πρὸς αὐτοὺς μυρία ἐροῦμεν. Τί δήποτε; Εἰσὶ γὰρ παρ' αὐτοῖς οἱ τὰς ψυχὰς καὶ εἰς φυτὰ καὶ εἰς θάμνους ἄγοντες καὶ εἰς κύνας.

Εἰπέ μοι, τί εὐκολώτερον, τὸ οἰκεῖον σῶμα ἀναλαβεῖν, ἢ τὸ ἀλλότριον; Ἄλλοι πάλιν φασὶν ὑπὸ πυρὸς ἀναλίσκεσθαι, καὶ ἱματίων ἀνάστασιν γίνεσθαι καὶ ὑποδημάτων, καὶ οὐ καταγελῶνται· ἕτεροι ἀτόμους φασίν. Ἀλλὰ πρὸς ἐκείνους οὐδὲ εἷς ἡμῖν λόγος· πρὸς δὲ τοὺς πιστούς, εἴγε πιστοὺς δεῖ καλεῖν τοὺς ἐρωτῶντας, ὅμως ἐροῦμεν τὸ ἀποστολικόν, ὅτι πᾶσα ἡ ζωὴ ἀπὸ φθορᾶς γίνεται, πάντα φυτά, πάντα σπέρματα. Οὐχ ὁρᾷς τὴν συκῆν ἡλίκον μὲν ἔχει κορμόν, ἡλίκα δὲ στελέχη; Φύλλα πόσα, κλάδους, ἀνθέρικας, ῥίζας τοσοῦτον ἐπεχούσας καὶ ἐγκεκολπισμένας; Αὕτη τοίνυν ἡ τηλικαύτη καὶ τοιαύτη ἀπὸ τῆς κέγχρου γίνεται ἐκείνης τῆς καταβληθείσης, καὶ αὐτῆς διαφθαρείσης πρῶτον· κἂν μὴ σαπῇ καὶ διαλυθῇ, οὐδὲν τούτων ἔσται. Εἰπέ μοι, πόθεν τοῦτο γίνεται; Καὶ ἡ ἄμπελος δὲ ἡ οὕτω καλὴ καὶ ἰδεῖν καὶ μετέχειν, ἀπὸ τοῦ εἰδεχθοῦς γίνεται ἐκείνου. Τί δέ, εἰπέ μοι; οὐχὶ ὕδωρ ἐστὶν ἓν τὸ ἄνωθεν καταφερόμενον; πῶς εἰς τοσαῦτα μεταβάλλεται; Τοῦτο γὰρ τῆς ἀναστάσεως θαυμασιώτερον. Ἐκεῖ μὲν γὰρ καὶ τὸ αὐτὸ σπέρμα, καὶ τὸ αὐτὸ ὑπόκειται φυτόν, καὶ ἡ συγγένεια πολλή, ἐνταῦθα δέ, εἰπέ μοι, πῶς μίαν ἔχον ποιότητα καὶ μίαν φύσιν, εἰς τοσαῦτα τρέπεται; Ἐν ἀμπέλῳ γίνεται οἶνος, οὐχὶ οἶνος μόνον, ἀλλὰ καὶ φύλλα καὶ ὀπός· καὶ γὰρ οὐχ ὁ βότρυς μόνον, ἀλλὰ καὶ τὸ λοιπὸν τῆς ἀμπέλου ἐν αὐτῷ τρέφεται· πάλιν ἐν ἐλαίᾳ ἔλαιον, καὶ τὰ ἄλλα ὅσα. Καὶ τὸ θαυμαστόν, ἐνταῦθα ὑγρόν, ἐκεῖ ξηρόν, ἐνταῦθα γλυκύ, ἐκεῖ ὀξύ, ἐκεῖ στῦφον, ἑτέρωθι πικρόν. Πῶς, εἰπέ μοι, τρέπεται εἰς τοσαῦτα; εἰπὲ τὸν λόγον· ἀλλ' οὐκ ἂν ἔχοις.

---

8. Βλ. Α΄ Κορ. 15,36 – 38

πολλὲς ἀνοησίες καὶ τὸ παρουσιάζεις σὰν ἄλυτο ζήτημα; Γιατὶ ἀπάντησέ μου, ἂν λοιπὸν δὲν πέση μέσα στὴ θάλασσα, ἂν δὲν τὸν φάγη ψάρι, οὔτε πάλι φαγωθῆ τὸ ψάρι ἀπὸ πολλοὺς ἀνθρώπους, ἀλλ', ἀφοῦ κηδευθῆ, τοποθετηθῆ ὁ ἄνθρωπος μέσα σὲ λάρνακα, καὶ οὔτε σκουλήκια οὔτε τίποτε ἄλλο τὸν ἐνοχλήση, πῶς θὰ ἀναστηθῆ τὸ διαλυμένο σῶμα; πῶς θὰ συνενωθοῦν ἡ σκόνη καὶ ἡ τέφρα; ἀπὸ ποῦ θὰ ὑπάρξη στὴ συνέχεια ἡ λαμπρότητα τοῦ σώματος; αὐτὸ δὲν εἶναι δύσκολο; Ἂν βέβαια εἶναι Ἕλληνες αὐτοὶ ποὺ διατυπώνουν τὶς ἀπορίες, πρὸς αὐτοὺς θὰ εἰποῦμε πολλά. Τί τέλος πάντων; Ὑπάρχουν δηλαδὴ σ' αὐτοὺς μερικοὶ ποὺ προσάγουν τὶς ψυχὲς καὶ σὲ φυτὰ καὶ σὲ θάμνους καὶ σὲ σκυλιά.

Εἰπέ μου, τί εἶναι εὐκολώτερο, νὰ ἀναλάβη τὸ ἰδικό της σῶμα ἢ τὸ ξένο; Ἄλλοι πάλι ἰσχυρίζονται ὅτι καταστρέφεται ἀπὸ τὸ πῦρ καὶ γίνεται ἀνάστασις τῶν ἐνδυμάτων καὶ τῶν ὑποδημάτων, καὶ δὲν περιπαίζονται· ἄλλοι λέγουν ὅτι εἶναι ἀδιάλυτες. Ἀλλὰ πρὸς ἐκείνους δὲν θὰ εἰποῦμε ἀπολύτως τίποτε. Πρὸς τοὺς πιστοὺς ὅμως, ἐὰν βέβαια πιστοὺς πρέπει νὰ ἀποκαλοῦμε αὐτοὺς ποὺ ἐρωτοῦν, θὰ εἰποῦμε τὰ λόγια τοῦ ἀποστόλου, ὅτι ὅλη ἡ ζωὴ γίνεται ἀπὸ τὴ φθορά, ὅλα εἶναι φυτά, ὅλα εἶναι σπέρματα[8]. Δὲν βλέπεις τὴ συκιὰ πόσο μεγάλο κορμὸ ἔχει καὶ πόσο μεγάλους βλαστούς; πόσα φύλλα, κλαδιά, ἄνθη, ρίζες τόσο πολὺ ἁπλωμένες καὶ περιτυλιγμένες; Αὐτὴ λοιπὸν ἡ τόσο μεγάλη καὶ θαυμαστὴ γίνεται ἀπὸ τὸ μικρὸ ἐκεῖνο σπόρο τοῦ σύκου ἀφοῦ σπαρῆ καὶ καταστραφῆ πρῶτα· καὶ ἂν δὲν σαπίση καὶ δὲν διαλυθῆ, δὲν θὰ γίνη τίποτε ἀπὸ αὐτά. Εἰπέ μου, ἀπὸ ποῦ γίνεται αὐτό; Καὶ τὸ κλῆμα ποὺ εἶναι τόσο ὡραῖο καὶ στὴν ὅρασι καὶ στὴ γεῦσι, γίνεται ἀπὸ ἐκεῖνον τὸ σάπιο σπόρο. Τί ὅμως συμβαίνει; εἰπέ μου· δὲν εἶναι ἕνα τὸ νερὸ ποὺ πέφτει ἀπὸ τοὺς οὐρανούς; πῶς μεταβάλλεται σὲ τόσα πολλά; Αὐτὸ πράγματι εἶναι πιὸ ἐκπληκτικὸ ἀπὸ τὴν ἀνάστασι. Γιατὶ ἐκεῖ βέβαια ὑπάρχει καὶ τὸ ἴδιο σπέρμα καὶ τὸ ἴδιο φυτὸ καὶ ἡ ὁμοιότητα μεγάλη, ἐδῶ ὅμως, εἰπέ μου, πῶς ἐνῶ ἔχει μία ποιότητα καὶ μία φύσι, μετατρέπεται σὲ τόσα πολλά; Στὸ κλῆμα γίνεται κρασί, καὶ ὄχι μόνο κρασί, ἀλλὰ καὶ φύλλα καὶ χυμός· γιατὶ ὄχι μόνο τὸ σταφύλι, ἀλλὰ καὶ τὰ ὑπόλοιπα μέρη τοῦ κλήματος μὲ αὐτὸ τρέφονται. Ἐπίσης στὴν ἐλιὰ τὸ λάδι καὶ ὅλα τὰ ἄλλα. Καὶ τὸ παράξενο, ἐδῶ εἶναι γεμᾶτο νερό, ἐκεῖ δὲν περιέχει νερό, ἐδῶ γλυκό, ἐκεῖ ξυνό, ἐκεῖ στυφό, ἀλλοῦ πικρό. Πῶς, εἰπέ μου, μετατρέπεται σὲ τόσα πολλά; ἐξήγησέ το· ἀλλὰ δὲν θὰ μπορέσης.

Ἐπὶ δὲ σοῦ αὐτοῦ, εἰπέ μοι, ἐγγύτερον γάρ, τοῦτο τὸ σπέρμα τὸ καταβαλλόμενον πῶς εἰς ὀφθαλμούς, πῶς εἰς ὦτα, πῶς εἰς χεῖρας, πῶς εἰς καρδίαν, πῶς εἰς τοσαῦτα ῥυθμίζεται καὶ διατυποῦται; Οὐχὶ μυρίαι διαφοραὶ ἐν τῷ σώματι, σχημάτων, μεγεθῶν, ποιοτήτων, θέσεων, δυνάμεων, ῥυθμῶν; νεῦρα, καὶ φλέβες, καὶ σάρκες, καὶ ὀστᾶ, καὶ ὑμένες, καὶ ἀρτηρίαι, καὶ ἄρθρα, καὶ χόνδροι, καὶ ὅσα ἕτερα τούτων πλείονα ἀκριβολογοῦνται παῖδες ἰατρῶν, ἃ τὴν ἡμετέραν συνέχει φύσιν, καὶ ταῦτα ἀπὸ τοῦ ἑνὸς σπέρματος; Ἆρα οὐ πολλῷ σοι δοκεῖ τούτων εἶναι τοῦτο ἀπορώτερον, πῶς τὸ ὑγρὸν καὶ μαλακὸν εἰς ξηρὸν καὶ ψυχρὸν πήγνυται, τὸ ὀστοῦν; πῶς εἰς θερμὸν καὶ ὑγρόν, τὸ αἷμα, ἑνωθέν; πῶς εἰς ψυχρὸν καὶ μαλθακόν, τὸ νεῦρον; πῶς εἰς ψυχρὸν καὶ ὑγρόν, τὴν ἀρτηρίαν; Πόθεν ταῦτα, εἰπέ μοι; ταῦτα οὐ διαπορεῖς; Οὐχὶ ὁρᾷς καθ' ἑκάστην ἡμέραν ἀνάστασιν καὶ θάνατον ἐν ταῖς ἡλικίαις γινόμενον; ποῦ ἡ νεότης ἀπῆλθεν; πόθεν τὸ γῆρας ἦλθε; πῶς ὁ γεγηρακὼς ἑαυτὸν μὲν νέον ποιῆσαι οὐ δύναται, ἕτερον δὲ παιδίον τίκτει νεώτατον, καὶ ὃ ἑαυτῷ οὐ δύναται παρασχεῖν, ἑτέρῳ παρέχει. Τοῦτο καὶ ἐπὶ τῶν δένδρων καὶ ἐπὶ τῶν ζώων ἔστιν ἰδεῖν. Καίτοι τὸ ἑτέρῳ παρέχον, ἑαυτῷ πρότερον ὀφείλει παρασχεῖν. Ἀλλὰ τοῦτο ὁ λογισμὸς ὁ ἀνθρώπινος ἀπαιτεῖ· ὅταν δὲ ὁ Θεὸς δημιουργῇ, πάντα ὑποχωρείτω.

Εἰ ταῦτα οὕτως ἄπορα, καὶ μεθ' ὑπερβολῆς ἄπορα, ὑπεισῆλθέ μοι νῦν ἔννοια τῶν μαινομένων, καὶ τὴν γέννησιν τὴν ἀσώματον πολυπραγμονούντων τοῦ Υἱοῦ. Τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα, καὶ χερσὶν ὑποβαλλόμενα, καὶ μυριάκις ζητηθέντα οὐδεὶς οὐδέπω εὑρεῖν δεδύνηται· πῶς οὖν τὴν ἄρρητον ἐκείνην καὶ ἄφραστον γέννησιν πολυπραγμονοῦσιν, εἰπέ μοι; Οὐκ ἀπέκαμεν ἡ διάνοια τῶν τοιούτων κενεμβατοῦσα; οὐκ εἰς μυρίους ἰλίγγους περιετράπη; οὐχὶ ἀχανὴς γέγονε; Καὶ ὅμως οὐδὲ οὕτω παιδεύονται. Περὶ σταφυλῶν καὶ σύκων οὐδὲν εἰπεῖν δυνάμενοι, περὶ τοῦ Θεοῦ πολυπραγμονοῦσιν. Εἰπὲ γάρ μοι, πῶς τὸ γίγαρτον ἐκεῖνο ἀναλύεται εἰς φύλλα καὶ στελέχη; πῶς πρὸ τούτου οὐκ ἦν ἐν αὐτῷ, οὐδὲ ἑωρᾶτο; Ἀλλ' οὐ τὸ γίγαρτόν ἐστι, φησίν, ἀλλὰ τῆς γῆς τὸ πᾶν. Καὶ πῶς χωρὶς τούτου οὐδὲν φέρει ἀφ' ἑαυτῆς; Ἀλλὰ μὴ ἀνοηταίνωμεν· οὔτε τῆς γῆς ἐστιν, οὔτε τῆς κέγχρου τὸ γινόμενον, ἀλλὰ τοῦ καὶ τῆς γῆς καὶ τῶν σπερμάτων Κυρίου. Διὰ τοῦτο καὶ χωρὶς τούτων, καὶ μετὰ τούτων ταῦτα

Γιὰ τὸν ἴδιο τὸν ἑαυτό σου, εἰπέ μου, γιατὶ εἶναι πλησιέστερα, αὐτὸ τὸ σπέρμα ποὺ καταβάλλεται πῶς διαμορφώνεται καὶ διαπλάσσεται σὲ μάτια, πῶς σὲ αὐτιά, πῶς σὲ χέρια, πῶς σὲ καρδιά, πῶς σὲ τόσα ἄλλα; Δὲν ὑπάρχουν πολλὲς διαφορὲς στὸ σῶμα, σχημάτων, μεγεθῶν, ποιοτήτων, θέσεων, δυνάμεων, ἀναλογιῶν; νεῦρα καὶ φλέβες καὶ σάρκες καὶ ὀστᾶ καὶ ὑμένες καὶ ἀρτηρίες καὶ ἀρθρώσεις καὶ χόνδροι, καὶ τόσα ἄλλα περισσότερα ἀπὸ αὐτὰ ποὺ ὀνομάζουν μὲ ἀκρίβεια οἱ ἰατροί, τὰ ὁποῖα συγκροτοῦν τὴν ἰδική μας φύσι, ποὺ καὶ αὐτὰ γίνονται ἀπὸ ἕνα σπέρμα; Ἑπομένως ἀπὸ αὐτὰ δὲν νομίζεις ὅτι εἶναι τοῦτο πολὺ πιὸ δύσκολο, πῶς τὸ ὑγρὸ καὶ μαλακὸ πήζει σὲ σκληρὸ καὶ στερεό, τὸ κόκκαλο; πῶς σὲ ζεστὸ καὶ ὑγρὸ, τὸ αἷμα, ὅταν ἑνωθῆ; πῶς σὲ σκληρὸ καὶ μαλακό, τὸ νεῦρο; πῶς σὲ κρύο καὶ ὑγρό, τὴν ἀρτηρία; Ἀπὸ ποῦ, εἰπέ μου, γίνονται αὐτά; γι' αὐτὰ δὲν ἀπορεῖς; Δὲν βλέπεις νὰ γίνεται καθημερινὰ ἀνάστασις καὶ θάνατος στὶς ἡλικίες; ποῦ ἐπῆγε ἡ νεότητα; ἀπὸ ποῦ ἦλθε τὸ γῆρας; πῶς αὐτὸς ποὺ ἔχει γηράσει δὲν μπορεῖ νὰ κάμη τὸν ἑαυτό του νέο, γεννᾶ ὅμως ἄλλο παιδὶ νεώτατο, καὶ αὐτὸ ποὺ δὲν μπορεῖ νὰ δώση στὸν ἑαυτό του, δίνει σὲ ἄλλον. Αὐτὸ μποροῦμε νὰ τὸ ἰδοῦμε καὶ στὰ δένδρα καὶ στὰ ζῶα. Ἂν καὶ αὐτὸ ποὺ δίνει σὲ ἄλλο, πρῶτα ὀφείλει νὰ δώση στὸν ἑαυτό του. Ἀλλὰ αὐτὸ τὸ ἀπαιτεῖ τὸ λογικὸ τοῦ ἀνθρώπου, ὅταν ὅμως ὁ Θεὸς δημιουργῆ, ὅλα ἂς ὑποχωροῦν.

Ἀφοῦ αὐτὰ εἶναι τόσο δύσκολο νὰ ἐξηγηθοῦν, καὶ μάλιστα πολὺ δύσκολο, ἐθυμήθηκα ἐκείνους ποὺ εἶναι παράφρονες καὶ ἐρευνοῦν μὲ περιέργεια τὴν ἀσώματη γέννησι τοῦ Υἱοῦ τοῦ Θεοῦ. Αὐτὰ ποὺ καθημερινὰ γίνονται καὶ εἶναι ὁλοφάνερα καὶ ποὺ πολλὲς φορὲς ἐρευνήθηκαν κανεὶς δὲν ἔχει μπορέσει νὰ ἐξηγήση μέχρι τώρα. Πῶς λοιπόν, εἰπέ μου, ἐρευνοῦν ἐκείνη τὴν ἀκατάληπτη καὶ ἀνέκφραστη γέννησι; Δὲν ἐκουράσθηκε νὰ ματαιοπονῆ ὁ νοῦς τους; δὲν ἐζαλίσθηκε πολλὲς φορές; δὲν ἔχει μείνει ἄφωνη; Καὶ ὅμως οὔτε ἔτσι διδάσκονται. Ἐνῶ δὲν μποροῦν νὰ εἰποῦν τίποτε γιὰ τὰ σταφύλια καὶ τὰ σῦκα, ἐρευνοῦν γιὰ τὸν Θεό. Γιατὶ εἰπέ μου, πῶς τὸ κουκούτσι ἐκεῖνο χωρίζεται σὲ φύλλα καὶ βλαστούς; πῶς πρὶν ἀπὸ αὐτὸ δὲν ἦταν μέσα του, οὔτε ἐβλέποντο; Ὅμως δὲν εἶναι τὸ κουκούτσι, λέγει, ἀλλὰ τὰ πάντα εἶναι ἔργο τῆς γῆς. Καὶ πῶς χωρὶς αὐτὸ δὲν παράγει τίποτε ἀπὸ μόνη της; Ἀλλὰ ἂς μὴ γινώμασθε ἀνόητοι. Οὔτε ἀπὸ τὴ γῆ ἐξαρτᾶται αὐτὸ ποὺ γίνεται, οὔτε ἀπὸ τὸ σπερμα, ἀλλὰ ἀπὸ τὸν Κύριο καὶ τῆς γῆς καὶ τῶν σπερμάτων. Γι'

ἐποίησε γίνεσθαι· τὸ μέν, τὴν αὐτοῦ δύναμιν δεικνύς, ἡνίκα ἔλεγεν, «Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου», τὸ δέ, μετὰ τὸ δεῖξαι τὴν αὐτοῦ δύναμιν, καὶ ἡμᾶς παιδεύων εἶναι φιλοπόνους καὶ φιλεργούς.

3. Τί δὴ ταῦτα ἡμῖν εἴρηται; Οὐχ ἁπλῶς, ἀλλ' ἵνα καὶ τῇ ἀναστάσει πιστεύωμεν, καὶ ὅταν τι πάλιν λογισμοῖς βουλόμενοι καταλαβεῖν μὴ εὕρωμεν, μὴ δυσχεραίνωμεν μηδὲ ἀγανακτῶμεν, ἀλλ' εὐγνωμόνως ὑποστρέφοντες καὶ ἀναχαιτίζοντες τὸν λογισμόν, καταφεύγωμεν ἐπὶ τὸ δυνατὸν τοῦ Θεοῦ καὶ εὐμήχανον. Ταῦτα οὖν εἰδότες, χαλινὸν ἐπιθῶμεν τοῖς λογισμοῖς· μὴ ὑπερβαίνωμεν τοὺς ὅρους καὶ τὰ μέτρα τὰ δεδομένα τῆς γνώσεως ἡμῖν. «Εἰ γάρ τις δοκεῖ», φησίν, «εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε, καθὼς δεῖ γνῶναι». Οὐ λέγω περὶ Θεοῦ, φησίν, ἀλλὰ περὶ παντὸς πράγματος. Τί γάρ; βούλει μαθεῖν περὶ γῆς; τί οἶδας, εἰπέ μοι; πόσον τὸ μέτρον; πηλίκον τὸ μέγεθος; ὁποία ἡ θέσις; τίς ἡ οὐσία; ποῖος ὁ τόπος; ποῦ ἕστηκε, καὶ ἐπὶ τίνος; Οὐδὲν ἂν τούτων ἔχοις εἰπεῖν. Ἀλλ' ὅτι μὲν ἔστι ψυχρὰ καὶ ξηρὰ καὶ μέλαινα, ταῦτα ἂν ἔχοις εἰπεῖν, περαιτέρω δὲ οὐδέν. Ἀλλὰ περὶ τῆς θαλάττης; Ἀλλ' ὁμοίως εἰς ἀμηχανίαν ἐμπεσῇ, οὐκ εἰδὼς ποῦ μὲν ἄρχεται, ποῦ δὲ λήγει, ἐπὶ τίνος δὲ φέρεται, τί τὸν πυθμένα αὐτῆς διαβαστάζει, ποῖος δὲ αὐτῇ τόπος ἐστί, πότερον δὲ καὶ μετ' αὐτὴν ἔστιν ἤπειρος, ἢ εἰς ὕδωρ τελευτᾷ καὶ ἀέρα. Ἀλλὰ τῶν ἐν αὐτῇ τί οἶδας;

Ἀλλὰ τί; ἀφῶ τὰ στοιχεῖα. Βούλει τῶν φυτῶν τὸ μικρότατον ἐκλεξώμεθα; τὴν χλόην τὴν ἄκαρπον, ὅπερ ἅπαντες ἴσμεν, εἰπὲ πῶς τίκτεται; οὐχὶ ὕδωρ ἐστὶ τὸ ὑποκείμενον, καὶ γῆ, καὶ κόπρος; τί τὸ ποιοῦν αὐτὴν οὕτω καλὴν φαίνεσθαι, καὶ χρῶμα ἔχειν θαυμαστόν; πόθεν ἐκεῖνο τὸ κάλλος οὕτω μαραίνεται; οὐκ ἔστιν ὕδατος, οὐκ ἔστι γῆς τὸ ἔργον. Ὁρᾷς ὅτι πανταχοῦ πίστεως χρεία; Πῶς ἡ γῆ τίκτει; πῶς ὠδίνει, εἰπέ μοι; Ἀλλ' οὐδὲν ἂν τούτων ἔχοις εἰπεῖν. Παιδεύθητι, ὦ ἄνθρωπε, ἐν τοῖς κάτω καὶ τοῖς ἐνταῦθα, καὶ μὴ περιεργάζου μηδὲ πολυπραγμόνει τὸν οὐρανόν· καὶ εἴθε τὸν οὐρανόν, καὶ μὴ τοῦ οὐρανοῦ τὸν δεσπότην. Τὴν γῆν οὐκ οἶδας, εἰπέ μοι, ἀφ' ἧς ἐτέχθης, ἐν ᾗ ἐτράφης, ἣν

---

9. Γεν. 1,11
10. Α' Κορ. 8,2

αὐτὸ ἔκαμε νὰ γίνωνται αὐτά, καὶ χωρὶς αὐτὰ καὶ μαζὶ μὲ αὐτά· ἀφ' ἑνὸς μὲν γιὰ νὰ δείξῃ τὴ δύναμί του, ὅταν ἔλεγε, «Ἂς βλαστήσῃ ἡ γῆ χόρτο χλωρό»[9], ἀφ' ἑτέρου δέ, ἀφοῦ ἔδειξε τὴ δύναμί του, γιὰ νὰ μᾶς διδάξῃ νὰ εἴμασθε φιλόπονοι καὶ ἐργατικοί.

3. Γιατί λοιπὸν ἔχουν λεχθῆ αὐτὰ σὲ μᾶς; Ὄχι ἁπλῶς, ἀλλὰ γιὰ νὰ πιστεύωμε καὶ στὴν ἀνάστασι, καὶ ὅταν πάλι θέλωμε νὰ κατανοήσωμε κάτι μὲ τοὺς διαλογισμούς μας καὶ δὲν τὸ κατορθώσωμε, νὰ μὴ δυσανασχετοῦμε οὔτε νὰ ἀγανακτοῦμε, ἀλλὰ ἀφοῦ στρέφομε πίσω καὶ ἀναχαιτίζωμε μὲ σύνεσι τὴ σκέψι μας, νὰ καταφεύγωμε στὴ δύναμι καὶ πανσοφία τοῦ Θεοῦ. Γνωρίζοντας λοιπὸν αὐτά, ἂς θέσωμε χαλινάρι στὶς σκέψεις μας, ἂς μὴ ὑπερβαίνωμε τὰ ὅρια καὶ τὰ μέτρα ποὺ ἔχουν δοθῆ στὴ γνῶσι μας. «Γιατὶ ἐὰν κανεὶς φαντάζεται», λέγει ὁ Παῦλος, «ὅτι γνωρίζει κάτι, αὐτὸς δὲν ἔχει γνωρίσει ἀκόμη τίποτε, ὅπως πρέπει νὰ τὸ γνωρίζῃ»[10]. Δὲν λέγω γιὰ τὸν Θεό, λέγει, ἀλλὰ γιὰ τὸ κάθε πρᾶγμα. Τί λοιπόν; θέλεις νὰ μάθῃς γιὰ τὴ γῆ; τί γνωρίζεις; εἰπέ μου· πόση εἶναι ἡ ἔκτασίς της; πόσο μεγάλο τὸ μέγεθός της; ποιά εἶναι ἡ θέσις της; ποιά ἡ οὐσία της; ποιός ὁ τόπος της; ποῦ στηρίζεται καὶ ἐπάνω σὲ τί; Τίποτε ἀπὸ αὐτὰ δὲν θὰ μπορέσῃς νὰ εἰπῇς. Ἀλλὰ ὅτι εἶναι στερεὴ καὶ σκληρὴ καὶ σκοτεινή, αὐτὰ θὰ μπορέσῃς νὰ εἰπῇς, παραπέρα ὅμως τίποτε. Μήπως γιὰ τὴ θάλασσα; Ἀλλὰ ὅμοια θὰ περιέλθῃς σὲ ἀμηχανία, ἐπειδὴ δὲν γνωρίζεις ποῦ ἀρχίζει καὶ ποῦ τελειώνει, ἐπάνω σὲ τί φέρεται, τί βαστάζει τὸ βυθό της, ποιός εἶναι ὁ τόπος της, καὶ ποιό ἀπὸ τὰ δύο ἢ μετὰ ἀπὸ αὐτὴν εἶναι ξηρὰ ἢ τελειώνει σὲ νερὸ καὶ ἀέρα. Ἀλλὰ ἀπὸ ἐκεῖνα ποὺ ὑπάρχουν μέσα σὲ αὐτὴν τί γνωρίζεις;

Ἀλλὰ τί; ἂς ἀφήσω τὰ οὐράνια σώματα. Θέλεις νὰ διαλέξωμε τὸ πιὸ μικρὸ φυτό; ἡ χλόη ἡ ἄκαρπη, ποὺ ὅλοι γνωρίζομε, εἰπὲ πῶς παράγεται; δὲν εὑρίσκεται ἀπὸ κάτω νερὸ καὶ χῶμα καὶ κοπριά; τί εἶναι ἐκεῖνο ποὺ τὴν κάνει νὰ φαίνεται τόσο ὡραία καὶ νὰ ἔχῃ θαυμάσιο χρῶμα; ἀπὸ ποῦ ἐκείνη ἡ ὀμορφιὰ μαραίνεται ἔτσι; δὲν εἶναι ἔργο τοῦ νεροῦ, οὔτε τῆς γῆς. Βλέπεις ὅτι παντοῦ χρειάζεται πίστις; Πῶς παράγει ἡ γῆ; πῶς γεννᾶ, εἰπέ μου; Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν θὰ μπορέσῃς νὰ εἰπῇς. Προσπάθησε, ἄνθρωπε, νὰ μάθῃς τὰ εὑρισκόμενα ἐδῶ κάτω στὴ γῆ καὶ νὰ μὴ περιεργάζεσαι οὔτε νὰ καταπιάνεσαι μὲ τὸν οὐρανό· καὶ μακάρι μὲ τὸν οὐρανὸ καὶ ὄχι μὲ τὸν Κύριο τοῦ οὐρανοῦ. Τὴ γῆ δὲν γνωρίζεις, εἰπέ μου, ἀπὸ τὴν ὁποία ἐγεννήθηκες, στὴν ὁποία ἐτράφηκες, τὴν ὁποία κατοικεῖς, τὴν ὁποία πατεῖς, χωρὶς τὴν ὁποία δὲν μπορεῖς οὔτε νὰ ἀναπνεύ-

οἰκεῖς, ἣν πατεῖς, ἧς ἄνευ οὐδὲ ἀναπνεῦσαι δύνασαι, καὶ τὰ τοσοῦτον ἀφεστηκότα πολυπραγμονεῖς; Ὄντως ἄνθρωπος ματαιότης· ὁ γὰρ τοιοῦτος ματαιότης ἐστί. Κἂν μέν τίς σε εἰς βυθὸν κελεύῃ καταβαίνειν, καὶ ἐξιχνεύειν τὰ ἐν τῷ πυθμένι τῆς θαλάσσης, οὐκ ἀνέξῃ τοῦ ἐπιτάγματος, οὐδενὸς δὲ ἀναγκάζοντος, αὐτὸς τὴν ἀνεξιχνίαστον ἄβυσσον βούλει καταλαβεῖν; Μή, παρακαλῶ· ἀλλ' ἄνω πλέωμεν, μὴ νηχόμενοι· ταχέως γὰρ ἀποκαμούμεθα, καὶ καταποντισθησόμεθα· ἀλλὰ ταῖς θείαις κεχρημένοι Γραφαῖς, καθάπερ πλοίῳ τινί, τῆς πίστεως τὸ ἱστίον ἀναπετάσωμεν. Ἂν ἐν ταύταις πλέωμεν, καὶ κυβερνήτης ἡμῖν παρέσται ὁ λόγος τοῦ Θεοῦ, ἂν δὲ νηχώμεθα ἐν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, οὐκέτι. Τίνι γὰρ τῶν νηχομένων κυβερνήτης πάρεστιν; Ὥστε διπλῇ ὁ κίνδυνος, τῷ τε μὴ πλοῖον εἶναι, τῷ τε τὸν κυβερνήτην ἀπεῖναι. Εἰ γὰρ καὶ τὸ σκάφος ἄνευ κυβερνήτου σφαλερόν, ὅταν ἀμφότερα ἀπῇ, ποία σωτηρίας ἐλπίς;

Μὴ δὴ ῥίπτωμεν ἑαυτοὺς εἰς κίνδυνον φανερόν, ἀλλ' ἐπ' ἀσφαλοῦς βαίνωμεν, τῆς ἱερᾶς ἀγκύρας ἐξαρτήσαντες ἑαυτούς. Οὕτω γὰρ εἰς τὸν εὔδιον λιμένα καταπλευσούμεθα μετὰ πολλῆς μὲν τῆς ἐμπορίας, πολλῆς δὲ τῆς ἀσφαλείας· καὶ τῶν ἀποκειμένων τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθῶν ἐπιτευξόμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σης, καὶ καταπιάνεσαι νὰ ἐξηγήσης αὐτὰ ποὺ ἀπέχουν τόσο πολύ; Πράγματι ὁ ἄνθρωπος εἶναι ματαιότητα, γιατὶ ἕνας τέτοιος ἄνθρωπος εἶναι ματαιότητα. Καὶ ἂν σὲ διατάξη κάποιος νὰ κατεβῆς σὲ βυθὸ καὶ νὰ ἐξιχνιάσης τὰ εὑρισκόμενα στὸν πυθμένα τῆς θαλάσσης, δὲν θὰ δεχθῆς τὴν προσταγή, χωρὶς ὅμως νὰ σὲ ἐξαναγκάζη κανένας, θέλεις μόνος σου νὰ κατανοήσης τὴν ἀνεξιχνίαστη ἄβυσσο; Μὴ κάνης αὐτό, σὲ παρακαλῶ· ἀλλ' ἂς ταξιδεύωμε πρὸς τὰ ἄνω, χωρὶς νὰ πλέωμε μὲ τὶς σκέψεις μας· γιατὶ γρήγορα θὰ κουρασθοῦμε καὶ θὰ καταποντισθοῦμε, χρησιμοποιώντας ὅμως τὶς ἅγιες Γραφές, σὰν κάποιο πλοῖο, ἂς ἀνοίξωμε τὰ πανιὰ τῆς πίστεως. Ἂν πλέωμε μὲ αὐτές, θὰ μᾶς παρίσταται κυβερνήτης ὁ λόγος τοῦ Θεοῦ, ἂν ὅμως ταξιδεύωμε μὲ τὶς σκέψεις τὶς ἀνθρώπινες, δὲν θὰ μᾶς παρίσταται. Γιατὶ σὲ ποιόν ἐπιβάτη παραστέκεται ὁ κυβερνήτης; Ὥστε εἶναι διπλὸς ὁ κίνδυνος, καὶ μὲ τὸ νὰ μὴ ὑπάρχη πλοῖο καὶ μὲ τὸ νὰ ἀπουσιάζη ὁ κυβερνήτης. Ἐὰν βεβαίως καὶ τὸ σκάφος χωρὶς κυβερνήτη εἶναι ἐπικίνδυνο, ὅταν ἀπουσιάζουν καὶ τὰ δύο, ποιά ἐλπίδα σωτηρίας ὑπάρχει;

Ἂς μὴ ρίπτωμε λοιπὸν τοὺς ἑαυτούς μας σὲ φανερὸ κίνδυνο, ἀλλὰ ἂς βαδίζωμε σταθερά, ἀφοῦ στηρίξωμε τοὺς ἑαυτούς μας στὴν ἱερὴ ἄγκυρα. Γιατὶ ἔτσι θὰ καταπλεύσωμε στὸ ἥσυχο λιμάνι μὲ πολὺ ἐμπόρευμα καὶ μὲ πολλὴ ἀσφάλεια, καὶ θὰ ἐπιτύχωμε τὰ ἀγαθὰ ποὺ ἔχει ἀποταμιεύσει γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο μαζὶ μὲ τὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄.

(Α΄ Θεσ. 4, 14–18)

«Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον. Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα».

Οἱ προφῆται μὲν τὸ ἀξιόπιστον τῶν λεγομένων δεῖξαι βουλόμενοι, πρὸ τῶν ἄλλων ἁπάντων τοῦτο λέγουσι· «Ὅρασις, ἣν εἶδε Ἡσαΐας»· καὶ πάλιν, «Ῥῆμα Κυρίου, ὃ ἐγενήθη πρὸς Ἱερεμίαν»· καὶ πάλιν, «Τάδε λέγει Κύριος», καὶ ὅσα τοιαῦτα. Πολλοὶ δὲ καὶ αὐτὸν καθήμενον ὁρῶσι τὸν Θεόν, ὡς αὐτοῖς ἰδεῖν δυνατόν. Ὁ δὲ Παῦλος οὐ καθήμενον ἰδών, ἀλλ' ἔχων ἐν ἑαυτῷ λαλοῦντα τὸν Χριστόν, ἀντὶ τοῦ, «Τάδε λέγει Κύριος», ἔλεγεν, «Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἡμῖν λαλοῦντος Χριστοῦ»· καὶ πάλιν, «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ», δεικνὺς ὅτι οὐδὲν αὐτοῦ ἐστιν· ὁ γὰρ ἀπόστολος τὰ τοῦ ἀποστείλαντος φθέγγεται. Καὶ πάλιν, «Δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν». Ἐκεῖνα μὲν οὖν Πνεύματι πάντα ἐφθέγγετο, τοῦτο δέ, ὃ λέγει νῦν, καὶ ῥητῶς ἤκουσε παρὰ τοῦ Θεοῦ· ὥσπερ ἐκεῖνο, ὅπερ τοῖς Ἐφεσίων πρεσβυτέροις διαλεγόμενος ἔλεγε, «Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν», κατὰ τὸ σιωπώμενον ἤκουσεν. Ἴδωμεν τοίνυν τί καὶ νῦν φησι. «Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ

1. Ἡσ. 1,1
2. Ἱερ. 1,1
3. Β΄ Κορ. 13,3
4. Α΄ Κορ. 7,40
5. Πράξ. 20,35

ΟΜΙΛΙΑ Η΄
(Α΄ Θεσ. 4,14–18)

«Γιατὶ αὐτὸ σᾶς τὸ λέμε σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου, ὅτι ἐμεῖς οἱ ζωντανοὶ οἱ ὁποῖοι θὰ ἀπομένωμε στὴ ζωὴ κατὰ τὴν παρουσία τοῦ Κυρίου, δὲν θὰ προφθάσωμε τοὺς πεθαμένους. Γιατὶ ὁ ἴδιος ὁ Κύριος μὲ πρόσταγμα, μὲ φωνὴ ἀρχαγγέλου καὶ μὲ σάλπιγγα Θεοῦ θὰ κατεβῆ ἀπὸ τὸν οὐρανὸ καὶ οἱ νεκροὶ ποὺ πέθαναν μὲ πίστι στὸν Χριστὸ θὰ ἀναστηθοῦν πρῶτα. Ἔπειτα ἐμεῖς οἱ ζωντανοὶ οἱ ὁποῖοι θὰ ἀπομένωμε συγχρόνως καὶ μαζὶ μὲ αὐτοὺς θὰ ἁρπαχθοῦμε μὲ σύννεφα γιὰ νὰ συναντήσωμε τὸν Κύριο στὸν ἀέρα, καὶ ἔτσι θὰ εἴμασθε πάντοτε μαζὶ μὲ τὸν Κύριο».

1. Οἱ προφῆτες θέλοντας νὰ ἀποδείξουν τὴν ἀξιοπιστία τῶν λόγων τους, πρὶν ἀπὸ ὅλα τὰ ἄλλα λέγουν αὐτό· «Ὅραμα, ποὺ εἶδε ὁ Ἠσαΐας»[1]· καὶ πάλι, «Λόγος Κυρίου, ποὺ ἔγινε πρὸς τὸν Ἰερεμία»[2]· καὶ πάλι, «Τὰ ἑξῆς λέγει ὁ Κύριος», καὶ ὅλα τὰ παρόμοια. Πολλοὶ δὲ βλέπουν καὶ τὸν ἴδιο τὸν Θεὸ νὰ κάθεται, ὅσο φυσικὰ εἶναι δυνατὸ νὰ τὸν ἰδοῦν. Ὁ Παῦλος ὅμως χωρὶς νὰ ἰδῆ ὅτι κάθεται αὐτός, ἀλλὰ ἔχοντας μέσα του τὸν Χριστὸ νὰ ὁμιλῆ, ἀντὶ τοῦ, «Τὰ ἑξῆς λέγει Κύριος», ἔλεγε, «Ἐὰν ζητῆτε νὰ ὑποβάλλετε σὲ δοκιμασία τὸν Χριστό, ὁ ὁποῖος ὁμιλεῖ μὲ μᾶς»[3], καὶ πάλι, «Ὁ Παῦλος, ὁ ἀπεσταλμένος τοῦ Ἰησοῦ Χριστοῦ», ἀποδεικνύοντας ὅτι τίποτε δὲν εἶναι ἰδικό του, γιατὶ ὁ ἀπεσταλμένος λέγει τὰ λόγια ἐκείνου ποὺ τὸν ἀπέστειλε. Καὶ πάλι, «Νομίζω ὅμως, ὅτι ἔχω καὶ ἐγὼ Πνεῦμα Θεοῦ»[4]. Ὅλα ἐκεῖνα λοιπὸν ἐλέγοντο μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος, αὐτὸ ὅμως ποὺ λέγει τώρα, τὸ ἄκουσε κατηγορηματικὰ ἀπὸ τὸν Θεό, ὅπως ἐκεῖνο, ποὺ ὅταν ὡμιλοῦσε στοὺς πρεσβυτέρους τῆς ἐκκλησίας τῶν Ἐφεσίων ἔλεγε, «Εἶναι πιὸ μακάριο νὰ δίνη κανείς, παρὰ νὰ παίρνη»[5], ποὺ τὸ ἤκουσε ὅταν ἐσώπαινε. Ἂς ἰδοῦμε λοιπὸν τί λέγει καὶ τώρα. «Γιατὶ αὐτὸ σᾶς τὸ λέμε σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου, ὅτι ἐμεῖς οἱ ζωντανοὶ οἱ ὁποῖοι θὰ ἀπομέ-

φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι τῇ ἐσχάτῃ καταβήσεται ἀπ' οὐρανοῦ». «Τότε» γάρ, φησίν, «αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται».

Τί δήποτε δὲ ἐν σάλπιγγι; Καὶ γὰρ ἐν τῷ Σιναίῳ ὄρει τοῦτο ὁρῶμεν, καὶ ἀγγέλους κἀκεῖ. Τί δὲ βούλεται ἡ φωνὴ τοῦ ἀρχαγγέλου; Καθάπερ ἐπὶ τῶν παρθένων ἔλεγεν· «Ἐγείρεσθε, ἦλθεν ὁ νυμφίος». Ἤτοι τοῦτό φησιν, ἢ ὅτι καθάπερ ἐπὶ βασιλέως, οὕτω καὶ τότε ἔσται, ἀγγέλων πρὸς τὴν ἀνάστασιν ὑπηρετουμένων. Λέγει γάρ, ἀναστῶσιν οἱ νεκροί· καὶ γίνεται τὸ ἔργον, οὐ τῶν ἀγγέλων πρὸς τοῦτο ἰσχυόντων, ἀλλὰ τοῦ ῥήματος αὐτοῦ· ὡς ἂν εἰ, βασιλέως κελεύσαντος καὶ εἰπόντος, ἐξέλθοιεν οἱ συγκεκλεισμένοι, καὶ οἱ ὑπηρέται ἐξάγοιεν, οὐκέτι λοιπὸν ἀπὸ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἀπὸ τῆς φωνῆς ἐκείνης τοῦτο ποιοῦσι. Τοῦτο καὶ ἀλλαχοῦ ὁ Χριστὸς λέγει· «Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν». Καὶ πανταχοῦ τοὺς ἀγγέλους ὁρᾷς διατρέχοντας. Τὸν οὖν ἀρχάγγελον οἶμαι τὸν ἐφεστῶτα εἶναι τοῖς ἀπεσταλμένοις βοῶντα τοῦτο, ὅτι ἑτοίμους ποιεῖτε πάντας· πάρεστι γὰρ ὁ κριτής. Τί ἐστιν, «ἐν τῇ ἐσχάτῃ σάλπιγγι»; Δείκνυσιν ἐνταῦθα πολλὰς τὰς σάλπιγγας γινομένας, καὶ πρὸς τῇ ἐσχάτῃ καταβαίνοντα τὸν κριτήν. «Καὶ οἱ νεκροί», φησίν, «ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις».

Εἰ μέλλει καταβαίνειν, τίνος ἕνεκεν ἁρπαγησόμεθα; Τιμῆς ἕνεκεν. Καὶ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος, οἱ μὲν ἔντιμοι πρὸς ἀπάντησιν ἐξίασιν, οἱ δὲ κατάδικοι ἔνδον μένουσι τὸν κριτήν· καὶ πατρὸς φιλοστόργου παραγενομένου, οἱ μὲν παῖδες, καὶ ἄξιοι παῖδες εἶναι, ἐπ' ὀχήματος ἐξάγονται ὥστε ἰδεῖν καὶ καταφιλῆσαι, οἱ δὲ προσκεκρουκότες τῶν οἰκετῶν ἔνδον μένουσιν. Ἐπὶ τοῦ ὀχήματος φερόμεθα τοῦ Πατρός· καὶ γὰρ αὐτὸς ἐν νεφέλαις ὑπέλαβεν αὐτόν, καὶ ἡμεῖς ἐν νεφέλαις ἁρπαγησόμε-

---

6. Ματθ. 24,29
7. Ἐξ. 19,16
8. Ματθ. 25,6
9. Ματθ. 24,31

νωμε στὴ ζωὴ κατὰ τὴν παρουσία τοῦ Κυρίου, δὲν θὰ προφθάσωμε τοὺς πεθαμένους. Γιατὶ ὁ ἴδιος ὁ Κύριος μὲ πρόσταγμα, μὲ φωνὴ ἀρχαγγέλου καὶ μὲ τὴν τελευταία σάλπιγγα θὰ κατεβῆ ἀπὸ τὸν οὐρανό». Γιατὶ καὶ ὁ Χριστὸς λέγει, «Τότε οἱ οὐράνιες δυνάμεις τῶν ἀγγέλων θὰ σαλευθοῦν»[6].

Γιατί λοιπὸν μὲ ἦχο σάλπιγγας; Γιατὶ καὶ στὸ ὄρος Σινᾶ αὐτὸ βλέπομε, καὶ ἀγγέλους καὶ ἐκεῖ[7]. Τί ὅμως θέλει ἡ φωνὴ τοῦ ἀρχαγγέλου; Ὅπως ἀκριβῶς στὴν παραβολὴ τῶν παρθένων ἔλεγε, «Σηκωθεῖτε, ἦλθε ὁ γαμβρός»[8]. Ἢ λοιπὸν ἐννοεῖ αὐτό, ἢ ὅτι ὅπως κατὰ τὴν ἐμφάνισι βασιλέως, ἔτσι καὶ τότε θὰ συμβῆ, ὅταν ἄγγελοι θὰ βοηθοῦν γιὰ τὴν ἀνάστασι. Γιατὶ λέγει, ἂς ἀναστηθοῦν οἱ νεκροί· καὶ γίνεται τὸ ἔργο, ὄχι ἐπειδὴ βοηθοῦν γιὰ τὸ σκοπὸ αὐτὸ οἱ ἄγγελοι, ἀλλὰ ὁ λόγος ὁ ἴδιος. Ὅπως, ὅταν διατάξη ὁ βασιλεὺς καὶ εἰπῆ, νὰ ἐξέλθουν οἱ φυλακισμένοι καὶ οἱ ὑπηρέτες νὰ τοὺς ὁδηγοῦν ἔξω, δὲν κάνουν αὐτὸ στὴ συνέχεια ἀπὸ τὴν ἰδική τους δύναμι, ἀλλὰ ἀπὸ τὴ φωνὴ ἐκείνη. Αὐτὸ ὁ Χριστὸς καὶ ἀλλοῦ λέγει· «Θὰ ἀποστείλη τοὺς ἀγγέλους του μὲ σάλπιγγα μεγάλη, καὶ θὰ μαζεύσουν τοὺς ἐκλεκτούς του ἀπὸ τοὺς τέσσερις ἀνέμους, ἀπὸ τὴν ἄκρη τοῦ οὐρανοῦ ἕως τὴν ἄλλη ἄκρη του»[9]. Καὶ παντοῦ βλέπεις νὰ τρέχουν οἱ ἄγγελοι. Ὁ ἀρχάγγελος λοιπὸν νομίζω ὅτι εἶναι ὁ προϊστάμενος στοὺς ἀπεσταλμένους γιὰ νὰ φωνάζη αὐτό, ἑτοιμάζεσθε ὅλοι, γιατὶ φθάνει ὁ κριτής. Τί σημαίνει, «μὲ τὴν τελευταία σάλπιγγα»; Δείχνει ἐδῶ ὅτι εἶχαν ἀκουσθῆ πολλὲς σάλπιγγες καὶ ὅτι μὲ τὴν τελευταία κατεβαίνει ὁ κριτής. «Καὶ οἱ νεκροί», λέγει, «ποὺ πέθαναν μὲ τὴν πίστι στὸν Χριστὸ θὰ ἀναστηθοῦν πρῶτα. Ἔπειτα ἐμεῖς οἱ ζωντανοὶ οἱ ὁποῖοι θὰ ἀπομένωμε συγχρόνως καὶ μαζὶ μὲ αὐτοὺς θὰ ἁρπαχθοῦμε μὲ σύννεφα νὰ συναντήσωμε τὸν Κύριο στὸν ἀέρα καὶ ἔτσι πάντοτε θὰ εἴμασθε μαζὶ μὲ τὸν Κύριο. Παρηγορεῖτε λοιπὸν ὁ ἕνας τὸν ἄλλο μὲ τὰ λόγια αὐτά».

Ἀφοῦ πρόκειται νὰ κατεβῆ, γιὰ ποιό λόγο θὰ ἁρπαχθοῦμε; Γιὰ νὰ μᾶς τιμήση. Γιατὶ καὶ ὁ βασιλεὺς ὅταν εἰσέρχεται σὲ πόλι, οἱ ἐκτιμώμενοι ἀπὸ αὐτὸν ἐξέρχονται πρὸς συνάντησί του, οἱ κατάδικοι ὅμως περιμένουν μέσα στὴν πόλι τὸν κριτή· καὶ ὅταν πατέρας φιλόστοργος ἔλθη, τὰ μὲν παιδιά του καὶ οἱ ἄξιοι δοῦλοι μεταφέρονται ἔξω ἐπάνω σὲ ὄχημα γιὰ νὰ τὸν ἰδοῦν καὶ νὰ τὸν ἀσπασθοῦν, ὅσοι ὅμως ὑπηρέτες εἶναι δυσαρεστημένοι μένουν μέσα στὸ σπίτι. Φερόμασθε ἐπάνω στὸ ὄχημα τοῦ Πατέρα μας, γιατὶ καὶ αὐτὸς μὲ σύννεφα συνάντησε αὐτὸν καὶ μὲ σύννεφα θὰ ἁρπαχθοῦμε ἐμεῖς.

θα. Ὁρᾷς τὴν τιμὴν ὅση; καὶ τὴν ἀπάντησιν καταβαίνοντι ποιούμεθα, καὶ τὸ πάντων μακαριώτερον, οὕτω σὺν αὐτῷ ἐσόμεθα. «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;» Ὅσων ἀγαθῶν ἠξίωσε τὸ γένος τὸ ἀνθρώπινον; πρῶτοι οἱ τελευτήσαντες ἐγείρονται, καὶ οὕτως ὁμοῦ ἡ ἀπάντησις γίνεται. Ἄβελ ὁ πρὸ πάντων τετελευτηκὼς ὁμοῦ μετὰ τῶν ζώντων τότε ἀπαντήσει. Ὥστε οὐδὲν ἔσται πλέον ἐκείνοις κατὰ τοῦτο, ἀλλ' ὁ διαφθαρείς, ὁ τοσαῦτα ἔχων ἐν τῇ γῇ ἔτη, ετ' ἐκείνων ἀπαντήσεται, καὶ ἅπαντες οἱ ἄλλοι. Εἰ γὰρ ἡμᾶς ἐκεάνέμειναν ἵνα στεφανωθῶμεν, καθὼς ἑτέρωθί φησι γράφων, «Τοῦ Κυρίου περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ ἡμῶν τελειωθῶσι», πολλῷ μᾶλλον καὶ ἡμεῖς ἐκείνους· μᾶλλον δὲ ἐκεῖνοι μὲν ἀνέμειναν, ἡμεῖς δὲ οὐκέτι· ἐν γὰρ ἀτόμῳ ἡ ἀνάστασις γίνεται, ἐν ῥιπῇ ὀφθαλμοῦ.

Τὸ δὲ λέγειν, ὅτι συνάγονται, ἀνίστανται μὲν πανταχοῦ, συνάγονται δὲ ὑπὸ τῶν ἀγγέλων. Τὸ μὲν οὖν τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστί, τῇ γῇ κελεύοντος ἀφεῖναι τὴν παρακαταθήκην, καὶ οὐδεὶς ὁ ὑπηρετούμενος, ὥσπερ τότε ἐκάλεσε τὸν Λάζαρον, «Λάζαρε, δεῦρο ἔξω»· τὸ δὲ ἀγαγεῖν τῶν ὑπηρετῶν γίνεται. Ἀλλ' εἰ συνάγουσι, καὶ περιτρέχουσιν ἄγγελοι, πῶς αὐτοὶ ἐνταῦθα ἁρπάζονται; Μετὰ τὸ καταβῆναι ἁρπάζονται, μετὰ τὸ συναχθῆναι· ἅμα γὰρ οὐδενὸς εἰδότος τοῦτο γίνεται. Ὅταν γὰρ ἴδωσι τὴν γῆν κλονουμένην, κόνιν ἀναμιγνυμένην, ἴσως πάντοθεν ἐγειρόμενα τὰ σώματα, οὐδενὸς πρὸς τοῦτο ὑπηρετοῦντος, ἀλλὰ τοῦ κελεύσματος ἀρκοῦντος, τὴν γῆν πεπληρωμένην πᾶσαν (ἐννοήσον γὰρ ὅσον ἐστὶ τοὺς ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ παρουσίας πάντας ἐκείνους ἑστάναι τότε μετὰ γυναικῶν καὶ παίδων), ὅταν ἴδωσι τοσοῦτον ἐπὶ τῆς γῆς θόρυβον, τότε εἴσονται. Ὥσπερ γὰρ ἐπὶ τῆς κατὰ σάρκα οἰκονομίας οὐδὲν προεωράκεισαν, οὕτω καὶ τότε.

2. Ὅταν οὖν ταῦτα γένηται, τότε καὶ ἡ φωνὴ τοῦ ἀρχαγγέλου ἔσται τοῖς ἀγγέλοις ἐπιτάττοντος καὶ βοῶντος, καὶ αἱ σάλπιγγες, μᾶλλον δὲ ὁ τῶν σαλπίγγων ἦχος. Ποῖος ἄρα τρόμος ἕξει, ποῖος φόβος τοὺς ἐπὶ τῆς γῆς ἀπομένοντας; «Μία γὰρ ἁρπάζεται, καὶ

---

10. Ψαλμ. 105,2
11. Ἑβρ. 11,40
12. Ἰω. 11,43

Βλέπεις πόση εἶναι ἡ τιμή; καὶ συναντοῦμε αὐτὸν ὅταν κατεβαίνη καὶ τὸ πιὸ μακάριο ἀπὸ ὅλα, ἔτσι θὰ εἴμασθε μαζὶ μὲ αὐτόν. «Ποιός θὰ διηγηθῆ τὰ κραταιὰ ἔργα τοῦ Κυρίου, ἢ θὰ κάμη γνωστὲς ὅλες τὶς αἰνέσεις του;»[10]. Γιὰ πόσα ἀγαθὰ ἔκρινε ἄξιο τὸ ἀνθρώπινο γένος; πρῶτοι σηκώνονται οἱ πεθαμένοι καὶ ἔτσι γίνεται μαζὶ ἡ συνάντησις. Ὁ Ἄβελ, ὁ ὁποῖος ἔχει πεθάνει πρὶν ἀπὸ ὅλους, μαζὶ μὲ τοὺς ζωντανοὺς τότε θὰ τὸν συναντήση. Ὥστε τίποτε ἐκεῖνοι δὲν θὰ ἔχουν περισσότερο ὡς πρὸς αὐτό, ἀλλὰ ἐκεῖνος ποὺ εἶχε φονευθῆ, ὁ ὁποῖος ἔχει τόσα πολλὰ χρόνια στὴ γῆ, θὰ τὸν συναντήση μαζὶ μὲ ἐκείνους, καὶ ὅλοι οἱ ἄλλοι. Ἐὰν λοιπὸν ἐκεῖνοι μᾶς ἐπερίμεναν γιὰ νὰ δοξασθοῦμε, καθὼς ἀλλοῦ λέγει γράφοντας, «Γιατὶ ὁ Κύριος ἐπρόβλεψε γιὰ μᾶς κάτι καλύτερο, γιὰ νὰ μὴ τελειοποιηθοῦν στὴ σωτηρία ἐκεῖνοι χωρὶς ἐμᾶς»[11], πολὺ περισσότερο πρέπει νὰ περιμένωμε καὶ ἐμεῖς ἐκείνους ἢ καλύτερα μὲν ἐκεῖνοι μᾶς ἐπερίμεναν, ἐμεῖς ὅμως ὄχι, γιατὶ ἡ ἀνάστασις γίνεται πολὺ σύντομα, σὲ μία στιγμή.

Καὶ αὐτὸ ποὺ λέγει, ὅτι μαζεύονται, σημαίνει ὅτι ἀνασταίνονται μὲν παντοῦ, μαζεύονται ὅμως ἀπὸ τοὺς ἀγγέλους. Ἡ ἀνάστασις λοιπὸν εἶναι ἔργο τῆς δυνάμεως τοῦ Θεοῦ, ποὺ διατάσσει στὴ γῆ νὰ ἀφήση αὐτοὺς ποὺ φυλάσσει μέσα της καὶ χωρὶς νὰ τὸν ὑπηρετῆ κανείς, ὅπως τότε ἐφώναξε τὸν Λάζαρο, «Λάζαρε, ἔβγα ἔξω»[12], ἡ συγκέντρωσις ὅμως γίνεται ἔργο τῶν ὑπηρετῶν. Ἀλλὰ ἐὰν συγκεντρώνουν καὶ τρέχουν παντοῦ οἱ ἄγγελοι, πῶς αὐτοὶ ἁρπάζονται ἐδῶ; Ἀφοῦ κατεβῆ ἁρπάζονται, ἀφοῦ συναχθοῦν, γιατὶ αὐτὸ γίνεται συγχρόνως χωρὶς κανεὶς νὰ τὸ γνωρίζη. Γιατὶ ὅταν ἰδοῦν ὅτι ἡ γῆ σείεται, ὅτι ἀνακατώνεται σκόνη, ὅτι ἀπὸ παντοῦ ἴσως ἀνασταίνονται τὰ σώματα, χωρὶς νὰ βοηθῆ κανεὶς σ' αὐτό, ἀλλὰ νὰ εἶναι ἀρκετὸ τὸ πρόσταγμά του, ὅτι ἡ γῆ ἔχει γεμίσει ὅλη (γιατὶ σκέψου πόσο εἶναι ἐκεῖνοι ποὺ ἔζησαν ἀπὸ τὸν Ἀδὰμ μέχρι τὴν παρουσία του καὶ ὅλοι νὰ στέκωνται τότε μαζὶ μὲ τὶς γυναῖκες καὶ τὰ παιδιά τους), ὅταν ἰδοῦν τόσο μεγάλο θόρυβο ἐπάνω στὴ γῆ, τότε θὰ γνωρίσουν. Γιατὶ ὅπως στὴν περίπτωσι τοῦ μυστηρίου τῆς ἐνσαρκώσεώς του τίποτε δὲν εἶχαν ἰδῆ προηγουμένως, ἔτσι καὶ τότε.

2. Ὅταν λοιπὸν γίνουν αὐτά, τότε θὰ συμβῆ καὶ ἡ φωνὴ τοῦ ἀρχαγγέλου ποὺ διατάσσει καὶ φωνάζει στοὺς ἀγγέλους, καὶ οἱ σάλπιγγες, μᾶλλον δὲ ὁ ἦχος τῶν σαλπίγγων. Ποιὸς λοιπὸν τρόμος, ποιὸς φόβος θὰ καταλάβη ἐκείνους ποὺ θὰ ἀπομείνουν ἐπάνω στὴ γῆ; «Γιατὶ μία γυναῖκα ἁρπάζεται καὶ μία ἀφήνεται καὶ ἕνας ἄνδρας

μία ἀφίεται· καὶ εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται». Τίς ἔσται ἡ ψυχὴ ἐκείνων, ὅταν τοὺς μὲν αἰρομένους ὁρῶσιν, ἑαυτοὺς δὲ ἀφιεμένους; ἆρα οὐ πάσης γεέννης φοβερώτερον αὐτοὺς ταῦτα διασαλεῦσαι δυνήσεται; Ὑποθώμεθα τοίνυν ἤδη τοῦτο παρεῖναι τῷ λόγῳ. Εἰ γὰρ θάνατος αἰφνίδιος, εἰ πόλεων σεισμοί, καὶ ἀπειλαὶ οὕτω πτοοῦσι τὰς ἡμετέρας ψυχάς· ὅταν τὴν γῆν ἀναρρηγνυμένην ἴδωμεν καὶ πεπληρωμένην πάντων ἐκείνων, ὅταν τῶν σαλπίγγων ἀκούσωμεν, ὅταν τῆς φωνῆς τοῦ ἀρχαγγέλου πάσης σάλπιγγος λαμπροτέρας οὔσης, ὅταν τὸν οὐρανὸν συνανελκόμενον, ὅταν αὐτὸν παραγινόμενον τὸν ἁπάντων βασιλέα τὸν Θεόν, τίς ἄρα ἡμῖν ἔσται ἡ ψυχή; Φρίξωμεν, παρακαλῶ, καὶ φοβηθῶμεν, ὡς ἤδη τούτων γινομένων· μὴ τῇ μελλήσει παραμυθώμεθα ἑαυτούς· ὅταν γὰρ πάντως δέῃ γενέσθαι, οὐδὲν ἡ μέλλησις ὠφελεῖ. Πόσος ὁ τρόμος, πόσος ὁ φόβος τότε;

Εἴδετέ ποτε τοὺς ἀπαγομένους τὴν ἐπὶ θάνατον; ποίαν νομίζετε αὐτοῖς εἶναι τὴν ψυχήν, τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζουσι; πόσων θανάτων οὐ χείρονα; τί οὐκ ἂν ἕλοιντο καὶ πρᾶξαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης καὶ τοῦ νέφους; Ἐγὼ πολλῶν ἤκουσα λεγόντων τῶν φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω κληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑώρων τοὺς ἀνθρώπους, τεθορυβημένης τῆς ψυχῆς καὶ ἐκπεπληγμένης καὶ ἐξεστώσης. Εἰ τοίνυν σωματικὸς θάνατος οὕτω ἡμᾶς φοβεῖ, ὅταν ὁ αἰώνιος παραγένηται, τί πεισόμεθα; Καὶ τί λέγω περὶ τῶν ἀπαγομένων; Ὄχλος περιέστηκε τότε, οἱ πλείους οὐκ εἰδότες αὐτούς. Εἴ τις ἐκείνων τὰς ψυχὰς περιεσκόπησεν, οὐδεὶς οὕτως ὠμός, οὐδεὶς οὕτω θρασύς, οὐδεὶς οὕτω γενναῖος, ὃς οὐ καταπεπτωκυῖαν αὐτὴν ἔχει, παρειμένην ὑπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας. Εἰ δὲ ἑτέρων ἀναιρουμένων τὸν θάνατον τοῦτον, τὸν ὕπνου οὐδὲν διαφέροντα, οἱ μηδὲν κοινωνοῦντες οὕτω διατίθενται· ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπίπτωμεν, τίς ἄρα ἔσται κατάστασις; Οὐκ ἔστιν, οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι λόγῳ τὸ πάθος.

---

13. Ματθ. 24,40.41

παραλαμβάνεται καὶ ὁ ἄλλος ἀφήνεται»[13]. Πῶς θὰ νιώθη ἡ ψυχὴ ἐκείνων, ὅταν βλέπουν ἄλλους νὰ σηκώνωνται, τοὺς ἑαυτούς τους ὅμως νὰ ἀφήνωνται; ἄραγε δὲν θὰ ἔχουν αὐτὰ τὴ δύναμι νὰ τοὺς συγκλονίσουν φοβερώτερα ἀπὸ κάθε γέεννα; Ἂς ὑποθέσωμε λοιπὸν μὲ τὸ λόγο ὅτι αὐτὸ συμβαίνει ἤδη. Διότι ἐὰν ὁ ξαφνικὸς θάνατος, οἱ σεισμοὶ τῶν πόλεων καὶ οἱ ἀπειλὲς τόσο πολὺ τρομάζουν τὶς ψυχές μας, ὅταν ἰδοῦμε τὴ γῆ νὰ σχίζεται καὶ νὰ γεμίζη τελείως ἀπὸ ὅλους ἐκείνους, ὅταν ἀκούσωμε τὶς σάλπιγγες, ὅταν ἀκούσωμε τὴ φωνὴ τοῦ ἀρχαγγέλου νὰ εἶναι πιὸ καθαρὴ ἀπὸ κάθε σάλπιγγα, ὅταν ἰδοῦμε τὸν οὐρανὸ νὰ σύρεται συγχρόνως πρὸς τὰ ἐπάνω καὶ νὰ ἔρχεται αὐτὸς ὁ βασιλεὺς τῶν ὅλων, ὁ Θεός, πῶς λοιπὸν θὰ νιώθη ἡ ψυχή μας; Ἂς φρίξωμε, παρακαλῶ, καὶ ἂς φοβηθοῦμε, σὰν αὐτὰ νὰ γίνωνται ἤδη. Ἂς μὴ παρηγορούμασθε μὲ τὴν ἀναβολή, γιατὶ ὅταν πρόκειται νὰ γίνη ὁπωσδήποτε, τίποτε δὲν ὠφελεῖ ἡ ἀναβολή. Πόσος ὁ τρόμος, πόσος θὰ εἶναι ὁ φόβος τότε;

Εἴδατε ποτὲ αὐτοὺς ποὺ τοὺς ὁδηγοῦν στὸ δρόμο γιὰ θάνατο; πῶς νομίζετε ὅτι νιώθει ἡ ψυχή τους, καθὼς βαδίζουν μέχρι τὴν πύλη τὸ δρόμο; ἀπὸ πόσους θανάτους δὲν αἰσθάνονται χειρότερα; τί δὲν θὰ ἐπροτιμοῦσαν καὶ νὰ πράξουν καὶ νὰ πάθουν, ὥστε νὰ ἀπαλλαχθοῦν ἀπὸ τὴ σκοτοδίνη ἐκείνη καὶ τὴν ὁμίχλη τοῦ θανάτου; Ἐγὼ ἔχω ἀκούσει πολλοὺς ἀπὸ ἐκείνους, ποὺ μετὰ τὴν προσαγωγή τους ἀπὸ φιλανθρωπία τοῦ βασιλέως τοὺς ἐκάλεσαν πίσω, νὰ λέγουν, ὅτι οὔτε σὰν ἀνθρώπους ἔβλεπαν τοὺς ἀνθρώπους, ἐπειδὴ εἶχε ταραχθῆ ἡ ψυχή τους καὶ εἶχε φοβηθῆ καὶ ἐκπλαγῆ. Ἐὰν λοιπὸν ὁ σωματικὸς θάνατος μᾶς φοβίζη τόσο, ὅταν ἔλθη ὁ αἰώνιος, τί θὰ πάθουμε; Καὶ γιατί λέγω γιὰ ἐκείνους ποὺ τοὺς ὁδηγοῦν σὲ θάνατο; Ὄχλος παραστέκεται τότε, οἱ περισσότεροι χωρὶς νὰ τοὺς γνωρίζουν αὐτούς. Ἐὰν ἐξέταζε κανεὶς τὶς ψυχὲς ἐκείνων, κανεὶς δὲν θὰ ὑπῆρχε τόσο σκληρός, κανεὶς τόσο θαρραλέος, κανεὶς τόσο γενναῖος, ὁ ὁποῖος δὲν θὰ ἔχανε τὸ θάρρος του, καὶ δὲν θὰ εἶχε παραλυμένη τὴν ψυχὴ του ἀπὸ τὸ φόβο καὶ τὴ λιποψυχία. Ἐὰν ὅμως, ὅταν ἄλλοι ὑπομένουν τὸ θάνατο αὐτόν, ποὺ δὲν διαφέρει καθόλου ἀπὸ τὸν ὕπνο, ἐκεῖνοι ποὺ δὲν συμμετέχουν καθόλου αἰσθάνωνται ἔτσι, ὅταν ἐμεῖς οἱ ἴδιοι καταντήσωμε στὰ πιὸ μεγαλύτερα κακά, ποιὰ θὰ εἶναι ἡ κατάστασίς μας; Δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατό, πιστεύσατε, νὰ παρουσιάσω μὲ λόγια τὸ πάθος.

Ναί, φησίν· ἀλλὰ φιλάνθρωπος ὁ Θεός, καὶ οὐδὲν τούτων ἔσται. Οὐκοῦν εἰκῇ γέγραπται. Οὔ, φησίν, ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονῶμεν. Ἐὰν οὖν μὴ σωφρονῶμεν, ἀλλὰ μένωμεν κακοί, οὐκ ἐπάξει τὴν κόλασιν, εἰπέ μοι; οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς; Ναί, φησίν· ἐκεῖνο γὰρ αὐτῷ πρέπον ἐστὶ καὶ ὑπὲρ τὴν ἀξίαν εὐεργετεῖν. Ὥστε ἐκεῖνα μὲν ἀληθῆ, καὶ πάντως ἔσται· τὰ δὲ τῶν κολάσεων οὐ πάντως, ἀλλ' ἀπειλῆς ἕνεκεν καὶ φόβου; Πόθεν ὑμᾶς πείσω, οὐκ οἶδα. Ἂν εἴπω ὅτι ὁ σκώληξ οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται, ἐὰν εἴπω ὅτι ἀπελεύσονται εἰς πῦρ αἰώνιον, ἂν τὸν πλούσιον παραγάγω ἤδη κολαζόμενον, πάντα ἀπειλῆς εἶναι ἐρεῖτε. Πόθεν οὖν ὑμᾶς πείσω; Σατανικὸς γὰρ οὗτος ὁ λογισμός, χάριν ἀνόητον χαριζόμενος, καὶ ῥᾳθύμους ποιῶν. Πῶς οὖν αὐτὸν ἐξέλωμεν; Ὅσα ἂν εἴπωμεν ἀπὸ τῶν Γραφῶν, ἐρεῖτε ὅτι ἀπειλῆς ἕνεκεν. Ἀλλὰ τοῦτο μὲν περὶ τῶν μελλόντων ἔχοι τις ἂν εἰπεῖν, περὶ δὲ τῶν ἐκβεβηκότων οὐκέτι, καὶ τέλος ἐσχηκότων. Ἠκούσατε περὶ τοῦ κατακλυσμοῦ· μὴ καὶ ἐκεῖνα ἀπειλῆς ἕνεκεν εἴρηται; οὐχὶ ἐξέβη καὶ γέγονε; Τοιαῦτα καὶ ἐκεῖνοι πολλὰ ἔλεγον· καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ τεκταινομένης, καὶ τῶν ξύλων ὑφαινομένων, καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν. Ἀλλ' ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ ὑπέστησαν τὴν διὰ τῶν πραγμάτων τιμωρίαν.

Τοῦτο καὶ ἡμεῖς πεισόμεθα, ἂν μὴ πιστεύσωμεν. Διά τοι τοῦτο καὶ τὴν παρουσίαν αὐτοῦ ταῖς ἡμέραις παραβάλλει τοῦ Νῶε· ἐπειδὴ καθάπερ ἐκείνῳ τῷ κατακλυσμῷ ἠπίστησάν τινες, οὕτω καὶ τῷ κατακλυσμῷ γεέννης. Μὴ ἀπειλὴ ἐκεῖνά ἐστιν; οὐχὶ ἔργον γέγονεν; Εἶτα ὁ κόλασιν οὕτως ἀθρόον τότε ἐπαγαγών, οὐ πολλῷ μᾶλλον καὶ νῦν ἐπάξει; οὐ γὰρ δὴ ἐλάττονα τῶν τότε τὰ νῦν γινόμενα. Πῶς; Ὅτι τότε «Εἰσῆλθον», φησίν, «οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων», καὶ αἱ ἐπιμιξίαι ἦσαν τὸ δεινόν, νῦν δὲ οὐδέν ἐστιν εἶδος κακίας ὅπερ ἀτόλμητον. Ἆρα οὖν πιστεύετε ὅτι γέγονεν ὁ κατακλυσμός, ἢ λῆρος ὑμῖν δοκεῖ; Καίτοι γε καὶ τὰ ὄρη, ἔνθα ἡ κιβωτὸς ἱδρύνθη, μαρτυρεῖ, τὰ Ἀρμενίας λέγω. Πλὴν ἀλλ' ἐκ περιουσίας πολλῆς καὶ ἐφ' ἕτερον

---

14. Γεν. 6,2
15. Πρόκειται γιὰ τὰ βουνὰ Ἀραράτ.

Ναί, λέγει, ἀλλ' ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ δὲν θὰ συμβῆ τίποτε ἀπὸ αὐτά. Ἑπομένως στὰ χαμένα ἔχουν γραφῆ. Ὄχι, λέγει, ἀλλὰ μόνο γιὰ ἀπειλή, γιὰ νὰ συνετιζώμασθε. Ἐὰν λοιπὸν δὲν συνετιζώμασθε, ἀλλὰ παραμένωμε κακοί, εἰπέ μου, δὲν θὰ ἐπιβάλη τὴν τιμωρία; λοιπὸν οὔτε θὰ ἀνταμείψη τοὺς ἀγαθούς; Ναί, λέγει· γιατὶ ἐκεῖνο ἁρμόζει σὲ αὐτόν, τὸ νὰ μᾶς εὐεργετῆ περισσότερο ἀπὸ τὴν ἀξία μας. Ὥστε ἐκεῖνα εἶναι ἀληθινὰ καὶ ὁπωσδήποτε θὰ συμβοῦν. Τὰ σχετικὰ μὲ τὶς τιμωρίες ὅμως δὲν θὰ συμβοῦν ὁπωσδήποτε, ἀλλὰ ἔχουν λεχθῆ γιὰ ἀπειλὴ καὶ φόβο; Ἀπὸ ποῦ νὰ σᾶς πείσω, δὲν γνωρίζω. Ἂν εἰπῶ ὅτι τὸ σκουλήκι δὲν θὰ πεθάνη καὶ τὸ πῦρ δὲν θὰ σβεσθῆ, ἂν εἰπῶ ὅτι θὰ μεταβοῦν στὸ πῦρ τὸ αἰώνιο, ἂν θὰ παρουσιάσω τὸν πλούσιο νὰ τιμωρῆται ἤδη, θὰ εἰπῆτε ὅτι ὅλα εἶναι λόγια ἀπειλητικά. Ἀπὸ ποῦ λοιπὸν νὰ σᾶς πείσω; Γιατὶ εἶναι σατανικὸς αὐτὸς ὁ λόγος, ἐπειδὴ μᾶς χαρίζει ἀνωφελῆ χάρι καὶ μᾶς καθιστᾶ ραθύμους. Πῶς λοιπὸν θὰ τὸν ἐξουδετερώσωμε; Ὅσα καὶ ἂν εἰποῦμε ἀπὸ τὶς Γραφές, θὰ εἰπῆτε ὅτι λέγονται γιὰ ἀπειλή. Ἀλλὰ αὐτὸ μὲν θὰ μποροῦσε κανεὶς νὰ τὸ εἰπῆ γιὰ τὰ μελλοντικά, ὄχι ὅμως γιὰ ἐκεῖνα ποὺ ἔχουν συμβῆ καὶ ἔχουν λάβει τέλος. Ἔχετε ἀκούσει περὶ τοῦ κατακλυσμοῦ· μήπως καὶ αὐτὰ ἔχουν λεχθῆ γιὰ ἀπειλή; δὲν ἔχει συμβῆ καὶ γίνει; Καὶ ἐκεῖνοι πολλὰ παρόμοια ἔλεγαν. Καὶ ἐνῶ ἡ κιβωτὸς κατασκευαζόταν σὲ ἑκατὸ χρόνια καὶ τὰ ξύλα συναρμολογοῦνταν καὶ ὁ δίκαιος ἐφώναζε, κανεὶς δὲν ἐπίστευε. Ἐπειδὴ ὅμως δὲν ἐπίστευσαν στὴν ἀπειλὴ μὲ τὰ λόγια, ὑπέστησαν τὴν τιμωρία στὴν πρᾶξι.

Αὐτὸ καὶ ἐμεῖς θὰ πάθωμε, ἂν δὲν πιστεύσωμε. Γι' αὐτὸ βέβαια συγκρίνει καὶ τὴν Παρουσία του μὲ τὶς ἡμέρες τοῦ Νῶε, ἐπειδὴ ὅπως δὲν ἐπίστευσαν μερικοὶ στὸν κατακλυσμὸ ἐκεῖνο, ἔτσι δὲν πιστεύουν καὶ στὸν κατακλυσμὸ τῆς κολάσεως. Μήπως ἐκεῖνα εἶναι ἀπειλή; δὲν ἔχει γίνει πραγματικότητα; Ἔπειτα ἐκεῖνος ποὺ ἐτιμώρησε τότε τόσους πολλούς, πολὺ περισσότερο δὲν θὰ τιμωρήση καὶ τώρα; γιατὶ τὰ συμβαίνοντα τώρα δὲν εἶναι μικρότερα ἀπὸ αὐτὰ ποὺ ἐγίνοντο τότε. Πῶς; Γιατὶ τότε «Συνευρίσκοντο, λέγει ἡ Γραφή, οἱ υἱοὶ τοῦ Θεοῦ μὲ τὶς θυγατέρες τῶν ἀνθρώπων»[14], καὶ οἱ ἐπιμειξίες ἦσαν τὸ κακό, τώρα ὅμως δὲν ὑπάρχει κανένα εἶδος κακίας ποὺ δὲν ἔχουν πράξει. Ἄραγε λοιπὸν πιστεύετε ὅτι ἔχει γίνει ὁ κατακλυσμὸς ἢ σᾶς φαίνεται ὅτι εἶναι ἀνοησία; Ἂν καὶ βεβαίως καὶ τὰ βουνά, ὅπου ἡ κιβωτὸς ἐπεκάθισε, ἐπιβεβαιώνουν, ἐννοῶ τὰ βουνὰ τῆς Ἀρμενίας[15]. Πλὴν ὅμως γιὰ μεγαλύτερη ἀπό-

ἐκείνου σαφέστερον ἄξω τὸν λόγον. Ἐπεδήμησέ τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; λοιπὸν γὰρ οὐκέτι λόγον, ἀλλὰ πράγματα ἐρῶ· καίτοι καὶ τὰ πρότερα πραγμάτων σαφέστερα ἦν· ἅπερ γὰρ ἂν εἴπῃ ἡ Γραφή, ταῦτα τῶν ὁρωμένων πιστότερα.

Ἐπεδήμησεν οὖν τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; ἔγωγε οἶμαι. Τί οὖν; Μαρτυρήσατέ μοι ὑμεῖς οἱ τοὺς τόπους ἑωρακότες πρὸς τοὺς οὐ γενομένους ἐκεῖ. Ἀσκάλωνος γὰρ ἄνω καὶ Γάζης εἰς αὐτὸ τοῦ Ἰορδάνου ποταμοῦ τὸ τέλος, ἐστὶ χώρα πολλή τις καὶ εὔφορος· μᾶλλον δὲ ἦν· νῦν γὰρ οὐκ ἔστιν· αὕτη δὴ οὖν ἡ ὡς παράδεισος οὖσα· «Εἶδε» γάρ, φησί, «Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰοδράνου, καὶ ἦν ποτιζομένη, ὡς παράδεισος τοῦ Θεοῦ»· αὕτη δὴ οὖν ἡ οὕτως εὐθαλής, καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα τῇ εὐθυνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐρημοτέρα ἐστὶ νῦν· καὶ ἕστηκε μὲν δένδρα, καὶ καρπὸν ἔχει· ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. Ἑστήκασι μὲν γὰρ ῥόαι, καὶ τὸ ξύλον λέγω καὶ ὁ καρπός, λαμπρὰν τὴν ἐπιφάνειαν ἔχουσαι, καὶ τῷ ἀγνῶτι παρέχουσαι πολλὰς τὰς ἐλπίδας· εἰ δὲ ληφθεῖεν εἰς χεῖρας, διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν ὑποδεικνύουσιν ἐναποκειμένην ἔνδον. Τοιαύτη καὶ ἡ γῆ πᾶσα· κἂν λίθον εὕρῃς, τετεφρωμένον εὑρήσεις. Καὶ τί λέγω λίθον καὶ ξύλα καὶ γῆν, ὅπου γε καὶ ἀὴρ καὶ τὰ ὕδατα μετέσχε τῆς συμφορᾶς; Καθάπερ γὰρ σώματος ἐμπρησθέντος καὶ κατακαυθέντος, τὸ μὲν σχῆμα μένει καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει, καὶ ὁ ὄγκος καὶ ἡ ἀναλογία, ἡ δὲ δύναμις οὐκέτι· οὕτω δὴ καὶ ἐκεῖ γῆν ἔστιν ἰδεῖν, ἀλλ' οὐδὲν ἔχουσαν γῆς, ἀλλὰ πάντα τέφραν· δένδρα καὶ καρπούς, ἀλλ' οὐδὲν δένδρων οὐδὲ καρπῶν· ἀέρα καὶ ὕδωρ, ἀλλ' οὐδὲν ὕδατος οὐδὲ ἀέρος· καὶ γὰρ καὶ ταῦτα τετέφρωται.

Καίτοι πῶς ἂν ἀὴρ ἐμπρησθείη ποτέ; πῶς δ' ἂν ὕδωρ μένον ὕδωρ; ξύλα μὲν γὰρ καὶ λίθους δυνατὸν καίειν, ἀέρα δὲ καὶ ὕδωρ οὐδαμῶς δυνατόν. Ἡμῖν οὐ δυνατόν, τῷ δὲ αὐτὰ ποιήσαντι δυ-

16. Γεν. 13,10

δειξη θὰ φέρω τὸ λόγο καὶ σὲ ἄλλο σαφέστερο ἀπὸ ἐκεῖνο. Ἐταξίδευσε ποτὲ κανεὶς σας στὴν Παλαιστίνη; γιατὶ στὴ συνέχεια δὲν θὰ ἀναφέρω λόγια πιά, ἀλλὰ πράγματα· ἂν καὶ βέβαια τὰ προηγούμενα ἦσαν σαφέστερα ἀπὸ τὰ πράγματα, γιατὶ αὐτὰ ποὺ λέγει ἡ Γραφή, αὐτὰ εἶναι πιὸ ἀξιόπιστα ἀπὸ τὰ πράγματα.

Ἐταξίδευσε λοιπὸν κανεὶς σας ποτὲ στὴν Παλαιστίνη; ἐγὼ νομίζω ναί. Τί λοιπόν; Ἐπιβεβαιώσατε ἐσεῖς ποὺ ἔχετε ἰδῆ τοὺς τόπους σὲ ἐκείνους ποὺ δὲν ἐπῆγαν ἐκεῖ. Γιατὶ πρὸς τὰ μεσόγεια τῆς Ἀσκάλωνος καὶ τῆς Γάζης στὸ τέλος τοῦ Ἰορδάνου ποταμοῦ, ὑπάρχει κάποιος τόπος μεγάλος καὶ εὔφορος, μᾶλλον δὲ ὑπῆρχε, γιατὶ τώρα δὲν ὑπάρχει. Αὐτὸς λοιπὸν ὁ τόπος ὁ ὁποῖος ἦταν ὅπως ὁ παράδεισος, γιατὶ λέγει, «Εἶδε ὁ Λὼτ ὅτι ὅλη ἡ κοιλάδα τοῦ Ἰορδάνου ἐποτίζετο ὅπως ὁ παράδεισος τοῦ Θεοῦ»[16], αὐτὸς λοιπὸν ὁ τόπος ποὺ ἦταν τόσο πλούσιος καὶ ἰσάξιος πρὸς ὅλους τοὺς τόπους, ὁ ὁποῖος ἐπλησίαζε στὴν ἀφθονία τῶν ἀγαθῶν τὸν παράδεισο τοῦ Θεοῦ, εἶναι πιὸ ἔρημος τώρα ἀπὸ ὅλες τὶς ἐρήμους. Ὑπάρχουν βέβαια καὶ δένδρα καὶ ἔχουν καρπό. Ὁ καρπὸς ὅμως εἶναι ἀνάμνησις τῆς ὀργῆς τοῦ Θεοῦ. Γιατὶ ὑπάρχουν ρόδια, δηλαδὴ καὶ τὸ δένδρο καὶ ὁ καρπός, οἱ ὁποῖες ἔχουν ὡραία ἐμφάνισι καὶ παρέχουν πολλὲς ἐλπίδες σὲ ἐκεῖνον ποὺ δὲν γνωρίζει. Ἐὰν ὅμως τὰ πάρη κανεὶς στὰ χέρια, καὶ τὰ σπάση φανερώνουν ὅτι δὲν ἔχουν μέσα τους κανένα καρπό, ἀλλὰ πολλὴ σκόνη καὶ στάχτη. Τέτοια εἶναι καὶ ἡ γῆ ὅλη· καὶ ἂν συναντήσης πέτρα, θὰ ἰδῆς ὅτι ἔχει μεταβληθῆ σὲ στάχτη. Καὶ γιατί λέγω πέτρα καὶ δένδρα καὶ γῆ, ἀφοῦ βέβαια καὶ ὁ ἀέρας καὶ τὰ νερὰ ἔλαβαν μέρος στὴ συμφορά; Γιατὶ ὅπως ἀκριβῶς ὅταν ἕνα σῶμα πυρποληθῆ καὶ κατακαῆ, παραμένει βέβαια τὸ σχῆμα του καὶ ἡ μορφή του μέσα στὶς φλόγες τοῦ πυρὸς καὶ οἱ διαστάσεις του καὶ ἡ ἀναλογία του, ἡ δύναμίς του ὅμως δὲν ὑπάρχει πιά, ἔτσι λοιπὸν καὶ ἐκεῖ εἶναι δυνατὸ νὰ ἰδοῦμε γῆ, ὅμως δὲν ἔχει κανένα γνώρισμα τῆς γῆς, ἀλλὰ τὰ πάντα εἶναι στάχτη· δένδρα καὶ καρπούς, χωρὶς ὅμως νὰ ἔχουν τίποτε ἀπὸ τὰ δένδρα οὔτε ἀπὸ τοὺς καρπούς· ἀέρα καὶ νερό, ἀλλὰ χωρὶς νὰ ἔχουν τίποτε ἀπὸ τὸ νερὸ οὔτε ἀπὸ τὸν ἀέρα, γιατὶ καὶ αὐτὰ ἔχουν μεταβληθῆ σὲ στάχτη.

Ἂν καὶ βέβαια πῶς θὰ ἦταν δυνατὸ ποτὲ νὰ ἐμπρησθῆ ὁ ἀέρας; καὶ πῶς θὰ ἠμποροῦσε νὰ ἐμπρησθῆ τὸ νερὸ παραμένοντας νερό; γιατὶ τὰ δένδρα καὶ τὶς πέτρες εἶναι δυνατὸ νὰ τὶς καύσωμε, τὸν ἀέρα ὅμως καὶ τὸ νερὸ εἶναι τελείως ἀδύνατο. Σὲ μᾶς δὲν εἶναι

νατόν. Τοιγαροῦν οὐδὲν ἕτερον ἢ κάμινός ἐστιν ὁ ἀήρ, κάμινος τὸ ὕδωρ· πάντα ἄκαρπα, πάντα ἄγονα, πάντα πρὸς τιμωρίαν, τῆς προλαβούσης ὀργῆς εἰκόνες, τῆς μελλούσης τεκμήρια. Μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; μὴ καὶ ταῦτα ψόφοι ῥημάτων; Ἐμοὶ μὲν γὰρ οὐδὲ τὰ πρότερα ἄπιστα, ἀλλ' ὁμοίως τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα πιστά· τῷ δὲ ἀπίστῳ καὶ ταῦτα ἱκανὰ πίστιν παρασχεῖν. Εἴ τις ἀπιστεῖ τῇ γεέννῃ, τὰ Σόδομα λογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν τιμωρίαν τὴν γεγενημένην, καὶ ἔτι μένουσαν. Τοῦτο τοῦ διαιωνίζειν τὴν κόλασιν τεκμήριον.

3. Φορτικὰ ταῦτα· ἐκεῖνα δὲ οὐ φορτικά, ὅταν λέγῃς, ὅτι οὐκ ἔστι γέεννα, ἀλλ' ἁπλῶς ἠπείλησεν ὁ Θεός; ὅταν ἐκλύσῃς τὰς χεῖρας τοῦ λαοῦ; Σύ με ταῦτα ἀναγκάζεις λέγειν ὁ διαπιστῶν· σύ με εἰς τούτους ἐξήγαγες τοὺς λόγους. Εἰ τοῖς ῥήμασιν ἐπίστευσας τοῦ Χριστοῦ, οὐκ ἠναγκαζόμην τὴν ἀπὸ τῶν πραγμάτων πίστιν παραγαγεῖν· ἐπειδὴ δὲ ἐκεῖνα πέφευγας, καὶ ἑκὼν καὶ ἄκων πεισθήσῃ λοιπόν. Τί γὰρ ἔχεις περὶ τῶν Σοδόμων εἰπεῖν; Βούλει καὶ τὴν αἰτίαν μαθεῖν, δι' ἣν τότε ταῦτα ἐγένετο; Ἓν ἦν ἁμάρτημα, χαλεπὸν μὲν καὶ ἐπάρατον, πλὴν ἀλλ' ἕν· παισὶν ἐπεμαίνοντο οἱ τότε, καὶ διὰ τοῦτο ταύτην ἔδοσαν τὴν δίκην. Νῦν δὲ μυρία καὶ ἴσα, καὶ χαλεπώτερα γίνεται τούτων ἁμαρτήματα. Εἶτα ὁ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ἐκχέων ὀργήν, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δυσωπηθείς, μήτε τὸν ἔνοικον Λώτ, τὸν ὑπὲρ τῆς εἰς τοὺς δούλους αὐτοῦ τιμῆς τὰς θυγατέρας εἰς ὕβριν προϊέμενον τὰς ἑαυτοῦ, τοσούτων ὄντων τῶν ἁμαρτημάτων, φείσεται; Γέλως ὄντως ταῦτα καὶ λῆρος, καὶ πλάνη διαβολικὴ καὶ ἀπάτη. Βούλει καὶ ἕτερον ἐπαγάγω; Τὸν Φαραὼ πάντως ἀκούεις τὸν Αἰγυπτίων βασιλέα· οὐκοῦν οἶδας καὶ τὴν δίκην ἣν ἔδωκε, πῶς αὐτοῖς ἅρμασι καὶ ἵπποις μετὰ τοῦ στρατοπέδου παντὸς εἰς τὸ ἐρυθραῖον κατεποντίσθη πέλαγος.

δυνατό, σὲ αὐτὸν ποὺ τὰ ἔκαμε ὅμως εἶναι δυνατό. Ἑπομένως τίποτε ἄλλο παρὰ καμίνι εἶναι ὁ ἀέρας, καμίνι τὸ νερό· τὰ πάντα εἶναι ἄκαρπα, τὰ πάντα ἄγονα, τὰ πάντα γιὰ τιμωρία, εἰκόνες τῆς ὀργῆς ποὺ εἶχε προηγηθῆ, ἀποδείξεις τῆς μελλοντικῆς ὀργῆς. Μήπως καὶ αὐτὰ εἶναι ἀπειλὲς λόγων; μήπως καὶ αὐτὰ ἁπλᾶ λόγια μόνο; Γιατὶ ἐγὼ οὔτε τὰ προηγούμενα θεωρῶ ἀναξιόπιστα, ἀλλ' ὁμοίως μὲ τὰ πράγματα ποὺ βλέπονται θεωρῶ ἐκεῖνα ποὺ δὲν βλέπονται ἀξιόπιστα· στὸν ἄπιστο ὅμως καὶ αὐτὰ εἶναι ἱκανὰ νὰ ἐμπνεύσουν ἐμπιστοσύνη. Ἐὰν κανεὶς δὲν πιστεύῃ στὴν κόλασι, ἂς σκέπτεται τὰ Σόδομα, ἂς ἐνθυμεῖται τὰ Γόμορρα, τὴν τιμωρία ποὺ ἔχει συμβῆ καὶ ποὺ ἀκόμη παραμένει. Αὐτὸ εἶναι ἀπόδειξις γιὰ νὰ διαιωνίζῃ τὴν κόλασι.

3. Εἶναι ἐνοχλητικὰ αὐτά· ἐκεῖνα ὅμως δὲν εἶναι ἐνοχλητικά, ὅταν λέγῃς, ὅτι δὲν ὑπάρχει γέεννα, ἀλλὰ ἁπλῶς ὅτι ἀπείλησε ὁ Θεός; ὅταν ἀπελευθερώνῃς τὰ χέρια τοῦ λαοῦ; Ἐσὺ ποὺ εἶσαι δύσπιστος μὲ ἀναγκάζεις νὰ λέγω αὐτά, ἐσὺ μὲ παρέσυρες στὰ λόγια αὐτά. Ἐὰν ἐπίστευες στὰ λόγια τοῦ Χριστοῦ, δὲν θὰ εἶχα τὴν ὑποχρέωσι νὰ δημιουργήσω τὴν πίστι ἀπὸ τὰ πράγματα. Ἐπειδὴ ὅμως ἔχεις ἀποφύγει ἐκεῖνα, καὶ μὲ τὴ θέλησί σου καὶ χωρὶς τὴ θέλησί σου θὰ πεισθῇς στὴ συνέχεια. Γιατὶ τί μπορεῖς νὰ εἰπῇς γιὰ τὰ Σόδομα; Θέλεις νὰ μάθῃς καὶ τὴν αἰτία, γιὰ τὴν ὁποία τότε ἔγιναν αὐτά; Ἕνα ἦταν τὸ ἁμάρτημα, φοβερὸ βέβαια καὶ ἄξιο κατάρας, ἀλλὰ ὅμως ἕνα· παιδιὰ ἐρωτεύονταν οἱ κάτοικοί τους καὶ γι' αὐτὸ ἐτιμωρήθηκαν ἔτσι. Τώρα ὅμως πάρα πολλὰ καὶ ἴσα, ἀκόμη καὶ φοβερώτερα ἀπὸ αὐτὰ ἁμαρτήματα, γίνονται. Ἔπειτα αὐτὸς ποὺ ἐκπέμπει τόση ὀργὴ γιὰ ἕνα μόνο ἁμάρτημα καὶ δὲν ὑπελόγισε οὔτε τὴν ἱκεσία τοῦ Ἀβραάμ, οὔτε τὸν κάτοικο ἐκεῖ Λώτ, ὁ ὁποῖος γιὰ τὴν τιμὴ τῶν δούλων του παρέδωσε τὶς θυγατέρες του σὲ ἀκολασία, ὅταν εἶναι τόσα πολλὰ τὰ ἁμαρτήματα, θὰ δείξῃ εὐσπλαχνία; Χλευασμοὶ πράγματι εἶναι αὐτὰ καὶ φλυαρία καὶ διαβολικὴ πλάνη καὶ ἀπάτη. Θέλεις νὰ φέρω καὶ ἄλλο παράδειγμα; Ὁπωσδήποτε ἔχεις ἀκούσει γιὰ τὸν Φαραὼ τὸ βασιλέα τῶν Αἰγυπτίων· ἑπομένως γνωρίζεις καὶ τὴν τιμωρία του, πῶς μαζὶ μὲ τὰ ἅρματα καὶ τοὺς ἵππους κατεποντίσθηκε στὴν Ἐρυθρὰ θάλασσα μαζὶ μὲ ὅλο τὸ στράτευμά του.

Θέλεις καὶ ἄλλα νὰ μάθῃς; Ἐκεῖνος ἴσως ἦταν ἀσεβής, καλύτερα ὅμως ὄχι ἴσως, ἀλλὰ πράγματι ἦταν ἀσεβής. Θέλεις καὶ ἀπὸ ἐκείνους ποὺ πιστεύουν καὶ προσέχουν στὸν Θεό, χωρὶς ὅμως νὰ

Βούλει καὶ ἕτερα μαθεῖν; Ἐκεῖνος μὲν ἴσως ἀσεβὴς ἦν, μᾶλλον δὲ οὐκ ἴσως, ἀλλ' ὄντως ἀσεβὴς ἦν. Βούλει καὶ ἐκ τῶν πιστευόντων καὶ προσεχόντων τῷ Θεῷ, βίου δὲ οὐκ ὄντων ὀρθοῦ, τιμωρουμένους ἰδεῖν; Ἄκουσον τοῦ Παύλου λέγοντος· «Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐξεπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκοσι καὶ τρεῖς χιλιάδες· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο». Εἰ δὲ πορνεία τοσοῦτον ἴσχυσεν, εἰ δὲ γογγυσμός, τί οὐκ ἐργάσεται τὰ ἡμέτερα; Εἰ δὲ μὴ δίδως δίκην νῦν, μὴ θαυμάσῃς· ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεσαν τὴν γέενναν, διὸ ταῖς παρὰ πόδας ἐκολάζοντο τιμωρίαις· σὺ δὲ ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν δίκην δῷς, πάντα ἀποτίσεις ἐκεῖ. Εἶτα τοὺς μὲν νηπιωδεστέρους, καὶ οὐ τοσαῦτα πταίοντας οὕτως ἐκόλαζεν, ἡμῶν δὲ φείσεται; Οὐκ ἂν ἔχοι λόγον. Κἂν γὰρ τὰ αὐτὰ ἁμάρτωμεν ἐκείνοις, μείζονός ἐσμεν ἐκείνων κολάσεως ἄξιοι. Διὰ τί; Ὅτι πλείονος ἀπελαύσαμεν χάριτος. Ὅταν δὲ καὶ πλείονα καὶ μείζονα ἐκείνων πταίωμεν, τίνα οὐχ ὑποστησόμεθα τιμωρίαν;

Ἐκεῖνοι· καὶ μή μέ τις νομιζέτω θαυμάζοντα αὐτούς, ἢ συγγινώσκοντα αὐτοῖς λέγειν, μὴ γένοιτο· ὅταν γὰρ ὁ Θεὸς κολάζῃ, ὁ τὴν ἐναντίαν φέρων ψῆφον, ἀπὸ διαβολικῆς διανοίας τοῦτο ποιεῖ· οὐ τοίνυν ἐπαινῶν αὐτούς, οὐδὲ συγγινώσκων τοῦτό φημι, ἀλλὰ δεικνὺς τὴν ἡμετέραν κακίαν· ἐκεῖνοι τοίνυν, εἰ καὶ ἐγόγγυζον, ἀλλ' ἔρημον ἤρχοντο· ἡμεῖς δὲ πατρίδα ἔχοντες, καὶ ἐν οἰκίαις ταῖς ἡμετέραις ὄντες, γογγύζομεν. Ἐκεῖνοι, εἰ καὶ ἐπόρνευον, ἀλλ' ἀπὸ Αἰγυπτιακῶν ἐξελθόντες ἄρτι κακῶν, καὶ νόμου σχεδὸν οὐκ ἀκούσαντες τοιούτου· ἡμεῖς δὲ ἐκ προγόνων τὰ σωτήρια παραλαβόντες δόγματα· ὥστε μείζονος κολάσεώς ἐσμεν ἄξιοι. Βούλει καὶ ἕτερα ἀκοῦσαι, ὅσα ἔπαθον ἐν Παλαιστίνῃ, λιμούς, λοιμούς, πολέμους, αἰχμαλωσίας, τὰς ἐπὶ Βαβυλωνίων, τὰς ἐπὶ Ἀσσυρίων, τὰ ὑπὸ Μακεδόνων κακά, τὰ ἐπὶ Ἀδριανοῦ καὶ Οὐεσπασιανοῦ; Βούλομαί σοι, ἀγαπητέ, τὶ διηγήσασθαι, ἀλλὰ μὴ ἀποπηδήσῃς· μᾶλλον δὲ πρὸ τούτου ἕτερον ἐρῶ.

---

17. Κορ. 10,8 – 10
18. Ἀσσύριοι, Βαβυλώνιοι, Μακεδόνες καὶ Ρωμαῖοι ἐπροξένησαν πολλὰ κακὰ στοὺς Ἰουδαίους. Τὸ 722 π.Χ. οἱ Ἀσσύριοι ἔκαμαν τὸ Ἰσραὴλ ἐπαρχία τους καὶ μετέφεραν ἐπιφανεῖς πολίτας στὴν Νινευΐ. Τὸ 587 π.Χ. οἱ Βαβυλώνιοι ἐκυρίευ-

ζοῦν σωστά, νὰ ἰδῇς ὅτι τιμωροῦνται; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Οὔτε νὰ πορνεύωμε, καθὼς μερικοὶ ἀπὸ αὐτοὺς ἐπόρνευσαν καὶ ἔπεσαν νεκροὶ σὲ μία ἡμέρα εἴκοσι τρεῖς χιλιάδες· οὔτε νὰ γογγύζωμε, καθὼς μερικοὶ ἀπὸ αὐτοὺς ἐγόγγυσαν καὶ ἐθανατώθηκαν ἀπὸ τὸν ἐξολοθρευτὴ ἄγγελο· οὔτε νὰ πειράζωμε τὸν Χριστό, καθὼς μερικοὶ ἀπὸ αὐτοὺς τὸν πείραξαν καὶ ἐθανατώθηκαν ἀπὸ τὰ φίδια»[17]. Ἐὰν ὅμως ἡ πορνεία καὶ ὁ γογγυσμὸς ἐπέβαλαν τόσες τιμωρίες τί δὲν θὰ προκαλέσουν τὰ ἰδικά μας κακά; Καὶ ἐὰν δὲν τιμωρηθῇς ἐδῶ, μὴ θαυμάσῃς· γιατὶ ἐκεῖνοι δὲν ἐγνώριζαν τὴ γέεννα τοῦ πυρός, γι' αὐτὸ καὶ ἐτιμωροῦντο ἀμέσως. Ἐσὺ ὅμως ὅσες ἁμαρτίες θὰ κάμῃς, καὶ ἂν ἀκόμη δὲν τιμωρηθῇς καθόλου, θὰ τὶς πληρώσῃς ὅλες ἐκεῖ. Ἔπειτα αὐτούς, ποὺ ἦταν νηπιωδέστεροι καὶ δὲν ἔκαμαν τόσα πολλὰ ἁμαρτήματα, ἔτσι τοὺς ἐτιμωροῦσε καὶ θὰ λυπηθῇ ἐμᾶς; Δὲν θὰ ἔχουν δικαιολογία αὐτά. Γιατὶ καὶ ἂν ἀκόμη κάνωμε τὶς ἴδιες μὲ ἐκείνους ἁμαρτίες, ἀξίζομε πιὸ μεγάλη τιμωρία ἀπὸ ἐκείνους. Γιατί; Διότι ἔχομε ἀπολαύσει πιὸ πολλὴ χάρι. Ὅταν ὅμως κάνωμε καὶ περισσότερα καὶ μεγαλύτερα ἁμαρτήματα ἀπὸ ἐκείνους, ποιὰ τιμωρία δὲν θὰ ὑποστοῦμε;

Ἐκεῖνοι, καὶ ἂς μὴ μὲ νομίζῃ κανεὶς ὅτι ἐπειδὴ τοὺς θαυμάζω ἢ τοὺς συγχωρῶ λέγω αὐτά, μὴ γένοιτο, γιατὶ ὅταν ὁ Θεὸς τιμωρῇ, ἐκεῖνος ποὺ ἔχει διαφορετικὴ γνώμη ἀπὸ διαβολικὴ σκέψι κάνει αὐτό, δὲν λέγω λοιπὸν αὐτὸ γιὰ νὰ τοὺς ἐπαινῶ οὔτε γιὰ νὰ τοὺς συγχωρῶ, ἀλλὰ γιὰ νὰ ἀποδεικνύω τὴν δική μας κακία· ἐκεῖνοι λοιπὸν καὶ ἂν ἀκόμη ἐγόγγυζαν, ὅμως ἐβάδιζαν στὴν ἔρημο, ἐμεῖς δὲ ἂν καὶ ἔχομε πατρίδα καὶ εἴμασθε μέσα σὲ δικά μας σπίτια, γογγύζομε. Ἐκεῖνοι ἂν καὶ ἐπόρνευαν, μόλις ὅμως εἶχαν ἐξέλθει ἀπὸ τὰ κακὰ τῶν Αἰγυπτίων καὶ σχεδὸν δὲν εἶχαν ἀκούσει τέτοιο νόμο, ἐμεῖς δὲ πορνεύομε, ἂν καὶ ἀπὸ τοὺς προγόνους μας ἔχομε παραλάβει τὶς σωτήριες διδασκαλίες· συνεπῶς ἀξίζομε πιὸ μεγάλη τιμωρία. Θέλεις καὶ ἄλλα νὰ ἀκούσῃς, ὅσα ἔπαθαν στὴν Παλαιστίνη, κακουχίες, ἀσθένειες, πολέμους, αἰχμαλωσίες, αὐτὲς ποὺ ἔπαθαν ἀπὸ τοὺς Βαβυλωνίους, αὐτὲς ποὺ ἔπαθαν ἀπὸ τοὺς Ἀσσυρίους, τὰ κακὰ ποὺ ἔπαθαν ἀπὸ τοὺς Μακεδόνες, ἀπὸ τὸν Ἀδριανὸ καὶ Βεσπασιανό;[18] Θέλω, ἀγαπητέ, νὰ σοῦ διηγηθῶ κάτι, ἀλλὰ μὴ τιναχθῇς ἀπὸ τὴ θέσι σου· καλύτερα ὅμως πρὶν ἀπὸ αὐτὸ θὰ εἰπῶ ἄλλο.

Ἔγινε κάποτε λιμός, λέγει ἡ Παλαιὰ Διαθήκη, καὶ ὁ βασιλεὺς ἐβάδιζε ἐπάνω στὸ τεῖχος· ἔπειτα ἀφοῦ τὸν ἐπλησίασε μία γυναῖκα λέγει πρὸς αὐτὸν τὰ λόγια αὐτά· βασιλεῦ, μοῦ εἶπε ἡ γυναῖκα αὐτή,

Λιμὸς ἐγένετό ποτε, φησί, καὶ ὁ βασιλεὺς ἐβάδιζεν ἐπὶ τοῦ τείχους· εἶτα γυνὴ προσελθοῦσα ταῦτα φθέγγεται πρὸς αὐτὸν τὰ ῥήματα· βασιλεῦ, εἰπέ μοι ἡ γυνὴ αὕτη, ὀπτήσωμέν σου σήμερον τὸν υἱὸν καὶ φάγωμεν, καὶ αὔριον τὸν ἐμόν· καὶ ὠπτήσαμεν, καὶ ἐφάγομεν· καὶ τὸν αὐτῆς οὐκέτι ἔδωκε. Τί ταύτης τῆς συμφορᾶς χαλεπώτερον; Πάλιν ἀλλαχοῦ ὁ προφήτης φησί· «Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν». Ἰουδαῖοι μὲν οὖν τοιαύτην ἔδοσαν δίκην· ἡμεῖς δὲ οὐ πολλῷ μᾶλλον δώσομεν; Βούλει καὶ ἑτέρας αὐτῶν ἀκοῦσαι συμφοράς; Τὰ Ἰωσήπου ἔπελθε, καὶ μαθήσῃ πᾶσαν ἐκείνην τὴν τραγῳδίαν, ἂν ἄρα σε πείσωμεν ἀπὸ τούτων ὅτι ἔστι γέεννα. Ἐννόησον γάρ· εἰ ἐκεῖνοι ἐκολάζοντο, διὰ τί ἡμεῖς μὴ κολαζόμεθα; ἢ πῶς εἰκὸς ἡμᾶς μὴ κολάζεσθαι, χείρονα ἐκείνων πταίοντας; ἢ δῆλον ὅτι διὰ τὸ ἀποκεῖσθαι ἡμῖν τὴν κόλασιν; Εἰ δὲ βούλει καὶ ἐπὶ προσώπου ἑνὸς ἑκάστου ἐρῶ πῶς ἐκολάσθησαν. Ἀδελφὸν ἀπέκτεινεν ὁ Κάϊν. Δεινὸν μὲν τὸ ἁμάρτημα· πῶς γὰρ οὔ; ἀλλ' ἔδωκε δίκην, καὶ χαλεπήν, καὶ μυρίων ἀνταξίαν θανάτων, καὶ ὑπὲρ ἧς εἵλετο ἂν μυριάκις ἀποθανεῖν. Ἄκουε γὰρ αὐτοῦ λέγοντος, «Εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσται πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με». Εἰπὲ οὖν μοι· οὐ τὰ αὐτὰ πράττουσιν ἐκείνῳ πολλοὶ καὶ νῦν; ὅταν γὰρ μὴ σαρκικόν, ἀλλὰ πνευματικὸν ἀνέλῃς ἀδελφόν, οὐχὶ ταὐτὸν εἰργάσω; Τί γάρ, εἰ καὶ μὴ ξίφει, ἀλλ' ἑτέρῳ τρόπῳ, ὅταν δυνάμενος λῦσαι λιμόν, περιΐδῃς; Τί οὖν; οὐδεὶς ἐφθόνησε νῦν τῷ ἀδελφῷ; οὐδεὶς περιέβαλε κινδύνοις; ἀλλ' ἐνταῦθα οὐκ ἔδωκεν δίκην. Ἀλλὰ δώσουσιν.

Εἶτα ὁ μὲν μὴ νόμων ἀκούσας γραπτῶν μηδὲ προφητῶν, μήτε σημεῖα θεασάμενος μεγάλα, τοσαύτην δίδωσι τιμωρίαν, ὁ δὲ ἑτέρως τὰ αὐτὰ δεδρακώς, καὶ μηδὲ τοσούτοις παραδείγμασι σωφρονιζόμενος, ἀτιμώρητος ἔσται; Καὶ ποῦ τὸ δίκαιον τοῦ Θεοῦ; ἢ ποῦ τὸ ἀγαθόν; Πάλιν ξύλα τις συλλέξας ἐν τῷ σαββάτῳ, κατελεύσθη· καίτοιγε μικρὰ αὕτη ἡ ἐντολή, καὶ τῆς περιτομῆς

σαν τὰ Ἱεροσόλυμα, κατέστρεψαν τὸν Ναὸ τοῦ Σολομῶντος καὶ μετέφεραν τοὺς πολίτας στὴ Βαβυλῶνα. Οἱ Μακεδόνες μὲ τοὺς Πτολεμαίους τῆς Αἰγύπτου καὶ τοὺς Σελευκίδας τῆς Συρίας ἔγιναν κύριοι τῆς χώρας καὶ ἐπροξένησαν μεγάλες συμφορὲς στοὺς Ἰουδαίους. Ὁ Ἀντίοχος Δ΄ ὁ Ἐπιφανὴς (175 – 164 π.Χ.) διέταξε νὰ γίνῃ σφαγὴ τῶν κατοίκων ἡμέρα Σάββατο, μὲ ἀποτέλεσμα νὰ ἐπαναστατήσουν οἱ Μακκαβαῖοι. Ὁ υἱὸς τοῦ Βεσπασιανοῦ Τίτος κατέπνιξε στὸ αἷμα ἐπανάστασι τῶν Ἰουδαίων (70 μ.Χ.), κατέλαβε τὰ Ἱεροσόλυμα καὶ

ἂς ψήσωμε σήμερα τὸν υἱό σου καὶ ἂς τὸν φᾶμε καὶ αὔριο τὸν ἰδικό μου· καὶ τὸν ἐψήσαμε καὶ τὸν ἐφάγαμε· καὶ τὸν υἱό της δὲν τὸν ἔδωσε αὐτή[19]. Τί εἶναι πιὸ φοβερὸ ἀπὸ τὴ συμφορὰ αὐτή; Πάλι ἀλλοῦ ὁ προφήτης λέγει· «Εὐσπλαχνικὲς γυναῖκες ἔψησαν μὲ τὰ χέρια τους τὰ παιδιά τους»[20]. Οἱ Ἰουδαῖοι λοιπὸν ἔτσι ἐτιμωρήθηκαν· ἐμεῖς ὅμως δὲν θὰ τιμωρηθοῦμε πολὺ περισσότερο; Θέλεις νὰ ἀκούσῃς καὶ ἄλλες συμφορὲς αὐτῶν; Ἐξέτασε μὲ ἀκρίβεια τὰ ἔργα τοῦ Ἰωσήπου [21] καὶ θὰ μάθῃς ὅλη ἐκείνη τὴν τραγωδία, μήπως ἔτσι σὲ πείσωμε ἀπὸ αὐτὰ ὅτι ὑπάρχει κόλασις. Σκέψου λοιπόν· ἐὰν ἐκεῖνοι ἐτιμωροῦνταν, γιατὶ ἐμεῖς δὲν τιμωρούμασθε; ἢ πῶς εἶναι εὔλογο νὰ μὴ τιμωρούμασθε ἐμεῖς, ἐνῶ κάνομε χειρότερα ἁμαρτήματα ἀπὸ ἐκείνους; δὲν εἶναι φανερὸ λοιπὸν ὅτι δὲν τιμωρούμασθε ἐξ αἰτίας τῆς κολάσεως ποὺ μᾶς ἔχει φυλάξει; Ἐὰν ὅμως θέλῃς, καὶ γιὰ κάθε ἄτομο χωριστὰ θὰ εἰπῶ πῶς ἐτιμωρήθηκαν. Ὁ Κάιν ἐφόνευσε τὸν ἀδελφό του. Βεβαίως τὸ ἁμάρτημα ἦταν φοβερό· πῶς λοιπὸν δὲν θὰ ἦταν; ἀλλὰ ἐτιμωρήθηκε, καὶ μὲ τιμωρία σκληρὴ καὶ ἴση μὲ μυρίους θανάτους καὶ γιὰ τὴν ὁποία θὰ ἐπροτιμοῦσε πολλὲς φορὲς νὰ ἀποθάνῃ. Γιατὶ ἄκουσε αὐτὸν ποὺ λέγει· «Ἐὰν μὲ διώξῃς ἀπὸ τὴν ἐπιφάνεια τῆς γῆς, καὶ ἀποστρέψῃς τὸ πρόσωπό σου ἀπὸ ἐμένα θὰ εἶμαι σὰν κρυμμένος, καὶ ὁποιοσδήποτε μὲ συναντήσῃ, θὰ μὲ φονεύσῃ»[22]. Εἰπέ μου λοιπόν· δὲν κάνουν τὰ ἴδια μὲ ἐκεῖνον καὶ τώρα πολλοί; γιατὶ ὅταν φονεύσῃς ὄχι σαρκικό, ἀλλὰ πνευματικὸ ἀδελφό, δὲν ἔκαμες τὸ ἴδιο; Διότι τί, καὶ ἂν δὲν τὸ ἔκαμες μὲ ξίφος, ἀλλὰ μὲ ἄλλο τρόπο, ὅταν, ἐνῶ μπορεῖς νὰ ἐξαλείψῃς τὴν πεῖνα, τὸν παραβλέπεις; Τί λοιπόν; κανεὶς δὲν ἐφθόνησε τώρα τὸν ἀδελφό του; κανεὶς δὲν τὸν περιέβαλε μὲ κινδύνους; ἀλλὰ ἐδῶ δὲν ἐτιμωρήθηκαν. Ἀλλ' ὁπωσδήποτε θὰ τιμωρηθοῦν.

Ἔπειτα ἐκεῖνος ποὺ δὲν ἐγνώρισε γραπτοὺς νόμους, οὔτε ἔχει ἀκούσει προφῆτες, οὔτε εἶδε μεγάλα θαύματα, τιμωρεῖται μὲ τόσο μεγάλη τιμωρία, ἐκεῖνος δὲ ποὺ μὲ διαφορετικὸ τρόπο ἔχει κάμει τὰ ἴδια καὶ χωρὶς νὰ σωφρονίζεται μὲ τόσα παραδείγματα, θὰ μείνῃ ἀτιμώρητος; Καὶ ποῦ εἶναι ἡ δικαιοσύνη τοῦ Θεοῦ; ἢ ποῦ εἶναι ἡ ἀγαθωσύνη του; Κάποιος ἄλλος πάλι ποὺ ἐμάζευσε ξύλα κατὰ τὸ Σάββατο, ἐθανατώθηκε μὲ λιθοβολισμό, ἂν καὶ βέβαια εἶναι μικρὴ αὐτὴ ἡ ἐντολὴ καὶ πιὸ ἐλαφριὰ ἀπὸ τὴν περιτομή. Ἔπειτα αὐτὸς ποὺ ἐμάζευσε ξύλα κατὰ τὸ σάββατο ἐλιθοβολήθηκε, ἐκεῖνοι ὅμως ποὺ πολλὲς φορὲς κάνουν ἄπειρες παρανομίες πέθαναν ἀτιμώρη-

φαυλοτέρα. Εἶτα ὁ μὲν ξύλα συλλέξας ἐν σαββάτῳ ἐλιθάσθη, οἱ δὲ μυρία ἐργαζόμενοι πολλάκις παράνομα ἀπῆλθον ἀτιμώρητοι. Ἂν οὖν μὴ γέεννα ᾖ, ποῦ τὸ δίκαιον, ποῦ τὸ ἀπροσωπόληπτον; Καίτοι πολλὰ ἐγκαλεῖ αὐτοῖς τοιαῦτα, ὅτι τὰ σάββατα οὐ τηροῦσι. Πάλιν ἄλλος τις ὁ Χαρμί, ἀνάθημα κλέψας, μετὰ τοῦ γένους ἐλιθάσθη παντός. Τί οὖν; οὐδεὶς ἐξ ἐκείνου ἱερόσυλος γέγονεν; Ὁ Σαοὺλ πάλιν φεισάμενος παρὰ τὸ τῷ Θεῷ δοκοῦν, τοσαύτην ὑπέστη τιμωρίαν· οὐδεὶς οὖν ἐφείσατο ἐξ ἐκείνου; Εἴθε μὲν οὖν τοῦτο· οὐχὶ μᾶλλον θηρίων ἀλλήλους κατεσθίομεν παρὰ τὸ τῷ Θεῷ δοκοῦν, καὶ οὐδεὶς ἔπεσεν ἐν πολέμῳ;

Πάλιν οἱ τοῦ Ἠλεὶ υἱοὶ ἐπειδὴ πρὸ τοῦ θυμιάματος ἤσθιον, δίκην ἔδοσαν χαλεπωτάτην μετὰ τοῦ πατρός. Οὐδεὶς οὖν ἐγένετο πατὴρ ῥᾴθυμος περὶ παῖδας, οὔτε μοχθηροὶ παῖδες; ἀλλ' οὐδεὶς ἔδωκε δίκην. Πότε οὖν δώσουσιν, ἂν γέεννα μὴ ᾖ; Πάλιν μυρία ἄν τις ἔχοι καταλέγειν. Τί δέ; ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα, ἐπειδὴ ἔκλεψαν ἐξ ὧν ἀνέθηκαν, παραχρῆμα ἐτιμωρήθησαν. Οὐδεὶς οὖν ἄρα ἐξ ἐκείνου τοῦτο ἐποίησε; πῶς οὖν οὐκ ἔδωκαν τὴν αὐτὴν δίκην; Ἆρά σε πείθομεν ὅτι γέεννα ἔστιν, ἢ πλειόνων σοι δεῖ παραδειγμάτων; Οὐκοῦν καὶ ἐπὶ τὰ ἄγραφα ἥξομεν, τὰ νῦν ἐν τῷ βίῳ γινόμενα· ἀναγκαῖον γὰρ πάντοθεν ταύτην ἡμῖν συλλεγῆναι τὴν ἔννοιαν, ἵνα μὴ μάτην ἑαυτοῖς χαριζόμενοι, βλάπτωμεν ἑαυτούς. Οὐχ ὁρᾷς πολλοὺς ἐν συμφοραῖς, τὰ σώματα ἀναπήρους, μυρία πάσχοντας δεινά, ἑτέρους δὲ εὐδοκιμοῦντας; Διὰ τί οἱ μὲν φόνων διδόασι δίκας, οἱ δὲ οὔ; Ἄκουσον τοῦ Παύλου λέγοντος· «Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, τισὶ δὲ καὶ ἐπακολουθοῦσι». Πόσοι διέφυγον ἀνδροφόνοι; πόσοι τυμβωρύχοι;

Ἀλλ' ἀφείσθω ταῦτα. Πόσους οὐχ ὁρᾷς κολαζομένους κόλασιν χαλεπήν; οἱ μὲν νόσῳ μακρᾷ παρεδόθησαν, οἱ δὲ βασάνοις διηνεκέσιν, οἱ δὲ ἑτέροις μυρίοις δεινοῖς. Ὅταν οὖν ἴδῃς τὰ αὐτὰ ἐκείνοις τετολμηκότα, ἢ καὶ πολλῷ πλείονα, καὶ μὴ διδόντα δίκην, οὐχὶ καὶ ἄκων ὑποπτεύσεις τὴν γέενναν; Ἔκλεγε τούτους

ἐπυρπόλησε τὸν Ναό. Τέλος ὁ Ἀνδριανὸς ὡλοκλήρωσε τὸ ἔργο τοῦ Τίτου καταπνίγοντας σκληρότατα τὸ ἀπελευθερωτικό τους κίνημα στὸ 132 – 135 μ.Χ.

19. Βλ. Δ' Βασ. 6,26 – 28

20. Θρ. Ἱερ. 4,10

21. *Ἰώσηπος*· Ἱστορικὸς καὶ στρατηγὸς τοῦ ἐπαναστατικοῦ ἰουδαϊκοῦ στρατοῦ στὴ Γαλιλαία ἐναντίον τῆς Ρώμης (66 – 70 μ.Χ.) Στὰ ἔργα του, «Πόλεμος» δηλ. ἡ ἰουδαϊκὴ ἐπανάστασις ἐναντίον τῆς Ρώμης, καὶ Ἰουδαϊκὴ Ἀρχαιολογία, ἐξ-

τοι. Ἂν λοιπὸν δὲν ὑπάρχῃ κόλασις, ποῦ εἶναι ἡ δικαιοσύνη, ποῦ ἡ ἀμεροληψία; Ἂν καὶ κατηγορεῖ αὐτοὺς πολλὰ τέτοια, ὅτι δὲν τηροῦν τὰ σάββατα. Κάποιος ἄλλος πάλι, ὁ Χαρμί, ὅταν ἔκλεψε ἀφιέρωμα, ἐλιθοβολήθηκε μαζὶ μὲ ὅλο τὸ γένος του. Τί λοιπόν; κανεὶς δὲν ἔχει γίνει ἀπὸ τότε ἱερόσυλος; Ὁ Σαοὺλ πάλι ἐπειδὴ ἔδειξε εὐσπλαχνία ἀντίθετα μὲ τὸ θέλημα τοῦ Θεοῦ, ἐτιμωρήθηκε μὲ τόσο μεγάλη τιμωρία· κανεὶς λοιπὸν δὲν ἔδειξε εὐσπλαχνία ἀπὸ τότε; Μακάρι βέβαια νὰ συμβῇ αὐτό. Δὲν τρωγόμασθε μεταξύ μας περισσότερο ἀπὸ τὰ θηρία ἀντίθετα μὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ κανεὶς δὲν φονεύθηκε σὲ πόλεμο;

Ἐπίσης οἱ υἱοὶ τοῦ Ἠλεὶ ἐπειδὴ ἔτρωγαν πρὶν ἀπὸ τὸ θυμίαμα, ἐτιμωρήθηκαν σκληρὰ μαζὶ μὲ τὸν πατέρα τους[23]. Κανένας λοιπὸν δὲν ἔγινε πατέρας ἀδιάφορος γιὰ τὰ παιδιά του, οὔτε μοχθηρὰ τὰ παιδιά; ἀλλὰ κανεὶς δὲν ἐτιμωρήθηκε. Πότε λοιπὸν θὰ τιμωρηθοῦν, ἂν δὲν ὑπάρχῃ κόλασις; Τί ὅμως συμβαίνει; ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα, ἐπειδὴ ἔκλεψαν ἀπὸ αὐτὰ ποὺ ἐπρόσφεραν, ἀμέσως ἐτιμωρήθηκαν[24]. Μήπως λοιπὸν κανένας δὲν ἔκαμε αὐτὸ ἀπὸ τότε; πῶς λοιπὸν δὲν ἐτιμωρήθηκαν μὲ τὴν αὐτὴ τιμωρία; Ἄραγε σὲ πείθομε ὅτι ὑπάρχει κόλασις ἢ πρέπει νὰ σοῦ φέρωμε περισσότερα παραδείγματα; Ἑπομένως θὰ ἔλθωμε καὶ στὰ ἄγραφα, τὰ ὁποῖα συμβαίνουν τώρα στὴ ζωή, γιατὶ εἶναι ἀνάγκη ἀπὸ παντοῦ νὰ συγκεντρώσωμε τὴ σκέψι αὐτή, ὥστε χαριζόμενοι στοὺς ἑαυτούς μας νὰ μὴ βλάπτωμε χωρὶς λόγο τοὺς ἑαυτούς μας. Δὲν βλέπεις πολλοὺς νὰ εὑρίσκωνται σὲ συμφορές, ἀναπήρους στὰ σώματα, νὰ πάσχουν ἄπειρα κακὰ καὶ ἄλλους νὰ εὐδοκιμοῦν; Γιατί ἄλλοι ἀπὸ τοὺς φονεῖς τιμωροῦνται καὶ ἄλλοι δὲν τιμωροῦνται; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Μερικῶν ἀνθρώπων οἱ ἁμαρτίες εἶναι ὁλοφάνερες, σὲ μερικοὺς ὅμως φανερώνονται ὕστερα ἀπὸ χρόνο»[25]. Πόσοι δολοφόνοι διέφυγαν τὴν τιμωρία; πόσοι τυμβωρύχοι;

Ἀλλὰ ἂς τὰ ἀφήσωμε αὐτά. Πόσους δὲν βλέπεις νὰ τιμωροῦνται μὲ φοβερὴ τιμωρία; ἄλλοι παραδόθηκαν σὲ ἀθεράπευτη ἀσθένεια, ἄλλοι σὲ διαρκῆ βάσανα καὶ ἄλλοι σὲ ἄπειρα ἄλλα κακά. Ὅταν λοιπὸν ἰδῇς κάποιον νὰ ἔχῃ τολμήσει τὰ ἴδια μὲ ἐκείνους, ἢ καὶ πολὺ περισσότερα, καὶ νὰ μὴ τιμωρῆται, δὲν θὰ ὑποψιασθῇς καὶ χωρὶς τὴ θέλησί σου τὴν κόλασι; Ξεχώριζε αὐτοὺς ποὺ ἐδῶ πρὶν ἀπὸ σὲ ἔχουν τιμωρηθῆ φοβερά, σκέψου ὅτι ὁ Θεὸς δὲν μεροληπτεῖ καὶ ὅτι, ἂν καὶ ἔκαμες ἄπειρα κακά, δὲν ἔχεις πάθει τίποτε τέτοιο, καὶ θὰ ἔχῃς τὴ σκέψι τῆς κολάσεως. Γιατὶ ἔτσι ὁ Θεὸς

τοὺς ἐνταῦθα τοὺς πρὸ σοῦ κεκολασμένους χαλεπῶς, ἐννόει ὅτι ὁ Θεὸς προσωπολήπτης οὐκ ἔστι, καὶ ὅτι μυρία ἐργασάμενος κακά, οὐδὲν τοιοῦτον πέπονθας, καὶ ἕξεις τὴν ἔννοιαν τῆς γεέννης. Οὕτω γὰρ ἡμῖν αὐτὴν ὁ Θεὸς ἐγκατέσπειρεν, ὡς μηδένα ἀγνοῆσαι τοῦτό ποτε. Καὶ γὰρ ποιηταὶ καὶ φιλόσοφοι καὶ μυθολόγοι, καὶ πάντες ἁπλῶς ἄνθρωποι, περὶ τῆς ἀνταποδόσεως ἐφιλοσόφησαν τῆς ἐκεῖ, καὶ ἐν ᾅδου κολάζεσθαι εἰρήκασι τοὺς πολλούς. Εἰ δὲ ἐκεῖνα μῦθοι, ἀλλ' οὐ τὰ παρ' ἡμῖν. Ταῦτα οὐχ ἁπλῶς φοβῆσαι βουλόμενος εἶπον, οὐδὲ βαρῦναι τὰς ὑμετέρας ψυχάς, ἀλλὰ σωφρονίσαι, καὶ κουφοτέρας ἐργάσασθαι. Ἐβουλόμην καὶ αὐτὸς ἐγὼ μὴ εἶναι κόλασιν, καὶ μάλιστα πάντων ἐγώ. Τί δήποτε; Ὅτι ὑμῶν μὲν ἕκαστον ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς δέδοικεν, ἐγὼ δὲ καὶ τῆς προστασίας ταύτης εὐθύνας ὑπέχω· ὥστε μάλιστα πάντων ἐμὲ διαφυγεῖν ἀδύνατον.

Ἀλλ' οὐκ ἔστι μὴ εἶναι κόλασιν καὶ γέενναν. Τί πάθω; Ποῦ οὖν, φησί, τοῦ Θεοῦ τὸ φιλάνθρωπον; Πολλαχοῦ. Μᾶλλον δὲ ἐν ἑτέρῳ περὶ τούτου διαλέξομαι καιρῷ, ἵνα μὴ τοὺς περὶ γεέννης συγχέωμεν λόγους. Τέως δὲ ὅπερ ἐκερδάναμεν, μὴ διαρρυῇ· κέρδος γὰρ οὐ μικρὸν πεπεῖσθαι περὶ γεέννης. Ἡ γὰρ τῶν τοιούτων λόγων μνήμη, καθάπερ τι πικρὸν φάρμακον, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, συνεχῶς ὑμῶν ἐνιζάνουσα τῇ διανοίᾳ. Χρώμεθα τοίνυν αὐτῷ, ἵνα καθαρὰν καρδίαν ἔχοντες, οὕτω καταξιωθῶμεν ἰδεῖν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ιστορεί τὰ βάσανα καὶ τὶς συμφορὲς τῶν Ἰουδαίων.

22. Γεν. 4,14
23. Βλ. Α' Βασ. 2,12 – 36
24. Πράξ. 5,1 – 4
25. Α' Τιμ. 5,24

ἔσπειρε αὐτὴν μέσα μας, ὥστε κανεὶς νὰ μὴ ἀγνοήση αὐτὸ ποτέ. Γιατὶ καὶ ποιητὲς καὶ φιλόσοφοι καὶ μυθοποιοί, καὶ ὅλοι ἁπλῶς οἱ ἄνθρωποι ἐφιλοσόφησαν γιὰ τὴν ἀνταπόδοσι στὴν ἄλλη ζωὴ καὶ ἔχουν εἰπεῖ ὅτι οἱ πολλοὶ τιμωροῦνται στὸν Ἅδη. Ἐὰν ὅμως ἐκεῖνα εἶναι μῦθοι, ὅμως δὲν εἶναι τὰ δικά μας. Δὲν εἶπα αὐτὰ ἐπειδὴ ἤθελα ἁπλῶς γιὰ νὰ σᾶς φοβήσω, οὔτε νὰ στενοχωρήσω τὶς δικές σας ψυχές, ἀλλὰ γιὰ νὰ τὶ σωφρονίσω καὶ νὰ τὶς ἀνακουφίσω. Ἤθελα καὶ ἐγὼ ὁ ἴδιος νὰ μὴ ὑπάρχη κόλασις, καὶ περισσότερο ἐγὼ ἀπὸ ὅλους. Γιατί τέλος πάντων; Διότι ὁ καθένας σας φοβᾶται γιὰ τὴ δική του ψυχή, ἐγὼ ὅμως εἶμαι ὑπεύθυνος καὶ γιὰ τὴν προστασία αὐτή. Ὥστε περισσότερο ἀπὸ ὅλους ἐγὼ εἶναι ἀδύνατο νὰ διαφύγω.

Ἀλλὰ δὲν εἶναι δυνατὸ νὰ μὴ ὑπάρχη τιμωρία καὶ κόλασις. Τί νὰ κάνω; Ποῦ λοιπόν, λέγει, εἶναι ἡ φιλανθρωπία τοῦ Θεοῦ; Σὲ πολλὰ σημεῖα. Καλύτερα ὅμως σὲ ἄλλη περίστασι θὰ ὁμιλήσω γι' αὐτό, γιὰ νὰ μὴ συγχέωμε τὰ λόγια γιὰ τὴν κόλασι. Πρῶτα ὅμως αὐτὸ ποὺ ἐκερδίσαμε, νὰ μὴ χαθῆ, γιατὶ δὲν εἶναι μικρὸ κέρδος νὰ ἔχωμε πεισθῆ γιὰ τὴν κόλασι. Γιατὶ ἡ ἀνάμνησις τέτοιων λόγων, σὰν κάποιο πικρὸ φάρμακο, θὰ μπορέση νὰ καθαρίση κάθε κακία, ἀφοῦ συνεχῶς κάθεται μέσα στὴ σκέψι σας. Ἂς χρησιμοποιοῦμε λοιπὸν αὐτό, ὥστε ἔχοντας καθαρὴ καρδιὰ νὰ καταξιωθοῦμε ἔτσι νὰ ἰδοῦμε τὰ ἀγαθά, τὰ ὁποῖα οὔτε μάτι εἶδε, οὔτε αὐτὶ ἔχει ἀκούσει, οὔτε τὰ ἐσκέφθηκε ἀνθρώπινος νοῦς. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ὅλοι μας νὰ ἐπιτύχωμε, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ΄.

(Α΄ Θεσ. 5, 1–11)

«Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται».

1. Οὐδὲν οὕτως ὡς ἔοικε, περίεργόν ἐστι καὶ λίχνον πρὸς τὴν τῶν ἀφανῶν καὶ τῶν κεκαλυμμένων μάθησιν, ὡς ἡ τῶν ἀνθρώπων φύσις. Τοῦτο δὲ αὐτῇ συμβαίνειν εἴωθεν, ὅταν ἀτελῆ καὶ μηδέπω κατηρτισμένην τὴν διάνοιαν ἔχῃ. Καὶ γὰρ τῶν παίδων οἱ ἀφελέστεροι οὐ διαλιμπάνουσιν ἀποκναίοντες καὶ τροφέας καὶ παιδαγωγοὺς καὶ πατέρας τῇ πυκνότητι τῶν πεύσεων, ἐν αἷς οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἤ, πότε τόδε ἐστί, καὶ πότε τόδε. Συμβαίνει δὲ τοῦτο καὶ ἀπὸ τοῦ θρύπτεσθαι, καὶ ἀπὸ τοῦ μηδὲν ἔχειν ποιεῖν. Πολλὰ μὲν οὖν ἐπείγεται μανθάνειν ἤδη καὶ καταλαμβάνειν ἡμῶν ἡ διάνοια, μάλιστα δὲ τὸν περὶ τῆς συντελείας καιρόν. Καὶ τί θαυμαστόν, εἰ ἡμεῖς τοῦτο πάσχομεν; καὶ γὰρ αὐτοὶ οἱ ἅγιοι ἐκεῖνοι μάλιστα αὐτὸ πάντων πεπόνθασι· καὶ πρὸ μὲν τοῦ πάθους προσελθόντες οἱ ἀπόστολοι λέγουσι τῷ Χριστῷ· «Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος»· μετὰ δὲ τὸ πάθος καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἔλεγον πρὸς αὐτόν· «Εἰπὲ ἡμῖν, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ»· καὶ οὐδὲν πρὸ τούτου αὐτὸν ἤροντο.

Ἀλλ' οὐ μετὰ ταῦτα οὕτως, ὅτε τοῦ Πνεύματος τοῦ ἁγίου κατηξιώθησαν· οὐ μόνον αὐτοὶ οὐκ ἐρωτῶσιν, οὐδὲ ἀσχάλλουσι πρὸς τὴν ἄγνοιαν, ἀλλὰ καὶ τοὺς ταύτην τὴν ἄκαιρον νοσοῦντας

---

1. Ματθ. 24,3
2. Πράξ. 1,6

ΟΜΙΛΙΑ Θ΄
(Α΄ Θεσ. 5,1–11)

«Γιὰ τοὺς χρόνους ὅμως καὶ τοὺς καιρούς, ἀδελφοί, δὲν ἔχετε ἀνάγκη νὰ σᾶς γράφωμε. Γιατὶ σεῖς γνωρίζετε μὲ ἀκρίβεια, ὅτι ἡ ἡμέρα τοῦ Κυρίου, ὅπως ὁ κλέπτης μέσα στὴ νύκτα, ἔτσι ἔρχεται».

1. Τίποτε δὲν εἶναι, ὅπως φαίνεται, τόσο περίεργο καὶ ἄπληστο γιὰ τὴ μάθησι ἐκείνων ποὺ δὲν φαίνονται καὶ εἶναι καλυμμένα, ὅσο ἡ φύσις τῶν ἀνθρώπων. Καὶ αὐτὸ συνήθως συμβαίνει σὲ αὐτήν, ὅταν ἔχῃ ἀτελῆ καὶ ὄχι ἀκόμη τελειοποιημένη τὴ διάνοια. Καὶ πράγματι ἀπὸ τὰ παιδιὰ τὰ πιὸ ἀφελῆ δὲν σταματοῦν νὰ καταπονοῦν καὶ μητέρες καὶ παιδαγωγοὺς καὶ πατέρες μὲ τὶς συχνὲς ἐρωτήσεις τους, στὶς ὁποῖες δὲν ὑπάρχει τίποτε ἄλλο, παρὰ μόνο, πότε συνέβηκε αὐτὸ καὶ πότε τὸ ἄλλο. Συμβαίνει δὲ αὐτὸ καὶ ἀπὸ τὸ ὅτι προσποιοῦνται ὅτι δὲν γνωρίζουν καὶ ἀπὸ τὸ ὅτι δὲν ἔχουν τίποτε ἄλλο νὰ κάνουν. Πολλὰ λοιπὸν ἐπείγεται νὰ γνωρίζει τώρα καὶ νὰ κατανοήσῃ ἡ διάνοιά μας, καὶ πιὸ πολὺ τὸν καιρὸ γιὰ τὴ συντέλεια τοῦ κόσμου. Καὶ τί τὸ παράδοξο, ἐὰν ἐμεῖς τὸ παθαίνωμε αὐτό; καθόσον καὶ αὐτοὶ οἱ ἅγιοι ἀπόστολοι ἔχουν πάθει αὐτὸ πιὸ πολὺ ἀπὸ ὅλους. Πρὶν ἀπὸ τὸ πάθος ἀφοῦ ἐπλησίασαν οἱ ἀπόστολοι λέγουν στὸν Χριστό· «Εἰπέ μας, πότε θὰ γίνουν αὐτὰ καὶ ποιὸ εἶναι τὸ σημάδι τῆς παρουσίας σου καὶ τῆς συντέλειας τοῦ κόσμου»[1]. Ὕστερα ὅμως ἀπὸ τὸ πάθος καὶ τὴν ἐκ νεκρῶν ἀνάστασί του ἔλεγαν πρὸς αὐτόν· «Εἰπέ μας, ἐὰν κατὰ τὶς ἡμέρες αὐτὲς πρόκειται νὰ ἀποκαταστήσῃς τὴ βασιλεία στὸ Ἰσραήλ»[2]. Τίποτε ὅμως πρὶν ἀπὸ αὐτὸ δὲν ἠρώτησαν αὐτόν.

Ἀλλὰ δὲν συμπεριφέρονται ἔτσι ἀργότερα, ὅταν ἐθεωρήθηκαν ἄξιοι καὶ ἔλαβαν τὸ ἅγιο Πνεῦμα. Ὄχι μόνο δὲν ἐρωτοῦν αὐτοί, οὔτε στενοχωροῦνται γιὰ τὴν ἄγνοια, ἀλλὰ καὶ ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ τὴν ἐνοχλητικὴ αὐτὴν περιέργεια τοὺς ἀνακουφίζουν. Ἄκουσε λοιπὸν τί ὁ μακάριος Παῦλος λέγει τώρα· «Γιὰ τοὺς χρό-

πολυπραγμοσύνην καταστέλλουσιν. Ἄκουσον γοῦν οἷα νῦν ὁ μακάριος Παῦλός φησι· «Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν». Διὰ τί μὴ εἶπεν, ὅτι οὐδεὶς οἶδε; διὰ τί μὴ εἶπεν, ὅτι οὐκ ἀπεκαλύφθη, ἀλλ', «οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν»; Ὅτι ἐκείνως μὲν ἂν ἐλύπησε μᾶλλον, οὕτω δὲ παρεμυθήσατο εἰπών. Τὸ γάρ, «οὐ χρείαν ἔχετε», καὶ ὡς περιττόν, καὶ ὡς ἀσύμφορον, ζητεῖν οὐκ εἴασε. Ποῖον γάρ, εἰπέ μοι, τὸ κέρδος; Θῶμεν εἶναι τὴν συντέλειαν μετὰ εἴκοσιν ἔτη, μετὰ τριάκοντα, μετὰ ἑκατόν· τί τοῦτο πρὸς ἡμᾶς; οὐχὶ ἑκάστου ἡ συντέλεια τὸ τῆς αὐτοῦ ζωῆς πέρας ἐστί; τί πολυπραγμονεῖς καὶ ὠδίνεις ὑπὲρ τοῦ κοινοῦ τέλους; Ἀλλ' ὅπερ ἐν τοῖς ἄλλοις πάσχομεν, τοῦτο καὶ ἐν τούτῳ. Καθάπερ γὰρ ἐν τοῖς ἄλλοις τὰ ἴδια ἀφέντες, τὰ κοινὰ μεριμνῶμεν λέγοντες· ὁ δεῖνα πόρνος, ὁ δεῖνα μοιχός, ἐκεῖνος ἥρπασεν, ἄλλος ἠδίκησε, τῶν δὲ ἑαυτοῦ οὐδεὶς οὐδένα λόγον ποιεῖται, ἀλλὰ πάντων φροντίζει μᾶλλον, ἢ τῶν οἰκείων· οὕτω καὶ ἐνταῦθα, ἀφέντες τὸ οἰκεῖον ἕκαστος τέλος μεριμνᾶν, τὴν κοινὴν βουλόμεθα κατάλυσιν μαθεῖν.

Τί γάρ σοι κοινὸν πρὸς ἐκείνην ἐστίν; Ἂν ταύτην καλῶς διάθῃ τὴν τελευτήν, οὐδὲν παρ' ἐκείνης πείσῃ δεινόν. Ἔστω πόρρω, ἔστω ἐγγύς· οὐδὲν τοῦτο πρὸς ἡμᾶς. Διὰ τοῦτο οὐκ εἶπεν ὁ Χριστός, ἐπειδὴ μὴ συνέφερε. Πῶς οὐ συνέφερε, φησίν; Αὐτός οἶδεν ὁ καὶ κρύψας, διὰ τί μὴ συνέφερεν. Ἄκουε γὰρ αὐτοῦ λέγοντος τοῖς ἀποστόλοις· «Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ». Τί περιεργάζεσθε, φησίν; Οἱ περὶ Πέτρον τὸν κορυφαῖον ταῦτα ἤκουσαν, ὡς τὰ μείζονα ἑαυτῶν ζητοῦντες μαθεῖν. Ναί, φησίν, ἀλλ' ἀλλ' ἐνῆν τὰ τῶν Ἑλλήνων ἐπιστομίζειν οὕτω στόματα. Πῶς, εἰπέ μοι; Ἐπειδὴ ἐκεῖνοι, φησί, τὸν κόσμον τοῦτον θεὸν λέγουσιν εἶναι, εἰ τὸν καιρὸν ᾔδειμεν τῆς καταλύσεως, ἐπεστομίσαμεν ἂν αὐτῶν τὰ στόματα. Τοῦτο γάρ ἐστι τὸ ἐπιστομίζον ἐκείνους, τὸ μαθεῖν πότε καταλύεται, ἢ τὸ μαθεῖν ὅτι καταλύεται; Τοῦτο λέγετε πρὸς αὐτούς, ὅτι πέρας ἕξει· εἰ μὴ πείθονται τούτῳ, οὐδὲ ἐκείνῳ πείσον-

3. Πράξ. 1,7

νους ὅμως καὶ τοὺς καιρούς, ἀδελφοί, δὲν ἔχετε ἀνάγκη νὰ σᾶς γράψωμε». Γιατί δὲν εἶπε, ὅτι κανεὶς δὲν γνωρίζει; γιατί δὲν εἶπε, ὅτι δὲν ἔχει ἀποκαλυφθῆ, ἀλλὰ «δὲν ἔχετε ἀνάγκη νὰ σᾶς γράψωμε»; Διότι μὲ ἐκεῖνο τὸν τρόπο θὰ τοὺς ἐστενοχωροῦσε περισσότερο, λέγοντας ὅμως ἔτσι τοὺς ἐπαρηγόρησε. Διότι τὸ «δὲν ἔχετε ἀνάγκη», δὲν ἄφησε νὰ ἐρευνοῦμε αὐτὸ καὶ σὰν περιττὸ καὶ σὰν ἀσύμφορο. Γιατὶ ποιὸ εἶναι, εἰπέ μου, τὸ κέρδος; Ἂς ὑποθέσωμε ὅτι ἡ συντέλεια γίνεται ὕστερα ἀπὸ εἴκοσι χρόνια, ὕστερα ἀπὸ τριάντα, ὕστερα ἀπὸ ἑκατό· τί σχέσι ἔχει αὐτὸ γιὰ μᾶς; δὲν εἶναι ἡ συντέλεια τοῦ καθενὸς τὸ τέλος τῆς ζωῆς του; γιατί ἀσχολεῖσαι καὶ ἀγωνιᾶς γιὰ τὸ κοινὸ τέλος ὅλων; Ἀλλὰ ἐκεῖνο ποὺ παθαίνομε σχετικὰ μὲ τὰ ἄλλα, αὐτὸ παθαίνομε καὶ στὸ ζήτημα αὐτό. Γιατὶ ὅπως ἀκριβῶς στὰ ἄλλα, ἀφοῦ ἐγκαταλείψωμε τὰ δικά μας πράγματα, φροντίζομε τὰ κοινὰ λέγοντας· ὁ τάδε εἶναι πόρνος, ὁ τάδε μοιχός, ἐκεῖνος ἔκλεψε, ἄλλος ἔκαμε ἀδικία, κανένας ὅμως δὲν ἐνδιαφέρεται καθόλου γιὰ τὰ δικά του, ἀλλὰ φροντίζει περισσότερο γιὰ ὅλα, παρὰ γιὰ τὰ δικά του, ἔτσι καὶ ἐδῶ, ἀφοῦ παραμελήσαμε νὰ φροντίζωμε ὁ καθένας γιὰ τὸ δικό μας τέλος, θέλομε νὰ μάθωμε τὴν κοινὴ κατάλυσι ὅλων.

Τί κοινὸ λοιπὸν ἔχεις μὲ ἐκείνη; Ἐὰν κάνης καλὴ χρῆσι αὐτοῦ τοῦ τέρματος τῆς ζωῆς σου, δὲν θὰ πάθης κανένα κακὸ ἀπὸ ἐκεῖνο. Ἂς ὑποθέσωμε ὅτι εἶναι μακριά, ἂς ὑποθέσωμε ὅτι πλησιάζει· καμμία σχέσι δὲν ἔχει αὐτὸ μὲ μᾶς. Γι' αὐτὸ δὲν τὸ εἶπε ὁ Χριστός, ἐπειδὴ δὲν μᾶς συνέφερε. Πῶς, λέγει, δὲν μᾶς συνέφερε; Αὐτὸς ὁ ὁποῖος καὶ ἀπέκρυψε αὐτό, αὐτὸς γνωρίζει, γιατί δὲν μᾶς συνέφερε. Γιατὶ ἄκουε αὐτὸν ποὺ λέγει στοὺς ἀποστόλους· «Δὲν εἶναι δικό σας ἔργο νὰ γνωρίσετε τοὺς χρόνους ἢ τοὺς καιρούς, τοὺς ὁποίους ὁ Πατέρας ἐκράτησε στὴν ἀποκλειστική του ἐξουσία»[3]. Γιατί εἶσθε περίεργοι; λέγει. Οἱ ἀπόστολοι ποὺ ἦσαν πλησίον τοῦ Πέτρου τοῦ κορυφαίου ἤκουσαν αὐτά, ἐπειδὴ ἐζητοῦσαν νὰ μάθουν ἀνώτερα ἀπὸ τὸν ἑαυτό τους. Ναί, λέγει, ἀλλὰ ἦταν δυνατὸ νὰ κλείνωμε ἔτσι τὰ στόματα τῶν Ἑλλήνων. Μὲ ποιὸν τρόπο, εἰπέ μου; Ἐπειδὴ ἐκεῖνοι, λέγει, θεωροῦν ὅτι ὁ κόσμος αὐτὸς εἶναι θεός, ἐὰν ἐγνωρίζαμε τὸν καιρὸ τῆς συντελειάς του, θὰ ἐκλείναμε τὰ στόματά τους. Αὐτὸ λοιπὸν εἶναι ποὺ ἀποστομώνει ἐκείνους, τὸ νὰ μάθουν πότε ἐξαφανίζεται, ἢ τὸ νὰ μάθουν ὅτι ἐξαφανίζεται; Αὐτὸ νὰ λέγετε πρὸς αὐτούς, ὅτι ὁ κόσμος θὰ ἔχη τέλος. Ἐὰν μὲ αὐτὸ δὲν πείθωνται, οὔτε μὲ ἐκεῖνο θὰ πεισθοῦν. Ἄκουσε τὸν Παῦλο

ται. Ἄκουσον τοῦ Παύλου λέγοντος· «Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται»· οὐχ ἡ κοινὴ μόνον, ἀλλὰ καὶ ἡ ἑκάστου ἰδία· αὕτη γὰρ ἐκείνην μιμεῖται, αὕτη ἐστί καὶ συγγενής. Ὅπερ γὰρ ἀθρόως ἐκείνη, τοῦτο αὕτη κατὰ μέρος ποιεῖ.

Καὶ τῆς συντελείας ὁ καιρὸς ἀπὸ τοῦ Ἀδὰμ ἔλαβε τὴν ἀρχήν, τότε δὲ τέλος συντελείας ἐστίν· ἐπεὶ καὶ νῦν οὐκ ἂν ἁμάρτοι τις συντέλειαν εἰπών. Ὅταν γὰρ μυρίοι καθ' ἑκάστην ἡμέραν τελευτῶσι, καὶ ἀναμένωσι τὴν ἡμέραν ἐκείνην ἅπαντες, καὶ πρὸ ἐκείνης οὐδεὶς ἀνίσταται, οὐχὶ ἐκείνης τὸ ἔργον ἐστίν; Εἰ δὲ βούλεσθε μαθεῖν διὰ τί ἀποκέκρυπται αὕτη, καὶ διὰ τί ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται, ἐγώ, ὡς ἐμαυτῷ δοκῶ καλῶς ἔχειν, ἐρῶ. Οὐδεὶς ἂν ἀρετῆς ἐπεμελήθη ποτὲ παρὰ τὸν ἅπαντα βίον, ἀλλ' εἰδὼς αὐτοῦ τὴν τελευταίαν ἡμέραν, καὶ μυρία ἐργασάμενος δεινά, καὶ τῷ λουτρῷ τότε προσελθών, οὕτως ἂν ἀπῆλθεν. Εἰ γὰρ νῦν, τοῦ τῆς ἀδηλίας φόβου κατασείοντος τὰς ἁπάντων ψυχάς, πάντες τὸν ἔμπροσθεν βίον ἅπαντα ἐν κακίᾳ καταναλώσαντες, εἰ ἐσχάτας ἀναπνοὰς τῷ βαπτίσματι διδόασιν ἑαυτούς· εἰ καὶ σφόδρα ὑπὲρ τούτου ἦσαν πεπεικότες ἑαυτούς, τίς ἄν ποτε ἀρετῆς ἐπεμελήθη; Εἰ πολλοὶ χωρὶς φωτίσματος ἀπῆλθον, καὶ οὐδὲ οὗτος αὐτοὺς ὁ φόβος ἐπαίδευσε ζῶντας ἐπιμελεῖσθαι τῶν τῷ Θεῷ δοκούντων, εἰ καὶ οὗτος ἀνῄρητο ὁ φόβος, τίς ἂν ἐγένετό ποτε σώφρων; τίς δὲ ἐπιεικής; Οὐκ ἔστιν οὐδείς.

Καὶ ἕτερον δὲ πάλιν. Πολλοὺς ὁ τοῦ θανάτου φόβος κατέχει νῦν, καὶ ὁ τῆς ζωῆς ἔρως· εἰ δὲ ᾔδει ἕκαστος, ὅτι αὔριον πάντως τεθνήξεται, οὐδὲν ἂν παρῃτήσατο τολμῆσαι πρὸ τῆς ἡμέρας ἐκείνης, ἀλλὰ καὶ ἔσφαξεν οὓς ἂν ἠθέλησε, καὶ ἀνεκτήσατο ἑαυτόν, τοὺς ἐχθροὺς ἀμύνων, καὶ μυρία ἂν εἰργάσατο δεινά. Ἄνθρωπος γὰρ μιαρός, τῆς ἐνθάδε ζωῆς ἀπεγνωκώς, οὐδὲ αὐτοῦ λόγον ἔχει τοῦ τὴν ἁλουργίδα περικειμένου. Ὁ τοίνυν πεπεισμένος ὅτι πάντως ἀπελθεῖν δεῖ, καὶ ἀμυνεῖται τὸν ἐχθρόν, καὶ πρότερον ἀναπαύσας αὐτοῦ τὴν ψυχήν, οὕτως ἂν ἐδέξατο τὴν τελευτήν. Εἴπω τι καὶ τρίτον ἕτερον; Οἱ φιλοζωοῦντες, καὶ σφόδρα τῶν ἐνθάδε ἐφιέμενοι, ὑπὸ τῆς ἀθυμίας ἂν καὶ τῆς λύπης διεφθάρησαν. Εἰ γάρ τις τῶν νέων ὅτι πρὸ τοῦ γήρως

πού λέγει· «Γιατὶ σεῖς γνωρίζετε μὲ ἀκρίβεια, ὅτι ἡ ἡμέρα τοῦ Κυρίου, ὅπως ὁ κλέπτης μέσα στὴ νύκτα, ἔτσι ἔρχεται», ὄχι μόνο ἡ κοινὴ γιὰ ὅλους, ἀλλὰ καὶ ἡ προσωπικὴ τοῦ καθενός, γιατὶ αὐτὴ μιμεῖται ἐκείνην, αὐτὴ εἶναι καὶ συγγενής. Γιατὶ αὐτὸ ποὺ ἐκείνη κάνει γενικὰ σ' ὅλους, αὐτὴ τὸ κάνει ξεχωριστὰ γιὰ τὸν καθένα.

Καὶ ὁ καιρὸς τῆς συντέλειας ἄρχισε ἀπὸ τὸν Ἀδάμ, ὅπως δὲ καὶ τὸ τέλος τοῦ καθενὸς εἶναι καιρὸς τῆς συντέλειας, ἀφοῦ καὶ τώρα δὲν θὰ ἁμαρτήση κανεὶς ἐὰν ὀνομάση αὐτὸ συντέλεια. Ὅταν λοιπὸν καθημερινὰ πεθαίνουν πάρα πολλοὶ καὶ ὅλοι περιμένουν τὴν ἡμέρα ἐκείνη καὶ πρὶν ἀπὸ ἐκείνη δὲν ἀνασταίνεται κανένας, δὲν εἶναι τὸ ἔργο ἐκείνης; Ἐὰν ὅμως θέλετε νὰ μάθετε γιατί ἔχει ἀποκρυβῆ αὐτὴ καὶ γιατί ἔρχεται σὰν κλέπτης μέσα στὴ νύκτα, ἐγὼ θὰ σᾶς εἰπῶ ὅτι κατὰ τὴ γνώμη μου καλῶς ἔχει λεχθῆ αὐτό. Κανεὶς δὲν θὰ ἐφρόντιζε ποτὲ γιὰ τὴν ἀρετὴ σὲ ὅλη του τὴ ζωή, ἀλλὰ γνωρίζοντας τὴν τελευταία του ἡμέρα καὶ ἀφοῦ θὰ ἔπραττε ἄπειρα κακά, καὶ ἀφοῦ θὰ ἐβαπτίζετο τότε, ἔτσι θὰ πέθαινε. Ἐὰν λοιπὸν τώρα, ποὺ ὁ φόβος τῆς ἀβεβαιότητας κατατρομάζει τὶς ψυχὲς ὅλων, ἀφοῦ ὅλοι μέσα στὴν κακία ἐσπατάλησαν ὅλη τους τὴν προηγουμένη ζωή, βαπτίζωνται στὶς τελευταῖες τους στιγμές, ἐὰν ἦταν πάρα πολὺ πεπεισμένοι γι' αὐτό, ποιός θὰ ἐφρόντιζε ποτὲ γιὰ τὴν ἀρετή; Ἐὰν πολλοὶ ἐπέθαναν χωρὶς βάπτισμα καὶ οὔτε αὐτὸς ὁ φόβος τοὺς ἐδίδαξε ὅταν ἐζοῦσαν νὰ φροντίζουν ἐκεῖνα ποὺ ἀρέσουν στὸν Θεό, ἐὰν καὶ αὐτὸς ὁ φόβος ἐξαφανιζόταν, ποιός θὰ ἐγίνετο ποτὲ σώφρων; καὶ ποιός ἀγαθός; Δὲν ὑπάρχει κανείς.

Ἐπίσης θὰ εἰπῶ καὶ κάτι ἄλλο. Πολλοὺς κυριεύει τώρα ὁ φόβος τοῦ θανάτου καὶ ὁ πόθος τῆς ζωῆς. Ἐὰν ὅμως ὁ καθένας ἐγνώριζε, ὅτι αὔριο θὰ πεθάνη ὁπωσδήποτε, τίποτε δὲν θὰ ἐσταματοῦσε νὰ πράξη πρὶν ἀπὸ τὴν ἡμέρα ἐκείνη, ἀλλὰ καὶ θὰ ἔσφαζε αὐτοὺς ποὺ θὰ ἤθελε καὶ θὰ ἐκαρποῦνταν τὰ δικά τους πολεμώντας τοὺς ἐχθρούς, καὶ θὰ ἔκαμε ἄπειρα κακά. Γιατὶ ὁ ἄνθρωπος ὁ μιαρός, ποὺ εἶναι ἀπελπισμένος στὴ ζωὴ αὐτή, δὲν λογαριάζει οὔτε αὐτὸν ποὺ φορεῖ τὴν πορφύρα. Ἐκεῖνος λοιπὸν ποὺ ἔχει πεισθῆ ὅτι ὁπωσδήποτε πρέπει νὰ πεθάνη, καὶ θὰ πολεμήση τὸν ἐχθρό του καὶ ἀφοῦ πρῶτα θὰ χάριζε ἀπόλαυση στὴν ψυχή του, ἔτσι θὰ ἐδέχετο τὸ θάνατο. Νὰ εἰπῶ καὶ κάποιο ἄλλο τρίτο; Ὅσοι ἀγαποῦν τὴ ζωὴ καὶ ἐπιθυμοῦν ὑπερβολικὰ τὰ πράγματα τοῦ κόσμου αὐτοῦ, θὰ εἶχαν καταστραφῆ τελείως ἀπὸ τὴν ἀπελπισία καὶ τὴ λύπη. Γιατὶ ἐὰν κάποιος νέος ἐγνώριζε καλὰ ὅτι θὰ πεθάνη πρὶν ἀπὸ τὰ γηρατειά

δέξεται τὴν τελευτὴν ἠπίστατο, καθάπερ τὰ νωθρότατα τῶν θηρίων, ἐπειδὰν συλληφθῇ, τοιαῦτα γίνεται, προσδοκῶντα τὴν τελευτήν, οὕτως ἂν διετέθη. Πρὸς τούτῳ οὐδὲ αὐτοὶ οἱ γενναῖοι ἄνδρες μισθὸν ἂν ἔσχον. Εἰ γὰρ ᾔδεσαν ὅτι πάντως μετὰ τρία ἔτη ἀπελθεῖν δεῖ, καὶ πρὸ ἐκείνων οὐ δυνατόν, ποῖον ἂν ἔσχον μισθόν, κατατολμῶντες τῶν δεινῶν; Εἶπε γὰρ ἄν τις πρὸς αὐτούς, ὅτι ἐπειδὴ θαρρεῖτε ὑπὲρ τῶν τριῶν ἐτῶν, διὰ τοῦτο τοῖς κινδύνοις ἑαυτοὺς ἐκδιδόατε, εἰδότες ὅτι οὐκ ἔνι ὑμᾶς ἀπελθεῖν. Ὁ γὰρ ἐξ ἑκάστου κινδύνου προσδοκῶν τεθνήξεσθαι, καὶ εἰδὼς ὅτι ζήσεται μὲν μὴ παραβουλευσάμενος, τεθνήξεται δὲ τοιαῦτα τολμῶν, τῆς αὐτοῦ προθυμίας καὶ τοῦ καταφρονεῖν τῆς ἐνθάδε ζωῆς μέγιστον ἐξήνεγκε τεκμήριον. Ἀπὸ δὲ ὑποδείγματος τοῦτο ὑμῖν ποιήσω φανερόν.

Εἰπέ μοι, εἰ ὁ πατριάρχης Ἀβραὰμ προειδὼς ὅτι οὐ σφάξει τὸν υἱὸν ἀνήγαγεν, ἆρα ἂν ἔσχε τινὰ μισθόν; Τί δέ, ὁ Παῦλος εἰ προειδὼς ὅτι οὐ τεθνήξεται, ὑπερεῖδε τῶν κινδύνων, ποῦ θαυμαστός; Οὕτω γὰρ καὶ ὁ νωθρότατος εἰς πῦρ ἐνέβη ἄν, εἴ τινα ἀξιόπιστον ἐγγυητὴν εὗρε τῆς ἀσφαλείας. Ἀλλ' οὐχ οἱ τρεῖς παῖδες τοιοῦτοι, ἀλλ' ἄκουε αὐτῶν λεγόντων· «Βασιλεῦ, ἔστι Θεὸς ἐν οὐρανῷ, ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῶν χειρῶν σου, καὶ ἐκ τῆς καμίνου ταύτης· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦμεν». Ὁρᾶτε πόσα κέρδη ἐστί, καὶ πλείονα τούτων, ἐκ τοῦ ἀγνοεῖν τὴν τελευτήν; Τέως δὲ ταῦτα ἀπόχρη μαθεῖν. Διὰ τοῦτο ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται· ἵνα μὴ εἰς κακίαν ἐξαγάγωμεν ἑαυτούς, ἵνα μὴ εἰς ῥᾳθυμίαν, ἵνα μὴ τὸν μισθὸν ἡμῶν ὑποτέμηται.

2. «Αὐτοὶ γὰρ ἀκριβῶς», φησίν, «οἴδατε». Τί οὖν περιεργάζεσθε, εἰ πεπεισμένοι ἐστέ; Ὅτι δὲ ἄδηλον τὸ μέλλον, ἐξ ὧν ὁ Χριστὸς εἶπε, μάνθανε. Ὅτι γὰρ διὰ τοῦτο εἶπεν, ἄκουσον τί φησι· «Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται». Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· «Ὅταν δὲ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ

4. Δαν. 3,17.18
5. Ματθ. 24,42

του, σὰν ἀκριβῶς τὰ νωθρότατα θηρία, ποὺ ὅταν συλληφθοῦν, γίνονται τέτοια, ἐπειδὴ περιμένουν τὸ θάνατό τους, ἔτσι θὰ ἐσυμπεριφέρετο. Ἀκόμη οὔτε αὐτοὶ οἱ γενναῖοι ἄνδρες δὲν θὰ εἶχαν μισθό. Γιατί, ἐὰν ἐγνώριζαν ὅτι πρέπει ὁπωσδήποτε ὕστερα ἀπὸ τρία χρόνια νὰ πεθάνουν, καὶ ὅτι πρὶν ἀπὸ αὐτὰ δὲν εἶναι δυνατό, ποιό μισθὸ θὰ εἶχαν ριψοκινδυνεύοντας τὰ δεινά; Γιατὶ θὰ μποροῦσε κάποιος νὰ εἰπῆ πρὸς αὐτούς, ὅτι ἐπειδὴ ἔχετε θάρρος γιὰ τὰ τρία χρόνια, γι' αὐτὸ κινδυνεύετε, γνωρίζοντας ὅτι δὲν εἶναι δυνατὸ νὰ πεθάνετε. Ἐκεῖνος λοιπὸν ποὺ περιμένει ἀπὸ κάθε κίνδυνο ὅτι θὰ πεθάνη καὶ γνωρίζει ὅτι θὰ ζήση ὅταν δὲν ριψοκινδυνεύση, ἐὰν πεθάνη ἐπιχειρώντας παρόμοια ἔργα, ἔδωσε τὴ πιὸ μεγάλη ἀπόδειξι τῆς προθυμίας του καὶ τῆς περιφρονήσεώς του γι' αὐτὴ τὴ ζωή. Θὰ σᾶς τὸ κάνω ὅμως αὐτὸ φανερὸ μὲ ἕνα παράδειγμα.

Εἰπέ μου, ἐὰν ὁ πατριάρχης Ἀβραὰμ ἔφερνε τὸν υἱό του γνωρίζοντας ἀπὸ πρὶν ὅτι δὲν θὰ τὸν θυσιάση, ἄραγε θὰ εἶχε κάποιο μισθό; Τί λοιπόν, ἐὰν ὁ Παῦλος, γνωρίζοντας ἀπὸ πρὶν ὅτι δὲν θὰ πεθάνη, ἐπεριφρονοῦσε τοὺς κινδύνους, πῶς θὰ ἦταν θαυμαστός; Γιατὶ ἔτσι καὶ ἐκεῖνος ποὺ εἶναι νωθρότατος θὰ ἀνέβαινε στὴ φωτιά, ἐὰν εἶχε κάποιον ἀξιόπιστο ἐγγυητὴ γιὰ τὴν ἀσφάλειά του. Οἱ τρεῖς παῖδες ὅμως δὲν ἦταν τέτοιοι, ἀλλ' ἄκουε αὐτοὺς ποὺ λέγουν· «Βασιλεῦ, ὑπάρχει Θεὸς στὸν οὐρανό, ὁ ὁποῖος θὰ μᾶς ἐλευθερώση ἀπὸ τὰ χέρια σου καὶ ἀπὸ τὸ καμίνι αὐτό· ἀλλὰ καὶ ἐὰν δὲν κάμη αὐτό, ἂς γνωρίζης ὅτι δὲν λατρεύομε τοὺς θεούς σου καὶ δὲν προσκυνοῦμε τὴ χρυσὴ εἰκόνα, τὴν ὁποία ἔστησες»[4]. Βλέπετε πόσα κέρδη ὑπάρχουν, καὶ περισσότερα ἀπὸ αὐτά, ἀπὸ τὸ νὰ μὴ γνωρίζη κανεὶς τὸ θάνατό του; Στὴν ἀρχὴ λοιπὸν ἦταν ἀρκετὸ τὸ νὰ μάθουμε αὐτά. Γι' αὐτὸ ὅπως ὁ κλέπτης μέσα στὴ νύκτα, ἔτσι ἔρχεται, γιὰ νὰ μὴ ὠθοῦμε τοὺς ἑαυτούς μας στὴν κακία, οὔτε στὴν ἀδιαφορία, γιὰ νὰ μὴ μᾶς ἀφαιρέση τὸ μισθό μας.

2. «Διότι σεῖς», λέγει, «γνωρίζετε μὲ ἀκρίβεια». Γιατί λοιπὸν εἶσθε περίεργοι, ἀφοῦ ἔχετε πεισθῆ; Τὸ ὅτι δὲ εἶναι ἄγνωστο τὸ μέλλον γνώριζέ το ἀπὸ αὐτὰ ποὺ εἶπε ὁ Χριστός, τὸ ὅτι ὅμως γι' αὐτὸ τὸ εἶπε, ἄκουσε τί λέγει· «Γρηγορεῖτε λοιπόν, γιατὶ δὲν γνωρίζετε ποιὰ ὥρα ἔρχεται ὁ κλέπτης»[5]. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ὅταν ὅμως λέγουν οἱ ἄνθρωποι, ὅτι ἔχομε εἰρήνη καὶ ἀσφάλεια, τότε ἐπέρχεται ἐναντίον τους ξαφνικὴ καταστροφή, ὅπως ὁ πόνος τοῦ τοκετοῦ στὴν ἔγκυο γυναῖκα, καὶ δὲν θὰ διαφύγουν αὐτήν».

ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν». Ἐνταῦθά τι ᾐνίξατο, ὅπερ καὶ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ. Ἐπειδὴ γὰρ οὗτοι μὲν ἦσαν ἐν θλίψεσιν, ἐκεῖνοι δὲ ἐν ἀνέσει οἱ πολεμοῦντες αὐτούς, καὶ ἐν τρυφῇ, εἶτα τούτῳ παρεμυθεῖτο τὰ παρόντα δεινὰ τῷ τῆς ἀναστάσεως λόγῳ, ἐκεῖνοι δὲ ἐπηρέαζον ἐκ τῶν προγονικῶν ἐνθυμημάτων φθεγγόμενοι, καὶ ἔλεγον, πότε ἔσται; ὅπερ καὶ οἱ προφῆται ἔλεγον· «Οὐαὶ οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν»· καὶ πάλιν· «Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου»· περὶ ταύτης φησίν· οὐ γὰρ ἁπλῶς ἐπιθυμοῦντας λέγει, ἀλλὰ τοὺς ἐκ τοῦ ἀπιστεῖν ἐπιθυμοῦντας· καί, «Ἡ ἡμέρα Κυρίου σκότος», φησί, «καὶ οὐ φῶς»· ὅρα τοίνυν πῶς αὐτοὺς παραμυθεῖται ὁ Παῦλος· ὡς ἂν εἰ ἔλεγε· μὴ τὸ ἐν εὐπαθείᾳ εἶναι αὐτοὺς τεκμήριον ποιείσθωσαν τοῦ μὴ παραγίνεσθαι τὴν κρίσιν· οὕτω μὲν οὖν καὶ παραγίνεται.

Ἄξιον δὲ καὶ ἐκεῖνο ζητῆσαι· εἰ ὁ ἀντίχριστος ἔρχεται, καὶ ὁ Ἠλίας ἔρχεται, πῶς ὅταν λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αὐτοῖς αἰφνίδιος ὄλεθρος ἐφίσταται; ταῦτα γὰρ οὐκ ἀφίησιν ἐπελθεῖν τὴν ἡμέραν, τεκμήρια ὄντα τῆς παρουσίας αὐτῆς. Ἀλλ' οὐδὲ ταὐτὸν τὸν καιρὸν βούλεται εἶναι τὸν τοῦ ἀντιχρίστου, καὶ τὴν ἡμέραν πᾶσαν· ὅτι ἐκεῖνο σημεῖον ἔσται τῆς παρουσίας τοῦ Χριστοῦ, αὐτὸς δὲ οὐχ ἕξει σημεῖον, ἀλλ' ἀθρόον καὶ ἀπροσδοκήτως ἥξει. Καὶ γὰρ τῇ κυούσῃ, φησίν, οὐκ ἐφίσταται ἀδήλως· οἶδε γὰρ ὅτι μετὰ ἐννέα μῆνας ἔσται ὁ τόκος. Καὶ σφόδρα μὲν οὖν ἀδήλως· αἱ μὲν γὰρ ἑπταμηνιαῖα ἔτεκον, αἱ δὲ ἐννεαμηνιαῖα· ἄλλως δὲ καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα ἄδηλος. Πρὸς τοῦτο οὖν φησι ταῦτα ὁ Παῦλος. Καὶ ἀκριβὴς ἡ εἰκών· οὐ γὰρ πολλὰ τῆς ὠδῖνός ἐστι τὰ τεκμήρια· πολλαὶ γοῦν οὕτω καὶ ἐν ὁδοῖς καὶ τῆς οἰκίας ἔξω, μὴ προειδυῖαι, ἔτεκον. Οὐ τὸ ἄδηλον δὲ μόνον ἐνταῦθα ᾐνίξατο, ἀλλὰ καὶ τὸ τῆς ὀδύνης πικρόν. Ὥσπερ γὰρ ἐκείνη παίζουσα, γελῶσα, οὐδὲν ὅλως προορωμένη, ἐξαίφνης ἀρρή-

---

6. Ἡσ. 5,19
7. Ἀμὼς 5,18

Ἐδῶ ὑπαινίχθηκε κάτι, τὸ ὁποῖο ὑπαινίχθηκε καὶ στὴ Β΄ πρὸς Θεσσαλονικεῖς ἐπιστολή του. Ἐπειδὴ δηλαδὴ αὐτοὶ μὲν εὑρίσκοντο σὲ θλίψεις, ἐκεῖνοι δὲ ποὺ τοὺς ἐπολεμοῦσαν εἶχαν ἄνεσι καὶ ἀπολαύσεις, καὶ τοὺς ἐπαρηγοροῦσε γιὰ τὰ παρόντα δεινὰ μὲ αὐτὸ τὸ κήρυγμα τῆς ἀναστάσεως, ἀλλ' ἐκεῖνοι ἀντιδροῦσαν προβάλλοντες προγονικά τους ἐπιχειρήματα, καὶ ἔλεγαν, πότε θὰ συμβῆ; πρᾶγμα ποὺ καὶ οἱ προφῆται ἔλεγαν· «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ λέγουν, ἂς ἐπιταχύνη ἐκεῖνα ποὺ θὰ κάμη ὁ Θεός, γιὰ νὰ ἰδοῦμε, καὶ ἂς ἔλθη τὸ θέλημα τοῦ ἁγίου τοῦ Ἰσραήλ, γιὰ νὰ μάθωμε αὐτό»[6]· καὶ πάλι, «Ἀλλοίμονο σὲ ἐκείνους ποὺ ἐπιθυμοῦν τὴν ἡμέρα τοῦ Κυρίου»[7], γι' αὐτὴν λέγει· δὲν ἐννοεῖ ἐκείνους ποὺ ἁπλῶς ἐπιθυμοῦν αὐτήν, ἀλλὰ ἐκείνους ποὺ τὴν ἐπιθυμοῦν ἐπειδὴ δὲν πιστεύουν· καὶ λέγει, «Ἡ ἡμέρα τοῦ Κυρίου εἶναι σκοτάδι καὶ ὄχι φῶς». Πρόσεχε λοιπὸν πῶς παρηγορεῖ αὐτοὺς ὁ Παῦλος· εἶναι σὰν νὰ ἔλεγε· ἂς μὴ θεωρήσουν τὸ ὅτι αὐτοὶ ἀπολαμβάνουν τὰ ὑλικὰ ἀγαθὰ ἀπόδειξι τοῦ ὅτι δὲν πλησιάζει ἡ κρίσις· διότι μὲ αὐτὸν τὸν τρόπον πλησιάζει.

Ἀξίζει ὅμως νὰ ἐξετάσωμε καὶ αὐτό· ἐὰν ἔρχεται ὁ ἀντίχριστος καὶ ἐὰν ἔρχεται καὶ ὁ Ἠλίας, πῶς ὅταν λέγουν, ὅτι ἔχομε εἰρήνη καὶ ἀσφάλεια, τότε ἐπέρχεται σὲ αὐτοὺς ξαφνικὴ καταστροφή; γιατὶ αὐτὰ δὲν ἀφήνουν νὰ ἔλθη ξαφνικὰ ἡ ἡμέρα τοῦ Κυρίου, ἐπειδὴ εἶναι ἀποδείξεις τῆς παρουσίας της. Ἀλλὰ οὔτε τὸν ἴδιο χρόνο θέλει νὰ εἶναι χρόνος τοῦ ἀντιχρίστου καὶ τῆς ἡμέρας ἐκείνης γιατὶ ἐκεῖνο θὰ εἶναι σημάδι τῆς παρουσίας τοῦ Χριστοῦ, αὐτὸς ὅμως δὲν θὰ ἔχη σημάδι ἀλλὰ θὰ ἔλθη ξαφνικὰ καὶ ἀπροσδόκητα. Γιατὶ στὴν ἔγκυο γυναῖκα, λέγει, δὲν ἔρχεται κρυφά, ἐπειδὴ γνωρίζει ὅτι ὕστερα ἀπὸ ἐννέα μῆνες θὰ εἶναι ὁ τοκετός. Καὶ ἔρχεται λοιπὸν πάρα πολὺ κρυφά, γιατὶ ἄλλες ἐγέννησαν σὲ διάστημα ἑπτὰ μηνῶν καὶ ἄλλες ἐννέα μηνῶν· ὁπωσδήποτε ὅμως καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα εἶναι ἄγνωστη. Μὲ αὐτὴ λοιπὸν τὴν ἔννοια τὰ λέγει αὐτὰ ὁ Παῦλος. Καὶ εἶναι ἀκριβὴς ἡ εἰκόνα, γιατὶ δὲν ὑπάρχουν πολλὲς ἀποδείξεις τῶν πόνων τοῦ τοκετοῦ. Πολλὲς μάλιστα γυναῖκες ἐγέννησαν, χωρὶς νὰ γνωρίζουν ἀπὸ πρίν, καὶ στοὺς δρόμους καὶ ἔξω ἀπὸ τὸ σπίτι. Δὲν ὑπαινίχθηκε ἐδῶ μόνο τὸ ἄγνωστο τῆς ἡμέρας, ἀλλὰ καὶ τὴν πίκρα τῆς ὀδύνης. Γιατὶ ὅπως ἀκριβῶς ἐκείνη καθὼς παίζει καὶ γελᾶ, χωρὶς νὰ προβλέπη ἐντελῶς τίποτε, ξαφνικὰ ὅταν κυριευθῆ ἀπὸ ὑπερβολικοὺς πόνους κόπτεται στὰ δύο μὲ τὶς ὠδῖνες, ἔτσι καὶ οἱ ἄνθρωποι ἐκεῖνοι, ὅταν ἔλθη ἡ ἡμέρα. «Καὶ δὲν θὰ διαφύγουν», λέγει· πρᾶγμα ποὺ ἔλεγε τώρα.

τοις κατασχεθεῖσα πόνοις διακόπτεται ταῖς ὠδῖσιν, οὕτω καὶ αἱ ψυχαὶ ἐκεῖναι, τῆς ἡμέρας ἐπελθούσης. «Καὶ οὐ μὴ ἐκφύγωσι», φησίν· ὅπερ ἔλεγε νῦν.

3. «Ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ». Ἐνταῦθα τὸν σκοτεινὸν καὶ ἀκάθαρτον βίον φησί. Καθάπερ γὰρ ἐν νυκτὶ πάντα πράττουσιν οἱ μιαροὶ καὶ πονηροὶ τῶν ἀνθρώπων, πάντας λανθάνοντες, καὶ ἐν σκότῳ κατακλείοντες ἑαυτούς. Εἰπὲ γάρ μοι, οὐχὶ τὴν ἑσπέραν παρατηρεῖ ὁ μοιχός; οὐχὶ τὴν νύκτα ὁ κλέπτης; ὁ τυμβωρύχος οὐχὶ πᾶσαν τὴν ἐργασίαν ἐν νυκτὶ ἔχει; Τί οὖν; οὐχὶ ὡς κλέπτης αὐτοὺς καταλαμβάνει; οὐχὶ καὶ αὐτοῖς ἀδήλως ἐφίσταται, ἀλλὰ προΐσταται; Πῶς οὖν λέγει, «Οὐ χρείαν ἔχετε γράφεσθαι ἡμῖν»; Ἐνταῦθα οὐ πρὸς τὸ ἄδηλόν φησιν, ἀλλὰ πρὸς τὴν συμφοράν· τουτέστιν, οὐκ ἐπὶ κακῷ τῷ αὐτῶν ἥξει. Ἀδήλως μὲν γὰρ ἥξει καὶ αὐτοῖς, πλὴν ἀλλ' οὐδενὶ περιβαλεῖ λυπηρῷ. «Ἵνα μὴ ἡ ἡμέρα ὑμᾶς», φησίν, «ὡς κλέπτης καταλάβῃ». Ἐπὶ γὰρ τῶν ἐγρηγορότων καὶ ἐν φωτὶ ὄντων, κἂν γένηταί τις εἴσοδος λῃστοῦ, οὐδὲν λυμήνασθαι δυνήσεται· οὕτω καὶ ἐπὶ τῶν ὀρθῶς ζώντων· ἀλλ' ἐκείνους τοὺς καθεύδοντας πάντων γυμνώσας ἄπεισι, τοὺς τοῖς ἐνθάδε θαρροῦντας.

«Πάντες γὰρ ὑμεῖς», φησίν, «υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας». Καὶ πῶς ἔνι υἱοὺς ἡμέρας εἶναι; Ὡς υἱοὺς ἀπωλείας, ὡς υἱοὺς γεέννης. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς Φαρισαίοις· «Οὐαὶ ὑμῖν, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηράν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης»· καὶ πάλιν ὁ Παῦλος ἔλεγε· «Δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας», τουτέστιν, οἱ τὰ τῆς γεέννης πράττοντες, οἱ τὰ τῆς ἀπειθείας. Οὕτω καὶ υἱοὶ τοῦ Θεοῦ οἱ τὰ τῷ Θεῷ δοκοῦντα πράττοντες· οὕτω καὶ υἱοὶ ἡμέρας καὶ υἱοὶ φωτός, οἱ τὰ τοῦ φωτὸς πράττοντες. «Καὶ οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους. Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν. Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυ-

8. Ματθ. 23,15
9. Κολ. 3,6

3. «Ἐσεῖς ὅμως, ἀδελφοί, δὲν εὑρίσκεσθε σὲ σκοτάδι, γιὰ νὰ σᾶς καταλάβη ἡ ἡμέρα τοῦ Κυρίου σὰν κλέπτης». Ἐδῶ ἐννοεῖ τὸ σκοτεινὸ καὶ ἀκάθαρτο τρόπο ζωῆς. Ὅπως ἀκριβῶς δηλαδὴ πράττουν τὰ πάντα οἱ μιαροὶ καὶ πονηροὶ ἄνθρωποι μέσα στὴ νύκτα, ξεφεύγοντας τὴν προσοχὴ ὅλων καὶ κλείνοντας τὸν ἑαυτό τους ἐντελῶς μέσα στὸ σκοτάδι. Γιατί εἰπέ μου, δὲν προσέχει τὸ βράδυ ὁ μοιχός; δὲν προσέχει τὴ νύκτα ὁ κλέπτης; δὲν κάνει ὅλη του τὴν ἐργασία ὁ τυμβωρύχος μέσα στὴ νύκτα; Τί λοιπόν; δὲν καταλαμβάνει αὐτοὺς σὰν κλέπτης; δὲν ἐπέρχεται καὶ σὲ αὐτοὺς κρυφά, ἀλλὰ τὸ γνωρίζουν ἀπὸ πρίν; Πῶς λοιπὸν λέγει, «Δὲν ἔχετε ἀνάγκη νὰ σᾶς γράφωμε»; Ἐδῶ δὲν ὁμιλεῖ σχετικὰ μὲ τὸ ἄγνωστο τῆς ἡμέρας, ἀλλὰ σχετικὰ μὲ τὴ συμφορὰ αὐτῶν· δηλαδή, δὲν θὰ ἔλθη γιὰ κακό δικό τους. Βέβαια θὰ ἔλθη κρυφὰ καὶ σὲ αὐτούς, ἀλλ' ὅμως δὲν θὰ τοὺς περιβάλη μὲ κανένα λυπηρό. «Γιὰ νὰ μὴ σᾶς καταλάβη», λέγει, «ἡ ἡμέρα τοῦ Κυρίου σὰν κλέπτης». Γιατὶ σὲ ὅσους εἶναι ἄγρυπνοι καὶ εὑρίσκονται σὲ φῶς, καὶ ἂν ἀκόμη γίνη κάποια ἐπίσκεψις ληστοῦ, δὲν θὰ μπορέση νὰ ἀφανίση τίποτε. Ἔτσι συμβαίνει καὶ σὲ ὅσους ζοῦν ὀρθῶς. Ἀλλὰ ἐκείνους ποὺ κοιμοῦνται ἀφοῦ τοὺς τὰ ἀφαιρέση ὅλα ἀπέρχεται, ἐκείνους δηλαδὴ ποὺ ἔχουν ἐμπιστοσύνη στὰ πράγματα τοῦ κόσμου αὐτοῦ.

«Γιατὶ ὅλοι ἐσεῖς», λέγει, «εἶσθε τέκνα φωτὸς καὶ τέκνα ἡμέρας». Καὶ πῶς εἶναι δυνατὸ νὰ εἶναι τέκνα ἡμέρας; Ὅπως εἶναι τὰ τέκνα τῆς ἀπωλείας, ὅπως εἶναι τὰ τέκνα τῆς κολάσεως. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε στοὺς Φαρισαίους· «Ἀλλοίμονό σας, γιατὶ περιέρχεσθε τὴ θάλασσα καὶ τὴ γῆ γιὰ νὰ κάμετε ἕνα προσήλυτο· καὶ ὅταν γίνη, τὸν κάνετε παιδὶ τῆς κολάσεως»[8]. Ἐπίσης καὶ ὁ Παῦλος ἔλεγε· «Γιὰ τὰ ὁποῖα ἁμαρτήματα ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπάνω στὰ τέκνα τῆς ἀπειθείας»[9], δηλαδή, αὐτοὶ οἱ ὁποῖοι πράττουν ἐκεῖνα ποὺ ἀνήκουν στὴ γέεννα, αὐτοὶ ποὺ συστηματικὰ ἀπειθοῦν. Ἔτσι καὶ τέκνα τοῦ Θεοῦ εἶναι ἐκεῖνοι ποὺ πράττουν αὐτὰ ποὺ ἀρέσουν στὸν Θεό· ἔτσι καὶ τέκνα ἡμέρας καὶ τέκνα φωτὸς εἶναι ἐκεῖνοι ποὺ πράττουν τὰ ἔργα τοῦ φωτός. «Καὶ δὲν εἴμασθε τέκνα τῆς νύκτας οὔτε τοῦ σκότους. Ἑπομένως λοιπὸν ἂς μὴ κοιμώμασθε, ὅπως καὶ οἱ ὑπόλοιποι, ἀλλὰ ἂς εἴμασθε ἄγρυπνοι καὶ προσεκτικοί. Γιατὶ ὅσοι κοιμοῦνται, κοιμοῦνται στὴ διάρκεια τῆς νύκτας, καὶ ὅσοι μεθοῦν, μεθοῦν τὴ νύκτα· ἐμεῖς ὅμως ἐπειδὴ εἴμασθε τέκνα τῆς ἡμέρας, ἂς εἴμασθε προσεκτικοί». Ἐδῶ δείχνει ὅτι τὸ νὰ εὑρισκώμασθε στὴν ἡμέρα ἐξαρτᾶται ἀπὸ μᾶς. Γιατὶ ἐδῶ,

σκόμενοι, νυκτὸς μεθύουσιν· ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν». Δείκνυσιν ἐνταῦθα ὅτι τὸ ἐν ἡμέρᾳ εἶναι ἡμῶν ἐστι. Ἐνταῦθα μὲν γάρ, ἐπὶ τῆς ἡμέρας ταύτης καὶ τῆς νυκτός, οὐχ ἡμῶν ἐστιν, ἀλλὰ καὶ ἀκόντων ἡμῶν ἡ νὺξ ἔρχεται καὶ μὴ βουλομένων ὁ ὕπνος ἐφίσταται· ἐπὶ δὲ τῆς νυκτὸς ἐκείνης καὶ τοῦ ὕπνου, οὐκέτι, ἀλλ' ἔξεστι διαπαντὸς ἡμέραν ἄγειν, ἔξεστι διαπαντὸς ἐγρηγορέναι. Τοὺς γὰρ τῆς ψυχῆς ὀφθαλμοὺς κλεῖσαι, καὶ τὸν ἀπὸ τῆς κακίας ὕπνον ἐπαγαγεῖν, οὐκ ἔστι φύσεως, ἀλλὰ προαιρέσεως.

«Ἀλλὰ γρηγορῶμεν», φησί, «καὶ νήφωμεν». Ἔστι γὰρ ἐγρηγορότα καθεύδειν, μηδὲν πράττοντα ἀγαθόν· διὰ τοῦτο ἐπήγαγε, «καὶ νήφωμεν». Καὶ γὰρ ἐν ἡμέρα ἂν γρηγορῇ μέν τις, μὴ νήφῃ δέ, μυρίοις περιπεσεῖται δεινοῖς. Ὥστε γρηγορήσεως ἐπίτασις ἡ νῆψίς ἐστιν. «Οἱ καθεύδοντες», φησί, «νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσι». Μέθην ἐνταῦθά φησιν οὐ τὴν ἀπὸ τοῦ οἴνου μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ πάντων τῶν κακῶν. Καὶ γὰρ μέθη ψυχῆς πλοῦτος, καὶ χρημάτων ἐπιθυμία, καὶ σωμάτων ἔρως, καὶ πᾶν ὅπερ ἂν εἴπῃς, μέθη ψυχῆς ἐστι. Διὰ τί δὲ ὕπνον τὴν κακίαν ἐκάλεσεν; Ὅτι πρῶτον μὲν ἀνενέργητός ἐστι πρὸς τὴν ἀρετὴν ὁ τοιοῦτος· ἔπειτα, πάντα φαντασιοῦται, οὐδὲν ἀληθὲς ὁρᾷ, ἀλλ' ὀνειράτων ἐστὶ μεστός, καὶ ἀτόπων πολλάκις πραγμάτων· ἂν δέ τι χρηστὸν ἴδῃ, οὐδὲν ἔχει βέβαιον οὐδὲ πεπηγός.

Τοιοῦτον ὁ παρὼν βίος ἐστίν· ὀνειράτων καὶ φαντασίας γέμει. Ὁ πλοῦτος ὄναρ, ἡ δόξα, πάντα τὰ τοιαῦτα. Ὁ καθεύδων, τὰ μὲν ὄντα καὶ ἀληθῶς ὑφεστῶτα οὐχ ὁρᾷ, τὰ δὲ μὴ ὄντα, ὡς ὄντα φαντασιοῦται. Τοιαύτη ἡ κακία ἐστί, καὶ ὁ ἐν κακίᾳ βίος· οὐχ ὁρᾷ τὰ ὄντα, τουτέστι, τὰ πνευματικά, τὰ οὐράνια, τὰ μένοντα, ἀλλὰ τὰ ῥέοντα καὶ ἀφιπτάμενα καὶ ἀποπηδῶντα ταχέως ἡμῶν. Οὐκ ἀρκεῖ δὲ τὸ ἐγρηγορέναι καὶ νήφειν, ἀλλὰ δεῖ καὶ καθοπλίζεσθαι. Κἂν γὰρ ἐγρηγορώς τις ᾖ καὶ νήφων, μὴ ἔχῃ δὲ ὅπλα, ταχέως αὐτὸν οἱ λῃσταὶ κατεργάζονται. Ὅταν οὖν καὶ ἐγρηγορέναι χρὴ

στὴν περίπτωσι δηλαδὴ τῆς ἡμέρας αὐτῆς καὶ τῆς νύκτας, δὲν ἐξαρτᾶται ἀπὸ μᾶς, ἀλλὰ καὶ χωρὶς τὴ θέλησί μας ἔρχεται ἡ νύκτα καὶ χωρὶς νὰ θέλωμε ἐπέρχεται ὁ ὕπνος. Στὴν περίπτωσι ὅμως τῆς νύκτας ἐκείνης καὶ τοῦ ὕπνου, δὲν ἔρχονται χωρὶς τὴ θέλησί μας, ἀλλὰ εἶναι δυνατὸ συνέχεια νὰ ἔχωμε ἡμέρα, εἶναι δυνατὸ συνέχεια νὰ εἴμασθε ἄγρυπνοι. Γιατὶ τὸ νὰ κλείσωμε τὰ μάτια τῆς ψυχῆς καὶ νὰ προκαλέσωμε τὸν ὕπνο ἀπὸ τὴν κακία, δὲν εἶναι ἔργο τῆς φύσεως, ἀλλὰ τῆς δικῆς μας διαθέσεως.

«Ἀλλὰ ἂς εἴμασθε», λέγει, «ἄγρυπνοι καὶ προσεκτικοί». Γιατὶ εἶναι δυνατὸ νὰ κοιμᾶται κανεὶς καὶ ὅταν εἶναι ἄγρυπνος, ἐὰν δὲν κάνη κανένα ἀγαθὸ ἔργο· γι' αὐτὸ ἐπρόσθεσε, «καὶ ἂς εἴμασθε νηφάλιοι». Γιατὶ καὶ στὴ διάρκεια τῆς ἡμέρας ἂν εἶναι κανεὶς ἄγρυπνος, δὲν εἶναι ὅμως προσεκτικός, θὰ περιπέση σὲ ἄπειρα κακά. Συνεπῶς ἡ νηφαλιότητα ἐπαυξάνει τὴν ἐπαγρύπνησι. «Ὅσοι κοιμοῦνται», λέγει, «κοιμοῦνται κατὰ τὴ διάρκεια τῆς νύκτας καὶ ὅσοι μεθοῦν, μεθοῦν τὴ νύκτα». Μέθη ἐδῶ ἐννοεῖ ὄχι μόνο αὐτὴν ποὺ προέρχεται ἀπὸ τὸ κρασί, ἀλλὰ καὶ αὐτὴν ποὺ προέρχεται ἀπὸ ὅλα τὰ κακά. Καθόσον μέθη τῆς ψυχῆς εἶναι ὁ πλοῦτος, ἡ ἐπιθυμία τῶν χρημάτων, ὁ πόθος τῶν σωμάτων καὶ ὁ,τιδήποτε ἄλλο θὰ εἰπῆς, εἶναι μέθη τῆς ψυχῆς. Γιατὶ ὅμως ἐκάλεσε ὕπνο τὴν κακία; Διότι πρῶτα αὐτὸς εἶναι ἀδρανὴς γιὰ νὰ ἀσκήση τὴν ἀρετή· ἔπειτα, τὰ πάντα φαντάζεται, τίποτε δὲν βλέπει ἀληθινό, ἀλλὰ εἶναι γεμᾶτος ὄνειρα καὶ ἀνόητα πολλὲς φορὲς πράγματα· καὶ ἐὰν ἰδῆ κάτι καλό, τίποτε δὲν ἔχει βέβαιο οὔτε σταθερό.

Τέτοια εἶναι ἡ παροῦσα ζωή, γεμάτη ὄνειρα καὶ φαντασία. Ὄνειρο εἶναι ὁ πλοῦτος, ἡ δόξα, ὅλα τὰ παρόμοια. Ὅποιος κοιμᾶται, αὐτὰ ποὺ ὑπάρχουν καὶ ἔχουν πραγματικὴ ὑπόστασι δὲν τὰ βλέπει, αὐτὰ ὅμως ποὺ δὲν ὑπάρχουν, τὰ φαντάζεται σὰν ὑπαρκτά. Τέτοια εἶναι ἡ κακία καὶ ἡ ζωὴ μέσα στὴν κακία. Δὲν βλέπει αὐτὰ ποὺ ὑπάρχουν, δηλαδή, τὰ πνευματικά, τὰ οὐράνια, τὰ σταθερὰ ἀγαθά, ἀλλὰ αὐτὰ ποὺ μεταβάλλονται πάντοτε καὶ ἐξαφανίζονται καὶ φεύγουν γρήγορα ἀπὸ μᾶς. Δὲν ἀρκεῖ ὅμως τὸ νὰ εἴμασθε ἄγρυπνοι καὶ προσεκτικοί, ἀλλὰ πρέπει καὶ νὰ ἐξοπλιζώμασθε καλά. Γιατὶ καὶ ἂν ἀκόμη κανεὶς εἶναι ἄγρυπνος καὶ προσεκτικός, δὲν ἔχει ὅμως ὅπλα, γρήγορα οἱ λησταὶ καταβάλλουν αὐτόν. Ὅταν λοιπὸν εἶναι ἀνάγκη νὰ εἴμασθε ἄγρυπνοι καὶ προσεκτικοὶ καὶ νὰ ἐξοπλιζώμασθε, ἐμεῖς ὅμως εἴμασθε ἄοπλοι καὶ γυμνοὶ καὶ κοιμώμασθε, ποιός θὰ ἐμποδίση τὸ ληστὴ νὰ καρφώση τὸ μαχαίρι;

καὶ νήφειν καὶ καθοπλίζεσθαι, ἡμεῖς δὲ ἄοπλοι καὶ γυμνοὶ ὦμεν καὶ καθεύδωμεν, τίς κωλύσει ἐκεῖνον πῆξαι τὴν μάχαιραν;

4. «Ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας». «Πίστεως καὶ ἀγάπης», φησίν. Ἐνταῦθα βίον καὶ δόγμα ᾐνίξατο. Ἐδήλωσε τί ἐστιν ἐγρηγορέναι καὶ νήφειν, τὸ ἔχειν θώρακα πίστεως καὶ ἀγάπης. Οὐ τὴν τυχοῦσαν πίστιν φησίν, ἀλλ' ὥσπερ τὸν θώρακα οὐδὲν ἂν διατέμοι ταχέως, ἀλλ' ἔστιν ἀσφαλὲς τειχίον τῷ στήθει· οὕτω καὶ σὺ πίστιν καὶ ἀγάπην περιέλασον τῇ ψυχῇ, καὶ οὐδὲν τῶν πεπυρωμένων βελῶν τοῦ διαβόλου ἐμπαγῆναι δυνήσεται. Ἔνθα γὰρ ἂν ᾖ προκατειλημμένη τῷ τῆς ἀγάπης ὅπλῳ τῆς ψυχῆς ἡ δύναμις, πάντα εἰκῇ καὶ μάτην κατασκευάζουσιν οἱ ἐπιβουλεύοντες. Οὔτε γὰρ πονηρία, οὔτε ἔχθρα, οὔτε βασκανία, οὐ κολακεία, οὐχ ὑπόκρισις, οὐκ ἄλλο οὐδὲν καθικέσθαι δυνήσεται τῆς τοιαύτης ψυχῆς. Οὐχ ἁπλῶς ἀγάπην εἶπεν, ἀλλ' ὡς θώρακα ἰσχυράν. «Καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας». Καθάπερ γὰρ ἡ περικεφαλαία τὸ καίριον σώζει τῶν ἐν ἡμῖν, τὴν κεφαλὴν περιβάλλουσα καὶ πάντοθεν στεγάζουσα· οὕτω καὶ ἡ ἐλπὶς τὸν λογισμὸν οὐκ ἀφίησι διαπεσεῖν, ἀλλ' ὀρθὸν ἵστησιν ὥσπερ κεφαλήν, οὐδὲν τῶν ἔξωθεν εἰς αὐτὸν πεσεῖν ἐῶσα. Ἕως δ' ἂν μηδὲν καταφέρηται, οὐδὲ αὕτη ἐπολισθαίνει· τὸν γὰρ τούτοις πεφραγμένον τοῖς ὅπλοις οὐκ ἔνι ποτὲ πεσεῖν. «Μένει γὰρ πίστις, ἐλπίς, ἀγάπη».

Εἶτα εἰπών, ἐνδύσασθε καὶ περιθέσθε, αὐτὸς κατασκευάζει τὰ ὅπλα, ὅθεν ἂν τεχθείη καὶ πίστις καὶ ἐλπὶς καὶ ἀγάπη, καὶ ἰσχυρὰ γένοιτο. «Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν». Ὥστε οὐ πρὸς τοῦτο ἔκλινεν εἰς τὸ ἀπολέσαι, ἀλλ' εἰς τὸ σῶσαι. Καὶ ὅτι τοῦτο βούλεται, πόθεν δῆλον; Τὸν Υἱὸν αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν· οὕτως ἡμᾶς ἐπιθυμεῖ σωθῆναι, ὅτι τὸν Υἱὸν αὐτοῦ ἔδωκε, καὶ οὐχ ἁπλῶς ἔδωκεν, ἀλλ' εἰς θάνατον. Ἀπὸ τούτων τῶν λογισμῶν ἡ ἐλπὶς τίκτεται. Μὴ γὰρ ἀπογνῷς, ἄνθρωπε, σαυτοῦ, πρὸς τὸν Θεὸν ἀπερχόμενος τὸν

---

10. Α' Κορ. 13,13

4. «Ἂς ἐνδυθοῦμε μὲ θώρακα τὴν πίστι καὶ τὴν ἀγάπη, καὶ περικεφαλαία, τὴν ἐλπίδα τῆς σωτηρίας». «Τῆς πίστεως καὶ τῆς ἀγάπης», λέγει. Ἐδῶ ὑπαινίχθηκε τὸν τρόπο ζωῆς καὶ τὸ δόγμα. Ἐφανέρωσε τί σημαίνει νὰ εἴμασθε ἄγρυπνοι καὶ προσεκτικοί, τὸ νὰ ἔχωμε δηλαδὴ τὸ θώρακα τῆς πίστεως καὶ τῆς ἀγάπης. Δὲν λέγει τὴν τυχαία πίστι, ἀλλὰ ὅπως τὸ θώρακα τίποτε δὲν θὰ ἠμποροῦσε νὰ τὸν τρυπήση γρήγορα, ἀλλὰ εἶναι ἀσφαλὲς τεῖχος στὸ στῆθος, ἔτσι καὶ σὺ κτίσε γύρω στὴν ψυχὴ τὴν πίστι καὶ τὴν ἀγάπη καὶ δὲν θὰ μπορέση νὰ καρφωθῆ κανένα ἀπὸ τὰ πυρωμένα βέλη τοῦ διαβόλου. Γιατὶ ὅπου θὰ ἔχη ἐνισχυθῆ ἀπὸ πρὶν ἡ δύναμις τῆς ψυχῆς μὲ τὸ ὅπλο τῆς ἀγάπης, ὅλα στὰ χαμένα καὶ ἄσκοπα τὰ ἐπινοοῦν ἐκεῖνοι ποὺ τὴν ἐπιβουλεύονται. Γιατὶ οὔτε ἡ πονηρία, οὔτε ἡ ἔχθρα, οὔτε ἡ βασκανία, οὔτε ἡ κολακεία, οὔτε ἡ ὑποκρισία, οὔτε τίποτε ἄλλο θὰ μπορέση νὰ πλησιάση αὐτὴ τὴν ψυχή. Δὲν εἶπε ἁπλῶς ἀγάπη, ἀλλὰ ἰσχυρὴ σὰν τὸ θώρακα. «Καὶ περικεφαλαία, τὴν ἐλπίδα τῆς σωτηρίας». Γιατὶ ὅπως ἀκριβῶς ἡ περικεφαλαία σώζει τὸ πιὸ εὐαίσθητο ἀπὸ τὰ ὄργανα τοῦ σώματός μας, ἐπειδὴ περιβάλλει τὸ κεφάλι μας καὶ τὸ καλύπτει ἀπὸ παντοῦ, ἔτσι καὶ ἡ ἐλπίδα δὲν ἀφήνει τὸ νοῦ νὰ πέση σὲ σφάλμα, ἀλλὰ τὸν κάνει νὰ σταθῆ ὄρθιο ὅπως τὸ κεφάλι, χωρὶς νὰ ἐπιτρέπη νὰ πέση σὲ αὐτὸν τίποτε ἀπὸ τὰ ἔξω. Ἕως ὅτου δὲν θὰ φέρεται τίποτε ἐναντίον της, οὔτε αὐτὴ ὀλισθαίνει, γιατὶ αὐτὸς ποὺ εἶναι ὁπλισμένος μὲ αὐτὰ τὰ ὅπλα δὲν εἶναι δυνατὸ νὰ πέση ποτέ. «Γιατὶ μένει ἡ πίστις, ἡ ἐλπίδα, ἡ ἀγάπη»[10].

Ἔπειτα ἀφοῦ εἶπε, νὰ ἐνδυθῆτε καὶ νὰ φορέσετε, λέγει, αὐτὸς ἑτοιμάζει τὰ ὅπλα, ἀπὸ ὅπου θὰ ἠμποροῦσε νὰ προέλθη καὶ ἡ πίστις καὶ ἡ ἐλπίδα καὶ ἡ ἀγάπη, καὶ νὰ γίνουν ἰσχυρὰ αὐτά. «Γιατὶ ὁ Θεὸς δὲν μᾶς προώρισε γιὰ ὀργή, ἀλλὰ γιὰ ἀπόκτησι τῆς σωτηρίας διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος πέθανε γιὰ μᾶς». Ὥστε δὲν μᾶς ἐκάλεσε γι' αὐτό, γιὰ τὴν ἀπώλεια, ἀλλὰ γιὰ τὴ σωτηρία. Καὶ ὅτι τὸ θέλει αὐτό, ἀπὸ ποῦ εἶναι φανερό; Τὸν Υἱό του ἔδωσε γιὰ μᾶς. Τόσο ἐπιθυμεῖ νὰ σωθοῦμε, ἔδωσε τὸν Υἱό του, καὶ ὄχι ἁπλῶς τὸν ἔδωσε, ἀλλὰ τὸν παρέδωσε σὲ θάνατο. Ἀπὸ τὶς σκέψεις αὐτὲς γεννᾶται ἡ ἐλπίδα. Μὴ λοιπὸν ἀπελπίζεσαι, ἄνθρωπε, ὅταν ἀπέρχεσαι πρὸς τὸν Θεό, ὁ ὁποῖος οὔτε τὸν Υἱό του λυπήθηκε γιὰ χάρι σου· μὴ κουρασθῆς μὲ τὰ παρόντα κακά. Αὐτὸς ποὺ ἔδωσε τὸ μονογενῆ Υἱό του, γιὰ νὰ σὲ σώση καὶ νὰ σὲ ἀπαλλάξη ἀπὸ τὴ γέεννα τοῦ πυρός, τί θὰ λυπηθῆ στὴ συνέχεια γιὰ τὴ δική

οὐδὲ Υἱοῦ φεισάμενον διὰ σέ· μὴ ἀπαγορεύσῃς τοῖς παροῦσι κακοῖς. Ὁ τὸν μονογενῆ δούς, ἵνα σε σώσῃ καὶ τῆς γεέννης ἐξέληται, τίνος φείσεται λοιπὸν ὑπὲρ τῆς σῆς σωτηρίας; Ὥστε ἐλπίζειν χρὴ πάντα χρηστά. Οὐδὲ γάρ, εἰ πρὸς δικαστὴν ἀπῄειμεν μέλλοντα κρίνειν ὑμᾶς, καὶ τοσαύτην ὑπὲρ ἡμῶν ἀγάπην ἐπιδεδειγμένον, ὡς τὸν υἱὸν κατασφάξαι, ἐδείσαμεν ἄν.

Ἐλπίζωμεν οὖν χρηστὰ καὶ μεγάλα· τὸ γὰρ κεφάλαιον ἐλάβομεν· πιστεύωμεν· εἴδομεν γὰρ τὸ ὑπόδειγμα· ἀγαπήσωμεν· ἐσχάτης γὰρ ἀνοίας τὸ μὴ τὸν οὕτω διατεθέντα ἀγαπῆσαι. «Ἵνα, εἴτε γρηγοροῦμεν», φησίν, «εἴτε καθεύδομεν, ἅμα σὺν αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε». Καὶ πάλιν, «Εἴτε γρηγοροῦμεν, εἴτε καθεύδομεν». Ἕτερον ἐκεῖ καθεύδομεν», τὸν θάνατόν φησι τὸν σωματικόν· τουτέστι, τοὺς κινδύνους μὴ δεδοίκατε· κἂν ἀποθάνωμεν, ζησόμεθα. Μὴ ἀπελπίσῃς, ὅτι κινδυνεύεις· ἔχεις ἐνέχυρον ἀσφαλές· οὐκ ἄν, εἰ μὴ σφόδρα ἡμῶν περιεκαίετο, τὸν Υἱὸν αὐτοῦ ἔδωκεν. Ὥστε κἂν ἀποθάνῃς, ζήσῃ· καὶ γὰρ καὶ αὐτὸς ἀπέθανεν. Ἄν τε οὖν ἀποθάνωμεν, ἄν τε ζῶμεν, μετ' αὐτοῦ ζησόμεθα. Ἀδιάφορον τοῦτό ἐστιν· οὐδέν μοι μέλει, ἄν τε ζῶ, ἄν τε ἀποθάνω· μετ' ἐκείνου γὰρ ζησόμεθα.

5. Πάντα οὖν ὑπὲρ ἐκείνης πράττωμεν τῆς ζωῆς, πάντα πρὸς ἐκείνην ὁρῶντες ἐργαζώμεθα. Σκότος ἐστὶν ἡ κακία, ἀγαπητέ, θάνατός ἐστι, νύξ ἐστιν, οὐδὲν ὁρῶμεν τῶν δεόντων, οὐδὲν πράττομεν τῶν προσηκόντων. Καθάπερ οἱ νεκροὶ δυσειδεῖς εἰσι καὶ ὀδωδότες, οὕτω καὶ αἱ ψυχαὶ τῶν ἐν κακίᾳ πολλῆς εἰσιν ἀκαθαρσίας μεσταί· μέμυκεν αὐτῶν τὰ ὄμματα, τὸ στόμα συνείληπται, ἀκίνητοι μένουσιν ἐν τῇ κλίνῃ τῆς κακίας· μᾶλλον δὲ τῶν ταῦτα ποθόντων ἐλεεινότεροι. Οὗτοι μὲν γὰρ πρὸς ἑκάτερα νεκροί, ἐκεῖνοι δὲ πρὸς μὲν ἀρετὴν ἀναίσθητοι, ζῶντες δὲ πρὸς κακίαν. Νεκρὸν κἂν πλήξῃ τις, οὐκ αἰσθάνεται, οὐδὲ ἀμύνεται· ἀλλ' ἔστιν ὥσπερ ξύλον αὖον· οὕτω καὶ ἡ ψυχὴ αὖον ὄντως ἐστίν, ἀποβαλοῦσα τὴν ζωήν· μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνει τραύματα, καὶ οὐδενὸς αἰσθάνεται, ἀλλ' ἀναλγήτως πρὸς πάντα διάκειται. Οὐκ ἄν τις ἁμάρτοι τοῖς μεμηνόσιν αὐτοὺς παραβάλ-

σου σωτηρία; Ὥστε εἶναι ἀνάγκη νὰ ἐλπίζωμε ὅλα τὰ ἀγαθά. Γιατὶ δὲν θὰ ἐφοβούμασθε, ἐὰν ἐπηγαίναμε σὲ δικαστὴ ποὺ ἐπρόκειτο νὰ μᾶς κρίνη καὶ εἶχε ἐπιδείξει τόσο μεγάλη ἀγάπη γιὰ μᾶς, ὥστε καὶ τὸν υἱό του νὰ θυσιάση.

Ἂς ἐλπίζωμε λοιπὸν γιὰ ἀγαθὰ καὶ μεγάλα πράγματα, γιατὶ ἐλάβαμε τὸ κυριώτερο. Ἂς πιστεύωμε, γιατὶ εἴδαμε τὸ παράδειγμα. Ἂς ἀγαπήσωμε, γιατὶ εἶναι ἡ πιὸ μεγάλη ἀνοησία τὸ νὰ μὴ ἀγαπήσωμε αὐτὸν ποὺ ἔχει συμπεριφερθῆ μὲ τὸν τρόπο αὐτό. «Γιὰ νὰ ζήσωμε μαζὶ μὲ αὐτόν», λέγει, «εἴτε ἀγρυπνοῦμε, εἴτε κοιμώμασθε. Γι' αὐτὸ προτρέπετε ὁ ἕνας τὸν ἄλλο καὶ οἰκοδομεῖσθε ἀναμεταξύ σας, καθὼς καὶ πράττετε». Καὶ πάλι, «Εἴτε ἀγρυπνοῦμε, εἴτε κοιμώμασθε». Ἄλλον ὕπνο ἐννοεῖ ἐκεῖ, καὶ ἄλλον ἐδῶ. Γιατὶ ἐδῶ μὲ τὸ «εἴτε κοιμώμασθε», ἐννοεῖ τὸ σωματικὸ θάνατο· δηλαδή, μὴ φοβᾶσθε τοὺς κινδύνους, καὶ ἂν ἀκόμη πεθάνωμε, θὰ ζήσωμε. Μὴ ἀπελπισθῇς, ἐπειδὴ κινδυνεύεις· ἔχεις ἀσφαλὲς στήριγμα· δὲν θὰ ἔδινε τὸν Υἱό του, ἐὰν δὲν ἐφλέγετο ἀπὸ ὑπερβολικὴ ἀγάπη γιὰ μᾶς. Ὥστε καὶ ἂν ἀκόμη πεθάνης, θὰ ζήσης, γιατὶ καὶ αὐτὸς πέθανε. Εἴτε λοιπὸν πεθάνωμε, εἴτε ζοῦμε, μαζὶ μὲ αὐτὸν θὰ ζήσωμε. Εἶναι ἀδιάφορο αὐτό· καθόλου δὲν μὲ ἐνδιαφέρει, εἴτε ζῶ, εἴτε πεθάνω, γιατὶ μαζὶ μὲ ἐκεῖνον θὰ ζήσωμε.

5. Ἂς κάνωμε λοιπὸν τὰ πάντα γιὰ τὴ ζωὴ ἐκείνη, ἂς ἐργαζώμασθε τὰ πάντα ἀποβλέποντας στὴ ζωὴ ἐκείνη. Σκοτάδι εἶναι ἡ κακία, ἀγαπητέ, εἶναι θάνατος, νύκτα εἶναι, κανένα ἀπὸ τὰ ἀναγκαῖα δὲν βλέπομε, κανένα δὲν κάνομε ἀπὸ τὰ πρέποντα. Ὅπως ἀκριβῶς οἱ νεκροὶ εἶναι ἄσχημοι καὶ ἀποπνέουν μυρωδιά, ἔτσι καὶ οἱ ψυχὲς ἐκείνων ποὺ ζοῦν μέσα στὴν κακία εἶναι γεμᾶτες ἀπὸ πολλὴ ἀκαθαρσία. Τὰ μάτια τους εἶναι κλεισμένα, τὸ στόμα ἔχει κλείσει, ἀκίνητοι παραμένουν στὸ κρεββάτι τῆς κακίας· μᾶλλον δὲ εἶναι πιὸ δυστυχεῖς ἀπὸ ἐκείνους ποὺ ἔπαθαν αὐτά. Γιατὶ αὐτοὶ εἶναι νεκροὶ καὶ γιὰ τὸ καθένα, ἐκεῖνοι ὅμως εἶναι ἀναίσθητοι γιὰ τὴν ἀρετὴ καὶ ζοῦν γιὰ τὴν κακία. Τὸ νεκρὸ καὶ ἂν τὸν κτυπήση κανείς, δὲν αἰσθάνεται, οὔτε ἀποκρούει, ἀλλὰ εἶναι ὅπως τὸ ξερὸ ξύλο. Ἔτσι καὶ ἡ ψυχὴ εἶναι πραγματικὰ ξερὸ πρᾶγμα, ἐπειδὴ ἔχασε τὴ ζωή· δέχεται καθημερινὰ πολλὰ κτυπήματα καὶ κανένα δὲν αἰσθάνεται, ἀλλὰ διάκειται ἀναίσθητα πρὸς ὅλα. Δὲν θὰ ἁμαρτήση κανεὶς ἂν συγκρίνη αὐτοὺς μὲ ἐκείνους ποὺ εἶναι τρελλοί, ποὺ μεθοῦν, ποὺ παραπαίουν. Ὅλα αὐτὰ τὰ ἔχει ἡ κακία καὶ εἶναι πιὸ φοβερὴ ἀπὸ ὅλα. Ὁ τρελλὸς ἔχει πολλὴ συγγνώμη ἀπὸ αὐτοὺς ποὺ τὸν βλέ-

λων, τοῖς μεθύουσι, τοῖς παραπαίουσι. Πάντα δὲ ταῦτα ἔχει ἡ κακία, καὶ πάντων ἐστὶ χαλεπωτέρα. Ὁ μαινόμενος ἔχει πολλὴν συγγνώμην παρὰ τῶν ὁρώντων· οὐ γάρ ἐστι προαιρέσεως τὸ νόσημα, ἀλλὰ φύσεως μόνης· ὁ δὲ ἐν κακίᾳ διάγων, πόθεν συγγνωσθήσεται;

Πόθεν οὖν ἡ κακία; πόθεν οἱ πλείους κακοί; Εἰπέ μοι, πόθεν ἡ κακία τῶν νοσημάτων; πόθεν φρενῖτις; πόθεν ὕπνος βαρύς; οὐχὶ ἐξ ἀπροσεξίας; Εἰ τὰ φυσικὰ νοσήματα ἀπὸ προαιρέσεως ἔχει τὴν ἀρχήν, τὰ προαιρετικὰ πολλῷ μᾶλλον. Ἡ μέθη πόθεν; οὐχὶ ἐξ ἀκρασίας ψυχῆς; ἡ φρενῖτις οὐχὶ ἀπὸ ὑπερβολῆς πυρετοῦ; ὁ δὲ πυρετὸς οὐχὶ ἀπὸ πλεοναζόντων ἐν ἡμῖν στοιχείων; ἡ πλεονεξία δὲ τῶν ἐν ἡμῖν στοιχείων οὐχὶ ἐξ ἀπροσεξίας; Ὅταν γὰρ ἢ ἐνδείᾳ, ἢ πλεονεξίᾳ εἰς ἀμετρίαν τι τῶν ἐν ἡμῖν ἐξαγάγωμεν, ἀνάπτομεν ἐκεῖνο τὸ πῦρ. Πάλιν, ἂν τῆς φλογὸς ἀφθείσης, ἐπιμένωμεν καταφρονοῦντες, καθ' ἑαυτῶν ἐργαζόμεθα πυράν, ἣν οὐδὲ σβέσαι δυνάμεθα. Οὕτω καὶ ἐπὶ τῆς κακίας γίνεται· ὅταν ἀρξαμένην αὐτὴν μὴ κωλύωμεν, μηδὲ ἐκκόπτωμεν, οὐδὲ ἐφικέσθαι δυνάμεθα τοῦ τέλους λοιπόν, ἀλλὰ μείζων γίνεται τῆς ἡμετέρας ἰσχύος.

Διό, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μηδέποτε ἀπονυστάξαι. Οὐχ ὁρᾶτε τοὺς φύλακας, ὅτι πολλάκις μικρὸν ἑαυτοὺς δόντες τῷ ὕπνῳ, οὐδὲν ἀπώναντο τῆς πολλῆς φυλακῆς; δι' ἐκείνου γὰρ τοῦ μικροῦ τὸ πᾶν διέφθειραν, τῷ βουλομένῳ κλέψαι πολλὴν δόντες τὴν ἄδειαν. Καθάπερ γὰρ οὐχ οὕτως ἡμεῖς τοὺς κλέπτας ὁρῶμεν, ὡς ἐκεῖνοι ἡμᾶς ὁρῶσιν· οὕτω καὶ ὁ διάβολος μάλιστα πάντων ἐφέστηκε καὶ ἐφεδρεύει, καὶ τρίζει τοὺς ὀδόντας. Μὴ νυστάξωμεν τοίνυν· μὴ εἴπωμεν, παρὰ τοῦτο οὐδέν, παρ' ἐκεῖνο οὐδέν. Ὅθεν οὐ προσεδοκήσαμεν, πολλάκις ἐσυλήθημεν. Οὕτω καὶ ἐπὶ κακίας· ὅθεν οὐ προσεδοκήσαμεν, ἀπωλόμεθα. Πάντα περισκοπῶμεν ἀκριβῶς, μὴ μεθυσκώμεθα, καὶ οὐχ ὑπνώσομεν· μὴ τρυφῶμεν, καὶ οὐ καθευδήσομεν· μὴ μαινώμεθα πρὸς τὰ ἔξω, καὶ ἐν νήψει διατελέσομεν. Ῥυθμίζωμεν ἑαυτοὺς

πουν, γιατὶ ἡ ἀσθένεια δὲν εἶναι ἀποτέλεσμα τῆς προαιρέσεώς του, ἀλλὰ μόνο τῆς φύσεως. Ἐκεῖνος ὅμως ποὺ ζῆ μέσα στὴν κακία, ἀπὸ ποῦ θὰ συγχωρηθῆ;

Ἀπὸ ποῦ λοιπὸν προέρχεται ἡ κακία; ἀπὸ ποῦ οἱ περισσότεροι κακοί; Εἰπέ μου, ἀπὸ ποῦ προέρχονται οἱ ἀσθένειες; ἀπὸ ποῦ ἡ παραφροσύνη; ἀπὸ ποῦ ὁ βαρὺς ὕπνος; δὲν προέρχονται ἀπὸ ἀπροσεξία; Ἐὰν οἱ φυσικὲς ἀσθένειες προέρχονται ἀπὸ τὴν προαίρεσι τοῦ καθενός, πολὺ περισσότερο θὰ προέρχωνται ἐκεῖνες ποὺ εἶναι προαιρετικές. Ἡ μέθη ἀπὸ ποῦ; δὲν προέρχεται ἀπὸ τὴν ἀκράτεια τῆς ψυχῆς; ἡ παραφροσύνη δὲν προέρχεται ἀπὸ ὑπερβολικὸ πυρετό; καὶ ὁ πυρετὸς δὲν προέρχεται ἀπὸ τὰ ὑπεράφθονα στοιχεῖα τοῦ σώματός μας; ἡ ὑπεραφθονία ὅμως τῶν στοιχείων τοῦ σώματός μας δὲν προέρχεται ἀπὸ ἀπροσεξία; Γιατὶ ὅταν ἢ ἀπὸ ἔλλειψι, ἢ ἀπὸ ἀφθονία ὁδηγήσωμε κάποιο ἀπὸ τὰ στοιχεῖα μας σὲ δυσαναλογία, ἀνάπτομε τὸ πῦρ ἐκεῖνο. Ἐπίσης, ὅταν ἔχη ἀνάψει ἡ φλόγα, ἂν ἐπιμόνως τὴν περιφρονοῦμε, στρέφομε ἐναντίον μας τὴ φωτιά, τὴν ὁποία δὲν μποροῦμε νὰ σβήσωμε. Ἔτσι γίνεται καὶ στὴν κακία. Ὅταν στὴν ἀρχή της δὲν τὴν ἐμποδίζωμε, οὔτε τὴν σταματᾶμε, δὲν μποροῦμε στὴ συνέχεια νὰ τὴν κτυπήσωμε στὸ τέλος της, ἀλλὰ γίνεται πιὸ ἰσχυρὴ ἀπὸ τὴ δική μας δύναμι.

Γι᾽ αὐτό, παρακαλῶ, ἂς κάνωμε τὰ πάντα, γιὰ νὰ μὴ νυστάξωμε ποτέ. Δὲν βλέπετε τοὺς φύλακες, ὅτι πολλὲς φορὲς ὅταν γιὰ λίγο παραδοθοῦν στὸν ὕπνο, δὲν ἐχάρηκαν καθόλου τὴ μεγάλη φύλαξί τους; γιατὶ στὸ μικρὸ ἐκεῖνο διάστημα κατέστρεψαν τὸ πᾶν, ἀφοῦ ἔδωσαν μεγάλη εὐκαιρία σὲ αὐτὸν ποὺ ἤθελε νὰ κλέψη. Γιατὶ ὅπως ἀκριβῶς ἐμεῖς δὲν βλέπομε ἔτσι τοὺς κλέπτες, ὅπως μᾶς βλέπουν ἐκεῖνοι, ἔτσι καὶ ὁ διάβολος περισσότερο ἀπὸ ὅλους μᾶς προσέχει καὶ ἐνεδρεύει καὶ τρίζει τὰ δόντια του. Ἂς μὴ νυστάξωμε λοιπόν· ἂς μὴ εἰποῦμε, ἀπὸ αὐτὸ τίποτε δὲν γίνεται, ἀπὸ ἐκεῖνο τίποτε. Ἀπὸ ἐκεῖ ποὺ δὲν ἐπεριμέναμε, πολλὲς φορὲς μᾶς ἔκλεψαν. Ἔτσι συμβαίνει καὶ μὲ τὴν κακία· ἀπὸ ἐκεῖ ποὺ δὲν ἐπεριμέναμε, μᾶς κατέστρεψε. Ἂς φροντίζουμε μὲ προσοχὴ γιὰ ὅλα, ἂς μὴ μεθᾶμε, καὶ δὲν θὰ κοιμηθοῦμε· ἂς μὴ ζοῦμε μέσα σὲ ἀπολαύσεις, καὶ δὲν θὰ κοιμηθοῦμε· ἂς μὴ ἐπιθυμοῦμε ὑπερβολικὰ τὰ ἔξω, καὶ θὰ εἴμασθε προσεκτικοί. Ἂς προσέχωμε ἀπὸ παντοῦ. Καὶ ὅπως ἀκριβῶς ὅταν βαδίζωμε ἐπάνω σὲ τεντωμένο σχοινὶ δὲν εἶναι δυνατὸ νὰ ἀδιαφορήσωμε γιὰ λίγο, ἐπειδὴ τὸ λίγο προκαλεῖ μεγάλο κακό· διότι ἀνατρεπόμενος πέφτει κανεὶς ἀμέσως κάτω καὶ φονεύεται, ἔτσι οὔτε

πάντοθεν. Καὶ καθάπερ ἐπὶ σχοίνου τεταμένης βαδίζοντας οὐκ ἔνι ῥᾳθυμῆσαι μικρόν· τὸ γὰρ μικρὸν μέγα ἐργάζεται κακόν· περιτραπεὶς γὰρ εὐθέως κατηνέχθη καὶ ἀπώλετο· οὕτως οὐδὲ ἡμᾶς δυνατὸν ῥᾳθυμεῖν. Στενὴν βαδίζομεν ὁδόν, ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην, ὁμοῦ δύο πόδας οὐ δεχομένην. Ὁρᾷς πόσης ἡμῖν ἀκριβείας δεῖ; Οὐχ ὁρᾷς τοὺς τὰς τοιαύτας ὁδοιποροῦντας ὁδούς, πῶς οὐ τοὺς πόδας ἀσφαλίζονται μόνον, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς; Ἂν γὰρ δόξῃ ἑτέρωθι προσέχειν αὐτόν, κἂν ὁ ποὺς βεβαίως ἑστήκῃ, ἰλιγγιάσας ἀπὸ τοῦ βάθους ὁ ὀφθαλμὸς τὸ πᾶν κατήνεγκεν. Ἀλλ' ἑαυτῷ δεῖ προσέχειν, καὶ τῇ βαδίσει· διὰ τοῦτό φησι, «Μήτε δεξιά, μήτε ἀριστερά».

Πολύς ὁ βυθός τῆς κακίας ἐστί, μεγάλοι οἱ κρημνοί, πολὺ κάτω σκότος· τῇ στενῇ πρόσσχωμεν· μετά φόβου καὶ τρόμου περιπατῶμεν. Οὐδείς τοιαύτην ὁδεύων ὁδόν, ἐκκέχυται γέλωτι, οὐδὲ βαρεῖται μέθῃ, ἀλλ' ἐν νήψει καὶ νηστείᾳ τὴν τοιαύτην ὁδεύει ὁδόν· οὐδεὶς τοιαύτην ὁδεύων ὁδόν, ἐπιφέρεταί τι τῶν περιττῶν· ἀγαπητὸν γὰρ εὔζωνον ὄντα δυνηθῆναι διαδραμεῖν· οὐδεὶς συμποδίζει τοὺς πόδας τοὺς ἑαυτοῦ, ἀλλ' εὐλύτους ἀφίησιν. Ἡμεῖς δὲ μυρίαις φροντίσιν ἑαυτοὺς καταδεσμοῦντες, καὶ μυρία φορτία βιωτικὰ ἐπιφερόμενοι, κεχηνότες καὶ ἐκκεχυμένοι, πῶς τὴν στενὴν προσδοκῶμεν βαδίζειν ὁδόν; Οὐχ ἁπλῶς εἶπεν, ὅτι στενή ἐστιν, ἀλλὰ μετὰ θαυμασμοῦ, «Τί στενὴ ἡ ὁδός»· τουτέστι, σφόδρα στενή. Τοῦτο καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν πάνυ θαυμαζομένων. Καί, «Τεθλιμμένη», φησίν, «ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν». Καὶ καλῶς εἶπεν. Ὅταν γὰρ καὶ ῥημάτων καὶ ἐννοιῶν καὶ πράξεων καὶ πάντων ὀφείλωμεν εὐθύνας ὑπέχειν, στενὴ ὄντως ἐστί. Στενοτέραν δὲ αὐτὴν ποιοῦμεν ἡμεῖς, πλατύνοντες ἑαυτοὺς καὶ εὐρύνοντες καὶ τοὺς πόδας ἐκχέοντες. Ἡ γὰρ στενὴ παντὶ μὲν δυσχερής, μάλιστα δὲ τῷ λιπαινομένῳ, ὡς ὅ γε κατατήκων ἑαυτόν, οὐδὲ αἰσθήσεται τῆς στενοχωρίας· ὥστε ὁ μεμελετηκὼς θλίβεσθαι, οὐδὲ ἀποδυσπετήσει πρὸς τὸ πιέζεσθαι.

6. Μὴ τοίνυν μετὰ ἀνέσεως προσδοκάτω τις τὸν οὐρανὸν ὄψεσθαι· οὐ γὰρ ἔνι. Μηδεὶς μετὰ τρυφῆς ἐλπιζέτω τὴν στενὴν

11. Παροιμ. 4,27
12. Ματθ. 7,14

ἐμεῖς εἶναι δυνατὸ νὰ ἀδιαφοροῦμε. Βαδίζομε στενὸ δρόμο, ποὺ ἔχει ἀποκλεισθῆ καὶ ἀπὸ τὶς δύο πλευρές του ἀπὸ κρημνούς, ποὺ δὲν δέχεται μαζὶ τὰ δύο πόδια. Βλέπεις πόση προσοχὴ πρέπει νὰ ἔχωμε; Δὲν βλέπεις αὐτοὺς ποὺ βαδίζουν τέτοιους δρόμους, πῶς δὲν ἐξασφαλίζουν μόνο τὰ πόδια, ἀλλὰ καὶ τὰ μάτια; Γιατὶ ἂν ἀποφασίση αὐτὸς νὰ ἰδῆ στὸ ἄλλο μέρος, καὶ ἂν ἀκόμη τὸ πόδι του στέκεται σταθερά, ἐπειδὴ ἀπὸ τὸ βάθος ἔπαθε ἴλιγγο τὸ μάτι τὸ πᾶν ἔρριψε στὸν κρημνό. Ἀλλὰ στὸν ἑαυτό του πρέπει νὰ προσέχη καὶ στὸ βάδισμα. Γι' αὐτὸ λέγει ἡ Γραφή, «Μὴ παρεκκλίνης οὔτε στὰ δεξιά, οὔτε στὰ ἀριστερά»[11].

Εἶναι μεγάλος ὁ βυθὸς τῆς κακίας, μεγάλοι οἱ κρημνοί, πολὺ σκοτάδι ὑπάρχει κάτω. Ἂς προσέξωμε τὸ στενὸ δρόμο, ἂς βαδίζωμε μὲ φόβο καὶ τρόμο. Κανένας ὅταν βαδίζη τέτοιο δρόμο δὲν παραδίνεται στὸ γέλιο, οὔτε πιέζεται ἀπὸ τὴ μέθη, ἀλλὰ βαδίζει αὐτὸν τὸ δρόμο μὲ προσοχὴ καὶ νηστεία. Κανένας ὅταν βαδίζη τέτοιο δρόμο δὲν φέρει ἐπάνω του κάτι τὸ περιττό, γιατὶ ὅταν εἶναι ἐλαφρὰ ζωσμένος εἶναι δυνατὸ νὰ μπορέση νὰ τὸν διατρέξη. Κανένας δὲν δένει μαζὶ τὰ πόδια του, ἀλλὰ τὰ ἀφήνει χαλαρά. Ἐμεῖς ὅμως δένοντας τοὺς ἑαυτούς μας μὲ ἄπειρες φροντίδες καὶ φέροντας μαζί μας ἄπειρα βιωτικὰ φορτία γελώντας καὶ παραδιδόμενοι στὰ πάθη, πῶς περιμένομε νὰ βαδίζωμε τὸ στενὸ δρόμο; Δὲν εἶπε ἁπλῶς, ὅτι εἶναι στενός, ἀλλὰ μὲ θαυμασμό, «Τί στενὸς ὁ δρόμος!» δηλαδή, ὑπερβολικὰ στενός. Αὐτὸ καὶ ἐμεῖς κάμνομε ὡς πρὸς ἐκεῖνα ποὺ θαυμάζονται πολύ. Καὶ «Εἶναι γεμᾶτος δυσκολίες», λέγει ὁ Χριστός, «ὁ δρόμος ποὺ φέρει στὴ ζωή»[12]. Καὶ καλὰ εἶπε ὅτι εἶναι στενὸς ὁ δρόμος. Γιατὶ ὅταν ὀφείλωμε νὰ δίνωμε λογαριασμὸ γιὰ τὰ λόγια καὶ τὶς σκέψεις καὶ τὶς πράξεις μας καὶ γιὰ ὅλα, εἶναι πραγματικὰ στενός. Ἐμεῖς ὅμως τὸν κάμνομε στενότερο, πλατύνοντας καὶ εὐρύνοντας τοὺς ἑαυτούς μας καὶ ἁπλώνοντας τὰ πόδια. Γιατὶ ὁ στενὸς δρόμος εἶναι βέβαια στὸν καθένα δύσκολος, πιὸ πολὺ ὅμως στὸν παχύ, διότι ἐκεῖνος ποὺ λειώνει τὸν ἑαυτό του, δὲν θὰ αἰσθανθῆ τὴ στενότητα τοῦ χώρου. Ὥστε ἐκεῖνος ποὺ ἔχει ἀσκηθῆ στὶς θλίψεις, δὲν θὰ ἀπελπισθῆ στὴ στενοχώρια.

6. Μὲ ἀνέσεις λοιπὸν ἂς μὴ περιμένη κανεὶς νὰ ἰδῆ τὸν οὐρανό, γιατὶ δὲν εἶναι δυνατό. Μὲ ἀπολαύσεις κανεὶς ἂς μὴ ἐλπίζη νὰ βαδίζη τὸ στενὸ δρόμο, γιατὶ δὲν εἶναι δυνατό. Κανεὶς ἂς μὴ ἐλπίζη τὴ ζωή, ὅταν βαδίζη τὸν εὐρύχωρο δρόμο. Ὅταν λοιπὸν ἰδῆς κά-

ὁδεύειν ὁδόν· οὐ γὰρ δυνατόν· μηδεὶς τὴν εὐρύχωρον βαδίζων, τὴν ζωὴν ἐλπιζέτω. Ὅταν οὖν ἴδῃς λουτροῖς, τραπέζῃ πολυτελεῖ, ἢ δορυφορίαις ἑτέραις ἐντρυφῶντα τὸν δεῖνα, μὴ ταλανίσῃς σαυτόν, ὡς οὐ μετέχων τούτων, ἀλλὰ στέναξον ἐκεῖνον, ὅτι τὴν ἀπολλυμένην ὁδὸν ὁδεύει. Τί γὰρ ὄφελος ταύτης τῆς ὁδοῦ, ὅταν εἰς θλῖψιν τελευτᾷ; ποῖον δὲ βλάβος ἀπ' ἐκείνης τῆς στενοχωρίας, ὅταν εἰς ἄνεσιν ἔρχηται; Εἰπέ μοι, εἴ τις εἰς τὰ βασίλεια καλούμενος, διὰ στενωπῶν θλιβερῶν καὶ ἀποκρήμνων βαδίζοι, ἕτερος δέ τις τὴν ἐπὶ θάνατον ἀγόμενος διὰ μέσης ἕλκοιτο τῆς ἀγορᾶς, τίνα μακαριοῦμεν, τίνα στενάξομεν; οὐ τὸν διὰ τῆς εὐρυχώρου βαδίζοντα; Οὕτω καὶ νῦν, μὴ τοὺς τρυφῶντας μακαρίζωμεν, ἀλλὰ τοὺς μὴ τρυφῶντας· οὗτοι πρὸς τὸν οὐρανὸν σπεύδουσιν, ἐκεῖνοι πρὸς τὴν γέενναν. Καὶ ἴσως μὲν αὐτῶν πολλοὶ καὶ γελάσονται τὰ παρ' ἡμῶν λεγόμενα· ἐγὼ δὲ αὐτοὺς μάλιστα διὰ τοῦτο ὀδύρομαι καὶ θρηνῶ, ὅτι οὐδὲ ἴσασιν ἐφ' οἷς χρὴ γελᾶν, ὑπὲρ ὧν χρὴ μάλιστα πενθεῖν· ἀλλὰ πάντα συγχέουσι καὶ ταράττουσι καὶ θορυβοῦσι. Διὰ ταῦτα αὐτοὺς ἐγὼ θρηνῶ.

Τί λέγεις, ἄνθρωπε; μέλλων ἀναστήσεσθαι, καὶ λόγον ὑφέξειν τῶν σοι πεπραγμένων, καὶ τὴν ἐσχάτην ὑποστήσεσθαι δίκην, τούτων μὲν οὐδένα λόγον ποιῇ, γαστρίζεσθαι δὲ μελετᾷς καὶ μεθύειν, καὶ πρὸς τούτοις γελᾷς; Ἀλλ' ἐγώ σε θρηνῶ, τὰ μένοντά σε ἐπιστάμενος κακά, τὴν διαδεξομένην σε τιμωρίαν· καὶ διὰ τοῦτο θρηνῶ μάλιστα, ὅτι γελᾷς. Πένθησον σὺν ἐμοί, θρήνησον μετ' ἐμοῦ τὰ σὰ κακά. Εἰπέ μοι· ἐάν τίς σοι τῶν οἰκείων ἀπόληται, οὐχὶ τοὺς μὲν γελῶντας ἐπὶ τῇ τελευτῇ καὶ ἀποστρέφῃ, καὶ ἐχθροὺς ἡγῇ, τοὺς δὲ δακρύοντας καὶ συμπενθοῦντας φιλεῖς; Εἶτα τῆς μὲν γυναικὸς προκειμένης νεκρᾶς, τὸν γελῶντα ἀποστρέφῃ, τῆς δὲ ψυχῆς σοι τεθανατωμένης, τὸν δακρύοντα ἀποστρέφῃ, γελᾷς δὲ αὐτός; Ὁρᾷς πῶς ἡμᾶς διέθηκεν ὁ διάβολος, ἐχθροὺς ἑαυτοῖς εἶναι καὶ πολεμίους; Ἀνανήψωμέν ποτε, διαβλέψωμεν, γρηγορήσωμεν, ἐπιλαβώμεθα τῆς αἰωνίου ζωῆς, τὸν πολὺν ὕπνον ἀποτιναξώμεθα. Κρίσις ἐστί, κόλασίς ἐστιν, ἀνάστασίς ἐστιν, ἐξέτασις τῶν πεπραγμένων· ὁ Κύριος ἔρχεται ἐν νεφέλαις· «Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ

13. Ψαλμ. 49,3

ποιον νὰ ἀπολαμβάνη τὰ λουτρά, τὰ πολυτελῆ τραπέζια ἢ ἄλλες ἡδονές, νὰ μὴ ἐλεεινολογῆς τὸν ἑαυτό σου, ἐπειδὴ δὲν μετέχεις σὲ αὐτά, ἀλλὰ θρήνησε ἐκεῖνον, γιατὶ βαδίζει τὸ δρόμο τῆς ἀπωλείας. Γιατὶ ποιὸ εἶναι τὸ κέρδος αὐτοῦ τοῦ δρόμου, ὅταν καταλήγη σὲ θλῖψι; καὶ ποιὰ εἶναι ἡ βλάβη ἀπὸ τὴ δυσκολία ἐκείνη, ὅταν ὁδηγῆ σὲ ἄνεσι; Εἰπέ μου, ἐὰν κάποιος προσκαλούμενος στὰ ἀνάκτορα ἐβάδιζε ἀνάμεσα σὲ στενὰ καὶ ἀπόκρημνα μέρη, καὶ κάποιος ἄλλος ἐβάδιζε τὸ δρόμο ποὺ ὁδηγεῖ γιὰ τὸ θάνατο συρόμενος μέσα ἀπὸ τὴν ἀγορά, ποιὸν θὰ μακαρίσωμε, ποιὸν θὰ θρηνήσωμε; ὄχι ἐκεῖνον ποὺ βαδίζει στὸν εὐρύχωρο δρόμο; Ἔτσι καὶ τώρα, ἄς μὴ μακαρίζωμε ἐκείνους ποὺ ζοῦν μὲ ἀπολαύσεις, ἀλλὰ ἐκείνους ποὺ δὲν ζοῦν· αὐτοὶ βαδίζουν πρὸς τὸν οὐρανό, ἐκεῖνοι πρὸς τὴ γέεννα τοῦ πυρός. Καὶ ἴσως βέβαια πολλοὶ ἀπὸ αὐτοὺς θὰ γελάσουν τὰ λεγόμενά μας. Ἐγὼ ὅμως αὐτοὺς κυρίως γι' αὐτὸ πενθῶ καὶ θρηνῶ, γιατὶ δὲν γνωρίζουν γιὰ ποιὰ πρέπει νὰ γελοῦν, γιατὶ γελοῦν γιὰ ἐκεῖνα ποὺ πρέπει πρὸ πάντων νὰ πενθοῦν· ἀλλὰ τὰ πάντα συγχέουν καὶ ἀνακατώνουν καὶ διαταράσσουν. Γι' αὐτὰ τοὺς θρηνῶ ἐγώ.

Τί λέγεις, ἄνθρωπε; ἐνῶ πρόκειται νὰ ἀναστηθῆς καὶ νὰ δώσης λογαριασμὸ γιὰ τὶς πράξεις σου καὶ νὰ ὑποστῆς τὴν τελευταία κρίσι, γι' αὐτὰ δὲν ἐνδιαφέρεσαι καθόλου, φροντίζεις δὲ νὰ τρώγης ὑπερβολικὰ καὶ νὰ μεθᾶς, καὶ ἐπὶ πλέον γελᾶς; Ἐγὼ ὅμως σὲ θρηνῶ, ἐπειδὴ γνωρίζω τὰ κακὰ ποὺ σὲ περιμένουν, τὴν τιμωρία ποὺ θὰ σὲ διαδεχθῆ. Καὶ γι' αὐτὸ κυρίως θρηνῶ, ἐπειδὴ γελᾶς. Πένθησε μαζί μου, θρήνησε τὰ ἰδικά σου κακὰ μαζί μου. Εἰπέ μου· ἐὰν κάποιος ἀπὸ τοὺς συγγενεῖς σου χάνεται, ἐκείνους ποὺ γελοῦν γιὰ τὸ θάνατό του δὲν τοὺς ἀποστρέφεσαι καὶ τοὺς θεωρεῖς ἐχθρούς, ἐκείνους ὅμως ποὺ δακρύζουν καὶ πενθοῦν μαζί σου δὲν τοὺς ἀγαπᾶς; Ἔπειτα ὅταν ἡ γυναῖκα σου κεῖται νεκρή, ἐκεῖνον ποὺ γελᾶ τὸν ἀποστρέφεσαι, ὅταν ὅμως ἡ ψυχή σου εἶναι πεθαμένη, ἐκεῖνον ποὺ δακρύζει τὸν ἀποστρέφεσαι καὶ σὺ ὁ ἴδιος γελᾶς; Βλέπεις πῶς μᾶς ἔκαμε ὁ διάβολος νὰ εἴμασθε ἐχθροὶ καὶ πολέμιοι τοῦ ἑαυτοῦ μας; Ἄς συνέλθωμε κάποτε, ἄς ἰδοῦμε καθαρά, ἄς ἀγρυπνήσωμε, ἄς ἐπιδιώξωμε τὴν αἰώνιο ζωή, ἄς ἀποτινάξωμε τὸν πολὺ ὕπνο. Ὑπάρχει κρίσις, ὑπάρχει κόλασις, ὑπάρχει ἀνάστασις, ἐξέτασις τῶν πράξεών μας· ὁ Κύριος ἔρχεται μέσα στὰ σύννεφα. «Πῦρ θὰ καίη ἐνώπιον του καὶ τρομερὴ θύελλα θὰ ὑπάρχη γύρω ἀπὸ αὐτόν»[13], ποταμὸς πυρὸς ρέει ἐμπρός του, ὑπάρχει τὸ σκουλήκι τὸ αἰώνιο, τὸ πῦρ τὸ ἄσβεστο, τὸ σκοτάδι τὸ ἀπομακρυσμένο, τὸ τρίξιμο τῶν δοντιῶν.

καταιγὶς σφοδρά»· ποταμὸς πυρὸς σύρεται ἔμπροσθεν αὐτοῦ, σκώληξ ἀτελεύτητος, πῦρ ἄσβεστον, σκότος ἐξώτερον, βρυγμὸς τῶν ὀδόντων.

Κἂν μυριάκις ἐπὶ τούτοις δυσχεραίνητε, ἐγὼ λέγων οὐ παύσομαι. Εἰ γὰρ λιθαζόμενοι οἱ προφῆται οὐκ ἐσίγων, πολλῷ μᾶλλον ἡμᾶς ἀπεχθείας δεῖ φέρειν, καὶ μὴ πρὸς χάριν ὑμῖν ὁμιλεῖν, ἵνα μὴ ἀπατήσαντες ὑμᾶς, αὐτοὶ διχοτομηθῶμεν. Ἐκεῖ κόλασίς ἐστιν ἀθάνατος, ἀπαραμύθητος· ὁ προστησόμενος οὐδείς. «Τίς ἐλεήσει», φησίν, «ἐπαοιδὸν ὀφιόδηκτον»; Ὅταν ἡμεῖς ἑαυτοὺς μὴ ἐλεήσωμεν, τίς ἡμᾶς ἐλεήσει, εἰπέ μοι; Ἐὰν ἴδῃς τινὰ ξίφος ἐλαύνοντα δι ἑαυτοῦ, τούτου δυνήσῃ φείδεσθαί ποτε; Οὐδαμῶς· πολλῷ μᾶλλον, ὅταν παρὸν ᾖ κατορθῶσαι, καὶ μὴ κατορθώσωμεν, τίς ἡμῶν φείσεται; Οὐδείς. Ἐλεήσωμεν ἑαυτούς. Ὅταν εὐχώμεθα τῷ Θεῷ λέγοντες, ἐλέησόν με, Κύριε, λέγωμεν πρὸς ἑαυτούς, καὶ ἑαυτοὺς ἐλεήσωμεν. Ἡμεῖς ἐσμεν κύριοι τοῦ τὸν Θεὸν ἡμᾶς ἐλεῆσαι· αὐτὸς ἡμῖν τοῦτο ἐχαρίσατο. Ἐὰν ἄξια ἐλέους πράττωμεν, ἐὰν ἄξια φιλανθρωπίας τῆς παρ' αὐτοῦ, ἐλεήσει ἡμᾶς ὁ Θεός· ἐὰν δὲ ἑαυτοὺς μὴ ἐλεῶμεν, τίς ἡμῶν φείσεται; Ἐλέησον τὸν πλησίον, καὶ ἐλεηθήσῃ παρ' αὐτοῦ τοῦ Θεοῦ. Πόσοι καθ' ἑκάστην ἡμέραν προσέρχονται λέγοντες, ἐλέησόν με, καὶ οὐδὲ ἐπιστρέφῃ; πόσοι γυμνοί, πόσοι ἀνάπηροι, καὶ οὐκ ἐπικαμπτόμεθα, ἀλλὰ παραπεμπόμεθα αὐτῶν τὰς ἱκετηρίας; Πῶς οὖν ἀξιοῖς ἐλεηθῆναι, αὐτὸς οὐδὲν ἄξιον ἐλέου ποιῶν;

Γενώμεθα οἰκτίρμονες, γενώμεθα ἐλεήμονες· ἵν' οὕτως εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλαθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Σοφ. Σειρ. 12,13

Καὶ ἂν ἀκόμη δυσανασχετῆτε πολλὲς φορὲς γι' αὐτά, ἐγὼ δὲν θὰ σταματήσω νὰ τὰ λέγω. Γιατὶ ἐὰν δὲν ἐσιωποῦσαν οἱ προφῆτες, ὅταν τοὺς ἐλιθοβολοῦσαν, πολὺ περισσότερο πρέπει ἐμεῖς νὰ ὑποφέρωμε τὴν ἀπέχθειά σας καὶ νὰ μὴ σᾶς ὁμιλοῦμε γιὰ εὐχαρίστησί σας, γιὰ νὰ μὴ τιμωρηθοῦμε αὐστηρὰ ἐμεῖς, ἀφοῦ σᾶς ἐξαπατήσωμε. Ἐκεῖ ὑπάρχει κόλασις ἀθάνατη, ἀδυσώπητη· κανεὶς δὲν ὑπάρχει γιὰ νὰ μᾶς ὑπερασπισθῆ. «Ποιὸς θὰ λυπηθῆ», λέγει, «τὸ μάγο ποὺ εἶναι δαγκωμένος ἀπὸ φίδι;»[14]. Ὅταν ἐμεῖς δὲν θὰ λυπηθοῦμε τὸν ἑαυτό μας, εἰπέ μου, ποιὸς θὰ μᾶς λυπηθῆ; Ἐὰν ἰδῆς κάποιον νὰ διαπερνᾶ τὸ ξίφος στὸν ἑαυτό του, θὰ μπορέσης νὰ λυπηθῆς ποτὲ αὐτόν; Καθόλου· πολὺ περισσότερο, ὅταν εἶναι στὸ χέρι μας νὰ κατορθώσωμε κάτι, καὶ δὲν τὸ κατορθώσωμε, ποιὸς θὰ μᾶς λυπηθῆ; Κανένας. Ἂς ἐλεήσωμε τὸν ἑαυτό μας. Ὅταν προσευχώμασθε στὸν Θεὸ λέγοντας, ἐλέησέ με, Κύριε, ἂς λέμε στὸν ἑαυτό μας καὶ ἂς ἐλεήσωμε τὸν ἑαυτό μας. Ἀπὸ μᾶς ἐξαρτᾶται τὸ νὰ μᾶς ἐλεήση ὁ Θεός· αὐτὸς μᾶς ἐχάρισε αὐτό. Ἐὰν πράττωμε ἄξια τῆς εὐσπλαγχνίας του, ἐὰν πράττωμε ἄξια τῆς φιλανθρωπίας του, θὰ μᾶς ἐλεήση ὁ Θεός. Ἐὰν ὅμως δὲν ἐλεοῦμε τὸν ἑαυτό μας, ποιὸς θὰ μᾶς λυπηθῆ; Λυπήσου τὸν πλησίον, καὶ θὰ σὲ λυπηθῆ ὁ ἴδιος ὁ Θεός. Πόσοι μᾶς πλησιάζουν καθημερινὰ λέγοντας, λυπήσου με, καὶ οὔτε προσέχεις; πόσοι γυμνοί, πόσοι ἀνάπηροι, καὶ δὲν συγκινούμασθε, ἀλλὰ περιφρονοῦμε τὶς ἱκεσίες τους; Πῶς λοιπὸν ἀξιώνεις νὰ ἐλεηθῆς, ὅταν ἐσὺ ὁ ἴδιος δὲν κάνης τίποτε ἄξιο εὐσπλαγχνίας;

Ἂς γινώμασθε οἰκτίρμονες, ἂς γινώμασθε εὐσπλαγχνικοί, γιὰ νὰ γίνωμε ἔτσι εὐάρεστοι στὸν Θεὸ καὶ νὰ ἐπιτύχωμε τὰ ἀγαθὰ τὰ ὁποῖα ἔχει ὑποσχεθῆ σὲ αὐτοὺς ποὺ τὸν ἀγαποῦν, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ι΄.

(Α΄ Θεσ. 5, 12–18)

«Ἐρωτῶμεν δὲ ἡμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ἡμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν αὐτοῖς».

1. Πολλὰς ἀνάγκη τὸν ἄρχοντα μικροψυχιῶν ἀφορμὰς ἔχειν· καθάπερ ἰατρῶν παῖδες πολλὰ λυπεῖν ἀναγκάζονται τοὺς κάμνοντας, καὶ σιτία καὶ φάρμακα κατασκευάζοντες, ἡδονὴν μὲν οὐκ ἔχοντα, πολλὴν δὲ τὴν ὠφέλειαν· καὶ καθάπερ πατέρες πολλαχοῦ τοῖς υἱοῖς ἐστι φορτικοί· οὕτω καὶ οἱ διδάσκαλοι, καὶ πολλῷ μᾶλλον. Ὁ μὲν γὰρ ἰατρὸς κἂν πρὸς τὸν κάμνοντα ἀπεχθάνηται, ἀλλὰ τοὺς προσήκοντας αὐτῷ καὶ ἐπιτηδείους ἔχει πρὸς αὐτὸν ἡδέως ἔχοντας, καὶ αὐτὸν δὲ πολλαχοῦ τὸν κάμνοντα· καὶ ὁ πατὴρ δὲ ἀπό τε τῆς φύσεως, ἀπό τε τῶν νόμων τῶν ἔξωθεν μετὰ πολλῆς τῆς εὐκολίας κέχρηται τῇ κατὰ τοῦ παιδὸς ἀρχῇ· κἂν ἄκοντα παιδεύσῃ καὶ ἐπιπλήξῃ, οὐδεὶς ὁ κωλύσων, ἀλλ' οὐδὲ αὐτὸς ἐκεῖνος ἀντιβλέψαι δυνήσεται, ἐπὶ δὲ τοῦ ἱερέως πολλὴ ἡ δυσκολία. Πρῶτον μὲν οὖν ἑκόντων ἄρχειν ὀφείλει, καὶ χάριν αὐτῷ τῆς ἀρχῆς εἰδότων· τοῦτο δὲ οὐκ ἔνι συμβαίνειν ταχέως. Ὁ γὰρ ἐλεγχόμενος καὶ ἐπιτιμώμενος, οἷος ἂν ᾖ, πάντως ὅτι τὴν χάριν ἀφείς, ἀπεχθῶς ἕξει· ὡσαύτως καὶ ὁ παραινούμενος, καὶ ὁ νουθετούμενος, καὶ ὁ παρακαλούμενος ποιήσει.

Ἂν εἴπω τοίνυν, χρήματα κένωσον εἰς τοὺς δεομένους, ἐπαχθὲς εἶπόν τι καὶ φορτικόν· ἂν εἴπω, κόλασον τὴν ὀργήν, σβέσον τὸν θυμόν, παῦσον τὴν ἄτοπον ἐπιθυμίαν, ὑπότεμε τῆς

ΟΜΙΛΙΑ Ι΄
(Α΄ Θεσ. 5,12–18)

«Σᾶς παρακαλοῦμε ὅμως, ἀδελφοί, νὰ ἀναγνωρίζετε ἐκείνους, ποὺ κοπιάζουν μεταξύ σας καὶ εἶναι κατὰ Χριστὸ προϊστάμενοί σας καὶ σᾶς συμβουλεύουν, καὶ νὰ τοὺς τιμᾶτε μὲ ὑπερβολικὴ ἀγάπη γιὰ τὸ ἔργο τους. Εἰρηνεύετε μεταξύ σας».

1. Ὁ προϊστάμενος κατ' ἀνάγκη ἔχει πολλὲς ἀφορμὲς γιὰ μικροψυχίες. Ὅπως ἀκριβῶς οἱ ἰατροὶ ἀναγκάζονται νὰ πικραίνουν πολὺ τοὺς ἀσθενεῖς, παρασκευάζοντας καὶ φαγητὰ καὶ φάρμακα, ποὺ δὲν εἶναι μὲν εὐχάριστα, ἀλλὰ εἶναι ὠφέλιμα πολύ, καὶ ὅπως οἱ πατέρες εἶναι πολλὲς φορὲς ἐνοχλητικοὶ στὰ παιδιά, ἔτσι καὶ οἱ διδάσκαλοι, καὶ πολὺ περισσότερο. Γιατὶ ὁ μὲν ἰατρὸς καὶ ἂν ἀκόμη εἶναι μισητὸς ἀπὸ τὸν ἀσθενῆ, ἔχει ὅμως τοὺς συγγενεῖς καὶ φίλους του μὲ καλὲς διαθέσεις ἀπέναντί του, καὶ πολλὲς φορὲς καὶ τὸν ἴδιο τὸν ἀσθενῆ. Καὶ ὁ πατέρας δὲ καὶ ἀπὸ τὴ φύσι καὶ ἀπὸ τοὺς νόμους τῆς πολιτείας χρησιμοποιεῖ μὲ πολλὴ εὐκολία τὴν ἐξουσία ἐναντίον τοῦ παιδιοῦ του· καὶ ἂν ἀκόμη χωρὶς τὴ θέλησί του τὸ τιμωρήση καὶ τὸ ἐπιπλήξη, κανεὶς δὲν θὰ τὸν ἐμποδίση, ἀλλ' οὔτε αὐτὸ τὸ ἴδιο θὰ μπορέση νὰ τὸν ἰδῆ κατὰ πρόσωπο, στὴν περίπτωσι ὅμως τοῦ ἱερέως εἶναι μεγάλη ἡ δυσκολία. Κατὰ πρῶτο λοιπὸν πρέπει νὰ ἀσκῆ τὴν ἐξουσία του σὲ ἀνθρώπους ποὺ νὰ τὸν θέλουν καὶ νὰ τὸν εὐγνωμονοῦν γιὰ τὴν ἐξουσία του· αὐτὸ ὅμως δὲν εἶναι δυνατὸ νὰ συμβῆ γρήγορα. Γιατὶ αὐτὸς ποὺ ἐλέγχεται καὶ ἐπιτιμᾶται, ὁποιος ἂν εἶναι, εἶναι βέβαιο ὅτι ἀφοῦ παραμερίση τὴν εὐγνωμοσύνη, θὰ τὸ φέρη βαρέως. Κατὰ τὸν ἴδιο τρόπο θὰ ἐνεργήση καὶ αὐτὸς ποὺ συμβουλεύεται καὶ αὐτὸς ποὺ νουθετεῖται καὶ αὐτὸς ποὺ προτρέπεται.

Ἂν λοιπὸν εἰπῶ, δαπάνησε χρήματα γι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, εἶπα κάτι δυσάρεστο καὶ ἐνοχλητικό. Ἂν εἰπῶ, κόψε τὴν

τρυφῆς μέρος μικρόν, πάντα φορτικὰ καὶ ἐπαχθῆ. Κἂν κολάσω ῥᾳθυμοῦντα, ἢ τῆς ἐκκλησίας ἀπαγάγω, ἢ τῆς κοινῆς εὐχῆς ἀπείρξω, ἀλγεῖ, οὐ διὰ τὸ τούτων ἐκπεσεῖν, ἀλλὰ διὰ τὴν κοινὴν αἰσχύνην. Καὶ τοῦτο γὰρ τῆς νόσου ἐπίτασις, ὅτι τῶν πνευματικῶν κωλυόμενοι, οὐ διὰ τὴν στέρησιν τῶν τοσούτων ἀγαθῶν ἀλγοῦμεν, ἀλλὰ διὰ τὴν τῶν ὁρώντων αἰσχύνην· οὐ φρίττομεν, οὐ δεδοίκαμεν τὸ πρᾶγμα. Διὰ τοῦτο ἄνω καὶ κάτω Παῦλος περὶ τούτων πολλὰ διαλέγεται. Καὶ ὁ μὲν Χριστὸς αὐτοὺς μετὰ τοσαύτης ὑπέταξε τῆς ἀνάγκης, ὡς εἰπεῖν· «Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε». Καὶ πάλιν, ἡνίκα τὸν λεπρὸν ἐθεράπευσεν, ἔλεγεν· «Ὕπαγε, δεῖξον σαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς». Καὶ μὴν σὺ λέγεις, ὅτι «Ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν». Διὰ τοῦτο εἶπον, φησίν, «Ἃ ποιοῦσι, μὴ ποιεῖτε». Πᾶσαν τοίνυν ἐξέκλεισε πρόφασιν τῷ ἀρχομένῳ.

Οὗτος δὲ καὶ Τιμοθέῳ γράφων ἔλεγεν· «Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν»· καὶ πρὸς Ἑβραίους δὲ γράφων ἔλεγε· «Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε»· καὶ ἐνταῦθα πάλιν, «Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ». Ἐπειδὴ γὰρ εἶπεν, «Οἰκοδομεῖτε εἷς τὸν ἕνα», ἵνα μὴ νομίσωσιν, ὅτι εἰς τὸ τῶν διδασκάλων ἀξίωμα αὐτοὺς ἀνήγαγεν, ἐπήγαγε, πλὴν ὁρᾶτε, ὅτι καὶ ὑμῖν ἐπέτρεψα οἰκοδομεῖν ἀλλήλους· οὐ γὰρ δυνατὸν πάντα τὸν διδάσκαλον εἰπεῖν. «Τοὺς κοπιῶντας», φησίν, «ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς». Καὶ πῶς οὐκ ἄτοπον, φησί; Ἂν μὲν ἄνθρωπός σου προστῇ πρὸς ἄνθρωπον, πάντα πράττεις, πᾶσαν ὁμολογεῖς χάριν, οὗτος δὲ πρὸς τὸν Θεὸν προΐσταταί σου, καὶ οὐχ ὁμολογεῖς χάριν: Καὶ πῶς προΐσταται, φησίν; Ὅτι εὔχεται ὑπὲρ σοῦ, ὅτι τῇ πνευματικῇ δωρεᾷ τῇ διὰ τοῦ βαπτίσματος ὑπηρετεῖται, ἐπισκέπτεται, παραινεῖ καὶ νουθετεῖ, μέσαις νυξίν, ἂν καλέ-

1. Ματθ. 23,2.3
2. Ματθ. 8,4
3. Ματθ. 23,15
4. Α΄ Τιμ. 5,17
5. Ἑβρ. 13,17
6. Α΄ Θεσ. 5,11

ὀργή, σβῆσε τὸ θυμό, σταμάτησε τὶς ἀνόητες ἐπιθυμίες, περιόρισε ἕνα μικρὸ μέρος τῶν ἀπολαύσεων, ὅλα εἶναι ἐνοχλητικὰ καὶ δυσάρεστα. Καὶ ἂν τιμωρήσω τὸν ἀδιάφορο ἢ τὸν ἐκδιώξω ἀπὸ τὴν ἐκκλησία ἢ τὸν ἐμποδίσω ἀπὸ τὴν κοινὴ προσευχή, στενοχωρεῖται, ὄχι γιατὶ ἔχει ἐκπέσει ἀπὸ αὐτά, ἀλλὰ γιὰ τὴν ἐντροπὴ μπροστὰ στὸν κόσμο. Καὶ αὐτὸ βέβαια εἶναι αὔξησις τῆς ἀσθενείας, ἐπειδὴ ὅταν μᾶς ἐμποδίζουν τὰ πνευματικά, δὲν στενοχωρούμασθε γιὰ τὴ στέρησι αὐτῶν τῶν ἀγαθῶν, ἀλλὰ γιὰ τὴν ἐντροπή μας μπροστὰ σ' ἐκείνους ποὺ μᾶς βλέπουν. Δὲν τρέμομε, οὔτε φοβούμασθε τὸ πρᾶγμα. Γι' αὐτὸ συνέχεια ὁ Παῦλος λέγει πολλὰ γι' αὐτούς. Καὶ ὁ μὲν Χριστὸς ὑπέταξε αὐτοὺς μὲ τόση ἀνάγκη, ὥστε νὰ εἰπῆ· «Στὸ διδασκαλικὸ θρόνο τοῦ Μωυσέως ἐκάθισαν οἱ νομοδιδάσκαλοι καὶ οἱ Φαρισαῖοι. Ὅλα λοιπόν, ὅσα σᾶς λέγουν νὰ φυλάσσετε, νὰ τὰ φυλάσσετε. Μὴ πράττετε ὅμως σύμφωνα μὲ τὰ ἔργα τους»[1]. Καὶ πάλι, ὅταν ἐθεράπευσε τὸ λεπρό, ἔλεγε· «Πήγαινε καὶ δεῖξε τὸν ἑαυτό σου στὸν ἱερέα καὶ πρόσφερε τὸ δῶρο, ποὺ διέταξε ὁ Μωυσῆς, γιὰ ἀπόδειξι σὲ αὐτούς»[2]. Καὶ ὅμως ἐσὺ λέγεις, ὅτι «Κάνετε αὐτὸν τέκνο τῆς κολάσεως διπλάσια ἀπὸ σᾶς»[3]. Γι' αὐτὸ εἶπα, λέγει, «Ἐκεῖνα ποὺ πράττουν, μὴ τὰ πράττετε». Ἀπέκλεισε δηλαδὴ κάθε δικαιολογία ἀπὸ τὸν ἀρχόμενο.

Καὶ ὁ Παῦλος ὅταν ἔγραφε στὸν Τιμόθεο, ἔλεγε· «Ὅσοι πρεσβύτεροι εἶναι καλοὶ προεστοί, εἶναι ἄξιοι γιὰ διπλὴ τιμή»[4]. Καὶ πρὸς τοὺς Ἑβραίους ὅταν ἔγραφε, ἔλεγε· «Πείθεσθε στοὺς προϊσταμένους σας καὶ ὑποτάσσεσθε»[5]. Καὶ ἐδῶ πάλι λέγει· «Σᾶς παρακαλοῦμε ὅμως, ἀδελφοί, νὰ ἀναγνωρίζετε αὐτούς, ποὺ κοπιάζουν μεταξύ σας, καὶ εἶναι κατὰ Χριστὸ προϊστάμενοί σας». Ἐπειδὴ λοιπὸν εἶπε, «Οἰκοδομεῖτε ὁ ἕνας σας τὸν ἄλλο»[6], γιὰ νὰ μὴ νομίσουν, ὅτι τοὺς ἀνύψωσε αὐτοὺς στὸ ἀξίωμα τῶν διδασκάλων, ἐπρόσθεσε, ἀλλ' ὅμως προσέχετε, διότι καὶ σᾶς ἐπέτρεψα νὰ οἰκοδομῆτε ὁ ἕνας τὸν ἄλλο, γιατὶ δὲν εἶναι δυνατὸ ὁ διδάσκαλος νὰ εἰπῆ τὰ πάντα. «Ἐκείνους», λέγει, «ποὺ κοπιάζουν μεταξύ σας καὶ εἶναι κατὰ Χριστὸ προϊστάμενοί σας καὶ σᾶς συμβουλεύουν». Καὶ πῶς δὲν εἶναι παράλογο, λέγει; Ἂν βέβαια εἶναι προϊστάμενός σου ἄνθρωπος ὡς πρὸς ἄνθρωπο, τὰ πάντα κάνεις, καὶ τοῦ ἀναγνωρίζεις κάθε εὐγνωμοσύνη, αὐτὸς ὅμως εἶναι προϊστάμενός σου ὡς πρὸς τὸν Θεὸ καὶ δὲν τὸν εὐγνωμονεῖς; Καὶ πῶς εἶναι προϊστάμενος λέγει; Διότι προσεύχεται γιὰ χάρι σου, σὲ ἐξυπηρετεῖ στὴν

σης, ἥκει οὐδὲν ἄλλο ἢ μόνον ὑπόκειταί σου τῷ στόματι, καὶ τὰς βλασφημίας φέρει τὰς παρὰ σοῦ. Ποίαν εἶχεν ἀνάγκην; καλῶς ἐποίησεν, ἢ κακῶς; Σὺ μὲν καὶ γυναῖκα ἔχεις, καὶ τρυφᾷς, καὶ βίον αἱρῇ ἐμπορικόν, ὁ δὲ ἱερεύς πρὸς τοῦτο ἑαυτὸν ἀπησχόλησεν· οὐδεὶς αὐτῷ βίος ἕτερος, ἀλλὰ περὶ τὴν ἐκκλησίαν στρέφεται.

«Ἡγεῖσθαι αὐτούς», φησίν, «ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν αὐτοῖς». Ὁρᾷς πῶς οἶδε μικροψυχίας γινομένας; Μὴ ἁπλῶς, φησίν, ἀγαπᾶτε, ἀλλ' ὑπερεκπερισσοῦ, ὡσανεὶ παῖδες πατέρας. Διὰ γὰρ αὐτῶν ἐτέχθητε τὴν γέννησιν τὴν αἰώνιον, δι' αὐτῶν τῆς βασιλείας ἐπετύχετε, διὰ τῶν χειρῶν αὐτῶν πάντα γίνεται, δι' αὐτῶν ὑμῖν πύλαι οὐρανίαι ἀνοίγονται. Μηδεὶς στασιαζέτω, μηδεὶς φιλονεικείτω. Ὁ τὸν Χριστὸν ἀγαπῶν, οἷος ἂν ᾖ ὁ ἱερεύς, ἀγαπήσει αὐτόν, ὅτι δι' αὐτοῦ τῶν φρικτῶν μυστηρίων ἐπέτυχεν. Εἰπέ μοι, εἰ βουληθεὶς ἰδεῖν τὰ βασίλεια πολλῷ καταλαμπόμενα τῷ χρυσῷ καὶ περιαστράπτοντα τῇ λίθων αἴγλῃ, εὕροις τὸν τὰς κλεῖς ἔχοντας, ὁ δὲ παρακληθείς, εὐθέως ἤνοιξε, καὶ παρέπεμψέ σε ἔνδον, οὐχὶ πάντων αὐτὸν προετίθεις; οὐχὶ τῶν ὀφθαλμῶν ἴσον ἠγάπας; οὐχὶ ἐφίλεις; Τὸν οὐρανόν σοι ἀνέῳξεν οὗτος, καὶ οὐ φιλεῖς καὶ περιέπεις; Εἰ γυναῖκα ἔχοις, οὐχὶ τὸν προξενήσαντα πάντων μᾶλλον ποθεῖς; Οὕτως, εἰ φιλεῖς τὸν Χριστόν, εἰ φιλεῖς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπίγνωθι διὰ τίνων ἔσχες αὐτόν. Διὰ τοῦτό φησι, «Διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν αὐτοῖς».

2. «Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλυγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας». Ἐνταῦθα πρὸς τοὺς ἄρχοντας διαλέγεται. «Νουθετεῖτε», φησί, «τοὺς ἀτάκτους»· μὴ ἀπὸ ἐξουσίας, φησί, μηδὲ αὐθαδείας ἐπιπλήττετε, ἀλλὰ μετὰ νουθεσίας. «Παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας». Ὁ γὰρ αὐστηρῶς ἐπιπληττόμενος, ἀπεγνωκὼς ἑαυτοῦ, θρασύτερος γίνεται καταφρονῶν· διὰ τοῦτο τῇ νουθεσίᾳ χρὴ ἡδὺ κατασκευάζειν τὸ φάρμακον. Τίνες δέ εἰσιν οἱ ἄτακτοι; Πάντες οἱ παρὰ τὸ τῷ Θεῷ δοκοῦν

πνευματικὴ δωρεὰ ποὺ ἔρχεται διὰ τοῦ βαπτίσματος, σὲ ἐπισκέπτεται, σὲ συμβουλεύει καὶ σὲ νουθετεῖ, τὰ μεσάνυκτα, ἂν τὸν καλέσης, θὰ ἔλθη, τίποτε ἄλλο παρὰ μόνο εἶναι στὴ διάθεσι τοῦ στόματός σου καὶ ὑποφέρει τὶς βλασφημίες σου. Ποιὰ ἀνάγκη εἶχε; καλῶς ἔκαμε, ἢ κακῶς; Ἐσὺ ἔχεις καὶ γυναῖκα καὶ ζῇς μὲ ἀπολαύσεις καὶ προτιμᾶς τὴ ζωὴ τοῦ ἐμπόρου, ὁ ἱερεὺς ὅμως εἶναι ἀπασχολημένος σ' αὐτὸ τὸ ἔργο· δὲν ὑπάρχει σ' αὐτὸν ἄλλη ζωή, ἀλλ' εἶναι ἀπασχολημένος στὴν ἐκκλησία.

«Νὰ τοὺς τιμᾶτε», λέγει, «μὲ τὸ παραπάνω ἀπὸ ἀγάπη γιὰ τὸ ἔργο τους. Εἰρηνεύετε μεταξύ σας». Βλέπεις πῶς γνωρίζει ὅτι ὑπῆρχαν μικροψυχίες; Ὄχι ἁπλῶς, λέγει, νὰ τοὺς ἀγαπᾶτε, ἀλλὰ μὲ τὸ παραπάνω, ὅπως τὰ παιδιὰ τοὺς πατέρες τους. Γιατὶ μέσω αὐτῶν ἐγεννηθήκατε τὴν αἰώνιο γέννησι, μὲ αὐτοὺς ἐπετύχατε τὴ βασιλεία, μὲ τὰ χέρια αὐτῶν γίνονται ὅλα, μὲ αὐτοὺς σᾶς ἀνοίγονται οἱ πύλες τοῦ οὐρανοῦ. Κανένας ἂς μὴ στασιάζη, κανένας ἂς μὴ φιλονεικῇ. Ἐκεῖνος ποὺ ἀγαπᾶ τὸν Χριστό, ὅποιος καὶ ἂν θὰ εἶναι ὁ ἱερεύς, θὰ ἀγαπήση αὐτόν, γιατὶ μὲ αὐτὸν ἐπέτυχε τὰ φρικτὰ μυστήρια. Εἰπέ μου, ἐὰν θελήσης νὰ ἴδῃς τὰ ἀνάκτορα ποὺ λάμπουν ἀπὸ τὸν πολὺ χρυσὸ καὶ ποὺ ἀστράπτουν ἀπὸ τὴ λάμψι τῶν πολυτίμων λίθων, καὶ εὕρισκες ἐκεῖνον ποὺ ἔχει τὰ κλειδιά, ὁ ὁποῖος ὕστερα ἀπὸ παράκλησί σου ἀμέσως ἄνοιγε καὶ σὲ ὁδηγοῦσε μέσα, δὲν θὰ ἐπροτιμοῦσες αὐτὸν περισσότερο ἀπὸ ὅλους; δὲν θὰ τὸν ἀγαποῦσες ἴσα μὲ τὰ μάτια σου; δὲν θὰ τὸν ἐσυμπαθοῦσες; Τὸν οὐρανὸ σοῦ ἔχει ἀνοίξει αὐτὸς καὶ δὲν τὸν ἀγαπᾶς καὶ δὲν τὸν περιποιεῖσαι; Ἐὰν ἔχῃς γυναῖκα, δὲν ἀγαπᾶς περισσότερο ἀπὸ ὅλους ἐκεῖνον ποὺ σοῦ τὴν ἐπροξένησε; Ἔτσι, ἐὰν ἀγαπᾶς τὸν Χριστό, ἐὰν ἀγαπᾶς τὴ βασιλεία τῶν οὐρανῶν, ἀναγνώρισε μὲ ποιοὺς ἀπέκτησες αὐτήν. Γι' αὐτὸ λέγει, «Γιὰ τὸ ἔργο τους· εἰρηνεύετε μὲ αὐτούς».

2. «Σᾶς παρακαλοῦμε ὅμως, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παρηγορεῖτε τοὺς δειλούς, στηρίζετε τοὺς ἀσθενεῖς, γίνεσθε ἀνεκτικοὶ πρὸς ὅλους». Ἐδῶ ἀπευθύνεται πρὸς τοὺς προϊσταμένους. «Νουθετεῖτε», λέγει, «τοὺς ἀτάκτους». Μὴ τοὺς ἐπιπλήσσετε, λέγει, ἀπὸ θέσεως ἐξουσίας, οὔτε μὲ αὐθάδεια, ἀλλὰ μὲ σκοπὸ νὰ τοὺς νουθετήσετε. «Παρηγορεῖτε τοὺς δειλούς, στηρίζετε τοὺς ἀσθενεῖς, γίνεσθε ἀνεκτικοὶ πρὸς ὅλους». Γιατὶ ἐκεῖνος ποὺ ἐπιπλήσσεται αὐστηρά, ἐπειδὴ ἔχει εὑρεθῆ σὲ ἀπόγνωσι, γίνε-

πράττοντες. Τάξις γάρ ἐστι τῆς στρατιωτικῆς ἁρμοδιωτέρα αὕτη ἡ τάξις τῆς ἐκκλησίας. Ὥστε καὶ ὁ λοίδορος ἄτακτος, καὶ ὁ μέθυσος ἄτακτος, καὶ ὁ πλεονέκτης, καὶ πάντες οἱ ἁμαρτάνοντες· οὐ γὰρ τεταγμένα βαδίζουσιν ἐν τῇ φάλαγγι, ἀλλὰ παράφορα, καὶ παρατρέπονται. Ἀλλ' ἔστι καὶ ἕτερον εἶδος τῶν κακῶν, οὐ τοιοῦτον μέν, κακία δὲ καὶ αὐτό, ἡ μικροψυχία· καὶ γὰρ καὶ αὕτη ὁμοίως τῇ ῥᾳθυμίᾳ ἀπόλλυσιν. Ὁ μὴ φέρων ὕβριν, ὀλιγόψυχος· ὁ μὴ φέρων πειρασμόν, ὀλιγόψυχος· οὗτός ἐστιν ὁ ἐπὶ τῆς πέτρας σπαρείς. Ἔστι καὶ ἄλλο εἶδος, τὸ τῆς ἀσθενείας. «Ἀντέχεσθε», φησί, «τῶν ἀσθενῶν»· ἀσθένεια δὲ γίνεται περὶ πίστιν.

Ἀλλ' ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς διαπτύεσθαι. Καὶ ἀλλαχοῦ δὲ γράφων ἔλεγε· «Τοὺς ἀσθενοῦντας τῇ πίστει προσλαμβάνεσθε». Καὶ γὰρ ἐν τοῖς σώματι τοῖς ἡμετέροις τὸ ἀσθενοῦν μέρος οὐκ ἐῶμεν ἀπολέσθαι. «Μακροθυμεῖτε», φησί, «πρὸς πάντας» Καὶ πρὸς τοὺς ἀτάκτους; Καὶ σφόδρα. Οὐδὲν γὰρ τούτου τοῦ φαρμάκου ἴσον διδασκάλῳ μάλιστα, οὐδὲν οὕτω τοῖς ἀρχομένοις ἐπιτήδειον· πάντας ἐντρέψαι δύναται, πάντας δυσωπῆσαι, καὶ τὸν πάντων ἀγριώτερον καὶ ἀναισχυντότερον. «Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ». Εἰ κακὸν ἀντὶ κακοῦ οὐ χρὴ ἀποδιδόναι, πολλῷ μᾶλλον κακὸν ἀντὶ ἀγαθοῦ, πολλῷ μᾶλλον μὴ προϋπάρξαντος κακοῦ, ἀποδοῦναι κακόν. Ὁ δεῖνα, φησί, πονηρός ἐστι, καὶ ἐλύπησε, καὶ πολλά με ἠδίκασε. Βούλει αὐτὸν ἀμύνασθαι; μὴ ἀνταποδῷς· ἔασον ἀτιμώρητον. Ἆρα μέχρι τούτου; Οὐδαμῶς. «Ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας». Αὕτη μείζων ἡ φιλοσοφία, μὴ μόνον κακοῖς μὴ ἀμύνεσθαι τὰ κακά, ἀλλὰ ἀγαθοῖς· αὕτη γάρ ἐστιν ὄντων ἄμυνα κἀκείνῳ βλάβην ἔχουσα, καὶ ὠφέλειάν σοι· μᾶλλον δὲ κἀκείνῳ πολλὴν τὴν ὠφέλειαν, ἂν θέλῃ. Καὶ ἵνα μὴ νομίσῃς ὅτι περὶ τῶν πιστῶν τοῦτο εἴρηται, διὰ τοῦτο εἶπε, «καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας».

3. «Πάντοτε χαίρετε». Τοῦτο περὶ τῶν πειρασμῶν τῶν θλῖψιν ἐμβαλλόντων. Ἀκούετε, ὅσοι πενίᾳ περιπεπτώκατε, ὅσοι λυπη-

7 Πρβ. Ματθ. 13,20 – 21
8. Ρωμ. 14,1

ται θρασύτερος, περιφρονώντας ὅλα. Γι' αὐτὸ πρέπει μὲ τὴ νουθεσία νὰ παρασκευάζωμε εὐχάριστο τὸ φάρμακο. Ποιοὶ ὅμως εἶναι οἱ ἄτακτοι; Ὅλοι ὅσοι πράττουν ἀντίθετα πρὸς τὸ θέλημα τοῦ Θεοῦ. Γιατὶ ὑπάρχει τάξις καὶ ἡ τάξις αὐτὴ τῆς ἐκκλησίας πρέπει νὰ ἐφαρμόζεται περισσότερο ἀπὸ τὴ στρατιωτική. Ἐπομένως καὶ ὁ ὑβριστὴς εἶναι ἄτακτος, καὶ ὁ μέθυσος ἄτακτος καὶ ὁ πλεονέκτης καὶ ὅλοι ποὺ ἁμαρτάνουν, γιατὶ δὲν βαδίζουν στὴ φάλαγγα μὲ τάξι, ἀλλὰ ἄτακτα καὶ τρέπονται πρὸς ἄλλο μέρος. Ἀλλὰ ὑπάρχει καὶ ἄλλο εἶδος ἀπὸ τὰ κακά, ὄχι μὲν τέτοιο, κακία ὅμως καὶ αὐτό, ἡ μικροψυχία δηλαδή. Καθόσον καὶ αὐτὴ καταστρέφει ὅμοια μὲ τὴν ἀδιαφορία. Ὅποιος δὲν ἀνέχεται τὴν ὕβρι, εἶναι ὀλιγόψυχος· ὅποιος δὲν ἀντέχει τὸν πειρασμό, εἶναι ὀλιγόψυχος. Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔχει σπαρῆ ἐπάνω στὴν πέτρα[7]. Ὑπάρχει καὶ ἄλλο εἶδος, ἡ ἀσθένεια. «Στηρίζετε, λέγει, τοὺς ἀσθενεῖς». Ἀσθένεια ὅμως γίνεται ὡς πρὸς τὴν πίστι.

Ἀλλὰ πρόσεχε πῶς δὲν ἀφήνει νὰ περιφρονοῦνται αὐτοί. Καὶ ἀλλοῦ γράφοντας ἔλεγε· «Τοὺς ἀσθενεῖς κατὰ τὴν πίστι νὰ τοὺς δέχεσθε»[8]. Γιατὶ καὶ στὰ δικά μας σώματα τὸ μέρος ποὺ ἀσθενεῖ δὲν τὸ ἀφήνομε νὰ καταστραφῆ. «Γίνεσθε ἀνεκτικοί», λέγει, «πρὸς ὅλους». Καὶ πρὸς τοὺς ἀτάκτους; Καὶ πρὸς αὐτοὺς καὶ μάλιστα πάρα πολύ. Γιατὶ τίποτε δὲν εἶναι ἴσο μὲ τὸ φάρμακο αὐτὸ τῆς μακροθυμίας κυρίως στὸ διδάσκαλο, τίποτε δὲν εἶναι τόσο κατάλληλο γιὰ τοὺς ἀρχομένους. Ὅλους μπορεῖ νὰ τοὺς μεταστρέψη, ὅλους νὰ τοὺς κάνη νὰ νιώσουν ἐντροπὴ καὶ ἐκεῖνον ποὺ ἀπὸ ὅλους εἶναι πιὸ ἄγριος καὶ ἀναίσχυντος. «Προσέχετε νὰ μὴ ἀποδώση κανεὶς κακὸ ἀντὶ κακοῦ». Ἐὰν δὲν πρέπει νὰ ἀποδίδωμε κακὸ ἀντὶ κακοῦ, πολὺ περισσότερο δὲν πρέπει κακὸ ἀντὶ καλοῦ, πολὺ περισσότερο ὅταν δὲν προϋπῆρξε κακὸ δὲν πρέπει νὰ ἀποδώσωμε κακό. Ὁ τάδε, λέγει, εἶναι κακὸς καὶ μὲ ἐλύπησε καὶ μοῦ ἔκαμε πολλὲς ἀδικίες. Θέλεις νὰ ἐκδικηθῆς αὐτόν; μὴ ἀνταποδώσης, ἄφησέ τον ἀτιμώρητο. Ἄραγε ἐσταμάτησε μέχρις ἐδῶ; Καθόλου. «Ἀλλὰ πάντοτε ἐπιδιώκετε τὸ καλὸ καὶ ἀναμεταξύ σας καὶ πρὸς ὅλους». Αὐτὴ ἡ φιλοσοφία εἶναι ἡ πιὸ μεγάλη· ὄχι μόνο μὲ κακὰ νὰ * μὴ ἐκδικῆται κανεὶς τὰ κακά, ἀλλὰ μὲ καλά. Αὐτὴ εἶναι πραγματικὴ ἄμυνα ποὺ ἔχει καὶ γιὰ ἐκεῖνον βλάβη καὶ γιὰ σένα ὠφέλεια· μᾶλλον δὲ καὶ γιὰ ἐκεῖνον μεγάλη ὠφέλεια, ἂν θέλη. Καὶ γιὰ νὰ μὴ νομίσης, ὅτι γιὰ τοὺς πιστοὺς ἔχει λεχθῆ αὐτό, γι' αὐτὸ εἶπε, «καὶ ἀναμεταξύ σας καὶ πρὸς ὅλους».

ροῖς πράγμασιν· ἀπὸ τούτων γὰρ χαρὰ τίκτεται. Ὅταν γὰρ τοιαύτην ἔχωμεν ψυχήν, ὥστε μηδένα ἀμύνεσθαι, ἀλλὰ πάντας εὐεργετεῖν, πόθεν, εἰπέ μοι, τὸ τῆς λύπης κέντρον παρεισελθεῖν δυνήσεται; Ὁ γὰρ οὕτω χαίρων τῷ παθεῖν κακῶς, ὡς καὶ εὐεργεσίαις ἀμύνεσθαι τὸν πεποιηκότα κακῶς, πόθεν δυνήσεται ἀνιαθῆναι λοιπόν; Καὶ πῶς οἷόν τε τοῦτο, φησίν; Ἂν ἐθέλωμεν, δυνατόν. Εἶτα καὶ τὴν ὁδὸν ἔδειξεν· «Ἀδιαλείπτως προσεύχεσθε· ἐν παντὶ εὐχαριστοῦντες· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ἡμᾶς». «Τοῦτο γὰρ θέλημα Θεοῦ», τὸ ἀεὶ εὐχαριστεῖν· τοῦτο φιλοσόφου ψυχῆς. Ἔπαθές τι κακόν; Ἀλλ' ἐὰν θέλῃς, οὐκ ἔστι κακόν· εὐχαρίστησον τῷ Θεῷ, καὶ μετεβλήθη τὸ κακὸν εἰς ἀγαθόν· εἰπὲ καὶ σὺ ὡς ὁ Ἰώβ, «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας».

Τί γάρ, εἰπέ μοι, τοιοῦτον πέπονθας; Νόσος ἐπέπεσεν; ἀλλ' οὐδὲν ξένον· θνητὸν γὰρ ἡμῖν τὸ σῶμα καὶ παθητόν. Ἀλλὰ πενία χρημάτων; ἀλλὰ καὶ ταῦτα κτητὰ καὶ ἀπόκτητα, καὶ ἐνταῦθα μένοντα. Ἀλλ' ἐπιβουλαὶ καὶ συκοφαντίαι παρ' ἐχθρῶν; ἀλλ' οὐχ ἡμεῖς ἠδικήμεθα ἐν τούτοις, ἀλλ' ἐκεῖνοι οἱ πεποιηκότες. «Ψυχὴ» γάρ, φησίν, «ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται»· ἥμαρτε δὲ οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ ποιήσας κακῶς. Οὐ τοίνυν τὸν ἀποθανόντα ἀμύνεσθαι χρή, ἀλλ' εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὥστε αὐτὸν ἐξελέσθαι τοῦ θανάτου. Οὐχ ὁρᾶτε τὴν μέλισσαν, ὅτι ἐναποθνήσκει τῷ κέντρῳ; Δι' ἐκείνου τοῦ ζώου παιδεύει ἡμᾶς ὁ Θεὸς μὴ λυπεῖν τοὺς πλησίον· αὐτοὶ γὰρ τὸν θάνατον δεχόμεθα πρότεροι. Ἐκείνους μὲν ἴσως πρὸς μικρὸν ἐλυπήσαμεν· αὐτοὶ δὲ οὐκέτι ζησόμεθα, καθάπερ οὐδὲ ἐκεῖνο τὸ ζῶον. Καίτοιγε ἐπαινεῖ αὐτὸ ἡ Γραφὴ λέγουσα, «Ὡς ἐργάτις ἐστίν· ἧς τὴν ἐργασίαν βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέρονται»· ἀλλ' οὐδὲν αὐτῆς προΐσταται εἰς τὸ μὴ ἀποθανεῖν, ἀλλὰ δεῖ πάντως ἀπολέσθαι. Εἰ δὲ ἐκείνην οὐκ ἐξαιρεῖται ἡ λοιπὴ πλεονεξία ποιοῦσαν κακῶς, πολλῷ μᾶλλον ἡμᾶς.

Θηρίων γὰρ ὄντως χαλεπωτάτων, τό, μηδενός σε ἀδικοῦντος, ἄρχειν ἀδικίας· μᾶλλον δὲ οὐδὲ θηρίων. Ἐκεῖνα γὰρ ἂν ἀφῇς ἐπὶ τῆς ἐρήμου νέμεσθαι, καὶ μὴ στενοχωρήσας εἰς ἀνάγ-

---

9. Ἰὼβ 1,21
10. Ἰεζ. 18,20
11. Παροιμ. 6,8

3. «Πάντοτε νὰ χαίρεσθε». Αὐτὸ λέγεται γιὰ τὶς δοκιμασίες ποὺ προκαλοῦν θλῖψι. Ἀκοῦτε, ὅσοι ἔχετε περιπέσει σὲ φτώχεια, ὅσοι ἔχετε περιπέσει σὲ λυπηρὰ πράγματα, γιατὶ ἀπὸ αὐτὰ γεννᾶται χαρά. Γιατὶ ὅταν ἔχωμε τέτοια ψυχή, ὥστε νὰ μὴ ἐκδικῆται κανένα, ἀλλ' ὅλους εὐεργετεῖ, ἀπὸ ποῦ, εἰπέ μου, θὰ μπορέση νὰ εἰσχωρήση τὸ κεντρὶ τῆς λύπης; Ὅποιος λοιπὸν χαίρεται ἔτσι μὲ τὰ κακὰ ποὺ ἔπαθε, ὥστε καὶ εὐεργεσίες νὰ ἀνταποδίδη σὲ ἐκεῖνον ποὺ τοῦ ἔχει κάμει τὰ κακά, πῶς θὰ μπορέση νὰ ἐνοχλήση στὴ συνέχεια; Καὶ πῶς, λέγει, εἶναι δυνατὸ νὰ γίνη αὐτό; Ἂν θέλωμε, εἶναι δυνατό. Στὴ συνέχεια ἔδειξε καὶ τὸν τρόπο· «Ἀκατάπαυστα νὰ προσεύχεσθε, γιὰ τὸ καθετὶ νὰ εὐχαριστῆτε, γιατὶ αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ ποὺ τὸ διδαχθήκαμε διὰ τοῦ Ἰησοῦ Χριστοῦ». «Γιατὶ αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ», τὸ νὰ εὐχαριστοῦμε πάντοτε αὐτόν. Αὐτὸ εἶναι γνώρισμα εὐσεβοῦς ψυχῆς. Ἔπαθες κάποιο κακό; Ἀλλὰ ἐὰν θέλης, δὲν εἶναι κακό. Εὐχαρίστησε τὸν Θεὸ καὶ τὸ κακὸ ἔχει μεταβληθῆ σὲ ἀγαθό. Εἰπὲ καὶ σὺ ὅπως ὁ Ἰώβ, «Ἂς εἶναι τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένο στοὺς αἰῶνες»[9].

Εἰπέ μου, λοιπόν, τί παρόμοιο ἔχεις πάθει; Μᾶς ἐπρόσβαλε ἀσθένεια; ἀλλὰ δὲν εἶναι καθόλου παράξενο, γιατὶ τὸ σῶμα μας εἶναι θνητὸ καὶ ὑπόκειται σὲ ἀσθένειες. Ἀλλὰ μᾶς ἔτυχε ἔλλειψι χρημάτων; καὶ αὐτὰ ὅμως μποροῦμε νὰ τὰ ἀποκτήσωμε καὶ νὰ τὰ χάσωμε καὶ μένουν ἐδῶ στὴ γῆ. Ἀλλ' ἐπιβουλὲς καὶ συκοφαντίες ἀπὸ τοὺς ἐχθρούς μας; Ἐμεῖς ὅμως δὲν ἀδικούμασθε μὲ αὐτά, ἀλλ' ἐκεῖνοι ποὺ τὰ κάνουν. «Γιατὶ αὐτὸς ποὺ ἁμαρτάνει», λέγει, «αὐτὸς καὶ θὰ πεθάνη»[10]. Ἔχει ἁμαρτήσει ὅμως ὄχι ἐκεῖνος ποὺ ἔπαθε τὸ κακό, ἀλλὰ ἐκεῖνος ποὺ ἔκαμε τὸ κακό. Δὲν πρέπει λοιπὸν νὰ ἐκδικούμασθε αὐτὸν ποὺ πέθανε, ἀλλὰ νὰ προσευχώμασθε γι' αὐτόν, ὥστε νὰ τὸν σώση ὁ Θεὸς ἀπὸ τὸ θάνατο. Δὲν βλέπετε τὴ μέλισσα, ὅτι πεθαίνει ἀμέσως μόλις χάση τὸ κεντρί της; Μὲ τὸ ζῶο αὐτὸ μᾶς διδάσκει ὁ Θεὸς νὰ μὴ προκαλοῦμε λύπη στοὺς πλησίον, γιατὶ ἐμεῖς οἱ ἴδιοι δεχόμασθε πρῶτοι τὸ θάνατο. Ἴσως ἐκείνους τοὺς ἐλυπήσαμε προσωρινά, ἐμεῖς ὅμως δὲν θὰ ζήσωμε πλέον, ὅπως ἀκριβῶς δὲν ζῆ οὔτε τὸ ζῶο αὐτό. Ἂν καὶ βέβαια ἐπαινεῖ αὐτὸ ἡ Γραφὴ λέγοντας, «Πόσο ἐργατικὴ εἶναι· ὁ καρπὸς τῆς ἐργασίας της προσφέρεται σὲ βασιλεῖς καὶ ἰδιῶτες γιὰ τὴν ὑγεία τους»[11]. Ὅμως τίποτε δὲν τὴν προστατεύει γιὰ νὰ μὴ πεθάνη, ἀλλὰ πρέπει ὁπωσδήποτε νὰ πεθάνη. Ἐὰν ὅμως ἡ μεγάλη πλεονεξία δὲν σώζη τὴ μέλισσα ὅταν ἐνεργῆ κακῶς, πολὺ περισσότερο δὲν σώζει ἐμᾶς.

κην καταστήσῃς, οὐδέποτε λυμανεῖται, οὔτε προσελεύσεται, οὔτε δήξεται, ἀλλ' ἀπελεύσεται τὴν οἰκείαν ὁδόν· σὺ δὲ ἄνθρωπος ὢν λογικός, τετιμημένος ἀρχῇ τοσαύτῃ καὶ τιμῇ καὶ δόξῃ, οὐδὲ τὰ θηρία μιμῇ περὶ τοὺς ὁμοφύλους, ἀλλὰ τὸν ἀδελφὸν ἀδικεῖς καὶ κατεσθίεις; Καὶ πόθεν ἀπολογήσασθαι δυνήσῃ; Οὐκ ἀκούεις Παύλου λέγοντος, «Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' αὐτοὶ ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς». Ὁρᾷς ὅτι τὸ κακῶς παθεῖν ἐν τῷ κακῶς ποιῆσαί ἐστι, τὸ δὲ εὖ παθεῖν ἐν τῷ κακῶς παθεῖν; Εἰπὲ γάρ μοι· εἴ τις λοιδοροῖτο τοῖς ἄρχουσιν, εἴ τις ὑβρίζοι τοὺς κρατοῦντας, τίνα ἀδικεῖ; ἑαυτόν, ἢ ἐκείνους; Δῆλον ὅτι ἑαυτόν.

Εἶτα ἄρχοντα μὲν ὁ ὑβρίζων, οὐκ ἐκεῖνον ὑβρίζει, ἀλλ' ἑαυτόν· ὁ δὲ Χριστιανὸν ὑβρίζων, οὐ δι' ἐκείνου τὸν Χριστὸν ὑβρίζει; Ὁ τὰς εἰκόνας λιθάζων, τίνα λιθάζει; οὐχ ἑαυτόν; Εἶτα εἰκόνα μὲν βασιλέως ἐπιγείου λιθάζων, ἑαυτὸν καταλεύει, τοῦ δὲ Χριστοῦ τὴν εἰκόνα ὑβρίζων· ἄνθρωπος γὰρ εἰκὼν Θεοῦ· οὐχ ἑαυτὸν ἀδικεῖ; Μέχρι πότε χρημάτων ἐρῶμεν; οὐ παύσομαι γὰρ αὐτῶν καταβοῶν· ταῦτα γὰρ πάντων αἴτια. Μέχρι τίνος οὐ λαμβάνομεν κόρον τῆς ἀπλήστου ταύτης ἐπιθυμίας; Τί ἔχει καλὸν τὸ χρυσίον; Ἐκπέπληγμαι ἐπὶ τῷ πράγματι· γοητεία τίς ἐστι τὸ πρᾶγμα, χρυσὸν καὶ ἄργυρον τοσούτου τιμᾶσθαι παρ' ἡμῖν. Τῶν μὲν οὖν ψυχῶν ἡμῶν οὐδεὶς ἡμῖν λόγος, ἀψύχων δὲ εἰκόνων πολλὴ ἡ θεραπεία. Πόθεν ἐπεσῆλθε τὸν νόσημα τοῦτο τῇ οἰκουμένῃ; τίς ἐξολοθρεῦσαι αὐτὸ δυνήσεται; ποῖος ἐκκόψαι λόγος τὸ χαλεπὸν τοῦτο θηρίον, καὶ πανωλεθρίᾳ διαφθεῖραι; Ἐνέσπαρται ταῖς τῶν ἀνθρώπων διανοίαις ἡ ἐπιθυμία, καὶ τῶν δοκούντων εἶναι ἐν εὐλαβείᾳ. Αἰσχυνώμεθα ἐπὶ τοῖς εὐαγγελικοῖς παραγγέλμασι· ῥήματα κεῖται ἐν τῇ Γραφῇ μόνον, ἐπὶ δὲ τῶν ἔργων οὐδαμοῦ δείκνυται.

4. Ἀλλὰ τίς ὁ εὐπρόσωπος τῶν πολλῶν λόγος; Παιδία ἔχω, φησί, καὶ αὐτὸς δέδοικα μήποτε εἰς ἀνάγκην καταστῶ λιμοῦ καὶ

12. Α' Κορ. 6,7.8

Πράγματτι εἶναι γνώρισμα τῶν πιὸ φοβερῶν θηρίων, τὸ νὰ ἀρχίζης τὴν ἀδικία, ὅταν δὲν σὲ ἀδικῇ κανείς, ἢ καλύτερα οὔτε τῶν θηρίων. Γιατὶ ἂν ἀφήσης ἐκεῖνα νὰ βόσκουν στὴν ἔρημο, καὶ δὲν τὰ φέρης σὲ ἀνάγκη ὅταν τὰ περιορίσης τὸ χῶρο, ποτὲ δὲν θὰ σὲ βλάψουν, οὔτε θὰ σὲ ἐπιτεθοῦν, οὔτε θὰ σὲ δαγκώσουν, ἀλλὰ θὰ βαδίσουν τὸ δρόμο τους. Ἐσὺ ὅμως ὁ ἄνθρωπος ἂν καὶ ἔχεις λογικό, ἂν καὶ ἔχεις τιμηθῆ μὲ τέτοια ἐξουσία καὶ τιμὴ καὶ δόξα, οὔτε τὰ θηρία μιμεῖσαι σχετικὰ μὲ τοὺς συνανθρώπους σου, ἀλλὰ τὸν ἀδελφό σου ἀδικεῖς καὶ καταστρέφεις; Καὶ πῶς θὰ μπορέσης νὰ ἀπολογηθῆς; Δὲν ἀκούεις τὸν Παῦλο ποὺ λέγει, «Γιατὶ δὲν προτιμᾶτε νὰ ἀδικῆσθε; γιατὶ δὲν προτιμᾶτε νὰ στερῆσθε; Ἀλλὰ ἐσεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ αὐτὰ τὰ κάνετε σὲ ἀδελφούς»[12]. Βλέπεις ὅτι τὸ νὰ κακοποιηθῆ κανεὶς ὑπάρχει μέσα στὸ ὅτι ἐκακοποίησε, τὸ νὰ εὐεργετηθῆ ὅμως μέσα στὸ ὅτι ἔχει κακοποιηθῆ; Γιατὶ εἰπέ μου· ἐὰν κανεὶς κακολογῆ τοὺς ἄρχοντες, ἐὰν κανεὶς ὑβρίζῃ ἐκείνους ποὺ ἔχουν τὴν ἐξουσία, ποιὸν ἀδικεῖ; τὸν ἑαυτό του ἢ ἐκείνους; Εἶναι φανερὸ ὅτι ἀδικεῖ τὸν ἑαυτό του.

Ἔπειτα αὐτὸς ποὺ ὑβρίζει βέβαια τὸν ἄρχοντα, δὲν ὑβρίζει ἐκεῖνον, ἀλλὰ τὸν ἑαυτό του. Αὐτὸς ὅμως ποὺ ὑβρίζει τὸ Χριστιανό, διὰ μέσου ἐκείνου δὲν ὑβρίζει τὸν Χριστό; Ὅποιος λιθοβολεῖ τὶς εἰκόνες, ποιὸν λιθοβολεῖ; δὲν λιθοβολεῖ τὸν ἑαυτό του; Ἔπειτα ὅταν λιθοβολῆ τὴν εἰκόνα ἐπιγείου βασιλέως, καταστρέφει τὸν ἑαυτό του, ὅταν ὅμως ὑβρίζῃ τὴν εἰκόνα τοῦ Χριστοῦ, γιατὶ ὁ ἄνθρωπος εἶναι εἰκόνα τοῦ Θεοῦ, δὲν ἀδικεῖ τὸν ἑαυτό του; Ἕως πότε θὰ ἐπιθυμοῦμε τὰ χρήματα; δὲν θὰ σταματήσω βέβαια νὰ κατηγορῶ αὐτά, γιατὶ εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν. Ἕως πότε δὲν θὰ χορτάσωμε αὐτὴν τὴν ἀκόρεστη ἐπιθυμία; Τί καλὸ ἔχει τὸ χρῆμα; Μοῦ προκαλεῖ ἔκπληξι αὐτὸ τὸ πρᾶγμα. Ἔχει κάποια γοητεία τὸ πρᾶγμα, νὰ τιμᾶμε δηλαδὴ τόσο πολὺ τὸ χρυσάφι καὶ τὸ ἀσήμι. Τὶς μὲν λοιπὸν ψυχές μας δὲν τὶς φροντίζομε καθόλου, ἐνῶ δείχνομε τόση φροντίδα γιὰ τὶς ἄψυχες εἰκόνες. Ἀπὸ ποῦ εἰσχώρησε ἡ ἀσθένεια αὐτὴ στὴν οἰκουμένη; ποιὸς θὰ μπορέση νὰ τὴν ἐξολοθρεύση; ποιὸς λόγος θὰ μπορέση νὰ ξεριζώση τὸ φοβερὸ αὐτὸ θηρίο καὶ νὰ τὸ καταστρέψῃ ὁλοκληρωτικά; Εἶναι σπαρμένη ἡ ἐπιθυμία μέσα στὶς σκέψεις τῶν ἀνθρώπων καὶ αὐτῶν ποὺ νομίζουν ὅτι εἶναι εὐσεβεῖς. Ἂς ἐντρεπώμασθε γιὰ τὶς εὐαγγελικὲς ἐντολές. Τὰ λόγια εὑρίσκονται μόνο στὴν ἁγία Γραφή, ἔργα ὅμως πουθενὰ δὲν παρουσιάζονται.

ἐνδείας, μήποτε ἑτέρων δεηθῶ· αἰσχύνομαι ἐπαιτεῖν. Διὰ τοῦτο οὖν ἄλλους ποιεῖς ἐπαιτεῖν; Οὐ δύναμαι, φησί, πεινῆν. Διὰ τοῦτο ἑτέρους περιβάλλεις λιμῷ; Οἶδας ὅσον δεινὸν τὸ ἐπαιτεῖν; ὅσον τὸ λιμῷ φθείρεσθαι; φεῖσαι καὶ τῶν ἀδελφῶν τῶν σῶν. Αἰσχύνῃ πεινῆν, εἰπέ μοι, ἁρπάζειν δὲ οὐκ αἰσχύνῃ; δέδοικας λιμῷ φθείρεσθαι, ἑτέρους δὲ φθείρειν οὐ δέδοικας; Καίτοι τὸ μὲν πεινῆν οὐδὲ αἰσχύνην ἔχει, οὐδὲ ἔγκλημα· τὸ δὲ ἑτέρους περιβάλλειν τούτοις, οὐκ αἰσχύνην μόνον, ἀλλὰ καὶ κόλασιν ἐπιφέρει τὴν ἐσχάτην. Σκῆψις πάντα ταῦτα, καὶ λόγοι καὶ φλυαρίαι. Ὅτι γὰρ οὐ παίδων ἕνεκεν ταῦτα ποιεῖτε μαρτυροῦσιν ὅσοι παῖδας μὲν οὐκ ἔχουσιν οὐδὲ ἕξουσι, κόπτονται δὲ οὕτω καὶ ταλαιπωροῦσι, καὶ πλοῦτον περιβάλλονται, ὅσον ἂν εἰ μυρίοις εἶχον καταλεῖψαι παισίν. Οὐκ ἔστι παίδων φροντὶς ἡ ποιοῦσα χρηματιστικόν, ἀλλὰ ψυχῆς νόσος. Διὰ ταύτην καὶ οὐκ ἔχοντες πολλοὶ μαίνονται περὶ τὰ χρήματα· ἕτεροι δὲ ἐν πολυπαιδίᾳ ζῶντες, καὶ τῶν ὄντων καταφρονοῦσιν· ἐκεῖνοί σου κατηγορήσουσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Εἰ γὰρ ἡ τῶν παίδων ἀνάγκη πρὸς τὴν τῶν χρημάτων ἐβιάζετο συλλογήν, ἐχρῆν κἀκείνους τὸν αὐτὸν ἔχειν πόθον, τὴν αὐτὴν ἐπιθυμίαν· εἰ δὲ οὐκ ἔχουσιν, οὐκ ἀπὸ τῆς πολυπαιδίας, ἀλλ' ἀπὸ τῆς φιλοχρηματίας μαινόμεθα.

Καὶ τίνες εἰσί, φησίν, οἱ μετὰ παίδων καταφρονοῦντες χρημάτων; Πολλοί, καὶ πολλαχοῦ· εἰ δὲ βούλει, καὶ ἐπὶ τῶν παλαιῶν ἐρῶ. Οὐχὶ δώδεκα παῖδας εἶχεν ὁ Ἰακώβ; οὐχὶ τὸν τῶν θητευόντων ἔζη βίον; οὐκ ἠδικεῖτο παρὰ τοῦ κηδεστοῦ; οὐχὶ πολλάκις αὐτὸν ἠθέτησε; μὴ ἠνάγκασεν αὐτὸν ἡ πολυπαιδία βουλεύσασθαί τι τῶν μὴ δεόντων; Τί δὲ ὁ Ἀβράαμ; οὐχὶ μετὰ τοῦ Ἰσαὰκ καὶ ἑτέρους πολλοὺς εἶχε παῖδας; τί οὖν; οὐχὶ τοῖς ξένοις τὰ ὄντα ἐκέκτητο; Ὁρᾷς ὅτι οὐ μόνον οὐκ ἠδίκει, ἀλλὰ καὶ τῶν ὄντων παρεχώρει, οὐκ εὖ ποιῶν μόνον, ἀλλὰ καὶ αἱρούμενος ἀδικεῖσθαι παρὰ τοῦ ἀδελφιδοῦ; Τοῦ γὰρ εὖ ποιεῖν τὸ φέρειν ἁρπαζόμενον διὰ τὸν Θεὸν πολλῷ μεῖζόν ἐστι. Διὰ τί; Ὅτι τὸ μὲν ψυχῆς

---

13. Πρόκειται γιὰ τὸν Λάβαν, ὁ ὁποῖος ἦταν ἀδελφὸς τῆς μητέρας τοῦ Ἰακὼβ καὶ πεθερός του, ἀφοῦ τοῦ ἔδωσε τὶς θυγατέρες του Λεία καὶ Ραχήλ. Βλ. Γεν. 29,15 ἑ.

4. Ἀλλὰ ποιὸς εἶναι ὁ λόγος ποὺ παρουσιάζουν οἱ πολλοὶ γιὰ δικαιολογία; Παιδιὰ ἔχω, λέγει, καὶ ὁ ἴδιος φοβᾶμαι μήπως κάποτε εὑρεθῶ σὲ ἀνάγκη πείνας καὶ ἀνέχειας, μήπως κάποτε θὰ ἔχω ἀνάγκη ἀπὸ ἄλλα· ἐντρέπομαι νὰ ἐπαιτῶ. Γι' αὐτὸ λοιπὸν κάνεις ἄλλους νὰ ἐπαιτοῦν; Δὲν μπορῶ, λέγει, νὰ πεινῶ. Γι' αὐτὸ περιβάλλεις ἄλλους μὲ πεῖνα; Γνωρίζεις πόσο φοβερὸ εἶναι ἡ ἐπαιτεία; Πόσο φοβερὸ τὸ νὰ καταστρέφεται κανεὶς ἀπὸ πεῖνα; λυπήσου καὶ τοὺς ἀδελφούς σου. Ἐντρέπεσαι νὰ πεινᾶς, εἰπέ μου, καὶ δὲν ἐντρέπεσαι νὰ ἁρπάζης; φοβᾶσαι μήπως καταστραφῆς ἀπὸ πεῖνα, καὶ δὲν φοβᾶσαι νὰ καταστρέφης ἄλλους; Ἂν καὶ βέβαια ἡ πεῖνα οὔτε ἐντροπὴ ἔχει, οὔτε κατηγορία, τὸ νὰ περιβάλλης ὅμως ἄλλους μὲ αὐτά, δὲν εἶναι μόνο ἐντροπή, ἀλλὰ καὶ ἐπιφέρει τὴν πιὸ μεγάλη τιμωρία. Δικαιολογία εἶναι ὅλα αὐτὰ καὶ λόγια καὶ φλυαρίες. Γιατὶ ὅτι τὸ δὲν κάνετε αὐτὰ ἐξ αἰτίας τῶν παιδιῶν, τὸ ἐπιβεβαιώνουν ὅσοι βέβαια δὲν ἔχουν παιδιὰ καὶ ποὺ οὔτε θὰ ἔχουν, ποὺ κοπιάζουν ὅμως τόσο πολὺ καὶ ταλαιπωροῦνται, καὶ ἀποκτοῦν πλοῦτο, ὅσο θὰ ἠμποροῦσαν νὰ ἀφήσουν σὲ πάρα πολλὰ παιδιά. Δὲν εἶναι ἡ φροντίδα τῶν παιδιῶν αὐτὴ ποὺ κάνει τὸν ἄνθρωπο νὰ ἀσχολῆται μὲ τὴν ἀπόκτησι τῶν χρημάτων, ἀλλὰ ἡ ἀσθένεια τῆς ψυχῆς. Ἐξ αἰτίας αὐτῆς καὶ χωρὶς νὰ ἔχουν παιδιὰ πολλοὶ τρελλαίνονται γιὰ τὰ χρήματα, ἄλλοι ὅμως ἂν καὶ ζοῦν μὲ πολλὰ παιδιὰ περιφρονοῦν καὶ τὰ χρήματα ποὺ ἔχουν. Ἐκεῖνοι θὰ σὲ κατηγορήσουν κατὰ τὴν ἡμέρα τῆς κρίσεως. Γιατὶ ἐὰν ἡ ἀνάγκη τῶν παιδιῶν ἐπίεζε γιὰ τὴ συγκέντρωσι τῶν χρημάτων, ἔπρεπε καὶ ἐκεῖνοι νὰ ἔχουν τὸν ἴδιο πόθο, τὴν ἴδια ἐπιθυμία. Ἀφοῦ ὅμως δὲν ἔχουν, δὲν κάνομε σὰν τρελλοὶ ἀπὸ τὰ πολλὰ παιδιά, ἀλλὰ ἀπὸ τὴν ἀγάπη γιὰ τὰ χρήματα.

Καὶ ποιοὶ εἶναι, λέγει, αὐτοὶ ποὺ ἔχουν παιδιὰ καὶ περιφρονοῦν τὰ χρήματα; Πολλοὶ καὶ σὲ πολλὰ μέρη· ἐὰν ὅμως θέλης, θὰ ἀναφερθῶ καὶ στοὺς παλαιούς. Δὲν εἶχε δώδεκα παιδιὰ ὁ Ἰακώβ; δὲν ἐζοῦσε σὰν ἐργάτης; δὲν ἀδικοῦνταν ἀπὸ τὸν πεθερό του[13]; δὲν τοῦ εἶχε ἀρνηθῆ πολλὲς φορὲς τὴν ὑπόσχεσί του; μήπως τὸν ἠνάγκασαν τὰ πολλὰ παιδιὰ νὰ σκεφθῆ κάτι ἀπὸ τὰ μὴ ἀπαραίτητα; Καὶ τί ὁ Ἀβραάμ; δὲν εἶχε μαζὶ μὲ τὸν Ἰσαὰκ καὶ πολλὰ ἄλλα παιδιά; τί λοιπόν; δὲν ἐπρομηθεύετο τὰ πράγματα γιὰ τοὺς ξένους; Βλέπεις ὅτι ὄχι μόνο δὲν ἔκανε ἀδικίες, ἀλλὰ καὶ ἐπαραχωροῦσε ἀπὸ τὰ ὑπάρχοντά του καὶ δὲν εὐεργετοῦσε μόνο, ἀλλὰ καὶ ἐπροτιμοῦσε νὰ ἀδικῆται ἀπὸ τὸν ἀνεψιό του; Τὸ νὰ ὑπομένη κανεὶς ὅταν τοῦ

ἐστι καρπὸς καὶ βία. Καὶ εὐκολώτερον ἄν τις μυρία πρόοιτο τάλαντα ἑκών, καὶ οὐδὲν ἡγήσεται πεπονθέναι δεινόν, ἢ τρεῖς ὀβολοὺς ἁρπαγεὶς καὶ παρὰ γνώμην, οἴσει πράως. Ὥστε τοῦτο φιλοσοφία μᾶλλον ψυχῆς. Καὶ τοῦτο ὁρῶμεν γεγονὸς ἐπὶ τοῦ Ἀβραάμ. «Εἶδε» γάρ, φησί, «τὴν περίχωρον ὁ Λώτ, καὶ ἦν ποτιζομένη, ὡς ὁ παράδεισος τοῦ Θεοῦ, καὶ ἐξελέξατο αὐτήν». Καὶ οὐδὲν ἐκεῖνος ἀντεῖπεν. Ὁρᾷς ὅτι οὐ μόνον οὐκ ἠδίκει, ἀλλὰ καὶ ἠδικεῖτο;

Τί κατηγορεῖς τῶν παίδων τῶν σαυτοῦ, ἄνθρωπε; Οὐ διὰ τοῦτο ἡμῖν ὁ Θεὸς ἔδωκε τοὺς παῖδας, ἵνα ἁρπάζωμεν τὰ ἑτέρων. Ὅρα μὴ τὸν Θεὸν παροξύνῃς τοῦτο λέγων. Εἰ γὰρ τοῦτο λέγεις, ὅτι αὐτοί σοι τῆς ἁρπαγῆς γίνονται αἴτιοι καὶ τοῦ χρηματισμοῦ, δέδοικα μὴ αὐτῶν ἀποστερηθῇς, ὡς βλαπτόντων καὶ ἐπιβουλευόντων. Ὁ Θεός σοι τοὺς παῖδας ἔδωκεν, ἵνα σε γηροκομῶσιν, ἵνα τὴν ἀρετὴν μανθάνωσι παρὰ σοῦ. Διὰ γὰρ τοῦτο τὸ τῶν ἀνθρώπων γένος οὕτως ἠθέλησε συνεστάναι, δύο τὰ μέγιστα κατασκευάζων, ἕνα μέν, διδασκάλους ἐφιστῶν τοὺς πατέρας, ἕτερον δέ, πολλὴν ἀγάπην ἐντίκτων. Εἰ γὰρ ἁπλῶς ἔμελλον οἱ ἄνθρωποι γίνεσθαι, οὐδεὶς ἂν πρὸς οὐδένα σχέσιν ἔσχεν. Εἰ γὰρ νῦν πατέρων ὄντων καὶ παίδων καὶ ἐκγόνων, πολλοὶ πολλῶν οὐ φροντίζουσι, πολλῷ μᾶλλον τότε. Διὰ τοῦτό σοι παῖδας ἔδωκεν ὁ Θεός· μὴ τοίνυν κατηγόρει τῶν παίδων. Εἰ δὲ οἱ παῖδας ἔχοντες οὐδεμίαν ἔχουσιν ἀπολογίαν, οἱ μὴ ἔχοντες, καὶ κοπτόμενοι περὶ τὴν τοῦ πλούτου συλλογήν, ποῖον ἂν εἴποιεν λόγον;

5. Ἀλλ' ἔστι τις καὶ αὐτοῖς λόγος πάσης ἀπολογίας ἀπεστερημένος. Τίς δὴ οὗτός ἐστιν; Ἵνα ἀντὶ τῶν παίδων ἔχωμεν, φησί, τὸν πλοῦτον ὑπόμνημα. Ὄντως γέλως πολύς. Ἀντὶ τῶν παίδων, φησίν, ἡ οἰκία μνήμη ἀθάνατος γίνεται τῆς δόξης τῆς ἐμῆς. Οὐ τῆς δόξης σου, ἄνθρωπε, ἀλλὰ τῆς πλεονεξίας ἔσται μνήμη. Ἢ οὐχ ὁρᾷς νῦν πῶς πολλοὶ παριόντες τὰς λαμπρὰς οἰκίας τοιαῦτα διαλέγονται πρὸς ἀλλήλους· πόσα ὁ δεῖνα ἐπλεονέκτησε, πόσα ἥρπασεν, ἵνα ταύτην οἰκοδομήσῃ τὴν οἰκίαν; καὶ νῦν ἐκεῖνος μὲν γέγονε τέφρα καὶ κόνις, αὕτη δὲ εἰς ἑτέρων κλῆρον διέβη. Οὐ τῆς δόξης σου τοίνυν καταλιμπάνεις μνήμην, ἀλλὰ τῆς πλεονεξίας. Καὶ τὸ μὲν σῶμά σου κέκρυπται τῇ γῇ, τῆς δὲ πλεονεξίας

---

14. Γεν. 12,10.11

ἁρπάζουν ὑπάρχοντα γιὰ τὸν Θεὸ εἶναι πολὺ μεγαλύτερο ἀπὸ τὸ νὰ εὐεργετῇ. Γιατί; Διότι τὸ ἕνα εἶναι καρπὸς τῆς ψυχῆς καὶ τῆς προαιρέσεως τοῦ καθενός, γι' αὐτὸ καὶ εὔκολα γίνεται, τὸ ἄλλο ὅμως εἶναι προσβολὴ καὶ βία. Καὶ εὐκολώτερα θὰ ἔδινε κανεὶς πολλὰ τάλαντα μὲ τὴ θέλησί του καὶ δὲν θὰ θεωρήση ὅτι ἔχει πάθει τίποτε τὸ φοβερό, παρὰ θὰ ὑποφέρη μὲ ἠρεμία ὅταν τοῦ ἁρπάξουν τρεῖς ὀβολοὺς παρὰ τὴ θέλησί του. Ἑπομένως αὐτὸ εἶναι ἡ μεγαλύτερη εὐσέβεια τῆς ψυχῆς. Καὶ αὐτὸ βλέπομε ὅτι ἔχει συμβῆ στὴν περίπτωσι τοῦ Ἀβραάμ. «Γιατὶ εἶδε», λέγει, «τὴ γειτονικὴ χώρα ὁ Λώτ, καὶ ἐποτίζετο, ὅπως ὁ παράδεισος τοῦ Θεοῦ, καὶ ἐπροτίμησε αὐτήν»[14]. Καὶ ἐκεῖνος δὲν εἶπε τίποτε τὸ ἀντίθετο. Βλέπεις ὅτι ὄχι μόνο δὲν ἔκανε ἀδικίες, ἀλλὰ καὶ ἀδικοῦνταν;

Γιατί κατηγορεῖς τὰ παιδιά σου, ἄνθρωπε; Δὲν μᾶς ἔδωσε γι' αὐτὸ τὰ παιδιὰ ὁ Θεός, γιὰ νὰ ἁρπάξωμε τὰ ὑπάρχοντα τῶν ἄλλων. Πρόσεχε νὰ μὴ παροργίσης τὸν Θεὸ λέγοντας αὐτό. Γιατί, ἐὰν λέγης αὐτό, ὅτι δηλαδὴ τὰ παιδιά σου γίνονται ἡ αἰτία τῆς ἁρπαγῆς καὶ τῆς ἀποκτήσεως τῶν χρημάτων, φοβᾶμαι μήπως στερηθῆς αὐτά, ἐπειδὴ σὲ βλάπτουν καὶ σὲ ἐπιβουλεύονται. Ὁ Θεὸς σοῦ ἔδωσε τὰ παιδιά, γιὰ νὰ σὲ γηροκομοῦν, γιὰ νὰ μαθαίνουν τὴν ἀρετὴ ἀπὸ σένα. Γι' αὐτὸ λοιπὸν ἔτσι ἠθέλησε νὰ συνενώση τὸ ἀνθρώπινο γένος, κάνοντας τὰ δύο μέγιστα αὐτά, τὸ ἕνα, ὁρίζοντας τοὺς πατέρες διδασκάλους, καὶ τὸ ἄλλο, θέτοντας μέσα του πολλὴ ἀγάπη. Γιατί, ἐὰν ἐπρόκειτο ἁπλῶς νὰ γεννῶνται οἱ ἄνθρωποι, κανεὶς δὲν θὰ εἶχε σχέσεις πρὸς κανένα. Γιατί, ἐὰν τώρα ποὺ ὑπάρχουν πατέρες καὶ παιδιὰ καὶ ἐγγόνια, πολλοὶ δὲν φροντίζουν γιὰ πολλά, πολὺ περισσότερο τότε. Γι' αὐτὸ σοῦ ἔδωσε παιδιὰ ὁ Θεός· μὴ κατηγορῆς λοιπὸν τὰ παιδιά. Καὶ ἐὰν ὅσοι ἔχουν παιδιὰ δὲν ἔχουν καμμία δικαιολογία, ὅσοι δὲν ἔχουν καὶ κοπιάζουν γιὰ τὴ συγκέντρωσι τοῦ πλούτου, ποιὸ λόγο θὰ μποροῦσαν νὰ προβάλουν;

5. Ἀλλὰ ὑπάρχει καὶ σ' αὐτοὺς κάποιος λόγος στερημένος ἀπὸ κάθε δικαιολογία. Ποιὸς λοιπὸν εἶναι αὐτός; Γιὰ νὰ ἔχωμε, λέγει, ἀντὶ τῶν παιδιῶν τὸν πλοῦτο ἀνάμνησι. Πραγματικὰ εἶναι πολὺς ὁ περίγελως. Ἀντὶ τῶν παιδιῶν, λέγει, τὸ σπίτι γίνεται ἀθάνατη ὑπενθύμισι τῆς ἰδικῆς μου δόξας. Δὲν θὰ εἶναι ὑπενθύμισι τῆς δόξας σου, ἄνθρωπε, ἀλλὰ τῆς πλεονεξίας σου. Ἢ δὲν βλέπεις τώρα πῶς πολλοὶ διερχόμενοι ἀπὸ τὰ λαμπρὰ σπίτια συζητοῦν μεταξύ τους τέτοια περίπου· πόσα ἥρπαξε μὲ ἀπάτη, πόσα ἔκλεψε, γιὰ νὰ κτίση αὐτὴ τὴν οἰκοδομή; καὶ τώρα ἐκεῖνος ἔχει γίνει στάχτη καὶ σκόνη,

μνήμην λαθεῖν τῷ πλήθει τοῦ χρόνου δυναμένην οὐκ ἀφίῃς, ἀλλ' ἀνακρούεσθαι καὶ ἀνασκάπτεσθαι ποιεῖς διὰ τῆς οἰκίας. Ἕως γὰρ ἂν αὕτη ἑστήκῃ, τὴν ἐπωνυμίαν ἔχουσα τὴν σήν, καὶ τοῦ δεῖνος λεγομένη, πάντως ἀνάγκη καὶ τὰ πάντων ἀνεῳχθῆναι στόματα κατὰ σοῦ.

Ὁρᾷς ὅτι βέλτιον μηδὲν ἔχειν, ἢ ταύτην ὑπομένειν τὴν κατηγορίαν; Καὶ ταῦτα μὲν ἐνταῦθα· ἐκεῖ δὲ τί ποιήσομεν, εἰπέ μοι, τοσούτων μὲν ἐνταῦθα γινόμενοι κύριοι, οὐδενὶ δὲ τῶν ὄντων μεταδόντες, ἢ σφόδρα ὀλίγων; πῶς τὰς πλεονεξίας ἀποδυσόμεθα; Ὁ γὰρ βουλόμενος πλεονεξίαν ἀποδύσασθαι, οὐκ ὀλίγα ἀπὸ πολλῶν δίδωσιν, ἀλλὰ πολλαπλασίονα τῶν ἁρπασθέντων, καὶ ἵσταται ἁρπάζων. Ἄκουσον ὁ Ζακχαῖος τί λέγει· «Καὶ ὅσων ἥρπασα, τετραπλασίονα ἀποδίδωμι». Σὺ δὲ ἁρπάζων μυρία τάλαντα, ἂν ὀλίγας δῷς δραχμάς, τὸ πᾶν ἀποδεδωκέναι νομίζεις, καὶ ὡς πλείονα δεδωκὼς διάκεισαι. Καὶ οὕτω δὲ μόλις· διὰ τί; δεῖ γὰρ αὐτά τε ἀποδοῦναι ἐκεῖνα, καὶ ἐκ τῶν οἴκοθεν προσθεῖναι ἕτερα. Καθάπερ γὰρ ὁ κλέπτης οὐκ ἐκεῖνα ἀποδιδοὺς μόνα ἀπολελόγηται, ἀλλὰ πολλάκις μὲν καὶ τὴν ψυχὴν προσέθηκε, πολλάκις δὲ πολλαπλασίονα δοὺς διαλύεται, οὕτω καὶ ὁ πλεονέκτης. Καὶ γὰρ καὶ ὁ πλεονέκτης κλέπτης ἐστί, καὶ λῃστὴς ἐκείνου πολλῷ χαλεπώτερος, ὅσῳ καὶ τυραννικώτερος. Ἐκεῖνος μὲν οὖν καὶ τῷ κρύπτεσθαι, καὶ τῷ ἐν νυκτὶ ἐπιχειρεῖν, πολὺ τοῦ τολμήματος ὑποτέμνεται, ὡσανεὶ αἰσχυνόμενος καὶ δεδοικὼς τὸ ἁμαρτάνειν· οὗτος δὲ ἀπαναισχυντήσας, γυμνῇ τῇ κεφαλῇ κατὰ μέσην ἀγορὰν ἁρπάζει τὰ πάντων, κλέπτης τε ὁμοῦ καὶ τύραννος ὤν. Οὐ διορύττει τοίχους, οὐδὲ σβέννυσι λαμπάδα, οὐδὲ κιβώτιον ἀνοίγει, οὐδὲ σήμαντρα ἀνατρέπει· ἀλλὰ τί; τὰ τούτων νεανικώτερα ποιεῖ, ὁρώντων τῶν ἀδικουμένων, διὰ τῆς θύρας ἐκβάλλει, μετὰ παρρησίας πάντα ἀνοίγει, αὐτοὺς ἐκείνους ἀναγκάζει τὰ αὐτῶν ἐκθέσθαι.

Τοσαύτη τῆς βίας ἡ ὑπερβολή. Οὗτος ἐκείνων πολλῷ μιαρώτερος, ὅσῳ καὶ ἀναισχυντότερος καὶ τυραννικώτερος. Ὁ μὲν γὰρ δόλῳ τι παθών, ἀλγεῖ μέν, πλὴν ἀλλ' ἔχει παραμυθίαν οὐ μικράν, τὸ κἂν φοβηθῆναι αὐτὸν ἐκεῖνον τὸν ἀδικοῦντα· ὁ δὲ

15. Λουκᾶ 19,8

αὐτὴ ὅμως ἐπέρασε στὴ κληρονομία ἄλλων. Δὲν ἐγκαταλείπεις λοιπὸν ἀνάμνησι τῆς δόξας σου, ἀλλὰ τῆς πλεονεξίας σου. Καὶ τὸ μὲν σῶμα σου εἶναι κρυμμένο στὴ γῆ, τὴ ἀντάμνησι τῆς πλεονεξίας ὅμως ἂν καὶ μπορῆ νὰ ξεχασθῆ μὲ τὸν πολὺ χρόνο δὲν ἀφήνεις, ἀλλὰ κάνεις νὰ ἐπανέρχεται καὶ νὰ ἀνακινῆται αὐτὴ μὲ τὸ σπίτι. Γιατὶ ἐν ὅσω θὰ ὑπάρχη αὐτὸ καὶ θὰ ἔχη τὴν ἐπωνυμία σου καὶ θὰ λέγεται τοῦ τάδε, ὁπωσδήποτε εἶναι ἀνάγκη νὰ ἀνοίγουν καὶ τὰ στόματα ὅλων ἐναντίον σου.

Βλέπεις ὅτι εἶναι προτιμότερο νὰ μὴ ἔχωμε τίποτε, παρὰ νὰ ὑπομένωμε αὐτὴ τὴν κατηγορία; Καὶ αὐτὰ βέβαια συμβαίνουν ἐδῶ· ἐκεῖ ὅμως τί θὰ κάνωμε, εἰπέ μου, πού, ἐνῶ γινόμασθε κύριοι ἐδῶ τόσων ἀγαθῶν, δὲν δίνομε ὅμως σὲ κανένα ἕνα μέρος ἀπὸ τὰ ὑπάρχοντά μας ἢ πάρα πολὺ λίγα; πῶς θὰ ἐκδιώξωμε τὶς πλεονεξίες; Γιατὶ ὅποιος θέλει νὰ ἐκδιώξη τὴν πλεονεξία, δὲν δίνει λίγα ἀπὸ τὰ πολλά, ἀλλὰ πολλὲς φορὲς περισσότερα ἀπὸ ἐκεῖνα ποὺ ἔχει ἁρπάξει καὶ σταματᾶ νὰ ἁρπάζη. Ἄκουσε τί λέγει ὁ Ζακχαῖος· «Καὶ ἀπὸ ὅσα ἔχω ἁρπάξει, ἐπιστρέφω τετραπλάσια»[15]. Ἐσὺ ὅμως ἁρπάζοντας ἄπειρα τάλαντα, ἂν δώσης λίγες δραχμές, νομίζεις ὅτι ἔχεις ἀποδώσει τὰ πάντα, καὶ συμπεριφέρεσαι σὰν νὰ ἔχης δώσει περισσότερα. Καὶ αὐτὸ ὅμως μὲ πολὺ κόπο· γιατί; διότι πρέπει νὰ ἐπιστρέψης καὶ ἐκεῖνα τὰ ἴδια, καὶ νὰ προσθέσης ἄλλα ἀπὸ αὐτὰ ποὺ ἔχεις στὸ σπίτι. Ὅπως ἀκριβῶς λοιπὸν ὁ κλέπτης δὲν μπορεῖ νὰ ἐπιτύχη ἀπολογία γιὰ τὸν ἑαυτό του ὅταν ἐπιστρέψη μόνο ἐκεῖνα ποὺ ἔκλεψε, ἀλλὰ πολλὲς φορὲς ἐπρόσθεσε καὶ τὴ ζωή του καὶ πολλὲς φορὲς δὲ ὅταν δώση πολὺ περισσότερα ἀπαλλάσσεται, ἔτσι καὶ ὁ πλεονέκτης. Γιατὶ καὶ ὁ πλεονέκτης εἶναι κλέπτης καὶ ληστὴς πολὺ πιὸ φοβερὸς ἀπὸ ἐκεῖνον, ὅσο καὶ πιὸ τυραννικός. Ἐκεῖνος λοιπὸν καὶ μὲ τὸ νὰ κρύπτεται καὶ μὲ τὸ νὰ ἐπιτίθεται τὴ νύκτα, ἐμποδίζεται πολὺ στὸ τόλμημά του, σὰν κατὰ κάποιο τρόπο νὰ ἐντρέπεται καὶ νὰ φοβῆται τὴν ἁμαρτία, αὐτὸς ὅμως ἀφοῦ ἔγινε τελείως ἀναίσχυντος, μὲ ἀκάλυπτο τὸ κεφάλι στὴ μέση τῆς ἀγορᾶς ἁρπάζει τὰ πράγματα ὅλων, γενόμενος συγχρόνως καὶ κλέπτης καὶ τύραννος. Δὲν τρυπᾶ τοὺς τοίχους, οὔτε σβήνει τὸ λυχνάρι, οὔτε ἀνοίγει τὸ κιβώτιο, οὔτε καταστρέφει τὰ σήμαντρα. Ἀλλὰ τί κάνει; τὰ πιὸ βίαια ἀπὸ αὐτά, ἐνῶ βλέπουν οἱ ἀδικούμενοι, ἀπὸ τὴν πόρτα τὰ φέρει ἔξω, μὲ παρρησία ἀνοίγει τὰ πάντα, αὐτοὺς τοὺς ἴδιους ἐξαναγκάζει νὰ τοποθετήσουν ἔξω τὰ δικά τους.

μετὰ τοῦ κακῶς παθεῖν καὶ καταφρονούμενος, οὐδὲ ἐνεργεῖν τὴν βίαν δυνήσεται· μείζων γὰρ ὁ γέλως. Εἰπέ μοι, εἴ τις γυναῖκα ἐμοίχευσε λαθών, ἕτερος δὲ ὁρῶντος τοῦ ἀνδρὸς τοῦτο εἰργάσατο, τίς μᾶλλον ἐλύπησεν, καὶ δακεῖν ἦν ἱκανός; Ὁ μὲν γὰρ μετὰ τοῦ κακῶς ποιῆσαι καὶ διέπτυσεν· ὁ δέ, εἰ μηδὲν ἕτερον, ἔδειξεν ὅτι δέδοικε τὸν ἠδικημένον. Οὕτω καὶ ἐπὶ τῶν χρημάτων, ὁ μὲν λάθρα λαβών, ταύτῃ τετίμηκε, τῷ λάθρα λαβεῖν· ὁ δὲ φανερῶς καὶ δημοσίᾳ, μετὰ τῆς ζημίας καὶ αἰσχύνην ἐπήγαγε. Παυσώμεθα οὖν τὰ ἑτέρων ἁρπάζοντες, καὶ πένητες καὶ πλούσιοι· οὐ γὰρ πρὸς τοὺς πλουσίους μοι μόνον οὗτος ὁ λόγος, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. Καὶ γὰρ καὶ αὐτοὶ ἁρπάζουσι τοὺς αὐτῶν πενεστέρους, καὶ χειροτέχναι οἱ εὐπορώτεροι καὶ δυνατώτεροι τοὺς ἀπορωτέρους καὶ πενεστέρους ἀπεμπολοῦσι, καὶ κάπηλοι καπήλους, καὶ πάντες οἱ ἐπὶ τῆς ἀγορᾶς. Ὥστε πάντοθεν βούλομαι τὴν ἀδικίαν ἐξελεῖν. Οὐ γὰρ ἐν τῷ μέτρῳ τῶν ἁρπαζομένων καὶ κλεπτομένων, ἀλλὰ ἐν τῇ προαιρέσει τοῦ κλέπτοντος τὸ ἀδίκημα ἵσταται. Ὅτι δὲ οὗτοι μᾶλλόν εἰσι κλέπται καὶ πλεονέκται, οἱ μηδὲ τῶν μικρῶν καταφρονοῦντες, οἶδα καὶ μέμνημαι πρὸς ὑμᾶς εἰρηκώς, εἴγε καὶ ὑμεῖς μέμνησθε. Πλὴν ἀλλὰ μηδὲν ἀκριβολογώμεθα· ἔστωσαν ὁμοίως τοῖς πλουσίοις καὶ αὐτοί.

Παιδεύσωμεν τὴν διάνοιαν λοιπὸν τῶν μειζόνων μὴ ἐπιθυμεῖν, τοῦ πλείονος μὴ ὀρέγεσθαι. Ἐν δὲ τοῖς οὐρανίοις μηδέποτε κόρον ἐχέτω ἡ ἐπιθυμία τοῦ πλείονος, ἀλλ' ἀεὶ τοῦ πλείονος ἕκαστος ὀρεγέσθω· ἐπὶ δὲ τῆς γῆς τῆς χρείας ἕκαστος ἔστω καὶ τῆς αὐταρκείας, καὶ μηδὲν πλέον ζητείτω, ἵν' οὕτω δυνηθῇ τῶν ὄντως ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τόσο μεγάλη εἶναι ἡ δύναμις τῆς βίας. Αὐτὸς εἶναι πιὸ μισητὸς ἀπὸ ἐκείνους, ὅπως καὶ πιὸ ἀναίσχυντος καὶ πιὸ τυραννικός. Γιατὶ ἐκεῖνος ποὺ ἔπαθε κάτι μὲ δόλο, στενοχωρεῖται βεβαίως, ἀλλὰ ὅμως ἔχει μεγάλη παρηγοριά, τὸ ὅτι τὸν ἐφοβήθηκε τουλάχιστον ἐκεῖνος ὁ ἄδικος. Ἐκεῖνος ὅμως ποὺ μαζὶ μὲ τὴν κακὴ μεταχείρισι περιφρονεῖται, οὔτε θὰ μπορέση νὰ ἀντέξη τὴ βία, γιατὶ εἶναι πιὸ μεγάλος ὁ περίγελως. Εἰπέ μου, ἐὰν κάποιος ἐμοίχευσε γυναῖκα στὰ κρυφὰ καὶ ἄλλος ἔκαμε αὐτὸ καθὼς ἔβλεπε ὁ ἄνδρας, ποιὸς ἐλύπησε περισσότερο, καὶ ἦταν ἱκανὸς νὰ ἐρεθίση; Γιατὶ ὁ ἕνας, μαζὶ μὲ τὸ ὅτι ἔκαμε κακὸ καὶ τὸν ἐπεριφρόνησε, ὁ ἄλλος, ἂν ὄχι τίποτε ἄλλο, ἔδειξε ὅτι φοβᾶται ἐκεῖνον ποὺ ἠδίκησε. Ἔτσι καὶ στὰ χρήματα, ἐκεῖνος ποὺ τὰ ἔλαβε κρυφά, ἔτσι ἔχει ἐπιβάλει τὴν ποινή, μὲ τὸ ὅτι τὰ ἔλαβε κρυφά· ἐκεῖνος ὅμως ποὺ τὰ ἔλαβε φανερὰ καὶ δημόσια, μαζὶ μὲ τὴ ζημία ἐπρόσθεσε καὶ τὴν ἐντροπή. Ἂς σταματήσωμε λοιπὸν νὰ ἁρπάζωμε τὰ πράγματα τῶν ἄλλων, καὶ οἱ πτωχοὶ καὶ οἱ πλούσιοι, γιατὶ δὲν ἀπευθύνεται αὐτὸς ὁ λόγος μου μόνο στοὺς πλουσίους, ἀλλὰ καὶ πρὸς τοὺς πτωχούς. Γιατὶ καὶ αὐτοὶ ἁρπάζουν τοὺς πτωχότερούς τους καὶ οἱ πλουσιώτεροι καὶ δυνατώτεροι τεχνῖτες, δὲν τηροῦν τὶς συμφωνίες τους μὲ τοὺς πτωχότερους καὶ ἀδυνατώτερους, καὶ οἱ ἔμποροι μὲ τοὺς ἐμπόρους, καὶ ὅλοι οἱ ἐργαζόμενοι στὴν ἀγορά. Ὥστε ἀπὸ παντοῦ θέλω νὰ ἐκδιώξω τὴν ἀδικία. Γιατὶ τὸ ἀδίκημα δὲν βρίσκεται στὸ μέγεθος τῶν ἁρπαζομένων καὶ κλεπτομένων, ἀλλὰ στὴν προαίρεσι τοῦ κλέπτη. Τὸ ὅτι ὅμως αὐτοὶ εἶναι μεγαλύτεροι κλέπτες καὶ πλεονέκτες, οἱ ὁποῖοι δὲν περιφρονοῦν οὔτε τὰ ἀσήμαντα, τὸ γνωρίζω καὶ ἐνθυμοῦμαι ὅτι σᾶς ἔχω ὁμιλήσει γι' αὐτούς, ἐὰν βέβαια ἐνθυμεῖσθε καὶ σεῖς. Πλὴν ὅμως ἂς μὴ ἀκριβολογοῦμε γι' αὐτούς· ἂς θεωρήσωμε ὅτι εἶναι καὶ αὐτοὶ ὅμοιοι μὲ τοὺς πλουσίους.

Ἂς παιδεύσωμε λοιπὸν τὴ σκέψι μας ὥστε νὰ μὴ ἐπιθυμῆ τὰ μεγαλύτερα, νὰ μὴ ποθῆ τὸ περισσότερο. Γιὰ τὰ οὐράνια ὅμως ἂς μὴ ἔχη ποτὲ κορεσμὸ ἡ ἐπιθυμία γιὰ τὸ περισσότερο, ἀλλὰ πάντοτε ἂς ἐπιθυμῆ ὁ καθένας τὸ περισσότερο. Καὶ στὴ γῆ ἂς ἔχη τὰ ἀπαραίτητα καὶ ἀναγκαῖα καὶ ἂς μὴ ζητῆ τίποτε περισσότερο, γιὰ νὰ μπορέση ἔτσι νὰ ἐπιτύχη τὰ ἀληθινὰ ἀγαθά, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΑ΄.

(Α΄ Θεσ. 5, 19–28)

«Τὸ Πνεῦμα μὴ σβέννυτε· προφητείας μὴ ἐξουθενεῖτε. Πάντα δὲ δοκιμάζετε· τὸ καλὸν κατέχετε. Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε».

1. Ἀχλύς τις παχεῖα, ζόφος καὶ νεφέλη κατακέχυται τῆς γῆς ἁπάσης· καὶ τοῦτο δηλῶν ὁ ἀπόστολος ἔλεγεν· «Ἦμεν γάρ ποτε σκότος»· καὶ πάλιν, «Ὑμεῖς, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ». Ἐπεὶ οὖν νύξ ἐστιν, ὡς εἰπεῖν, ἀσέληνος, καὶ ἐν ταύτῃ τῇ νυκτὶ βαδίζομεν, ἔδωκεν ὑμῖν λαμπάδα φαιδρὰν ὁ Θεός, τοῦ Πνεύματος τοῦ ἁγίου τὴν χάριν ἀνάψας ἐν ταῖς ἡμετέραις ψυχαῖς. Ἀλλὰ τοῦτο τὸ φῶς οἱ μὲν δεξάμενοι λαμπρότερον εἰργάσαντο καὶ φαιδρότερον, οἷον ὡς Παῦλος, ὡς Πέτρος, ὡς οἱ ἅγιοι πάντες ἐκεῖνοι· οἱ δὲ καὶ ἔσβεσαν, ὡς αἱ πέντε παρθένοι, ὡς ἐκεῖνοι οἱ περὶ τὴν πίστιν ναυαγήσαντες, ὡς ὁ ἐν Κορίνθῳ πεπορνευκώς, ὡς Γαλάται παρατραπέντες. Διὰ τοῦτο ὁ Παῦλός φησι, «Τὸ πνεῦμα μὴ σβέννυτε», τουτέστι, τὸ χάρισμα· οὕτω γὰρ αὐτῷ καλεῖν ἔθος καὶ τὸ χάρισμα τοῦ Πνεύματος. Σβέννυσι δὲ αὐτὸ βίος ἀκάθαρτος. Καθάπερ γάρ τις ἐπὶ τοῦ λυχνιαίου τούτου φωτός, καὶ ὕδωρ κατασκεδάσας καὶ χοῦν, ἔσβεσε τὸ φῶς, καὶ εἰ μηδὲν τούτων, ἀλλά γε τὸ ἔλαιον ἐξελών· οὕτω καὶ ἐπὶ τοῦ χαρίσματος· ἄν τε γὰρ γήϊνα καὶ τῶν διαρρεόντων πραγμάτων φροντίδας κατασκεδάσῃς, ἔσβεσας τὸ Πνεῦμα· ἄν τε σὺ μὲν μηδὲν ἐργάσῃ τοιοῦτον, ἑτέρωθεν δέ ποθεν πειρασμὸς ἐπελθὼν προσβάλῃ σφοδρῶς, καθάπερ τι πνεῦμα, καὶ μὴ σφοδρὰ ᾖ ἡ φλόξ, καὶ πολὺ τὸ ἔλαιον ἔχουσα, ἢ τὴν ὀπὴν μὴ ἐμφράξῃς, ἢ τὴν θύραν μὴ προσκλείσῃς πάντα ἀπόλωλε.

Τίς δέ ἐστιν ἡ ὀπή; Ὥσπερ ἐπὶ τοῦ λύχνου, οὕτω καὶ ἐφ' ἡμῶν, ὀφθαλμὸς καὶ ἀκοή. Μὴ ἀφῇς ταύταις προσπίπτειν πνεῦμα

1. Ἐφ. 5,8
2. Α΄ Θεσ. 5,4

ΟΜΙΛΙΑ ΙΑ΄
(Α΄Θεσ. 5,19 – 28)

«Τὸ Πνεῦμα μὴ σβήνετε, τὶς προφητεῖες μὴ περιφρονῆτε. Τὰ πάντα δοκιμάζετε, τὸ καλὸ νὰ κρατῆτε. Νὰ φεύγετε μακριὰ ἀπὸ κάθε λογῆς πονηρό».

1. Κάποια πυκνὴ ὁμίχλη, σκοτάδι καὶ νεφέλη ἔχει ἐξαπλωθῆ ἐπάνω σὲ ὅλη τὴ γῆ· καὶ γιὰ νὰ δηλώση αὐτὸ ὁ ἀπόστολος ἔλεγε· «Γιατὶ κάποτε ἤμαστε σκοτάδι»· καὶ πάλι, «Ἐσεῖς, ἀδελφοί, δὲν εὑρίσκεσθε σὲ σκοτάδι, γιὰ νὰ σᾶς καταλάβη ἡ ἡμέρα τοῦ Κυρίου σὰν κλέπτης».[2] Ἐπειδὴ λοιπὸν εἶναι νύχτα, κατά κάποιο τρόπο, χωρὶς σελήνη καὶ μέσα στὴ νύκτα αὐτὴ βαδίζομε, μᾶς ἔδωσε ὁ Θεὸς φωτεινὸ λυχνάρι, ἀφοῦ ἄναψε στὶς ψυχές μας μέσα τὴ χάρι τοῦ ἁγίου Πνεύματος. Ἀλλ' αὐτὸ τὸ φῶς ἄλλοι ἀφοῦ τὸ ἐδέχθηκαν τὸ ἔκαμαν λαμπρότερο καὶ φωτεινότερο, ὅπως ὁ Παῦλος, ὅπως ὁ Πέτρος, ὅπως ὅλοι ἐκεῖνοι οἱ ἅγιοι, καὶ τὸ ἔσβησαν, ὅπως οἱ πέντε παρθένοι, ὅπως ἐκεῖνοι ποὺ ἐναυάγησαν ὡς πρὸς τὴν πίστι, ὅπως ἐκεῖνος ποὺ εἶχε πορνεύσει στὴν Κόρινθο, ὅπως οἱ Γαλάτες ὅταν εἶχαν παρατραπῆ. Γι' αὐτὸ ὁ Παῦλος λέγει, «Μὴ σβήνετε τὸ Πνεῦμα»,δηλαδὴ τὸ χάρισμα τοῦ Πνεύματος, γιατὶ ἔτσι ἐσυνήθιζε αὐτός νὰ ἀποκαλῆ καὶ τὸ χάρισμα τοῦ ἁγίου Πνεύματος. Σβήνει αὐτὸ ὁ ἀκάθαρτος βίος. Γιατὶ ὅπως ἀκριβῶς ὅταν κανεὶς στὸ φῶς αὐτὸ τοῦ λυχναριοῦ ἐπιχύση νερὸ καὶ χῶμα ἔσβησε τὸ φῶς, καθὼς καὶ ἐὰν τίποτε ἀπὸ αὐτὰ δὲν ἐπιχύση, ἀλλ' ἀφαιρέση μόνο τὸ λάδι, ἔτσι συμβαίνει καὶ στὴν περίπτωσι τοῦ χαρίσματος τοῦ Πνεύματος· γιατὶ ἂν διασκορπίσης γήινα καὶ φροντίδες γιὰ πράγματα ποὺ ἐξαφανίζονται, ἔσβησες τὸ Πνεῦμα. Καὶ ἐὰν ἐσὺ μὲν δὲν κάμης τίποτε τέτοιο, ἀπὸ κάπου ἀλλοῦ ὅμως, ἀφοῦ ἔρθη ὁ πειρασμός, προσβάλη μὲ ὁρμὴ σὰν κάποιος ἄνεμος, καὶ δὲν εἶναι δυνατὴ ἡ φλόγα καὶ δὲν ἔχη πολὺ λάδι ἢ δὲν κλείσης τὴν θύρα, τὰ πάντα καταστρέφει

Ποιά ὅμως εἶναι ἡ ὀπή; Ὅπως στὸ λυχνάρι, ἔτσι καὶ σὲ μᾶς, τὸ μάτι καὶ τὸ αὐτί. Μὴ ἀφήσης νὰ προσκρούη σ' αὐτὰ ὁ δυνατὸς ἄνεμος τῆς πονηρίας, ἐπειδὴ θὰ σβήση τὸ λυχνάρι, ἀλλὰ φράξε τα

σφοδρὸν πονηρίας, ἐπεὶ ἔσβεσε τὸν λύχνον, ἀλλ' ἀπόφραξον τῷ φόβῳ τοῦ Θεοῦ. Θύρα τὸ στόμα ἐστί· κλεῖσον, πρόσκλεισον, ἵνα καὶ τὸ φῶς παρέχῃ, καὶ ἀποκρούηται τὴν ἔξωθεν προσβολήν. Οἷον, ὕβρισέ σε τις; ἐλοιδόρησε; σὺ κλεῖσον τὸ στόμα· ἂν γὰρ ἀνοίξῃς, ἐρρίπισας τὸν ἄνεμον. Οὐχ ὁρᾷς ἐν ταῖς οἰκίας, ὅταν καταντικρὺ καὶ ἐπ' εὐθείας δύο θύραι στήκωσι, καὶ σφοδρὸς ἄνεμος ᾖ, ἂν τὴν ἑτέραν κλείσῃς καὶ ἀντίπνοια μὴ γένηται, οὐδὲν ἴσχυσεν ὁ ἄνεμος, ἀλλὰ τὸ πολὺ τῆς ἰσχύος ὑποτέμνεται; Οὕτω καὶ νῦν, δύο εἰσὶ θύραι, τὸ στόμα τὸ σόν, καὶ τὸ τοῦ ὑβρίζοντός σε καὶ ἐμπαροινοῦντος· ἂν ἀποκλείσῃς τὸ σὸν καὶ μὴ δῷς ἀντίπνοιαν, ἔσβεσας ὅλον τὸ πνεῦμα· ἂν δὲ ἀνοίξῃς, ἀκάθεκτον γίνεται. Μὴ τοίνυν αὐτὸ σβεννύωμεν. Ἔστι δὲ πολλάκις καὶ μηδενὸς ἐπικειμένου πειρασμοῦ σβεσθῆναι τὴν φλόγα· ὅταν τὸ ἔλαιον ἐκλίπῃ, ὅταν ἐλεημοσύνην μὴ ποιῶμεν, σβέννυται τὸ Πνεῦμα. Καὶ γὰρ ἀπὸ ἐλεημοσύνης τῆς τοῦ Θεοῦ ἦλθε πρὸς σέ· εἶτα ὁρᾷ τὸν καρπὸν τοῦτον μὴ ὄντα παρὰ σοί, καὶ οὐ μένει παρὰ ψυχῇ ἀνελεήμονι. Σβεσθέντος δὲ τοῦ Πνεύματος, τὰ λοιπὰ ἴστε ὅσοι ἐν ἀσελήνῳ νυκτὶ ὁδὸν ἐβαδίσατε. Εἰ δὲ τὴν ἀπὸ γῆς εἰς γῆν ὁδὸν βαδίζειν δυσχερὲς ἐν νυκτί, τὴν ἀπὸ γῆς εἰς οὐρανὸν φέρουσαν πῶς ἀσφαλές; Οὐκ ἴστε πόσοι δαίμονες ἐν τῷ διαστήματι τούτῳ, πόσα θηρία, πόσα πνευματικὰ τῆς πονηρίας; Ἂν μὲν οὖν ἐκεῖνο τὸ φῶς ἔχωμεν, οὐδὲν ἡμᾶς βλάψαι δυνήσονται, ἂν δὲ σβέσωμεν αὐτό, ταχέως ἡμᾶς ἀναλίσκουσι, ταχέως πάντα τὰ ἡμῶν ἐκφοροῦσιν· ἐπεὶ καὶ οἱ λῃσταὶ πρότερον τὴν λαμπάδα σβέσαντες, οὕτω λῃστεύουσιν. Ἐκεῖνοι μὲν γὰρ ὁρῶσιν ἐν τῷ σκότει τούτῳ, ἐπειδὴ τὰ τοῦ σκότους πράττουσιν· ἡμεῖς δὲ ἀήθεις ἐσμὲν ἐκείνου τοῦ φωτός.

Μὴ τοίνυν σβέσωμεν αὐτό. Πᾶσα πονηρὰ πρᾶξις σβέννυσι τοῦτο τὸ φῶς, καὶ λοιδορία, καὶ ὕβρις, καὶ ὅπερ ἂν εἴπῃς. Καθάπερ γὰρ ἐπὶ τοῦ πυρός, πᾶν τὸ ἀλλότριον αὐτοῦ ἀναιρετικὸν αὐτοῦ ἐστιν, ἐκεῖνο δὲ ἀνάπτει αὐτό, ὅπερ αὐτοῦ ἐστι συγγενές. Εἴ τι ξηρόν, εἴ τι θερμόν, εἴ τι διάπυρον, ἀνάπτει τὴν φλόγα τοῦ Πνεύματος. Μηδὲν οὖν ψυχρόν, μηδὲ ὑγρὸν ἐπιφέρωμεν· ταῦτα

μὲ τὸ φόβο τοῦ Θεοῦ. Τὸ στόμα εἶναι θύρα· κλεῖσε αὐτό, περιόρισέ το, γιὰ νὰ παρέχη καὶ τὸ φῶς καὶ νὰ ἀποκρούη τὴν ἐπίθεση ἀπὸ ἔξω. Γιὰ παράδειγμα, σὲ ὕβρισε κάποιος; σὲ ἐκακολόγησε; ἐσὺ κλεῖσε τὸ στόμα, γιατὶ ἂν τὸ ἀνοίξης, ἐδυνάμωσες τὸν ἄνεμο. Δὲν βλέπεις στὰ σπίτια, ὅταν ἀκριβῶς ἀπέναντι καὶ στὴν εὐθεῖα ὑπάρχουν δύο θύρες καὶ φυσᾶ δυνατός ἄνεμος, ἂν κλείσης τὴν ἄλλη καὶ δὲν φυσήση ἀντίθετος ἄνεμος, δὲν ἔχει καμμία δύναμι ὁ ἄνεμος, ἀλλὰ καταστέλλεται τὸ μεγάλο μέρος τῆς δυνάμεώς του; Ἔτσι καὶ τώρα, ὑπάρχουν δύο θύρες, τὸ στόμα τὸ δικό σου καὶ τὸ στόμα ἐκείνου ποὺ σὲ ὑβρίζει καὶ σὲ προσβάλλει. Ἐὰν κλείσης τὸ δικό σου στόμα καὶ δὲν ἀφήσης ἀντίθετο ἄνεμο, ἔσβησες ὅλη τὴ δύναμη τοῦ ἀνέμου, ἐὰν ὅμως τὸ ἀνοίξης, γίνεται ἀκατάβλητη· Ἂς μὴ σβήνωμε λοιπὸν αὐτὸ τὸ χάρισμα. Πολλὲς φορὲς ὅμως εἶναι δυνατὸ καὶ χωρὶς νὰ ἀπειλῆ κανένας πειρασμὸς νὰ σβησθῆ ἡ φλόγα· ὅταν δηλαδὴ τελειώση τὸ λάδι, ὅταν δὲν κάνωμε ἐλεημοσύνη, σβήνει τὸ Πνεῦμα. Καθόσον ἀπὸ ἐλεημοσύνη τοῦ Θεοῦ ἦλθε πρὸς ἐσένα· ἔπειτα βλέπει ὅτι δὲν ὑπάρχει σ' ἐσένα ὁ καρπὸς αὐτὸς καὶ δὲν παραμένει σὲ ψυχὴ ποὺ δὲν ἐλεεῖ. Ὅταν ὅμως σβησθῆ τὸ Πνεῦμα, τὰ ὑπόλοιπα τὰ γνωρίζετε ὅσοι ἐβαδίσατε μέσα στὴ νύχτα χωρὶς σελήνη. Καὶ ἐὰν εἶναι δύσκολο νὰ βαδίζωμε μέσα στὴ νύχτα τὸ δρόμο ποὺ φέρει ἀπὸ ἕνα μέρος τῆς γῆς σὲ ἄλλο, πῶς εἶναι ἀκίνδυνο νὰ βαδίζωμε τὸ δρόμο ποὺ ἀπὸ τὴ γῆ φέρει στὸν οὐρανό; Δὲν γνωρίζετε πόσοι δαίμονες ὑπάρχουν στὸ διάστημα αὐτό, πόσα θηρία, πόσα πνευματικὰ ὄντα τῆς πονηρίας; Ἂν λοιπὸν ἔχωμε τὸ φῶς ἐκεῖνο, δὲν θὰ μπορέσουν νὰ μᾶς βλάψουν καθόλου, ἂν ὅμως τὸ σβήσωμε, γρήγορα μᾶς καταστρέφουν, γρήγορα μεταφέρουν ὅλα τὰ δικά μας, γιατὶ καὶ οἱ ληστὲς ἀφοῦ σβήσουν πρῶτα τὸ λυχνάρι, ἔτσι ληστεύουν. Ἐκεῖνοι βέβαια βλέπουν μέσα στὸ σκοτάδι αὐτό, ἐπειδὴ πράττουν ἔργα τοῦ σκότους, ἐμεῖς ὅμως δὲν ἔχουμε συνηθίσει στὸ φῶς ἐκεῖνο.

Ἂς μὴ σβήσωμε λοιπὸν αὐτὸ τὸ φῶς. Κάθε πονηρὴ πρᾶξις σβήνει αὐτὸ τὸ φῶς καὶ ἡ κακολογία, καὶ ἡ ὕβρις, καὶ ὁ,τιδήποτε ἄλλο εἰπῆς. Γιατὶ συμβαίνει ὅπως ἀκριβῶς στὴ φωτιά, ποὺ κάθε τι τὸ ξένο γίνεται καταστρεπτικὸ γι' αὐτήν, καὶ τὴν ἀνάβει ἐκεῖνο, ποὺ εἶναι συγγενικὸ πρὸς αὐτήν. Εἴτε τὸ ξερό, εἴτε τὸ θερμό, εἴτε τὸ πυρακτωμένο, ἀνάβει τὴ φλόγα τοῦ Πνεύματος. Ἂς μὴ θέσωμε λοιπὸν ἐπάνω του τίποτε τὸ ψυχρό, οὔτε ὑγρό, γιατὶ αὐτὰ εἶναι καταστρεπτικὰ αὐτοῦ. Ὑπάρχει ὅμως καὶ ἄλλη ἐξήγησις. Πολλοὶ

γὰρ τούτου ἀναιρετικά. Ἔστι δὲ καὶ ἄλλη ἐξήγησις. Πολλοὶ παρ' αὐτοῖς, οἱ μὲν προεφήτευον ἀληθῶς, οἱ δὲ ἐψεύδοντο. Τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους φησί, διακρίσεις πνευμάτων διὰ τοῦτο δεδωκέναι. Μιαρὸς γὰρ ὢν ὁ διάβολος, ἠθέλησε διὰ τοῦ χαρίσματος τούτου τὸ πᾶν ἀνατρέψαι τῆς ἐκκλησίας. Ἐπειδὴ γὰρ ἀμφότεροι περὶ μελλόντων προὔλεγον, καὶ ὁ δαίμων καὶ τὸ Πνεῦμα, ἀλλ' ὁ μὲν ψευδόμενος, τὸ δὲ ἀληθεῦον, καὶ οὐδαμόθεν ἦν ἑκατέρου τεκμήριον λαβεῖν, ἀλλ' ἀνευθύνως ἑκάτεροι ἔλεγον, ὡς ὁ Ἱερεμίας καὶ ὁ Ἰεζεκιήλ, ἀλλ' ἐλθόντος τοῦ καιροῦ ἠλέγχθησαν· ἔδωκε καὶ διακρίσεις πνευμάτων.

Ἐπεὶ οὖν καὶ τότε παρὰ Θεσσαλονικεῦσι πολλοὶ προεφήτευον, οὓς καὶ αἰνίττεται λέγων, «Μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου»· τοῦτο λέγει ἐνταῦθα. Τουτέστι, μὴ ἐπειδή τινες ψευδοπροφῆται παρ' ὑμῖν εἰσι, μὴ δι ἐκείνους καὶ τούτους κωλύσητε καὶ ἀποστραφῆτε αὐτούς· μὴ σβέννυτε αὐτούς. Τουτέστι, «Προφητείας μὴ ἐξουθενεῖτε». Ὁρᾷς ὅτι τοῦτό ἐστιν ὅ φησι; «Πάντα δοκιμάζετε». Ἐπειδὴ εἶπε, «Προφητείας μὴ ἐξουθενεῖτε», ἵνα μὴ νομίσωσιν ὅτι πᾶσιν ἀνέῳξε τὸ βῆμα, «Πάντα, φησί, δοκιμάζετε», τουτέστι, τὰς ὄντως προφητείας, «τὸ δὲ καλὸν κατέχετε». «Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε»· μὴ τούτου ἢ ἐκείνου, ἀλλ' ἀπὸ παντός· καὶ τὰ ψευδῆ καὶ τὰ ἀληθῆ ἵνα μετὰ δοκιμασίας διακρίνητε, καὶ ἐκείνων ἀπέχησθε, καὶ τούτων ἔχησθε. Οὕτω γὰρ κἀκείνων σφοδρὸν τὸ μῖσος ἔσται, καὶ τούτων ἡ ἀγάπη γίνεται, ὅταν μὴ ἁπλῶς μηδὲ ἀνεξετάστως, ἀλλὰ μετὰ ἀκριβείας ἅπαντα πράττωμεν.

2. «Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ Πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη». Ὅρα διδασκάλου φιλοστοργίαν· μετὰ τὴν παραίνεσιν καὶ εὐχὴν ἐπάγει· οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν τοῖς γράμμασι· δεῖ γὰρ καὶ συμβουλῆς καὶ εὐχῆς. Διὰ τοῦτο καὶ ἡμεῖς πρότερον συμβουλεύοντες, τότε τὰς ὑπὲρ ὑμῶν εὐχὰς ποιούμεθα· καὶ τοῦτο ἴσασιν οἱ μεμυημένοι. Ἀλλ' ὁ μὲν Παῦλος εἰκότως τοῦτο ἐποίει, πολλὴν πρὸς τὸν Θεὸν τὴν παρρησίαν ἔχων· ἡμεῖς δὲ κατηχυμ-

---

3. Α' Κορ. 12,10
4. Β' Θεσ. 2,2

ἐπροφήτευσαν σ' αὐτούς, ἄλλοι ἀληθινά, ἄλλοι ἔλεγαν ψέματα. Αὐτὸ λέγει καὶ στὴν πρὸς Κορινθίους ἐπιστολή, γι' αὐτὸ ἔχει δώσει τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευμάτων[3]. Γιατὶ ὁ διάβολος ἐπειδὴ εἶναι ἀχρεῖος θέλησε μὲ τὸ χάρισμα αὐτὸ νὰ ἀνατρέψη ὅλο τὸ ἔργο τῆς ἐκκλησίας. Ἐπειδὴ λοιπὸν καὶ οἱ δύο ἐπροφήτευσαν γιὰ τὰ μέλλοντα καὶ ὁ δαίμων καὶ τὸ ἅγιο Πνεῦμα, ἀλλὰ ὁ μὲν ἕνας λέγοντας ψέματα, τὸ δὲ Πνεῦμα τὴν ἀλήθεια, καὶ ἀπὸ πουθενὰ δὲν ἦταν δυνατὸ νὰ λάβουν ἀπόδειξι τοῦ καθενός, ἀλλὰ ἔλεγαν ἀνεύθυνα ὁ καθένας, ὅπως ὁ Ἱερεμίας καὶ ὁ Ἰεζεκιήλ, ἀλλὰ ὅταν ἦλθε ὁ καιρὸς ἠλέγχθηκαν, ἔδωσε καὶ τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευμάτων

Πράγματι λοιπὸν καὶ τότε στοὺς Θεσσαλονικεῖς ἐπροφήτευαν πολλοί, τοὺς ὁποίους καὶ ὑπαινίσσεται λέγοντας, «Οὔτε μὲ λόγο, οὔτε μὲ ἐπιστολή, ὅτι τάχα προέρχονται ἀπὸ μᾶς καὶ δῆθεν ὅτι ἔφθασε ἡ ἡμέρα τοῦ Κυρίου»[4]· αὐτὸ λέγει ἐδῶ. Δηλαδή, ἐπειδὴ ὑπάρχουν μερικοὶ ψευδοπροφῆτες σὲ σᾶς, νὰ μὴ ἐμποδίσετε ἐξ αἰτίας τους καὶ αὐτοὺς καὶ τοὺς ἀποστραφῆτε. Μὴ σβήνετε αὐτούς. Δηλαδή, «Μὴ περιφρονεῖτε τὶς προφητεῖες». Βλέπεις ὅτι αὐτὸ εἶναι αὐτὸ ποὺ λέγει; «Ὅλα νὰ τὰ δοκιμάζετε». Ἐπειδὴ εἶπε, «Τὶς προφητεῖες μὴ τὶς περιφρονεῖτε», γιὰ νὰ μὴ νομίσουν ὅτι σὲ ὅλους ἄφησε ἐλεύθερο τὸ βῆμα γιὰ διδασκαλία, «Ὅλα», λέγει, «νὰ τὰ δοκιμάζετε», δηλαδή, τὶς ἀληθινὲς προφητεῖες, «καὶ τὸ καλὸ νὰ κρατῆτε». «Ἀπὸ κάθε εἶδος πονηροῦ νὰ φεύγετε μακριά»· ὄχι ἀπὸ αὐτὸ ἢ ἀπὸ ἐκεῖνο, ἀλλὰ ἀπὸ κάθε εἶδος. Καὶ γιὰ νὰ ξεχωρίζετε μὲ δοκιμασία ποιὰ εἶναι ψεύτικα καὶ ποιὰ ἀληθινά, καὶ νὰ ἀπομακρύνεσθε ἀπὸ ἐκεῖνα, καὶ νὰ κρατῆτε αὐτά. Γιατὶ ἔτσι θὰ εἶναι δυνατὸ καὶ τὸ μῖσος γιὰ ἐκεῖνα, καὶ θὰ αὐξηθῆ ἡ ἀγάπη γι' αὐτά, ὅταν ὄχι ἁπλῶς οὔτε χωρὶς ἔλεγχο, ἀλλὰ ὅταν μὲ προσοχὴ πράττωμε τὰ πάντα.

2. «Εἴθε ὅμως αὐτὸς ὁ Θεὸς τῆς εἰρήνης νὰ σᾶς ἁγιάση ὁλόκληρους, καὶ ὅλος ὁ νοῦς σας καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα σας νὰ διατηρηθοῦν ἄμεμπτα κατὰ τὴν παρουσία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Πρόσεχε τὴ φιλοστοργία τοῦ διδασκάλου· ὕστερα ἀπὸ τὴ συμβουλὴ προσθέτει καὶ εὐχή· καὶ ὄχι αὐτὸ μόνο, ἀλλὰ καὶ στὶς ἐπιστολές του, γιατὶ εἶναι ἀπαραίτητα καὶ ἡ συμβουλὴ καὶ ἡ εὐχή. Γι' αὐτὸ καὶ ἐμεῖς ἀφοῦ πρῶτα συμβουλεύωμε, τότε κάνομε τὶς εὐχὲς γιὰ σᾶς· καὶ αὐτὸ τὸ γνωρίζουν οἱ μυημένοι. Ἀλλ' ὁ Παῦλος δικαιολογημένα ἔκανε αὐτό, ἐπειδὴ εἶχε μεγάλη παρρησία πρὸς τὸν Θεό, ἐμεῖς ὅμως εἴμασθε ἀνάξιοι καὶ χωρὶς παρρησία. Ἀλλ'

μένοι καὶ ἀπαρρησίαστοί ἐμεν. Ἀλλ' ἐπειδὴ εἰς τοῦτο ἐτάχθημεν, πράττομεν αὐτό, ἀνάξιοι μὲν ὄντες καὶ παρεστάναι, καὶ τῶν ἐσχάτων μαθητῶν τὸν τόπον ἐπέχειν· ἐπειδὴ δὲ καὶ δι' ἀναξίων ἡ χάρις ἐνεργεῖ, οὐ δι' αὐτούς, ἀλλὰ διὰ τοὺς μέλλοντας ὠφελεῖσθαι, τὰ παρ' ἑαυτῶν εἰσφέρομεν. «Ἁγιάσαι ὑμᾶς», φησίν, «ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη». Τὸ Πνεῦμα τί φησιν ἐνταῦθα; Τὸ χάρισμα. Ἂν μὲν γὰρ ἔχοντες λαμπρὰς τὰς λαμπάδας ἀπέλθωμεν, εἰσελευσόμεθα εἰς τὸν νυμφῶνα· ἂν δὲ ἐσβεσμένας, οὐκέτι. Διὰ τοῦτό φησιν, «ὁλόκληρον ὑμῶν τὸ Πνεῦμα»· ἐκείνου γὰρ μένοντος ἀκεραίου, καὶ τοῦτο μένει.

«Καὶ ἡ ψυχή», φησί, «καὶ τὸ σῶμα». Οὔτε γὰρ αὐτή τι πονηρὸν δέχεται, οὔτ' ἐκεῖνο. «Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει». Ὅρα τὴν ταπεινοφροσύνην. Ἐπειδὴ γὰρ ηὔξατο, μὴ νομίσητε, φησίν, ὅτι ἀπὸ τῶν ἐμῶν εὐχῶν τοῦτο γίνεται, ἀλλ' ἐκ τῆς προθέσεως, ἧς ὑμᾶς ἐκάλεσεν. Εἰ γὰρ εἰς σωτηρίαν ἐκάλεσεν, ἀληθὴς δέ ἐστι, πάντως σώσει βουλόμενος. «Ἀδελφοί, προσεύχεσθε καὶ περὶ ἡμῶν». Βαβαί, πόση ταπεινοφροσύνη. Ἀλλ' ἐκεῖνος μὲν ταπεινοφροσύνης ἕνεκεν τοῦτο ἔλεγεν, ἡμεῖς δὲ οὐ ταπεινοφροσύνης ἕνεκεν, ἀλλ' ὠφελείας πολλῆς, καὶ μέγα τι παρ' ὑμῶν κερδᾶναι βουλόμενοι, λέγομεν, προσεύχεσθε καὶ περὶ ἡμῶν. Εἰ γὰρ καὶ μηδὲν ὠφελεῖσθε παρ' ἡμῶν μέγα μηδὲ θαυμαστόν, ἀλλ' ὅμως δι' αὐτὴν τὴν τιμήν, δι' αὐτὴν τὴν προσηγορίαν. Ἔσχε τις παῖδάς ποτε, καὶ ὅμως εἰ καὶ μηδὲν ὠφέληνται παρ' αὐτοῦ, ἐπειδὴ πατὴρ γέγονε, τοῦτο ἴσως προβάλλεται λέγων, μίαν ὑμῶν ἡμέραν οὐκ ἐκλήθην πατήρ. Διὰ τοῦτο καὶ ἡμεῖς λέγομεν, προσεύχεσθε καὶ περὶ ἡμῶν· οὐχ ἁπλῶς τοῦτο λέγων, ἀλλὰ πάνυ ἐφιέμενος τῶν ἡμετέρων εὐχῶν. Εἰ γὰρ ὑπεύθυνος ἐγενόμην τῆς ἁπάντων ὑμῶν προστασίας, καὶ λόγους ὑπέχειν μέλλω, πολλῷ μᾶλλον ὀφείλω τῆς παρ' ὑμῶν ἀπολαύειν εὐχῆς. Αἱ εὐθῦναί μοι μείζους ἐγένοντο δι' ὑμᾶς· οὐκοῦν καὶ ἡ βοήθεια πλείων παρ' ὑμῶν.

«Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν ἁγίῳ φιλήματι». Βαβαὶ τῆς θερμότητος, βαβαὶ τῆς μανίας· ἐπειδὴ τῷ φιλήματι αὐτοὺς τούτῳ ἀσπάσασθαι οὐκ ἠδύνατο ἀπών, δι' ἑτέρων αὐτοὺς ἀσπάζεται· ὡς ὅταν λέγωμεν, φίλησον αὐτὸν ἀντ' ἐμοῦ. Οὕτω καὶ

ἐπειδὴ ἔχομε ταχθῆ σ' αὐτό, πράττομε αὐτό, ἐνῶ εἴμασθε ἀνάξιοι καὶ νὰ παρευρεθοῦμε καὶ νὰ κατέχωμε τὴ θέσι τῶν τελευταίων μαθητῶν. Ἐπειδὴ ὅμως ἡ χάρις ἐνεργεῖ καὶ διὰ μέσου τῶν ἀναξίων, ὄχι γι' αὐτούς, ἀλλὰ γιὰ ἐκείνους ποὺ πρόκειται νὰ ὠφελοῦνται, κάμνομε ὅτι ἐξαρτᾶται ἀπὸ ἐμᾶς. «Εἴθε νὰ σᾶς ἁγιάση», λέγει, «ὁλόκληρους, καὶ ὅλο τὸ πνεῦμα σας καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα σας εἴθε νὰ διατηρηθοῦν ἄμεμπτα κατὰ τὴν παρουσία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Τί ἐννοεῖ ἐδῶ «τὸ πνεῦμα;» Τὸ χάρισμα. Γιατὶ ἂν πεθάνωμε ἔχοντας ἀναμμένα τὰ λυχνάρια θὰ εἰσέλθωμε στὸ νυμφῶνα, ἂν ὅμως τὰ ἔχωμε σβησμένα, ὄχι. Γι' αὐτὸ λέγει, «ὅλο τὸ πνεῦμα σας», γιατὶ ὅταν ἐκεῖνο μένη ἀκέραιο, καὶ αὐτὸ παραμένει.

«Καὶ ἡ ψυχή», λέγει, «καὶ τὸ σῶμα». Γιατὶ οὔτε αὐτὴ δέχεται κάτι πονηρό, οὔτε ἐκεῖνο. «Εἶναι ἀξιόπιστος αὐτὸς ποὺ σᾶς προσκαλεῖ, ὁ ὁποῖος καὶ θὰ πραγματοποιήση αὐτό». Πρόσεχε τὴν ταπεινοφροσύνη. Ἐπειδὴ λοιπὸν εὐχήθηκε, μὴ νομίσετε, λέγει, ὅτι αὐτὸ γίνεται ἀπὸ τὶς δικές μας εὐχές, ἀλλὰ ἀπὸ τὴν ἀπόφασί του, μὲ τὴν ὁποία σᾶς ἐκάλεσε. Γιατί, ἀφοῦ σᾶς ἐκάλεσε σὲ σωτηρία καὶ εἶναι ἀληθής, ὁπωσδήποτε θὰ σᾶς σώση ἐπειδὴ θέλει. «Ἀδελφοί, προσεύχεσθε καὶ γιὰ μᾶς». Ὤ, πόση εἶναι ἡ ταπεινοφροσύνη του. Ἀλλὰ ἐκεῖνος ἀπὸ ταπεινοφροσύνη ἔλεγε αὐτό, ἐμεῖς ὅμως ὄχι ἀπὸ ταπεινοφροσύνη, ἀλλὰ γιὰ ὠφέλεια μεγάλη καὶ ἐπειδὴ θέλομε νὰ κερδίσωμε κάτι μεγάλο ἀπὸ σᾶς, λέγομε, προσεύχεσθε καὶ γιὰ μᾶς. Γιατὶ καὶ ἂν ἀκόμη δὲν ὠφελῆσθε ἀπὸ μᾶς σὲ κάτι τὸ μεγάλο οὔτε τὸ θαυμαστό, ἀλλὰ ὅμως γι' αὐτὴ τὴν τιμή, γι' αὐτὴ τὴν ὀνομασία. Εἶχε κάποτε κάποιος παιδιά, καὶ ὅμως ἂν καὶ δὲν εἶχαν ὠφεληθῆ καθόλου ἀπὸ αὐτόν, ἐπειδὴ ὑπῆρξε πατέρας τους, αὐτὸ ἴσως προβάλλει λέγοντας, μία ἡμέρα δὲν μὲ ἐκαλέσατε πατέρα σας. Γι' αὐτὸ καὶ ἐμεῖς σᾶς λέμε, προσεύχεσθε καὶ γιὰ μᾶς· δὲν τὸ λέγω αὐτὸ τυχαῖα, ἀλλ' ἐπειδὴ ἀποβλέπομε στὶς δικές σας προσευχές. Γιατὶ ἀφοῦ ἔγινα ὑπεύθυνος γιὰ τὴν προστασία ὅλων σας καὶ πρόκειται νὰ λογοδοτήσω, πολὺ περισσότερο πρέπει νὰ ὠφελοῦμαι ἀπὸ τὴν προσευχή σας. Οἱ εὐθῦνες μου ἔγιναν μεγαλύτερες γιὰ σᾶς· λοιπὸν καὶ ἡ βοήθειά σας ἂς γίνη περισσότερη.

«Ἀσπασθῆτε ὅλους τοὺς ἀδελφοὺς μὲ φίλημα ἅγιο». Πώ, πώ τί θερμότητα, πώ, πώ τί μανία. Ἐπειδὴ δὲν μποροῦσε νὰ τοὺς ἀσπασθῆ μὲ τὸ φίλημα αὐτό, ἀφοῦ ἦταν ἀπών, ἀσπάζεται αὐτοὺς μέσω ἄλλων· ὅπως ὅταν λέμε, φίλησε αὐτὸν ἀντὶ ἐμοῦ. Ἔτσι καὶ αὐτὸς κατέχετε ἀπὸ τὴ φωτιὰ τῆς ἀγάπης, γιατὶ δὲν ἀνέχεται διαστήματα,

αὐτοί, κατέχετε τὸ πῦρ τῆς ἀγάπης· οὐ γὰρ ἀνέχεται διαστημάτων, ἀλλὰ καὶ διὰ μέσων τῶν ὁδῶν ἑαυτὴν ἐκτείνει, καὶ πανταχοῦ πάρεστιν. «Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς». Καὶ τοῦτο πόθου μάλιστα, οὐ διδασκαλίας τοσοῦτον· ἵνα κἀκείνοις ὦ προσδιαλεγόμενος, φησίν. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν». Καὶ οὐχ ἁπλῶς ἐπιτάττει, ἀλλ' ὁρκίζων, ἀπὸ θερμῆς διανοίας καὶ τοῦτο, ἵνα κἂν αὐτοῦ καταφρονήσωσι, διὰ τὸν ὁρκισμὸν πράξωσι τὸ ἐπιταχθέν. Μέγαν γὰρ εἶχον φόβον τοῦ πράγματος.

3. Νυνὶ δὲ καὶ τοῦτο πεπάτηται· καὶ ἔστι πολλάκις παῖς μαστιζόμενος, καὶ ὁρκίζων τὸν Θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ, καί, οὕτω Χριστιανὸς ἀποθάνοις, καὶ οὐδεὶς προσέχει, οὐδεὶς ἐπιστρέφεται· ἂν δὲ τὸν υἱὸν τὸν ἴδιον ὁρκίσῃ, εὐθέως καὶ ἄκων, καὶ τρίζων τοὺς ὀδόντας, ὑφίησί τι τοῦ θυμοῦ. Ἄλλος πάλιν ἑλκόμενος, ἀπαγόμενος ἐπὶ μέσης τῆς ἀγορᾶς, καὶ Ἑλλήνων καὶ Ἰουδαίων παρόντων, ὁρκοῖ τὸν ἀπάγοντα ὅρκους φρικωδεστάτους, καὶ οὐδεὶς προσέχει. Τί οὐκ ἐροῦσιν οἱ Ἕλληνες, ὅταν πιστὸς τὸν πιστὸν καὶ Χριστιανὸν ὁρκοῖ, καὶ μηδεὶς γίνηται λόγος, ἀλλὰ καὶ καταφρονῶμεν; Βούλεσθε ὑμῖν διηγήσομαί τι πρᾶγμα, ὅπερ καὶ αὐτὸς ἀκήκοα; οὐδὲ γὰρ πλάττων λέγω, ἀλλὰ παρὰ προσώπου ἀξιοπίστου ἀκηκοώς.

Παιδίσκη τις ἀνδρὶ πονηρῷ συνεζευγμένη, μιαρῷ, δραπέτῃ τινί, αὕτη, πολλὰ τοῦ ἀνδρὸς ἡμαρτηκότος, καὶ μέλλοντος ἀπεμπολεῖσθαι παρὰ τῆς δεσποίνης· καὶ γὰρ μείζονα συγγνώμης ἦν τὰ ἁμαρτήματα, καὶ χήρα ἦν ἡ γυνή, καὶ κολάζειν αὐτὸν λυμαινόμενον αὐτῆς τὴν οἰκίαν οὐκ ἴσχυεν, ἀλλ' ἔγνω ἀποδόσθαι· εἶτα ἀνόσιον εἶναι νομίζουσα ἡ δέσποινα διασπάσαι τῆς γυναικὸς τὸν ἄνδρα, κατεδέξατο καὶ χρησίμην οὖσαν τὴν κόρην, ὑπὲρ τῆς ἀπαλλαγῆς τῆς ἐκείνου συναπεμπολῆσαι· ὁρῶσα τοίνυν ἡ κόρη ἑαυτὴν ἐν τοῖς ἀπόροις οὖσαν, ἐλθοῦσα πρὸς αἰδέσιμον πρόσωπον καὶ σύνηθες τῇ δεσποίνῃ τῇ αὐτῆς, τὸ κἀμοὶ διηγησάμενον, καὶ τῶν γονάτων ἁπτομένη, καὶ μυρία ἀποδυρομένη παρεκάλε-

---

5. Τοῦτο εἶναι δεῖγμα ἱκεσίας.

ἀλλὰ καὶ στὴ μέση τῶν δρόμων ἁπλώνει τὸν ἑαυτό της καὶ παρευρίσκεται παντοῦ. «Σᾶς ἐξορκίζω στὸν Κύριο, νὰ ἀναγνωσθῆ ἡ ἐπιστολὴ σὲ ὅλους τοὺς ἁγίους ἀδελφούς». Καὶ αὐτὸ εἶναι γνώρισμα πόθου κυρίως, καὶ ὄχι τόσο διδασκαλίας· γιὰ νὰ ἀπευθυνθῶ καὶ σὲ ἐκείνους, λέγει. «Εἴθε ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νὰ εἶναι μαζί σας. Ἀμήν». Καὶ ὄχι ἁπλῶς παραγγέλλει, ἀλλὰ καὶ τοὺς ἐξορκίζει, κάνοντας καὶ αὐτὸ ἀπὸ πολλὴ θερμότητα καρδίας, ὥστε, καὶ ἂν ἀκόμη περιφρονήσουν αὐτόν, νὰ ἐκτελέσουν τὴν παραγγελία ἐξ αἰτίας τῆς ἐπιβολῆς τοῦ ὅρκου. Γιατὶ εἶχαν μεγάλο φόβο τοῦ πράγματος.

3. Τώρα ὅμως καὶ αὐτὸ ἔχει καταπατηθῆ. Καὶ συμβαίνει πολλὲς φορὲς νὰ μαστίζεται ὑπηρέτης καὶ νὰ τὸν ὁρκίζουν στὸ Θεὸ καὶ τὸν Χριστό του, καί, εἴθε νὰ πεθάνη ἔτσι Χριστιανός, καὶ κανένας δὲν προσέχει, κανένας δὲν στρέφει τὸ κεφάλι του. Ἐὰν ὅμως ἐξορκίση τὸν ἴδιο τὸν υἱό του, ἀμέσως καὶ χωρὶς νὰ τὸ θέλη, καὶ τρίζοντας τὰ δόντια, ἀφήνει ἕνα μέρος τοῦ θυμοῦ. Ἄλλος πάλι ὅταν σύρεται καὶ ὁδηγεῖται μὲ βίαιο τρόπο στὸ μέσο τῆς ἀγορᾶς, καὶ καθὼς εἶναι παρόντες Ἕλληνες καὶ Ἰουδαῖοι, ἐξορκίζει αὐτὸν ποὺ ὁδηγεῖ μὲ τοὺς πιὸ φρικιαστικοὺς ὅρκους καὶ κανένας δὲν προσέχει. Τί δὲν θὰ εἰποῦν οἱ Ἕλληνες, ὅταν ὁ πιστὸς ἐξορκίζη τὸν πιστὸ καὶ χριστιανό, καὶ δὲν γίνεται κανένας λόγος, ἀλλὰ καὶ τὸν περιφρονοῦν; Θέλετε νὰ σᾶς διηγηθῶ κάτι, ποὺ καὶ ἐγὼ ἔχω ἀκούσει; γιατὶ δὲν εἶναι δική μου ἐπινόησις, ἀλλὰ τὸ ἔχω ἀκούσει ἀπὸ ἀξιόπιστο πρόσωπο.

Κάποια νεαρὴ δούλη ἦταν παντρεμένη μὲ ἄνδρα πονηρό, ἀχρεῖο, κάποιο δραπέτη. Αὐτὴ ἐπειδὴ ὁ ἄνδρας της ὑπέπεσε σὲ πολλὰ παραπτώματα, ἐπρόκειτο νὰ τὸν πωλήση ἡ οἰκοδέσποινα. Γιατὶ τὰ παραπτώματά του ἦταν πράγματι μεγαλύτερα ἀπὸ τὴν ἐπιείκειά της καὶ ἦταν χήρα γυναῖκα καὶ δὲν ἠμποροῦσε νὰ τιμωρῆ αὐτὸν ὅταν ἔβλαπτε τὸ σπίτι της, γι' αὐτὸ ἀπεφάσισε νὰ τὸν πωλήση. Στὴ συνέχεια ἐπειδὴ ἐνόμιζε ἡ οἰκοδέσποινα ὅτι εἶναι ἀνόσιο νὰ χωρίση μὲ βία τὸν ἄνδρα ἀπὸ τὴ γυναῖκα, ἐπειδὴ ἦταν καλὴ ἡ ὑπηρέτρια ἐδέχθηκε νὰ τὴν πωλήση μαζί του προκειμένου νὰ ἀπαλλαγῆ ἀπὸ ἐκεῖνον. Ὅταν λοιπὸν εἶδε ἡ κόρη ὅτι εἶναι σὲ μεγάλες δυσκολίες, ἀφοῦ ἦλθε σὲ σεβαστὸ πρόσωπο καὶ οἰκεῖο στὴν οἰκοδέσποινά της, τὸ ὁποῖο καὶ μοῦ τὸ διηγήθηκε, καὶ ἀφοῦ ἔπιασε τὰ γόνατά του[5], καὶ ἔκλαψε πάρα πολύ, ἐπαρακάλεσε γιὰ νὰ ζητήση χάρι ἀπὸ τὴν οἰκοδέσποινά της γι' αὐτήν. Καὶ ἀφοῦ ἐσπατάλησε

σεν ὥστε τὴν αὐτῆς ἀξιῶσαι δέσποιναν ὑπὲρ αὐτῆς· καὶ πολλοὺς ἀναλώσασα λόγους, ὕστερον καὶ τοῦτο προσέθηκεν, ὡς τούτῳ πείσουσα μάλιστα, ὅρκον τινὰ φρικωδέστατον ἐπάγουσα· ὁ δὲ ὅρκος ἦν οὗτος· οὕτω τὸν Χριστὸν ἴδοις ἐν ἡμέρᾳ κρίσεως, μὴ παρίδῃς μου τὴν ἀξίωσιν· καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν. Ἡ δὲ παρακληθεῖσα, φροντίδος τινὸς ἐμπεσούσης βιωτικῆς, οἷα συμβαίνει ἐν ταῖς οἰκίαις, ἐπελάθετο. Εἶτα ἄφνω δείλης μεσημβρίας εἰς μνήμην ἦλθε τοῦ φρικωδεστάτου ὅρκου, καὶ κατενύγη σφοδρῶς, καὶ ἀπελθοῦσα ἠξίωσε μετὰ πολλῆς τῆς ἐπιμελείας, καὶ τὸ πρᾶγμα ἤνυσε. Καὶ κατ' ἐκείνην τὴν νύκτα ἄφνω τοὺς οὐρανοὺς εἶδεν ἀνεῳγότας, καὶ αὐτὸν τὸν Χριστόν· εἶδε δέ, ὡς γυναικὶ δυνατὸν ἦν ἰδεῖν. Ἐπειδὴ ὅλως ἐφρόντισε τοῦ ὁρκισμοῦ, ἐπειδὴ ἐφοβήθη, τῆς ὀπτασίας κατηξιώθη ταύτης.

Ταῦτα δὲ εἶπον, ἵνα μὴ καταφρονῶμεν τῶν ὁρκισμῶν, μάλιστα ὅταν ὑπὲρ ἀγαθῶν πραγμάτων ἡμᾶς τινες παρακαλῶσιν, ὑπὲρ ἐλεημοσύνης, ὑπὲρ φιλανθρωπίας. Νῦν δὲ κάθηνται πένητες ἐκκεκομμένοι τοὺς πόδας, ὁρῶσί σε παρατρέχουσαν· εἶτ' ἐπειδὴ τοῖς ποσὶν ἐπακολουθῆσαι μὴ δύνανται, καθάπερ ἀγκίστρῳ τινὶ προσδοκῶσι κατέχειν τῷ φόβῳ τοῦ ὅρκου, καὶ τὰς χεῖρας ἐκτείνοντες ὁρκίζουσιν, ὥστε δοῦναι ὀβολὸν ἕνα, ἢ δύο μόνον· σὺ δὲ παρατρέχεις, τὸν δεσπότην ὁρκιζομένη τὸν σόν. Καὶ ἂν μὲν κατὰ τῶν ὀφθαλμῶν ἢ τοῦ ἀνδρὸς τοῦ ἀποδημοῦντος ὁρκίσῃ, ἢ τοῦ παιδίου, ἢ τῆς θυγατρός, εὐθέως εἴκεις, καὶ ἐφάλλεταί σου ἡ διάνοια καὶ διαθερμαίνῃ, ἂν δὲ τὸν Κύριον ὁρκίσῃ, παρατρέχεις. Πολλὰς δὲ οἶδα ἐγώ, αἵ, τὸν μὲν Χριστὸν ἀκούουσαι, παρέδραμον· εἰς δὲ κάλλος ἐπαινεθεῖσαι παρὰ τῶν προσιόντων, διεχύθησαν, ἐμαλάχθησαν, καὶ χεῖρα ὤρεξαν. Τοιγαροῦν εἰς τοῦτο τοὺς πένητας κατέστησαν τοὺς ἀθλίους καὶ ταλαιπώρους, εἰς τὸ γελωτοποιεῖν. Ἐπειδὴ γὰρ τὰ σφοδρὰ ῥήματα καὶ πικρὰ λέγοντες οὐ καθάπτονται τῆς ψυχῆς, ἐπὶ ταύτην ἔρχονται τὴν ὁδόν, δι' ἧς μάλιστα τέρπουσι· καὶ τὸν ἐν συμφορᾷ ὄντα καὶ ὑπὸ τοῦ λιμοῦ ἀγχόμενον ἠνάγκασεν ἡ πολλὴ φαυλότης ἡμῶν κάλλους ἐγκώμια λέγειν τοὺς ἐλεοῦντας. Καὶ εἴθε τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον εἶδος τούτου χαλεπώτερον· θαυματοποιοὺς

πολλὰ λόγια, τελευταῖο ἐπρόσθεσε καὶ αὐτό, γιὰ νὰ πείσῃ μὲ αὐτὸ πιὸ πολύ, προσθέτοντας κάποιο φοβερώτατο ὅρκο. Καὶ ὁ ὅρκος ἦταν ὁ ἑξῆς· εἴθε ἔτσι νὰ ἰδῇς τὸν Χριστὸ κατὰ τὴν ἡμέρα τῆς κρίσεως, μὴ παραβλέψῃς τὴν παράκλησί μου. Καὶ ἀφοῦ εἶπε αὐτὰ ἔφυγε. Αὐτὴ δὲ ποὺ εἶχε παρακληθῆ, ἐπειδὴ παρουσιάσθηκε ξαφνικὰ κάποια βιωτικὴ φροντίδα, ἀπὸ αὐτὲς ποὺ συμβαίνουν στὰ σπίτια, τὸ ἐλησμόνησε. Ἔπειτα ξαφνικὰ ἀργὰ τὸ μεσημέρι θυμήθηκε τὸ φοβερώτατο ὅρκο καὶ ταράχθηκε πάρα πολύ, καὶ ἀφοῦ μετέβηκε ἐκεῖ ζήτησε μὲ πολλὴ φροντίδα νὰ ἱκανοποιηθῆ ἡ παράκλησίς της καὶ τὸ πρᾶγμα ἐτελείωσε. Καὶ κατὰ τὴ διάρκεια ἐκείνης τῆς νύκτας εἶδε ξαφνικὰ τοὺς οὐρανοὺς ἀνοιγμένους καὶ τὸν ἴδιο τὸν Χριστό. Καὶ τὸν εἶδε, ὅπως ἦταν δυνατὸ στὴ γυναῖκα νὰ τὸν ἰδῆ. Ἐπειδὴ ἔδειξε μεγάλη φροντίδα γιὰ τὸν ὅρκο, ἐπειδὴ ἐφοβήθηκε, καταξιώθηκε αὐτὴν τὴν ὀπτασία.

Αὐτὰ δὲ τὰ εἶπα, γιὰ νὰ μὴ περιφρονοῦμε τοὺς ἐξορκισμούς, πρὸ πάντων ὅταν μᾶς παρακαλοῦν μερικοὶ γιὰ ἀγαθὰ πράγματα, γιὰ ἐλεημοσύνη, γιὰ φιλανθρωπία. Καὶ τώρα κάθονται πτωχοὶ μὲ κομμένα τὰ πόδια, σὲ βλέπουν νὰ τοὺς περιφρονεῖς. Ἔπειτα ἐπειδὴ δὲν μποροῦν νὰ ἀκολουθήσουν μὲ τὰ πόδια, ἐλπίζουν σὰν μὲ κάποιο ἀγκίστρι νὰ ἐπισύρουν τὴν προσοχή σου μὲ τὸ φόβο τοῦ ὅρκου, καὶ ἁπλώνοντας τὰ χέρια σὲ ἐξορκίζουν, γιὰ νὰ δώσῃς ἕνα ἢ δύο ὀβολοὺς μόνο. Ἐσὺ ὅμως τοὺς περιφρονεῖς, ἂν καὶ ἐξορκίζεσαι στὸ ὄνομα τοῦ Κυρίου σου. Καὶ ἂν βέβαια σὲ ἐξορκίσῃ στὰ μάτια σου ἢ στὸν ἄνδρα σου ποὺ ταξιδεύει ἢ στὸν υἱό σου ἢ στὴ θυγατέρα σου, ἀμέσως ὑποχωρεῖς καὶ ταράσσεται ὁ νοῦς σου καὶ ἐξάπτεται, ἂν ὅμως ἐξορκισθῆς στὸν Κύριο, ἀδιαφορεῖς. Γνωρίζω πολλὲς ἐγώ, οἱ ὁποῖες ὅταν ἄκουσαν τὸ ὄνομα τοῦ Χριστοῦ, τὸ περιφρόνησαν, ὅταν ὅμως τὶς ἐπήνεσαν γιὰ τὴν ὀμορφιὰ αὐτοὶ ποὺ τὶς πλησιάζουν, ἔδειξαν αἰσθήματα φιλοφροσύνης, ἐμαλάκωσαν καὶ τοὺς ἐβοήθησαν. Ἑπομένως σ' αὐτὸ κατήντησαν τοὺς ἀθλίους καὶ δυστυχισμένους πτωχούς, στὸ νὰ εἶναι γελωτοποιοί. Ἐπειδὴ λοιπὸν ὅταν λέγουν καυστικὰ καὶ πικρὰ λόγια δὲν μαλακώνουν τὴν ψυχή, μεταχειρίζονται αὐτὸν τὸν τρόπο, μὲ τὸν ὁποῖο κυρίως προκαλοῦν εὐχαρίστησι. Καὶ ἡ μεγάλη μας φαυλότητα ἠνάγκασε αὐτὸν ποὺ εὑρίσκεται σὲ συμφορὰ καὶ πιέζεται ἀπὸ τὴν πεῖνα νὰ πλέκῃ ἐγκώμια ὀμορφιᾶς σὲ ἐκείνους ποὺ ἐλεοῦν. Καὶ εἴθε νὰ συνέβαινε αὐτὸ μόνο, ἀλλὰ συμβαίνει καὶ ἄλλο εἶδος πιὸ φοβερὸ ἀπὸ αὐτό· ἀνάγκασε τοὺς πτωχοὺς νὰ εἶναι θαυματοποιοί, αἰσχρολόγοι καὶ γελωτοποι-

τοὺς πένητας ἠνάγκασεν εἶναι καὶ αἰσχρολόγους καὶ γελωτοποιούς. Ὅταν γὰρ κύλικας καὶ κισσύβια καὶ ποτήρια τοῖς δακτύλοις ἐνείρων καὶ περιτιθεὶς κυμβαλίζῃ, καὶ σύριγγα ἔχων ᾄδῃ δι' αὐτῆς τὰ ᾄσματα τὰ αἰσχρὰ καὶ ἔρωτος γέμοντα, καὶ διὰ τῆς φωνῆς ἀνοβοᾷ· εἶτα πολλοὶ περιεστήκωσι, καὶ οἱ μὲν τρύφος ἄρτου, οἱ δὲ ὀβολόν, οἱ δὲ ἕτερόν τι παρέχωσι, καὶ κατέχωσιν ἐπὶ πολύ, καὶ τέρπωνται καὶ ἄνδρες καὶ γυναῖκες, τί τούτου χαλεπώτερον; οὐχί πολλοῦ στεναγμοῦ ταῦτα ἄξια;

Μικρὰ μὲν ἔστι, καὶ νομίζεται μικρά· μεγάλα δὲ ἐναποτίκτει τοῖς ἤθεσιν ἡμῶν τὰ ἁμαρτήματα. Ὅταν γὰρ αἰσχρόν τι λεχθῇ καὶ ἡδὺ μέλος, ἐμάλαξε τὴν διάνοιαν, καὶ αὐτὴν ἐκείνην διέφθειρε τὴν ψυχήν. Καὶ ὁ μὲν τὸν Θεὸν καλῶν πένης, καὶ ἐπευχόμενος ὑμῖν μυρία ἀγαθά, οὐδὲ λόγου ἀξιοῦται παρ' ὑμῶν· ὁ δὲ ἀντὶ τούτων τὰ νεωτερικὰ ἐπεισάγων, θαυμάζεται. Ὃ δέ με νῦν ὑπεισῆλθεν εἰπεῖν πρὸς ὑμᾶς, ἐκεῖνο ἐρῶ. Ποῖον δὴ τοῦτο; Ὅταν πενίᾳ καὶ νόσῳ περιβληθῇς, εἰ μηδαμόθεν ἀλλαχόθεν, ἀπὸ γοῦν τῶν ἐπαιτούντων τῶν διὰ τῶν στενωπῶν χωρούντων μάθε εὐχαριστεῖν τῷ δεσπότῃ. Οὗτοι γὰρ πάντα τὸν βίον ἐν τῷ ἐπαιτεῖν καταναλίσκοντες, οὐ βλασφημοῦσιν, οὐκ ἀγανακτοῦσιν οὐδὲ δυσχεραίνουσιν, ἀλλὰ πᾶσαν τὴν τῆς ἐπαιτήσεως διήγησιν ἐν εὐχαριστίᾳ ποιοῦνται, μέγαν τὸν Θεὸν ποιοῦντες καὶ φιλάνθρωπον. Ὁ μὲν λιμῷ φθειρόμενος, φιλάνθρωπον καλεῖ· σὺ δὲ ὁ ἐν ἀφθονίᾳ ζῶν, ἂν μὴ τὰ πάντων λάβῃς, ὠμὸν λέγεις; Πόσῳ βελτίων ἐκεῖνος; πῶς ἡμᾶς κατακρινεῖ;

Κοινοὺς διδασκάλους ἡμῖν τῶν συμφορῶν καὶ παραμυθίαν ἀφῆκε διὰ τῆς οἰκουμένης ὁ Θεὸς τοὺς πένητας. Ἔπαθές τι τῶν ἀβουλήτων; ἀλλ' οὐδὲν τοιοῦτον, οἷον ἐκεῖνος. Ἐξεκόπης τὸν ὀφθαλμόν; ἀλλ' ἐκεῖνος τοὺς δύο. Ἐνόσησας νόσον μακράν; ἀλλ' ἐκεῖνος ἀνίατον ἔχει. Ἀπέβαλες τοὺς παῖδας; ἀλλ' ἐκεῖνος καὶ τὴν ὑγείαν τοῦ οἰκείου σώματος. Ἐζημιώθης ζημίαν μεγάλην; ἀλλ' οὐδέπω πρὸς τὸ ἑτέρων δεῖσθαι κατέστης. Εὐχαρίστησον τῷ Θεῷ. Ὁρᾷς ἐκείνους ἐν καμίνῳ πενίας, καὶ παρὰ πάντων μὲν αἰτοῦντας, παρ' ὀλίγων δὲ λαμβάνοντας; Ὅταν ἀποκάμῃς εὐχόμενος, καὶ μὴ λαμβάνῃς, ἐννόησον ποσάκις ἤκουσας πένητός σε καλοῦντος, καὶ οὐκ ἐπήκουσας, καὶ οὐκ ἠγανάκτησεν

6. *Κύλικες*· ποτήρια κρασιοῦ μὲ δύο λαβές.
7. *Κισσύβια*· ξύλινα ἀγροτικὰ ποτήρια ποὺ ἔχουν κυρίως μιὰ λαβή.

οί. Γιατὶ ὅταν κρούῃ κύλικας[6] καὶ κισσύβια[7] καὶ ποτήρια ἐμπλέκοντας καὶ θέτοντας στὰ δάκτυλά του, καί, παίζοντας αὐλό, τραγουδᾶ μὲ αὐτὸν τὰ αἰσχρὰ καὶ ἐρωτικὰ τραγούδια καὶ μὲ τὴ φωνή του φωνάζῃ δυνατά, καὶ ὅταν ἔπειτα τὸν περικυκλώνουν πολλοὶ καὶ ἄλλοι τοῦ δίνουν ἕνα κομμάτι ψωμιοῦ, ἄλλοι ἕνα ὀβολὸ καὶ ἄλλοι κάτι ἄλλο, καὶ τὸν κρατοῦν γιὰ πολύ, καὶ εὐχαριστοῦνται καὶ ἄνδρες καὶ γυναῖκες, τί εἶναι πιὸ φοβερὸ ἀπὸ αὐτό; δὲν εἶναι αὐτὰ ἄξια μεγάλου στεναγμοῦ;

Εἶναι μικρὰ καὶ θεωροῦνται ὅτι εἶναι μικρά, προκαλοῦν ὅμως μεγάλα παραπτώματα στὰ ἤθη μας. Γιατὶ ὅταν λεχθῆ κάποιο αἰσχρό καὶ εὐχάριστο τραγούδι, ἐμαλάκωσε τὸ νοῦ καὶ διέφθειρε αὐτὴν ἀκριβῶς τὴν ψυχή. Καὶ ὁ πτωχὸς ποὺ καλεῖ τὸν Θεὸ καὶ σᾶς εὔχεται ἄπειρα ἀγαθά, δὲν γίνεται ἄξιος οὔτε ἑνὸς λόγου σας, ἐκεῖνος ὅμως ποὺ εἰσάγει τὰ φαιδρά, θαυμάζεται ἀπὸ σᾶς. Αὐτὸ ὅμως ποὺ τώρα μοῦ ἦλθε νὰ σᾶς εἰπῶ, αὐτὸ θὰ εἰπῶ. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ὅταν περιβληθῆς μὲ φτώχεια καὶ ἀσθένεια, ἐὰν ἀπὸ πουθενὰ ἀλλοῦ, τουλάχιστο μάθε νὰ εὐχαριστῆς τὸν Κύριο ἀπὸ αὐτοὺς ποὺ ἐπαιτοῦν καὶ διασχίζουν τὰ στενὰ δρομάκια. Γιατὶ αὐτοί, ἂν καὶ περνοῦν ὅλη τους τὴ ζωὴ στὴν ἐπαιτεία, δὲν βλασφημοῦν, δὲν ἀγανακτοῦν, οὔτε δυσανασχετοῦν, ἀλλὰ μὲ εὐχαριστία ὁμιλοῦν κατὰ τὴν ἐπαιτεία, κάνοντας τὸν Θεὸ μεγάλο καὶ φιλάνθρωπο. Αὐτὸς μὲν ποὺ καταστρέφεται ἀπὸ τὴν πεῖνα, τὸν ἀποκαλεῖ φιλάνθρωπο, ἐσὺ δὲ ποὺ ζῆς μέσα σὲ ἄφθονα ἀγαθά, ἂν δὲν λάβῃς τὰ πάντα, τὸν λέγεις σκληρό; Πόσο καλύτερος εἶναι ἐκεῖνος; πῶς θὰ μᾶς κατακρίνῃ;

Κοινοὺς διδασκάλους μας γιὰ τὶς συμφορὲς καὶ παρηγορία ἄφησε διὰ μέσου τῆς οἰκουμένης ὁ Θεὸς τοὺς πτωχούς. Ἔπαθες κάτι ἀνεπιθύμητο; ὅμως δὲν ἔπαθες τίποτε τέτοιο, ὅπως ἐκεῖνος. Ἔχασες τὸ μάτι σου; ἀλλὰ ἐκεῖνος καὶ τὰ δύο. Ἠσθένησες μὲ μακροχρόνια ἀσθένεια; ἐκεῖνος ὅμως ἔχει ἀσθένεια ἀνίατη. Ἔχασες τὰ παιδιά σου; ἐκεῖνος ὅμως καὶ τὴν ὑγεία τοῦ δικοῦ του σώματος. Ἐζημιώθηκες πολύ; ἀλλὰ ποτὲ δὲν εὑρέθηκες σὲ ἀνάγκη νὰ χρειάζεσαι τοὺς ἄλλους. Εὐχαρίστησε τὸν Θεό. Βλέπεις ἐκείνους νὰ εὑρίσκωνται μέσα στὸ καμίνι τῆς φτώχειας καὶ νὰ ζητοῦν ἀπὸ ὅλους, νὰ λαμβάνουν ὅμως ἀπὸ λίγους; Ὅταν κουρασθῆς νὰ προσεύχεσαι, καὶ δὲν λαμβάνῃς, σκέψου πόσες φορὲς ἔχεις ἀκούσει νὰ σὲ καλῆ πτωχὸς καὶ δὲν τὸν ἐδέχθηκες, καὶ ἐκεῖνος δὲν ἀγανάκτησε, οὔτε σὲ ὕβρισε. Ἂν καὶ ἀπὸ σκληρότητα τὸ κάνῃς

ἐκεῖνος, οὐδὲ ὕβρισέ σε. Καίτοι σὺ μὲν ἀπὸ ὠμότητος τοῦτο ποιεῖς, ὁ δὲ Θεὸς ἀπὸ φιλανθρωπίας καὶ τὸ μὴ ἀκούειν ποιεῖ. Εἰ τοίνυν αὐτὸς τοῦ ὁμοδούλου δι' ὠμότητα ἀκούων οὐκ ἀξιοῖς ἐγκαλεῖσθαι, τῷ δεσπότῃ τοῦ δούλου διὰ φιλανθρωπίαν οὐκ ἀκούοντι ἐγκαλεῖς; Ὁρᾷς πόσον τὸ ἄνισον; πόσον τὸ ἄδικον;

4. Ταῦτα ἐννοῶμεν διαπαντός, τοὺς κατωτέρους, τοὺς ἐν μείζοσι συμφοραῖς, καὶ οὕτω δυνησόμεθα εὐχαριστεῖν τῷ Θεῷ. Πολλῶν ὁ βίος γέμει τοιούτων ὑποδειγμάτων. Ἔχει δὲ διδασκαλίαν οὐ μικρὰν ὁ νήφων καὶ βουλόμενος προσέχειν καὶ ἀπὸ τῶν εὐκτηρίων οἴκων. Διὰ τοῦτο γὰρ καὶ ἐν ταῖς ἐκκλησίαις, καὶ ἐν τοῖς μαρτυρίοις προκάθηνται τῶν προπυλαίων οἱ πένητες, ὥστε ἡμᾶς ἐκ τῆς τούτων θέας πολλὴν δέχεσθαι τὴν ὠφέλειαν. Ἐννόησον γὰρ ὅτι εἰς μὲν βασίλεια τὰ ἐπὶ τῆς γῆς εἰσερχομένων ἡμῶν, οὐδὲν τοιοῦτον ἔστιν ἰδεῖν· ἀλλὰ ἄνδρες καὶ σεμνοί, καὶ λαμπροί, καὶ πλουτοῦντες, καὶ συνετοί, πανταχοῦ διατρέχουσιν· εἰς δὲ τὰ ὄντως βασίλεια, τὴν ἐκκλησίαν λέγω, καὶ τοὺς εὐκτηρίους οἴκους τῶν μαρτύρων, δαιμονῶντες, ἀνάπηροι, πένητες, γέροντες, τυφλοί, διεστραμμένοι τὰ μέλη. Τί δήποτε; Ἵνα σὺ παιδεύῃ διὰ τῆς τούτων θέας· πρῶτον μὲν ἵνα, εἴ τινα τῦφον ἔξωθεν ἐπισυρόμενος εἰσέλθῃς, εἰς ἐκείνους βλέψας, καὶ ἀποθέμενος τὸν ὄγκον, καὶ συντρίψας τὴν καρδίαν, οὕτως εἰσέλθῃς, καὶ τῶν λεγομένων ἀκούσῃς· οὐ γὰρ ἔστι μετὰ τύφου προσευχόμενον ἀκούεσθαι· ἵν', ὅταν γέροντα ἴδῃς, μὴ ἐπὶ νεότητι μέγα φρονῇς· καὶ γὰρ οὗτοι ἐγένοντο νέοι οἱ γέροντες· ἵν', ὅταν ἐπὶ στρατείᾳ καὶ δυναστείᾳ βασιλικῇ μέγα κομπάζῃς, ἐννοήσῃς ὅτι ἐκ τούτων εἰσὶν οἱ λαμπροὶ γενόμενοι ἐν ταῖς βασιλικαῖς αὐλαῖς· ὅταν ἐπὶ ὑγείᾳ σώματος θαρρῇς, τούτοις προσέχων καταστείλῃς σου τὸ φρόνημα. Καὶ γὰρ ἐνταῦθα συνεχῶς εἰσιών, ὁ μὲν ὑγιαίνων οὐ μέγα φρονήσει ἐπὶ ὑγείᾳ σώματος· ὁ δὲ κάμνων λήψεται παραμυθίαν οὐ τὴν τυχοῦσαν.

Οὐ διὰ τοῦτο δὲ μόνον ἐνταῦθα παρακάθηνται, ἀλλ' ἵνα σε καὶ ἐλεήμονα ποιήσωσι, καὶ πρὸς ἔλεον ἐπικαμφθῇς· ἵνα θαυμάσῃς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν· εἰ γὰρ ὁ Θεὸς οὐκ ἐπαισχύνε-

---

8. *Μαρτύρια*· τόποι μαρτυρίου τῶν μαρτύρων, ἱερά, προσκυνήματα.

αὐτό, ὁ Θεὸς ὅμως καὶ ὅταν δὲν σὲ ἀκούῃ, τὸ κάνει ἀπὸ φιλανθρωπία. Ἐὰν λοιπὸν ἐσὺ ὁ ἴδιος, ὅταν ἀπὸ σκληρότητα δὲν ἀκούῃς τὸ συνάνθρωπό σου, δὲν θεωρεῖς ἄξιο νὰ κατηγορῆσαι, κατηγορεῖς τὸν Κύριο τοῦ δούλου ὅταν ἀπὸ φιλανθρωπία δὲν ἀκούῃ; Βλέπεις πόση εἶναι ἡ ἀνισότητα; πόση εἶναι ἡ ἀδικία;

4. Ἂς ἐνθυμούμασθε συνεχῶς αὐτά, τοὺς κατωτέρους, τοὺς εὑρισκομένους σὲ μεγαλύτερες συμφορές, καὶ ἔτσι θὰ μπορέσωμε νὰ εὐχαριστοῦμε τὸν Θεό. Ἡ ζωὴ εἶναι γεμάτη ἀπὸ πολλὰ τέτοια παραδείγματα. Ἐκεῖνος ποὺ ἐπαγρυπνεῖ καὶ θέλει νὰ προσέχῃ διδάσκεται πολὺ ἀπὸ τοὺς εὐκτήριους οἴκους. Γι' αὐτὸ λοιπὸν καὶ στὶς ἐκκλησίες καὶ στὰ μαρτύρια[8] κάθονται ἐμπρὸς ἀπὸ τὰ προπύλαια οἱ φτωχοί, ὥστε ἀπὸ τὴ θέα αὐτῶν νὰ δεχώμασθε μεγάλη ὠφέλεια. Γιατὶ σκέψου ὅτι τίποτε τέτοιο δὲν εἶναι δυνατὸ νὰ ἰδοῦμε, ὅταν εἰσερχώμασθε σὲ ἀνάκτορα ποὺ βρίσκονται στὴ γῆ, ἀλλὰ ἄνδρες καὶ εὐγενεῖς καὶ ἔνδοξοι καὶ πλούσιοι καὶ συνετοὶ παντοῦ νὰ τρέχουν. Στὰ πραγματικὰ ὅμως ἀνάκτορα, ἐννοῶ τὴν ἐκκλησία, καὶ τοὺς εὐκτήριους οἴκους τῶν μαρτύρων, ὑπάρχουν δαιμονισμένοι, ἀνάπηροι, πτωχοί, γέροντες, τυφλοί, ἄνθρωποι μὲ παραμορφωμένα τὰ μέλη τους. Γιατί τέλος πάντων; Γιὰ νὰ σὲ διδάσκῃ μὲ τὴ θέα αὐτῶν. Πρῶτα, ἐὰν εἰσέλθῃς φέροντας μαζί σου ἀπὸ ἔξω κάποια ἀλαζονεία, ἀφοῦ κυτάξῃς σὲ ἐκείνους, ν' ἀποθέσῃς τὴν ὑπερηφάνειά σου, γιὰ νὰ εἰσέλθῃς ἔτσι καὶ νὰ ἀκούσῃς τὰ λεγόμενα, γιατὶ δὲν εἶναι δυνατὸ νὰ εἰσακούεσαι ὅταν μὲ ἀλαζονεία προσεύχεσαι. Ὅταν ἰδῇς γέροντα, γιὰ νὰ μὴ ὑπερηφανεύεσαι γιὰ τὴ νεότητα, γιατὶ καὶ αὐτοὶ οἱ γέροντες ὑπῆρξαν νέοι. Ὅταν ὑπερηφανεύεσαι πολὺ γιὰ τὶς πολεμικὲς ἐπιχειρήσεις καὶ γιὰ τὴ βασιλικὴ δυναστεία, γιὰ νὰ σκεφθῇς ὅτι ἀπὸ αὐτὰ προέρχονται ἐκεῖνοι ποὺ γίνονται ἔνδοξοι στὶς βασιλικὲς αὐλές. Ὅταν ἔχῃς ἐμπιστοσύνη στὴν ὑγεία τοῦ σώματός σου, γιὰ νὰ καταστείλῃς τὴν ὑπερηφάνεια σου προσέχοντας αὐτούς. Γιατὶ ἐδῶ ὅταν εἰσέρχεται συνεχῶς, αὐτὸς ποὺ εἶναι ὑγιὴς δὲν θὰ ὑπερηφανευθῇ γιὰ τὴν ὑγεία τοῦ σώματός του καὶ ἐκεῖνος ποὺ εἶναι ἀσθενὴς θὰ λάβῃ μεγάλη παρηγοριά.

Δὲν κάθονται ὅμως ἐδῶ γι' αὐτὸ μόνο, ἀλλὰ γιὰ νὰ σὲ κάμουν καὶ ἐλεήμονα καὶ γιὰ νὰ συγκινηθῇς γιὰ ἐλεημοσύνη. Γιὰ νὰ θαυμάσῃς τὴ φιλανθρωπία τοῦ Θεοῦ, γιατὶ ἀφοῦ ὁ Θεὸς δὲν ἐντρέπεται αὐτούς, ἀλλὰ τοὺς ἔθεσε στὰ προπύλαιά του, πολὺ περισσότερο ἐσὺ πρέπει νὰ κάνῃς αὐτό. Γιὰ νὰ μὴ ὑπερηφανεύεσαι γιὰ τὰ ἀνά-

ται αὐτούς, ἀλλ' ἐν τοῖς προπυλαίοις αὐτοῦ ἔστησε, πολλῷ μᾶλλον σύ· ἵνα μὴ μέγα φρονῇς ἐπὶ τοῖς βασιλείοις τοῖς ἐπὶ τῆς γῆς. Μὴ δὴ ἐπαισχύνου παρὰ πένητος καλούμενος· κἂν προσέλθῃ, κἂν τὰ γόνατα κατέχῃ, μὴ ἀποσείσῃ· κύνες γάρ εἰσιν οὗτοί τινες θαυμαστοὶ τῶν αὐλῶν τῶν βασιλικῶν. Οὐ γὰρ ἀτιμάζων αὐτοὺς κύνας ἐκάλεσα, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα ἐπαινῶν· τὴν αὐλὴν φυλάττουσι τὴν βασιλικήν· θρέψον τοίνυν αὐτούς· ἡ γὰρ τιμὴ εἰς τὸν βασιλέα διαβαίνει. Ἐκεῖ πάντα τῦφος, ἐν τοῖς βασιλείοις λέγω τοῖς ἐπὶ τῆς γῆς· ἐνταῦθα πάντα ταπεινοφροσύνη. Ὅτι οὐδὲν τὰ ἀνθρώπινα ἀπ' αὐτῶν μάλιστα τῶν προπυλαίων μανθάνεις· ὅτι οὐ τέρπεται πλούτῳ Θεός, ἀπ' αὐτῶν τῶν προκαθημένων διδάσκῃ. Ἡ γὰρ τούτων καθέδρα καὶ ἡ συλλογὴ μονονουχὶ παραίνεσίς ἐστι, πρὸς τὴν τῶν ἁπάντων ἀνθρώπων φύσιν φωνὴν ἀφιεῖσα λαμπράν, καὶ λέγουσα, ὅτι οὐδὲν τὰ ἀνθρώπινα πράγματα, ὅτι σκιὰ καὶ καπνός.

Εἰ καλὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πένητας προεκάθισεν ὁ Θεὸς τῶν οἰκείων προθύρων. Εἰ δὲ προσίεται καὶ πλουτοῦντας, μὴ θαυμάσῃς· οὐ γὰρ διὰ τοῦτο προσίεται, ἵνα μένωσι πλουτοῦντες, ἀλλ' ἵνα ἀπαλλαγῶσι τοῦ ὄγκου. Ἄκουσον γὰρ τί φησιν αὐτοῖς ὁ Χριστός· «Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμωνᾷ»· καὶ πάλιν, «Δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· καὶ πάλιν, «Εὐκοπώτερον κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Διὰ ταῦτα δέχεται τοὺς πλουσίους, ἵνα ταῦτα ἀκούσωσι τὰ ῥήματα, ἵνα τὸν αἰώνιον ποθήσωσι πλοῦτον, ἵνα ἐπιθυμήσωσι τῶν ἐν τοῖς οὐρανοῖς. Καὶ τί θαυμάζεις εἰ εἰς τὰ πρόθυρα αὐτοῦ οὐκ ἀπαξιοῖ τοὺς τοιούτους καθίζειν; ἐπὶ γὰρ τὴν τράπεζαν αὐτοῦ τὴν πνευματικὴν οὐκ ἀπαξιοῖ καλεῖν αὐτούς, καὶ μεταδοῦναι τῆς εὐωχίας ἐκείνης· ἀλλ' ὁ κυλλὸς καὶ ἀνάπηρος, ὁ γέρων καὶ ῥάκια ἠμφιεσμένος καὶ ῥύπον καὶ κόρυζαν ἔχων, ἅμα τῷ νέῳ τῷ καλῷ, καὶ αὐτῷ τῷ τὴν ἁλουργίδα περικειμένῳ καὶ τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς ἔχοντι, ἔρχεται τῆς τραπέζης μεθέξων, καὶ ἀξιοῦται τῆς εὐωχίας τῆς πνευματικῆς, καὶ τῶν αὐτῶν ἑκάτεροι ἀπολαύουσι, καὶ οὐδεμία ἐστὶ διαφορά.

---

9. Ματθ. 6,24
10. Ματθ. 19,23.24

κτορα ποὺ εὑρίσκονται ἐπάνω στὴ γῆ. Μὴ λοιπὸν ἐντρέπεσαι ὅταν καλῆσαι ἀπὸ πτωχό· καὶ ἂν προσέλθη, καὶ ἂν πιάση τὰ γόνατά σου, μὴ τὸν διώξης, γιατὶ αὐτοὶ εἶναι θαυμαστὰ σκυλιὰ τῶν βασιλικῶν αὐλῶν. Δὲν τοὺς ὠνόμασα αὐτοὺς σκυλιά, γιὰ νὰ τοὺς ἀτιμάσω, μακριὰ μιὰ τέτοια σκέψις, ἀλλὰ καὶ γιὰ νὰ τοὺς ἐπαινέσω πάρα πολύ. Φυλάσσουν τὴ βασιλικὴ αὐλή. Θρέψε λοιπὸν αὐτούς, γιατὶ ἡ τιμὴ μεταβαίνει στὸ βασιλέα. Ἐκεῖ τὰ πάντα εἶναι ἀλαζονεία, δηλαδὴ στὰ ἀνάκτορα ποὺ εὑρίσκονται ἐπάνω στὴ γῆ, ἐδῶ τὰ πάντα ταπεινοφροσύνη. Ὅτι δὲν ἀξίζουν καθόλου τὰ ἀνθρώπινα, τὸ μαθαίνεις κυρίως ἀπὸ αὐτὰ τὰ προπύλαια· τὸ ὅτι δὲν εὐχαριστεῖται μὲ τὸν πλοῦτο ὁ Θεός, τὸ διδάσκεσαι ἀπὸ αὐτοὺς ποὺ κάθονται ἐμπρὸς στὰ προπύλαια. Γιατὶ ἡ καθέδρα καὶ ἡ συγκέντρωσις αὐτῶν εἶναι σχεδὸν παραίνεσις, ποὺ ἀπευθύνει καθαρὴ φωνὴ πρὸς τὸ γένος ὅλων τῶν ἀνθρώπων καὶ λέγει, ὅτι δὲν εἶναι τίποτε τὰ ἀνθρώπινα πράγματα, ὅτι εἶναι σκιὰ καὶ καπνός.

Ἐὰν ἦταν καλὸ πρᾶγμα ὁ πλοῦτος, δὲν θὰ ἐγκαθιστοῦσε ὁ Θεὸς τοὺς πτωχοὺς ἐμπρὸς στὰ δικά του πρόθυρα. Ἐὰν ὅμως ἐπιτρέπη νὰ ἔλθουν καὶ οἱ πλούσιοι, μὴ θαυμάσης, γιατὶ δὲν τοὺς ἐπιτρέπει γι' αὐτό, γιὰ νὰ παραμένουν πλούσιοι, ἀλλὰ γιὰ νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν ἀλαζονεία τους. Γιατὶ ἄκουσε τί λέγει σὲ αὐτοὺς ὁ Χριστός· «Δὲν μπορεῖτε νὰ δουλεύετε στὸν Θεὸ καὶ στὸ μαμωνᾶ»[9]· καὶ πάλι, «Δύσκολα ὁ πλούσιος θὰ εἰσέλθη στὴ βασιλεία τῶν Οὐρανῶν»· καὶ πάλι, «Εἶναι εὐκολώτερο νὰ περάση καραβόσκοινο ἀπὸ τὴν τρύπα ποὺ ἀνοίγει ἡ βελόνα, παρὰ ὁ πλούσιος νὰ εἰσέλθη στὴ Βασιλεία τῶν Οὐρανῶν»[10]. Γι' αὐτὸ δέχεται τοὺς πλουσίους, γιὰ νὰ ἀκούσουν αὐτὰ τὰ λόγια, γιὰ νὰ ποθήσουν τὸν αἰώνιο πλοῦτο, γιὰ νὰ ἐπιθυμήσουν τὰ πράγματα ποὺ εὑρίσκονται στοὺς οὐρανούς. Καὶ γιατὶ θαυμάζεις ἂν δὲν θεωρῆ ἀνάξιο νὰ ἐγκαθιστᾶ αὐτοὺς στὰ πρόθυρά του; γιατὶ δὲν θεωρεῖ ἀνάξιο νὰ τοὺς προσκαλῆ αὐτοὺς στὸ πνευματικό του τραπέζι καὶ νὰ τοὺς μεταδώση ἐκείνη τὴν εὐωχία. Ἀλλὰ ὁ χωλὸς καὶ ἀνάπηρος, ὁ γέρων, ποὺ εἶναι ρακένδυτος καὶ ἔχει ἀκαθαρσίες καὶ μύξα, ἔρχεται μαζὶ μὲ τὸν ὄμορφο νέο καὶ μὲ αὐτὸν ποὺ φορεῖ τὴν πορφύρα καὶ ἔχει στὸ κεφάλι του τὸ στέμμα νὰ λάβη μέρος στὸ τραπέζι καὶ ἀξιώνεται τὴν πνευματικὴ εὐωχία, καὶ ἀπολαμβάνουν ὁ καθένας ἀπὸ αὐτοὺς τὰ ἴδια πράγματα καὶ δὲν ὑπάρχει καμμία διαφορά.

Εἶτα ὁ μὲν Χριστὸς οὐκ ἀπαξιοῖ εἰς τὴν τράπεζαν αὐτοὺς καλεῖν μετὰ τοῦ βασιλέως· ὁμοῦ γὰρ ἀμφότεροι καλοῦνται· σὺ δὲ ἴσως ἀπαξιοῖς καὶ ὀφθῆναι διδοὺς πένησιν, ἢ καὶ προσδιαλεγόμενος; Βαβαὶ τῆς ἀπονοίας καὶ τοῦ τύφου. Ὅρα μὴ τὰ αὐτὰ πάθωμεν τῷ ποτε πλουσίῳ. Ἀπηξίου ἐκεῖνος κἂν ἰδεῖν τὸν Λάζαρον, καὶ ὀροφῆς αὐτῷ οὐ μετέδωκεν οὐδὲ στέγης, ἀλλ' ἦν ἔξω παρὰ τὸν πυλῶνα ἐρριμμένος, ἀλλ' οὐδὲ ῥημάτων ἠξιώθη τῶν παρ' ἐκείνου. Ἀλλ' ὅρα πῶς ἐν ἀνάγκῃ καὶ χρείᾳ καταστὰς αὐτοῦ τῆς βοηθείας, ἀπέτυχεν. Εἰ γὰρ οὓς ὁ Χριστὸς οὐκ ἐπεισχύνεται, τούτους ἡμεῖς ἐπαισχυνόμεθα, τὸν Χριστὸν ἐπαισχυνόμεθα, τοὺς φίλους αὐτοῦ ἐπαισχυνόμενοι. Πεπληρώσθω σου ἡ τράπεζα χωλῶν, ἀναπήρων· διὰ τούτων παραγίνεται ὁ Χριστός, οὐ διὰ τῶν πλουτούντων. Τάχα γελᾷς ἀκούων. Οὐκοῦν ἵνα μὴ νομίσῃς ὅτι ἐμὸν τὸ ῥῆμα, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ἵνα μὴ γελάσῃς, ἀλλ' ἵνα φρίξῃς. «Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα· ἀλλ' ὅταν ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων».

Καὶ δόξα δὲ μείζων ἐνταῦθα ἐγγίνεται, εἴγε ταύτης ἐρᾷς. Ἐξ ἐκείνων μὲν γὰρ φθόνος καὶ βασκανία καὶ κατηγορίαι καὶ λοιδορίαι, καὶ πολὺς ὁ φόβος μή τι παρὰ τὸ δέον γένηται· καὶ ὡς οἰκέτης δεσπότῃ, οὕτω παρέστηκας, κἂν μείζους ὦσι, δεδοικὼς τὴν παρ' αὐτῶν μέμψιν καὶ τὰ στόματα· ἐπὶ δὲ τούτων οὐδὲν τοιοῦτον, ἀλλ' ἅπερ ἂν αὐτοῖς ἐνέγκῃς, μεθ' ἡδονῆς πάντα δέχονται· καὶ πολὺς ὁ κρότος, λαμπροτέρα ἡ δόξα, μεῖζον τὸ θαῦμα. Οὐχ οὕτω κροτοῦσιν ἐκείνους ὡς τούτους ἅπαντες οἱ ἀκούοντες. Εἰ δὲ ἀπιστεῖς, πείρασον σὺ ὁ πλουτῶν, ὁ στρατηγοὺς καὶ ἡγεμόνας καλῶν· κάλεσον πένητας, καὶ ἀπὸ τούτων τὴν τράπεζαν πλήρωσον, ἂν μὴ παρὰ πάντων κροτηθῇς, ἂν μὴ παρὰ πάντων φιληθῇς, ἂν μὴ πάντες ὡς πατέρα ἔξωσιν. Ἐκείνων μὲν γὰρ

---

11. Λουκᾶ 16,19 – 31· ὅπου ἡ παραβολὴ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.
12. Λουκᾶ 14,12 – 14.

Ἔπειτα ὁ Χριστὸς δὲν θεωρεῖ ἀνάξιο νὰ προσκαλῇ αὐτοὺς στὸ τραπέζι μαζὶ μὲ τὸ βασιλέα· διότι καὶ οἱ δύο καλοῦνται μαζί· Ἐσὺ ὅμως ἴσως θεωρεῖς ἀνάξιο καὶ νὰ σὲ ἰδοῦν ὅταν δίνης στοὺς πτωχοὺς ἢ καὶ ὅταν ὁμιλῇς μαζί τους; Πώ, πὼ παραφροσύνη καὶ ἀλαζονεία. Πρόσεχε μήπως πάθωμε τὰ ἴδια μὲ αὐτὸν ποὺ κάποτε ἦταν πλούσιος. Ἐθεωροῦσε ἐκεῖνος ἀνάξιο καὶ νὰ ἰδῇ τὸν Λάζαρο καὶ δὲν τοῦ παρεχώρησε στέγη οὔτε κατάλυμα, ἀλλὰ ἦταν πεταγμένος ἔξω κοντὰ στὴν ἐξώπορτα, ἀλλὰ οὔτε τὸν ἐθεώρησε ἄξιο νὰ τὸν μιλήση. Πρόσεχε ὅμως πῶς ὅταν εἶχε ἀνάγκη καὶ ἐχρειάσθηκε τὴ βοήθειά του, δὲν τὴν ἐπέτυχε[11]. Γιατὶ ἐὰν ἐκείνους τοὺς ὁποίους ὁ Χριστὸς δὲν ἐντρέπεται, ἐμεῖς τοὺς ντρεπώμασθε, τὸν Χριστὸ ντρεπόμασθε, ἐπειδὴ ντρεπόμασθε τοὺς φίλους του. Ἂς εἶναι γεμᾶτο τὸ τραπέζι σου ἀπὸ χωλούς, ἀναπήρους. Διὰ μέσου αὐτῶν ἔρχεται ὁ Χριστός, ὄχι διὰ μέσου τῶν πλουσίων. Ἴσως γελᾶς ἀκούοντα αὐτά. Γιὰ νὰ μὴ νομίσης λοιπὸν ὅτι εἶναι δικός μου ὁ λόγος, ἄκουσε τὸν ἴδιο τὸν Χριστὸ ποὺ λέγει, γιὰ νὰ μὴ γελάσης, ἀλλὰ γιὰ νὰ φρίξης. «Ὅταν κάνης πρόγευμα ἢ δεῖπνο, μὴ προσκαλῇς τοὺς φίλους σου, οὔτε τοὺς ἀδελφούς σου, οὔτε τοὺς συγγενεῖς σου οὔτε τοὺς πλουσίους γείτονας, μήπως καὶ ἐκεῖνοι σὲ καλέσουν κάποτε καὶ σοῦ γίνη ἡ ἀνταπόδοσις. Ἀλλὰ ὅταν κάνης τραπέζι, νὰ προσκαλῇς πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς, καὶ θὰ εἶσαι μακάριος, γιατὶ δὲν μποροῦν νὰ σοῦ τὸ ἀνταποδώσουν· θὰ σοῦ ἀνταποδοθῇ λοιπὸν στὴν ἀνάστασι τῶν δικαίων»[12].

Καὶ δόξα ὅμως πιὸ μεγάλη γεννᾶται ἐδῶ, ἐὰν βέβαια τὴν ποθῇς. Γιατὶ ἀπὸ ἐκείνους προέρχονται φθόνος καὶ βασκανία καὶ κατηγορίες καὶ ὕβρεις καὶ εἶναι μεγάλος ὁ φόβος μήπως γίνη κάτι ὅπως δὲν πρέπει· καὶ σὰν ὑπηρέτης στὸν κύριο, ἔτσι παρευρίσκεσαι, καὶ ἂν ὑπάρχουν ἀνώτεροι, φοβᾶσαι τὴ μομφὴ καὶ τὰ στόματά τους. Σὲ αὐτοὺς ὅμως δὲν συμβαίνει τίποτε τέτοιο, ἀλλὰ αὐτὰ ποὺ θὰ τοὺς προσφέρης, μὲ εὐχαρίστησι τὰ δέχονται ὅλα· καὶ εἶναι μεγάλος ὁ ἔπαινος, πιὸ λαμπρὴ ἡ δόξα, πιὸ μεγάλο τὸ θαῦμα. Δὲν χειροκροτοῦν τόσο ἐκείνους, ὅσο αὐτοὺς ὅλοι ὅσοι ἀκούουν. Ἐὰν ὅμως δὲν πιστεύης, δοκίμασε σὺ ὁ πλούσιος, ὁ ὁποῖος προσκαλεῖς στρατηγοὺς καὶ ἡγεμόνες. Προσκάλεσε πτωχοὺς καὶ γέμισε τὸ τραπέζι ἀπὸ αὐτούς, ἂν δὲν χειροκροτηθῇς ἀπὸ ὅλους, ἂν δὲν ἀγαπηθῇς ἀπὸ ὅλους, ἂν δὲν θὰ σὲ ἔχουν ὅλοι σὰν πατέρα. Ἀπὸ ἐκεῖνα λοιπὸν τὰ δεῖπνα δὲν προέρχεται κανένα κέρδος, γι᾽ αὐτὰ

τῶν δείπνων κέρδος οὐδέν, ὑπὲρ τούτων δὲ οὐρανὸς ἀπόκειται, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅμως ἐπιφυλάσσεται ὁ οὐρανὸς καὶ τὰ εὑρισκόμενα στοὺς οὐρανοὺς ἀγαθά. Αὐτὰ τὰ ἀγαθὰ εἴθε ὅλοι μας νὰ ἐπιτύχωμε, μὲ τὴ χάρι καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς*

* Οἱ ἀριθμοὶ παραπέμπουν γιὰ μὲν τὰ χωρία τῆς Γραγῆς κατὰ σειρὲς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα, γιὰ δὲ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα καὶ τὸ στίχο ποὺ βρίσκονται.

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Λ

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος	1ος	Ἐπιστολαὶ	(ἐξηντλήθη)
»	2ος	Ἐπιστολαὶ	»
»	3ος	Ἐπιστολαὶ	»
»	4ος	Ὁμιλίαι εἰς Ἑξαήμερον	»
»	5ος	Ὁμιλίαι εἰς Ψαλμοὺς	»
»	6ος	Ὁμιλίαι ἠθικαὶ καὶ πρακτικαὶ	
»	7ος	Ὁμιλίαι δογματικαὶ–περιστατικαὶ–ἐγκωμιαστικαὶ – παιδαγωγικαὶ	
»	8ος	Ἀσκητικὰ (Ὅροι κατὰ πλάτος)	
»	9ος	Ἀσκητικὰ (Ὅροι κατ' ἐπιτομὴν)	
»	10ος	Δογματικὰ ἔργα	

Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος	1ος	Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως)	
»	2ος	Δογματικὰ Α΄ (Λόγοι κατὰ Ἀρειανῶν Α–Β)	
»	3ος	Δογματικὰ Β΄ (Λόγοι κατὰ Ἀρειανῶν Γ–Δ)	
»	4ος	Δογματικὰ Γ΄	
»	5ος	Ἑρμηνευτικὰ Α΄	
»	6ος	Ἑρμηνευτικὰ Β΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)	
»	7ος	Ἑρμηνευτικὰ Γ΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)	
»	8ος	Ἱστορικοδογματικὰ Α΄	
»	9ος	Ἱστορικοδογματικὰ Β΄	(ἐξηντλήθη)
»	10ος	Ἱστορικοδογματικὰ Γ΄	
»	11ος	Ἀσκητικὰ	
»	12ος	Διάφορα ἀμφιβαλλόμενα	

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος	1ος	Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α΄	
»	2ος	Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β΄ (ὑπὸ ἔκδοσιν)	
»	3ος	Ἀπολογητικὰ ἔργα	(ἐξηντλήθη)
»	4ος	Δογματικὰ	
»	5ος	Ὁμιλίαι	(ἐξηντλήθη)

»	6ος	Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι
»	7ος	Ἐπιστολαὶ (ὑπὸ ἔκδοσιν)
»	8ος	Ἔπη Δογματικὰ
»	9ος	Ἔπη Ἠθικὰ (ὑπὸ ἔκδοσιν)
»	10ος	Ἔπη εἰς Ἑαυτὸν (ὑπὸ ἔκδοσιν)
»	11ος	Ἔπη εἰς Ἑτέρους (ὑπὸ ἔκδοσιν)

Δ΄ ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος	1ος	Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α΄–Γ΄)
»	2ος	Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ΄–ΣΤ΄)
»	3ος	Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ΄–Ι΄)
»	4ος	Τριακονταετηρικός, Εἰς τὸν βίον βασιλέως Κωνσταντίνου, Λόγοι Μ. Κωνσταντίνου

Ε΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος	1ος	Δογματικὰ Α΄ (Ἔκδ. ἀκριβὴς τῆς Ὀρθ. πίστεως)

ΣΤ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος	2ος	Ὁμιλίαι εἰς τὴν Γένεσιν (Α΄–ΚΓ΄)
»	3ος	Ὁμιλίαι εἰς τὴν Γένεσιν (ΚΔ΄–ΜΑ΄) (Ὁμιλίαι Α΄–Κ΄)
»	4ος	Ὁμιλίαι εἰς τὴν Γένεσιν (ΚΑ΄ – ΜΑ΄)
»	5ος	Ὁμιλίαι εἰς τὴν Γένεσιν ΜΒ–ΜΔ καὶ εἰς Ψαλμοὺς
»	6ος	Ὁμιλίαι εἰς Ψαλμοὺς
»	10ος	Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Β΄ (Ὁμιλίαι ΚΑ΄–ΜΗ΄)
»	11ος	Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Γ΄ (Ὁμιλίαι ΜΘ΄ – ΟΕ΄)
»	12ος	α) Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Δ΄ (Ὁμιλίαι ΟΣΤ΄–Α) β) Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Α΄–ΙΘ΄)
»	13ος	Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Κ΄–ΝΔ΄)
»	14ος	Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι ΝΕ΄–ΠΗ΄)
»	18ος	Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Α΄ (Ὁμιλίαι Α΄–ΚΒ΄)
»	18Α	Ὑπόμνημα εἰς τὴν Α΄ πρὸς Κορινθίους (Ὁμιλίαι ΚΒ΄–ΜΔ΄)
»	20ος	Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Β΄ (Ὁμι-

λίαι ΚΕ΄–Λ΄), εἰς τὴν πρὸς Γαλάτας καὶ εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι Α΄–ΙΑ΄)

» 21ος Ὑπόμνημα εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι ΙΒ΄–ΚΔ΄), εἰς τὴν πρὸς Φιλιππησίους (Ὁμιλίαι Α΄–ΙΒ΄)

» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α΄

» 29ος Ἀσκητικὰ Β΄

» 31ος Κατηχητικαὶ καὶ ἠθικὰ Β΄. Περιστατικὰ Α΄

» 32ος Ὁμιλίαι Περιστατικαὶ Β΄

Ζ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.

» 12ος Ἀββᾶ Ἠσαΐου, Ἀσκητικοὶ Λόγοι, ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα, ἀββᾶ Δωροθέου, Πραγματεῖαι καὶ Ἐπιστολαί.

» 22ος Νικ. Καβάσιλα, Ἑρμηνεία εἰς τὴν Θ. Λειτουργίαν – Περὶ τῆς ἐν Χριστῷ ζωῆς

Η΄ ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

Θ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες, Κατὰ Εἱμαρμένης, Διάλογος περὶ ψυχῆς καὶ Ἀναστάσεως, Λόγος Κατηχητικὸς μέγας)

Ι΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΠΑΛΑΜΑ

Τόμος 1ος Λόγοι ἀποδεικτικοὶ δύο περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος – Ἐπιστολαὶ πρὸς Ἀκίνδυνον Α΄, Β΄, Γ΄ – Ἐπιστολαὶ πρὸς Βαρλαὰμ Α΄, Β΄

» 2ος Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων Λόγοι Α–Γ

Στοιχειοθεσία – Ἐκτύπωση:
ΤΥΠΟ – ΜΟΥΓΚΟΣ
Πριγ. Νικολάου 1 – Θεσσαλονίκη
Τηλ. 237.677 – 272.252

Βιβλιοδεσία:
Αφοι ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανὰ 17 – Θεσσαλονίκη – τηλ. 839.414

Κεντρικὴ πώληση:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 79 – Θεσσαλονίκη – Τηλ. 200.621